Toronto University Library

Presented by

University of Oxford

through the Committee formed in

The Old Country

to aid in replacing the loss caused by

The disastrous Fire of February the 14th 1890

Digitized by the Internet Archive
in 2010 with funding from
University of Toronto

https://archive.org/details/scholiagraecaine01dind

E89
.Ydi

SCHOLIA GRAECA

IN

EURIPIDIS TRAGOEDIAS

EX CODICIBUS AUCTA ET EMENDATA

EDIDIT

GULIELMUS DINDORFIUS.

TOMUS I.

OXONII:
E TYPOGRAPHEO ACADEMICO.
MDCCCLXIII.

5794
30/9/00
6

PRAEFATIO.

SCHOLIA Graeca in Euripidem quum inde ab Arsenio (a. 1534.) usque ad novissimum editorem Augustum Matthiae (a. 1817.) ex codicibus edita essent recentibus, qui magna optimorum scholiorum parte carent nec raro corrupti aut interpolati sunt, operae pretium facturus esse mihi visus sum si ea ad codices exigerem et antiquiores et locupletiores. Inter hos principem locum tenet

M. Venetus Bibliothecae Marcianae 471. scriptus seculo duodecimo in membranis formae quartae majoris, foliis 154. quorum undeviginti prima Dionysio Periegetae ejusque scholiastis data sunt, reliqua Euripidis tragoedias quinque continent, Hecubam, Orestem, Phoenissas, Andromacham et Hippolytum cum scholiis brevioribus et glossematis inter versus, longioribus in margine scriptis literis tam exilibus ut non tam calamo quam acu exaratae esse videantur, atramentoque tam pallido ut plurima non sine magna oculorum contentione legi possint, alia ita sint obliterata ut interdum vix singularum vocum literarumve vestigia appareant, nonnullis etiam bibliopegi culpa aliisque casibus defectis. Quas difficultates ut maxima ex parte superare mihi liceret, eximia factum est Iosephi Muelleri diligentia, peritia et patientia, qua et hujus codicis et, qui ipse quoque non levis labor erat, Vaticani 909. scholia excussit.

Scholia codicis Marciani in Hecubam, nulla praemissa ὑποθέσει, qualis fabulis reliquis quattuor est praefixa, incipiunt folio

20[a] finiunturque folio 42[b]. subscripto τέλος Ἑκάβης. φύλλα κγ. Sequuntur Orestes fol. 42[b]—75[a], Phoenissae fol. 75[b]—109[a], Andromacha fol. 109[b]—132[b]. Scholia in Hippolytum, quae fabula continetur foliis 133[a]—154[b]. rarescunt inde ab folio 140. (v. 351.) et una cum glossematis, quae codex hic non pauca habet inter versus posita, prorsus deficiunt inde ab folio 148. (v. 808.) Scholia hujus codicis antiqua sunt et optimae notae, magnam partem ex Didymi aliorumque grammaticorum veterum commentariis excerpta, admixtis tamen passim, ut in scholiorum veterum ad alios quoque scriptores codicibus factum videmus, inferiorum grammaticorum additamentis, quae discernere ab illis plerumque non est difficile. Glossemata supra versus scripta, qui mos multis demum post grammaticos veteres Alexandrinos seculis invaluit, codex habet plurima, quorum partem maximam apposui, non ab uno omnia grammatico scripta, sed ex diversis codicibus petita, saepe puerilia aetatemque suam interdum barbarorum adeo vocabulorum usu prodentia, velut κουβουκλείοις, quo κλήθροις explicatur in Phoen. v. 64. vol. 3. p. 55, 22., de quo genere dixi ad schol. Aristophanis vol. 1. p. iii. iv. et vol. 3. p. 387.

Codici Marciano et aetate et auctoritate proximus est A. Vaticanus 909, bombycinus seculi decimi tertii, foliis 314., quorum primum vacuum est, formae quartae maioris. Insunt fabulae novem, Hecuba, Orestes, Phoenissae, Medea, Hippolytus, Alcestis, Andromacha, Troades et Rhesus, foliis pluribus male habitis et non paucis ablatis. Hecubae, cujus de primorum foliorum conditione videnda quae in Appendice dixi vol. 4. p. 231.—240., nonnisi fragmenta supersunt. Ac primo quidem post folium sextum unum deest folium versus complexum 211—256. Porro versus desunt 714—1068. foliis decem evulsis, quorum duo ab manu seculi quarti quintive decimi suppleta sunt, quibus versus continentur 714—783. cum scholiis perpaucis ex codice recenti transcriptis, ut dixi in annotatione ad vol. 1. p. 397, 18. In Oreste inter folia nunc numeris 58. et 59. signata octo exciderunt folia versus complexa 1206—1504. in eademque fabula quum folii 43. pagina prior sine scholiis a manu prima scripta esset, recentior scholia nonnulla ad v. 671—687. ex codice recentiore adscripsit. Scholia in Phoenissas, Andromacham, Troades et, quorum parte maiore librum Venetum carere

supra dicebam, scholia in Hippolytum integra sunt in libro Vaticano. Contra Medeae folia 130 b—136 a scholiis carent, in foliis vero 136 b et 137 a (v. 413—641.) duo tantum scholia reperiuntur ad v. 640. et 641., ut dixi in annotatione ad vol. 4. p. 34, 2. quemadmodum in Alcestide versibus 123—699. (fol. 200 — 215 b.) scholia nulla adscripta sunt. Aliquanto deterior Rhesi conditio est, cujus versus 112—151. et 551—630. una cum scholiis desunt post folia 298 a. et 308 b. et deest extrema pars fabulae (v. 899—996.), adscripto in fine folii 314 b. a manu recenti λείπει.

Summa hujus codicis laus posita est in scholiis antiquis ad Troades et Rhesum, quae ex Didymi aliorumque grammaticorum Alexandrinorum commentariis composita exquisitae plena sunt doctrinae copiis multisque et poetarum veterum et aliorum scriptorum locis aliunde non cognitis insignia: quae ex eo primum edidit Hieronymus Amatius in Euripidis editione Glasgoviensi a. 1821., repetiverunt, correctis multis codicis vitiis, in editionibus Lipsiensibus L. Dindorfius a. 1825. et C. F. Kampmannus a. 1837. in decimo Euripidis ab A. Matthiae editi volumine, post quos scholia in Rhesum editioni hujus fabulae, quae Berolini prodiit a. 1837., inseruit annotationibusque illustravit Fr. Vaterus, scholia in utramque fabulam, codice denuo inspecto, passim correxit C. G. Cobetus in Appendice ad Geelii Phoenissarum editionem a. 1846., ego vero Iosephi Muelleri, de quo supra dicebam, opera adjutus nunc multo integriora exhibui, tacite correctis, quos raro operae pretium erat notari, erroribus Amatii, qui multa non recte legerat nec raro lacunae signa posuerat ubi codicis scriptura paene evanida ab legendo deterritus erat, velut p. 45—49. editionis meae. In utriusque autem fabulae scholiis etsi sola utimur libri Vaticani fide, non inutile tamen fuit scholiorum in Troades apographum comparare quod codici inest chartaceo Neapolitano Bibliothecae regiae 165. (notato in Catalogo H. F. 91.) qui praeter alia aliorum scripta foliis 93—140. Hecubam, Orestem et Phoenissas cum scholiis vulgaribus Byzantinis, Troadum vero fabulam una cum scholiis ex libro Vaticano sumtam continet, (cum inscriptione *Ἀριστοφάνους γραμματικοῦ σχόλια εἰς τὸ δρᾶμα τῶν τοῦ Εὐριπίδου Τρωάδων*, ficta ab librario, qui Aristophanis nomen *ὑποθέσει* praescriptum in codice Vaticano viderat) seculo scriptus quinto

decimo, quo tempore Vaticani scriptura minus quam nunc detrita fuit: unde factum ut ego uno alteroque loco quae in Vaticano lectu difficiliora essent Neapolitani ope expedire potuerim.

Scholiorum in Alcestin etsi parte fere dimidia caret codex Vaticanus et in reliqua fabulae parte plerumque eadem praebet quae ex aliis libris pridem edita erant, sunt tamen quae sibi propria habeat, inter eaque nonnulla egregia, velut ad v. 718. ubi in scholio haud dubie ex Didymi commentariis excerpto duo servati sunt ex Aeschyli Χοηφόρων prologo versus, qui in codice Aeschyli Mediceo, in quo haec fabula ab initio defecta est, desiderantur.

Aliquanto integriora sunt scholia in Medeam, etsi omissis passim scholiis antiquis, quae alii codices servarunt, velut de Neophrone ad v. 1387. vol. 4. p. 83, 6—12.

In fabulis reliquis quinque codex Vaticanus saepe consentit cum Veneto, sed saepe etiam dissentit, vel omissis quae ille habet scholiis, vel additis quae ille omittit, vel aliter conformatis, plerumque tamen ita ut Venetus antiquiorem scholiorum formam servasse, Vaticanus ab grammaticis recentioribus interpolatam praebere videatur. Praecipuo tamen usui mihi fuit in Hippolyto, cujus fabulae scholia in Veneto rarescunt post v. 351. et inde ab v. 808. prorsus deficiunt, in Vaticano vero aequabiliter usque ad finem fabulae decurrunt. Idem fere de Hecuba, quatenus in Vaticano exstat, est dicendum. Contra in Andromacha scholia vetera et partim egregia in codice Veneto aliquanto plura quam in Vaticano sunt servata. In Oreste vero et Phoenissis eadem fere utriusque codicis scholiorum copia est, nisi quod Vaticanus in his fabulis, ut saepe in Hecuba, rarius in Hippolyto, scholia multa habet quae ab inferiorum temporum grammaticis composita esse patet, velut in Hippolyto ubi verbis ἀλλ' ὦ πάτερ Πόσειδον (v. 887.) longa adscripta est narratio de Minoe, quam ipsum genus dicendi non ex scholiis antiquis petitam, sed ab novitio grammatico compositam esse prodit, Ἱστορία. Μίνως ὁ βασιλεὺς τῶν Κρητῶν ἔσχε γυναῖκα τὴμ Πασιφάην, ἥτις ἠράσθη ταύρου καὶ μὴ δυναμένη τὸν τοιοῦτον[a] ἐκπληρῶσαι ἔρωτα

[a] τὸν τοιοῦτον—ἔρωτα dictum pro τεχνητὸν ταῦρον, τὸν τοιοῦτον (Δαίδαλον) ἀποκομίσοντας, ὁ τοιοῦτος Μίνως, τοιοῦτον τὸν ἔρωτα, ut infra, τὸν τοιοῦτον

προσῆλθε Δαιδάλῳ τῷ ἀγαλματουργῷ καὶ ἀπήγγειλε αὐτῷ τὴν ἐπὶ τῷ ταύρῳ ταύτης ἔρωτα, ὃς δὴ Δαίδαλος θέλων ἐκπληρῶσαι τὴν ταύτης ἔφεσιν κατεσκεύασε ξύλινον ταῦρον, συνάψας αὐτῷ καὶ αἰδοῖον, καὶ ἐνέδυσεν αὐτὸν δέρμα ταύρου. ἐν μιᾷ γοῦν τῶν ἡμερῶν κατερχόμενος ὁ ταῦρος ἀπὸ τῆς θήρας πρὸς τὸ οἰκεῖον σπήλαιον ἐφεῖρε τὸν τοιοῦτον τεχνητὸν ταῦρον καὶ εἰς μίξιν ἄθεσμον ἐκινήθη. ἐξ ἧς δὴ μίξεως συνέλαβεν ἡ Πασιφάη τὸν λεγόμενον Μινώταυρον. φοβηθεὶς δὲ ὁ Δαίδαλος μὴ τὸ πραχθὲν παρ' αὐτοῦ ἐνωτίσηται ὁ Μίνως καὶ εἰς ὀργὴν αὐτῷ κινηθῇ, περιῆψεν ἑαυτῷ, ἀλλὰ δὴ καὶ τῷ υἱῷ αὐτοῦ Ἰκάρῳ (ἰκάρου codex) πτερὰ κήρινα, καὶ ἀπῆρχοντο. ὁ δὲ υἱὸς αὐτοῦ Ἴκαρος οἷα νέος νεωτερικόν τι φρονήσας[b] πρὸς τὰ μετεωρότερα τοῦ ἀέρος ἐφέρετο, τῶν δὲ κηρίνων πτερῶν διαλυθέντων ταῖς ἡλιακαῖς ἀκτῖσι πρὸς τὸ παράλιον πέλαγος ἐξωλίσθησεν, ὃ δὴ καὶ μέχρι τοῦ νῦν τὴν ἐπωνυμίαν αὐτοῦ κέκληται. ὁ δὲ Δαίδαλος οἷά τις ἐπιτήδειος πρὸς τὰ χθαμαλώτερα μέρη φερόμενος εἰς Ἀθήνας κατήντησεν, ὃ δὴ μαθὼν ὁ Μίνως εἰς Ἀθήνας πρέσβεις ἔστειλε τὸν τοιοῦτον ἀποκομίσοντας πρὸς αὐτόν. τῶν Ἀθηναίων δὲ μὴ πειθομένων πάλιν ὁ τοιοῦτος Μίνως διὰ γραμμάτων αὐτοῖς κατήγγειλεν αὐτοῦ τὸ κατ' ἔτος διδόναι αὐτὸν ἕνα ἄνθρωπον, ὥστε τρώγειν αὐτὸν τὸν Μινώταυρον, ὃ δὴ καὶ οἱ Ἀθηναῖοι ἠθέλησαν. διαφόρων γοῦν ἀπελθόντων ἐκεῖσε ἐζήτησε καὶ ὁ Θησεὺς ἀπελθὼν ἐκεῖσε ἠράσθη παρὰ τῆς θυγατρὸς τῆς Πασιφάης. ἣν γοῦν ὁ τοιοῦτος Μινώταυρος ἀποκεκλεισμένος ἐν πολυθύρῳ καὶ πολυπλόκῳ οἰκήματι, ὃ δὴ καὶ λαβύρινθος ἐκαλεῖτο. Θησεὺς υἱὸς μὲν Αἴθρας καὶ λόγῳ μὲν Αἰγέως, ἔργῳ δὲ Ποσειδῶνος. Hujusmodi narrationes vel mythologicae vel historicae, praefixo plerumque lemmate ἱστορία, non solum inter scholia ad poetarum scenicorum fabulas, sed etiam ad Homeri Iliadem et Odysseam plurimae reperiuntur, quarum aliae ab doctis et antiquis grammaticis ex veterum mythographorum et historicorum operibus sunt excerptae, memoratis non raro auctorum nominibus, de quo dixi in Praefatione ad Scholia

ὁ τοιοῦτος Μινώταυρος: qui frequens est adjectivi τοιοῦτος usus apud infimae aetatis scriptores. Ejusdem generis est quod in scholio recenti ad Hec. v. 678. p. 391, 5. codici Vaticano ex Thoma Magistro illato Euripides ὁ παρὼν τραγῳδὸς appellatur, quod saepe dixerunt Thomas aliique ejusdem aetatis scholiastae, nunquam dixerunt scholiastae veteres. Porro iidem tres primas Aeschyli, Sophoclis, Euripidis et Aristophanis fabulas πρῶτον, δεύτερον et τρίτον δρᾶμα saepissime appellarunt, quod ipsum quoque inauditum est in veterum scholiastarum annotationibus.

[b] οἷα νέος νεωτερικόν τι φρονήσας] Similiter Darius apud Aeschylum Pers. v. 782. Ξέρξης δ' ἐμὸς παῖς ὢν νέος φρονεῖ νέα.

in Odysseam vol. 1. p. xvii., aliae ab inferiorum temporum grammaticis sine ullo reconditioris doctrinae apparatu e libris scriptorum, quibus nos quoque hodie utimur, compositae: in quo genere valde sibi placuerunt etiam infimae aetatis grammatici, velut Thomas Magister, qui non paucas hujusmodi narrationes vel ὑποθέσεων loco poetarum scenicorum fabulis praefixit, vel scholiis ab se scriptis inseruit, aliique infimae aetatis grammatici, qualis fuit qui ἱστορίαν de Iphigenia in Aulide mactata, similem Thomae Magistri de eodem sacrificio narrationi, composuit, quam ex cod. Flor. 59. apposui in annot. ad vol. 2. p. 177, 20., in qua Gregorius adeo Nazianzenus memoratur. De quo iterum mihi dicendum erit infra p. xii. in descriptione codicis (C.) Monacensis.

Nihilo meliora sunt alia scholia recentiora codicis Vaticani modo longiora (velut vol. 1. p. 329, 5.—330, 16. 491, 6—23. 508, 17—34. vol. 2. p. 193, 15.—194, 4. vol. 4. p. 149, 19. in annot. mea) modo breviora, quae sunt plurima, ne quid de infimae aetatis scholiis Byzantinis dicam, quae manus recentiores marginibus codicis Vaticani passim adscripserunt, raro ab me memoratis, quum hoc scholiorum genus ex ipsis fontibus, de quibus infra dicetur, petere licuerit.

Glossemata interlinearia codex Vaticanus plurima habet: quorum ea quae ad Rhesum et Troades pertinent in Appendice vol. 4. p. 221. 222. et 225—230. continua serie proponere quam inter scholia dispergere malui, in fabulis reliquis rarius memoravi, quum eadem fere in codice Veneto, qui antiquior Vaticano est, et Parisino 2713. qui ejusdem fere atque Vaticanus aetatis est, reperiantur, quorum partem satis, ut opinor, magnam apposui.

Tertius inter codices antiquiores locus debetur Parisino (B.) 2713. (olim 682. tum 2793.) qui scriptus in membranis est seculo decimo tertio, foliis 159. formae quadratae majoris. scriptura satis bene servata, nisi quod multa quae palluerant a manu recentiore, ut saepe in codicibus antiquioribus factum videmus, novo instaurata sunt atramento. Fabulas codex continet septem primas eodem ordine quo in Vaticano aliisque codicibus positae sunt, ita ut prima sit Hecuba, postrema Andromacha. Scholia brevia et glossemata ut in Veneto et Vaticano, ita in hoc quoque codice plurima supra versus scripta sunt, longiora in

margine et exteriore et interiore. Scholia locupletiora sunt quam in ullo alio codice, etsi passim omissis exquisitioribus grammaticorum Alexandrinorum excerptis quae in codicibus Veneto et Vaticano servata sunt, quibuscum reliqua bona magna ex parte communia habet Parisinus. Hunc igitur totum excussi plurimaque ex eo edidi non solum scholia, sed etiam glossemata, etsi haec quidem cum delectu quodam, ne apponerem quae vel ex scholiis excerpta vel prorsus puerilia essent, cujusmodi est quod *ὡς* per *λίαν*, *ὅπως* per *ἵνα* explicatur, vel *λείπειν τὸ ἐστί* vel *τὸ ὡς* monetur, et quae sunt similes nullius pretii annotatiunculae. Glossemata autem plerumque a manu prima vel secunda scripta sunt, quibus interdum tertia accessit recentior: quas distinxi ubi operae pretium erat.

Ad externam codicis conditionem quod attinet, Hecubae in eo non minus quam in Vaticano adversa fortuna fuit. Nam antiqua manus incipit fol. 17[a]. ab versu fabulae 523. *λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερός*, ablatis foliis manus primae praecedentibus, pro quibus quae nunc inserta sunt, etsi ipsa quoque membranacea, tamen a manu scripta sunt multo recentiore, adscriptis passim glossematis scholiisque paucis et brevissimis et recentissimis, praemissisque Prolegomenis nonnullis quae aliena sunt ab codice antiquo, sed seculi quinti decimi libro conveniunt. Nam folio 1. et 2. continetur *Ἐπιτομὴ τῶν ἐννέα μέτρων ἐκ τοῦ ἐγχειριδίου ἡφαιστίωνος. Τὸ ἰαμβικὸν μέτρον δέχεται κατὰ μὲν τὰς περιττὰς χώρας—καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη*, quae eadem omnia Aldus Aristophanis editioni suae praefixit, eo tantum discrimine quod illa, *Ἰστέον ὅτι*[c] *πάντα τὰ μέτρα —συμβαίνει τὰ πάθη* nomine *Δημητρίου τοῦ Τρικλινίου* inscripta sunt, quo caret codex Parisinus. Fol. 2[a]. et [b]. sequitur, *περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου. ἐπειδήπερ οἱ πάλαι τὰ περὶ τῆς γραμματικῆς—οὐδὲν δὲ τῶν ἐγκειμένων ἴσασιν.* quae ipsa quoque apud Aldum leguntur cum nomine Triclinii. Fol. 2[b]. et 3[a]. *σύνοψις τοῦ βίου—βιβλίοις. Εὐριπίδης μνησάρχου ἢ μνησαρχίδου* etc. quae Manuelis Moschopuli sunt ex Suida excerpta, de quo dixi ad Excerptum V. de Vita Euripidis

[c] *Ἰστέον ὅτι—*] Haec et caput proximum *περὶ σημείων* ego repetivi in scholiorum ad Aristoph. editione vol. 1. p. 42—44. Eadem omnia etiam in Sophocleis codicibus pluribus reperiuntur, velut Dresdensibus duobus, de quibus dixi ad Schol. Soph. vol. 2. p. 405. 408.

vol. 1. p. 13, 15. Fol. 3[a]. et 3[b]. excerptum (ab eodem Moschopulo scriptum) *περὶ τοῦ εἰδώλου*, multis codicibus commune, quod Hecubae *ὑποθέσει* subjeci vol. 1. p. 204. 205. Fol. 3[b]. et 4[a]. aliud de Vita Euripidis excerptum, *σύνοψις τοῦ βίου*. Εὐριπίδῃ τῷ ποιητῇ etc. quae ab Thoma Magistro scripta esse aliunde novimus, ut dixi in annotatione ad Excerptum IV. de Vita Euripidis vol. 1. p. 11, 7. Foliis 4[a].[b]. et 5[a]. continetur Hecubae *ὑπόθεσις* fabulaeque personarum nomina cum *στίχοις πολιτικοῖς τοῦ Τζέτζου*[d], tum *τοῦ Χορτασμένου*, quos post Hecubae Argumentum posui vol. 1. p. 203. Folia 6.—8. Hecubae versus continent 1.—182. (usque ad *φροίμια κακά*). Folia 9.—16. (v. 183.—522.) ab alia quam praecedentia manu scripta sunt aliquanto recentiore literisque multo majoribus, quae uncialibus similes sunt. Annotationes his versibus adscriptae magna ex parte non tam scholia sunt quam excerpta de significationibus vocabulorum ex infimae aetatis Lexicis transcripta, velut de vocabulis *βίως* (ad v. 213. vol. 1. p. 270, 15—18. ed. nostrae), *ἔπος* (217. p. 271, 12.—272, 3.) *δεῖ* (228. p. 274, 25—29.), *ἔοικε* (229. p. 275, 8—13.), *ἱστορῶ* (236. p. 276, 13—15.), *κίνδυνος* (244. p. 278, 21—23.), *ζηλοῦν* (255. p. 281, 7—13.), *ἅλις* (278. p. 286, 30.—287, 3.) *εἶεν* (313. p. 296, 21—24.), *χάρις* (320. p. 298, 14—16.), *σπουδάζω* (314. p. 300, 23—27.), *τύχη*[e] (341. p. 304, 19—22.), *ἑστία* (386. p. 316, 12—17.)

[d] Tzetzae nomen in scholiis Euripideis semel tantum apparet vol. 1. p. 503, 5. in codice A. in additamento manus recentis, Τζέτζης "*νῦν ἀντὶ τοῦ ἐνδεέσι, πένης τε ὁ χειρῶναξ*," versu tetrametro.

[e] In hac annotatione p. 304, 20. male excusum *ἄλλο φρονῇ τις* et *καὶ ταπειναὶ* pro *ἅλλο ἐνεργῇ* et *καὶ αἱ ταπειναὶ*, quod est in codice, verbo *ἐνεργῇ* obscurius scripto. Eadem fere leguntur in scholio Moschopuli ad v. 863. p. 431, 21. 22. cujus inter scholia non pauca hujusmodi reperiuntur excerpta a proposito aliena, velut ad Phoen. 690. vol. 3. p. 197, 3. ubi non satis habens *χώρει* per *ἀπέρχου* explicuisse omnia quae de verbo *χωρῶ* ejusque compositis comperta habebat affundit, Χωρῶ *τὸ δέχομαι*, οἷον "*τοσοῦτον ὕδωρ τόδε τὸ ἀγγεῖον χωρεῖ*," *ἀφ' οὗ χώρα ἡ ἄδεια καὶ ἡ ἐλευθερία. καὶ* Ἐγχωρεῖν *τὸ ἐνδέχεσθαι.* Χωρῶ *καὶ τὸ ἔρχομαι, ἀφ' οὗ* Συγχωρῶ, *ὅταν ἐκὼν ἀπολύω τι, καὶ* Παραχωρῶ, *ὅταν ἄκων ἀπολύω, καὶ* Προχωρεῖ *ἀντὶ τοῦ προβαίνει, καὶ* Ἀναχωρεῖ *ἀντὶ τοῦ ἐπαναστρέφει, καὶ* Ἀποχωρεῖ *ἀντὶ τοῦ ἀφίσταται, καὶ* Ὑποχωρεῖ *ἀντὶ τοῦ ὑπεξίσταται.* Quae negligenter transcripta inter scholia recentia ad Aeschyli Prom. 74. p. 179, 6. leguntur, Χωρῶ *τὸ δέχομαι, οἷον "τοσοῦτον ὕδωρ τόδε τὸ ἄγγος χωρεῖ" καὶ χώρα ἡ ἄδεια, καὶ ἐλευθερίαν ἐγχωρεῖν, τὸ ἐνδέχεσθαι· χωρῶ καὶ τὸ ἔρχομαι, ἀφ' οὗ συγχωρῶ, ὅταν ἐκὼν ἐκλύω, καὶ παραχωρῶ, ὅταν ἄκων ἀπολύω, καὶ προχωρεῖ ἀντὶ τοῦ προβαίνει, καὶ ἀναχωρεῖ τὸ αὐτό. χώρει ἀντὶ τοῦ ἀφίστασαι, ὑποχώρει ἀντὶ τοῦ ἐπίμενον.*

Expositis quae de primariis veterum scholiorum codicibus dicenda erant ad secundam progredior classem codicum, qui scholiorum veterum excerpta nullo certo consilio facta continent, aucta passim recentiorum grammaticorum scholiis, sed libera tamen ab Moschopuli, Thomae Magistri et Demetrii Triclinii annotationibus, quae tertiae, de qua infra dicetur, codicum classi propriae sunt. Ex hoc genere est

C. codex olim Augustanus, hodie Monacensis Bibliothecae regiae 560. formae quartae minoris, scriptus seculo decimo quarto in charta bombycina a manibus pluribus, quarum antiquior ceteris est ea quae folia scripsit 80—101. quibus Phoenissarum versus continentur 784. (*ὦ πολέμοχθος Ἄρης*) —1743. (*ἐκλελοῖ με θήσοι*), amisso folio uno, versus reliquos complexo 1744—1766., quod notavit manus recentior adscripto "*λείπει μία σελίς.*" Ex quo sequitur folia illa 80—101. alius esse codicis fragmentum, cujus redintegrandi caussa praecedentia folia sunt adjecta 7—79 ab duabus tribusve aliis manibus scripta, quod non solum charta et scriptura diversa prodit, sed etiam folii 79. versi conditio, quod non plenum est[f], sed septem tantum versus continet 777.—783. cum verbis scholiastarum, totidem versus explentibus, quae leguntur in editione mea vol. 3. p. 212, 11. et p. 213, 6. ad v. 779. *τεύχη ἀσπίδας. πάνοπλα δὲ ἀμφιβλήματα—ἀγάλματα.* ad v. 782. *τῇ δ' εὐλαβείᾳ—φόβον ἐμβάλῃ.* Prioris autem codicis partis (fol. 7—79) rursus pars non exigua periit, amissa Hecuba fabula tantum non tota. Nam folium 7. rectum ab Hecubae versu 1279. incipit *καὐτόν γε τοῦτον πέλεκυν ἐξάρας' ἄνω*, finitur v. 1291. *εὖ δ' εἰς πάτραν πλεύσαιμεν, εὖ δὲ τἀν δόμοις*, folium 7. versum reliquos continet versus quattuor et Orestis versus tres primos, quae fabula, uno tantum folio amisso, quod continuit versus 55—106.—de quo dixi vol. 2. p. 41.—usque ad finem continuatur per folia 8—56[b]. sed ita ut hic quoque diversorum codicum fragmenta conjuncta esse pateat, folio octavo ab manu recentiore scripto. Nam folio 7[b] post verba manus primae "Τέλος ἑκάβης," rubricator lemma posuit "Ὑπόθεσις Ὀρέ-

[f] Contra folia 27. 28. 29[a]. propter spatii angustiam bipertita sunt, versus complexa Orestis 608.—726., versibus partim non recte divisis (velut 725. *ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον | βροτῶν πυλάδην δρόμῳ |* (incipit fol. 29[b]) *στείχοντα φωκέων ἄπο ἥδειαν ὄψιν | πιστὸς ἐν κακοῖς ἀνὴρ κρείσσων γαλήνης | ναυτίλοισιν εἰσορῶν. πν. θᾶσσον |* etc., ceterum ita dispositis ut prior columna versus contineat 1, 3, 5 etc., altera 2, 4, 6. etc.

στον," licet ὑπόθεσις nulla sit: post quae verba sequuntur Τὰ τοῦ δράματος πρόσωπα: Ἠλέκτρα. Ἑλένη. Πυλάδης. Ἄγγελος. Χορός. Ἑρμιόνη. Ὀρέστης. Φρύξ. Μενέλαος. Ἀπόλλων. Τυνδάρεως. Προλογίζει ἡ Ἠλέκτρα ὡς ἀδελφὴ Ὀρέστου ἐλεεινολογοῦσα διὰ τὸν Τάνταλον. Εὐριπίδου Ὀρέστης:—Tum versus fabulae tres primi. praescripto Ἠλέκτρα, positis sinistra in margine scholiis, εἰπεῖν ἔπος καὶ πάθος. διὰ τί πρὸς—τὴν σύνταξιν. (ut in annot. mea ad p. 31, 14.) ὁ γὰρ μακάριος: μακάριον γὰρ αὐτὸν καλῶ καὶ οὐ δυστυχῆ, ἵνα ὀνειδίσω αὐτόν:—Ταντάλου δίψαν διψῶμεν, φόβον φοβούμεθα ταντ^λ λῶνα (corrige ἀμπελῶνα) τρυγῶμεν. τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισι:—et supra versum primum ὧδε ἐν συντόμῳ εἰπεῖν λόγου ἀξίως συγκατάβασιν ἐνταῦθα εὑρίσκοντα. et glossematis ad v. 1. κατασκευή. ad v. 2. (ad πάθος) δυστυχία ἡ ἐπελθοῦσα. (ad θεήλατος) ἀπὸ θεοῦ πεμπομένη. ad v. 3. (ad ἄραιτ') βαστάσῃ, ὑπομείνῃ. Folium octavum rectum versique pars fere dimidia ὑπόθεσιν continet et τὰ τοῦ δράματος πρόσωπα eodem quem modo memorabam ordine, additis etiam verbis προλογίζει—διὰ τὸν τάνταλον. Tum versus fabulae tres primi praescripto ἠλ. cum scholiis iisdem εἰπεῖν ἔπος καὶ πάθος. διὰ τί πρὸς—τὴν σύνταξιν. ὁ γὰρ—ὀνειδίσω αὐτόν:—ταντάλου δίψαν—θέσαν ἀνθρώποισι:— et glossematis interlinearibus ad v. 1. καὶ οὕτως ἐν συντόμῳ λόγῳ ἐπέρχεσθαι. ad v. 2. ut supra, ad v. 3. nullis. Post haec folio 9[a] partim prima partim alia manus reliquam scripsit fabulae partem inde ab v. 4. ὁ γὰρ μακάριος κοὐκ ὀνειδίζω τύχας usque ad fol. 56[b], ubi post versus ultimos 1691—1693. ὦ μέγα σεμνὴ νίκη—στεφανοῦσα et scholion ἡ κατάληξις τῆς τραγῳδίας—εὑρίσκεται sequitur, Εὐριπίδου Φοίνισσαι praemissa ὑποθέσει aliisque grammaticorum excerptis usque ad finem folii 58[a]. Tum fol. 58[b] τὰ τοῦ δράματος πρόσωπα et fabula ipsa usque ad v. 1743. ut supra dicebam.

Scholia hujus codicis in marginibus, interdum etiam, ubi breviora erant, inter versus posita modo copiosiora sunt, modo rariora, modo prorsus deficiunt. Excerpta autem pleraque omnia[g] sunt ex scholiis antiquioribus, qualia sunt codicis nostri

[g] Pleraque omnia dico, quia hic quoque codex non magis quam Vaticanus liber est ab additamentis quae diu quidem ante Moschopuli et Thomae Magistri tempora, sed tamen multis post Alexandrinos grammaticos seculis scripta sunt: cujusmodi est ἱστορία de Loxia ad Orest. v. 165. vol. 2. p. 75, 16—28. quam alibi traditam legere non memini, de Atreo ib. v. 812. quam in annotatione ad vol. 2. p. 212, 13. apposui, similibus

Vaticani A., quocum saepissime consentit Monacensis, nihilque admixtum habent quod Moschopulo, Thomae Magistro aliisque ejusdem aetatis grammaticis simile sit. Scholia Phoenissarum ex hoc libro edidit Valckenarius Franequerae a. 1755., non codice ipso usus, sed apographo G. F. Tryllitschii non raro vitioso, cujus errores ego, codice denuo collato, interum diserte, ubi operae pretium erat, multo saepius tacite correxi, quod meminisse lectores oportet sicubi mea ab Valckenarianis discrepare videant. Glossemata interlinearia codex hic plurima habet et partim quidem eadem quae in codicibus nostris antiquioribus leguntur, partim recentiora, etsi minus copiosa quam codices Moschopuli Thomaeque Magistri glossematis repleti. De quo ut lectores ipsi judicare possint, glossemata codicis Monacensis ad Orestis v. 1—200. et ad Phoenissarum v. 1—200. integra edidi in Appendice, in fine voluminum secundi et tertii, reliqua cum delectu quodam: quae qui perlegerit non credo plura expetiturum esse.

Ejusdem generis sunt codices Havniensis[h] (H.), Taurinenses

verbis perscriptam in codice recentiore Florentino 33., et de Oenomao ad v. 990. p. 249, 11.—250, 8. quae iterum nonnulla continet aliunde non cognita. De quo *ἱστοριῶν* genere supra dixi, ubi de codice Vaticano agebam. Neque inter scholia breviora desunt quae recentiorem originem prodant, cujusmodi est Βόντιζα nomen in scholio ad Phoen. 981. vol. 3. p. 264, 13. Αἰτωλίδ' *ἐς γῆν: ἡ νῦν λεγομένη* Βόντιζα, *ἐπισκοπῆς* Ναυπάκτου, quocum comparandum Δρυνόπολις, in lingua vulgi ex Ἀδριανούπολις corruptum, quo utitur Moschopulus in scholio ad versum proximum, Θεσπρωτὸν οὖδας: *εἰς τὴν γῆν τῶν* Θεσπρωτῶν, *εἰς τὴν κοινῶς λεγομένην* Δρυνόπολιν.

[h] Codex in Bibliotheca regia numero notatus 417. textum continet fabularum novem, in sex similem Vaticano 909., in Hecuba, Oreste et Phoenissis multo deteriorem: de quo dixit Kirchhoffius in Praefat. vol. 1. p. iv. Scholia Phoenissarum ex eo sumsit Matthiae, quorum post ea quae ego ex codicibus A.B.M. protuli usus vix ullus est. De alio ejusdem bibliothecae codice (3549.) trium primarum fabularum, chartaceo seculi quarti decimi, quem ego passim memoravi in annotationibus ad Vitam Euripidis et ad *ὑποθέσεις*, dixit O. D. Blochius in Friedemanni Miscellaneis criticis vol. 1. p. 394. 476. 630. Scholia in margine posita rara sunt et praeter pauca ad Hecubam eaque fere evanida ad solum pertinent initium Phoenissarum, ubi in scholio Thomae Magistri (in annot. vol. 3. p. 47. col. 2. lin. 15. ed. nostrae) pro *οὐδὲ πεποίηνται* Blochius p. 477. ex cod. Havn. restituit *οὐδεμίαν φροντίδα πεποίηνται*, quod pro eo positum est quod antiquior scholiasta p. 50, 7. dixerat *πῶς οὐδεμίαν Θηβαῖοι ζήτησιν πεποίηνται*. Hecubae post *ὑπόθεσιν* praemissum est scholion de nomine Hecubae quod ex A.M. edidi vol. 1. p. 221, 11.—222, 4. levi cum diversitate scripturae, ex qua haec notamus, 221, 13. *ἴσως δὲ*] *δὲ* om. Havn. 15. *προσαγορεύονται*] *προσηγορεύοντο* 222,

duo (T.), Florentini quattuor (1. 2. 6. et 15.) et Guelferbytanus Andromachae, qui partim Hecubam, Orestem et Phoenissas solas, partim etiam Medeam, Hippolytum, Alcestin, Andromacham et Rhesum complectuntur, seculo quinto decimo vel quarto decimo exeunte scripti: de quibus videnda quae ab A. Matthiae, qui primus iis usus est, dicta infra afferentur. Qui libri etsi plerumque nihil boni praebent quod non ex antiquioribus codicibus nostris M. A. B. peti potuerit, tamen ipsi quoque non negligendi fuerunt, quum ex codicibus derivati sint qui nostris quidem M. A. B. similes, sed tamen uno alteroque loco minutis in rebus emendatiores fuerunt, vel scholia vetera, etsi numero perpauca, praebuerunt, quibus illi carent. Sic inter scholia undeviginti brevissima ad Rhesum, quae in codicibus Florentinis 1. et 2. adscripta sunt, praeter scholia sex (ad v. 2. 36. 270. 419. 785. 789.) quae vel iisdem vel similibus verbis in Vaticano A. leguntur, unum in Florentino altero reperitur ad v. 817. vol. 1. p. 38, 9. *μαράγνα*: *οὕτως παροξύνει ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου. ὁλοῖ δὲ τὴν μάστιγα. ἤτοι μαστίγων πλήγμασιν, ἢ τῷ καρυτομηθῆναι*, quod ex codice sumtum esse videtur qui hic quidem Vaticano integrior fuit notationemque servavit quae in Epitome *καθολικῆς προσῳδίας*, qua hodie utimur, non legitur p. 96, 22. ubi de nominibus in *να* agitur. In Hippolyto ad v. 138. vol. 1. p. 95, 17. particulam versus Menandrei uni debemus Florentino 15. *ἄθικτον*: "*ἀγνὴ γάρ εἰμι.*" *Μένανδρος*. In Hecuba ad v. 13. (vol. 4. p. 233.) Didymi de imperfecti Attici *ἦ* pro *ἦν* annotationem solus serva-

2. *τὸν πατέρα*] τοῦ *πατρὸς*, unde Blochius p. 398. coniicit *τὸ ὄνομα τοῦ πατρός* 3. *Κισσῆς τόν γ'*] *κισσεὺς τόνδ'*. Glossemata interlinearia rara sunt in Phoenissis, frequentiora in Hecuba et Oreste, etsi saepe lectu difficilia propter atramenti pallorem. Eorum specimen ex Hecubae initio selectum dedit Blochius p. 477. hoc, 9. *δορί*] *ἐν ἐξουσίᾳ* 11. *πρῶτον γὰρ ἡ τε αὐτοῦ πόλις Δαρδανία, εἶτα Ἴλιον, ἔπειτα Τροία ὠνόμασται.* 15. *νέῳ*] *ἁπαλῷ* 23. *θεοδμήτῳ*] *θεοκτίστῳ* (*θεοκίστῳ* codex) 37. *τύμβου*] *σχῆμα περιβολῆς ἄνω τοῦ τάφου* 42. *ἀδώρητος*] *ἀφιλοτίμητος. ἀδεξίωτος* 57. *ἀντισηκώσας*] *ἀνατρέψας, ἀντιφορτίσας, ὅ ἐστιν ἰσόρροπα τοῖς καλοῖς κακὰ προσέθηκε* 65. *σκίπωνι*] *ῥάβδῳ, ἀπὸ τοῦ σκηρίπτω τὸ ἐπιστηρίζω, ἢ ἀπὸ τοῦ σκεδαννύειν τὰ ἵπποντα ἢ βλάπτοντα* 70. *δείμασι*] *φάσμασι, δειμαλέοις* (δειμαλαίοις codex) *φάσμασιν* 77. *ἔμαθον, ἐδάην*] *ἀκριβῶς ἐγνώρισα* 78. *χθόνιοι*] *ἐπίγειοι νέον*] *δεινόν* 85. *ἀλίαστος*] *ἀτάραχος*. In Oreste post *ὑπόθεσιν* habet quae in fine scholiorum leguntur p. 347, 5—11. addita etiam, ut in aliis codicibus Byzantinis, veteri, de qua infra dicemus, subscriptione *πρὸς διάφορα ἀντίγραφα παραγέγραπται ἐκ τοῦ Διονυσίου ὑπομνήματος καὶ μικτῶν.*

vit Vaticanus 1345., ut in Appendice (vol. 4. p. 233.) dixi, in qua et hujus codicis specimina dedi et Vaticani 1135, ex quo Faehsius in Sylloge p. 275. nonnulla excerpsit. Uterque tres primas fabulas continet, prior cum scholiis copiosioribus, alter paucioribus et ad Phoenissas prope nullis. In universum tamen omnium horum codicum ratio haec est ut multo saepius ex veteribus codicibus nostris corrigi et augeri ipsi quam hi ex illis possint, velut in Hippolyto, ubi quae ego praeeunte Matthiae ex Florentinis 6. et 15. memoravi etsi multa continent vulgatis olim scholiorum editionibus meliora, tamen vix quidquam praebent de quo non codicum antiquiorum auctoritate ita constet ut Florentinis facile carere possimus.

De codice palimpsesto quem in relatione de itinere orientali memoravit H. O. Coxius, Bibliothecae Bodleianae praefectus eruditissimus, (*Report to Her Majesty's Government*, *London*, 1858. p. 55.) alio tempore nonnulla dicere licebit, ut spero, etiamsi post ea quae ex aliis codicibus antiquis vel ab aliis vel ab me ipso prolata sunt, nihil memorabile exspectandum sit, quantum ex speciminibus et textus et scholiorum intelligere potui. Interim non inutile erit monuisse codicem dupliciter esse palimpsestum, quum iisdem membranis tres deinceps diversis seculis librarii usi sint, quorum secundus seculo undecimo codicem scribendum susceperat septem primas Euripidis tragoedias, ab Hecuba usque ad Andromacham, complectentem, intra quos fines quae nunc de eo supersunt folia quindecim continentur, etsi ordine eorum, quem servari tertii librarii nihil intererat, valde turbato. Supersunt autem Hecubae et Hippolyti folium unum, Phoenissarum et Medeae folia duo, Andromachae tria, Orestis sex, et infelici casu accidit ut eae omnes perierint harum fabularum partes in quas scholia nonnulla corruptiora cadunt, quae ex codicibus adhuc cognitis non potuerunt redintegrari.

Ab codicibus quos adhuc descripsi scholiorum veterum valde differt tertium genus codicum, in quibus grammaticorum Byzantinorum annotationes ad Hecubam, Orestem et Phoenissas, ultra quas fabulas Byzantini raro processerunt, vel solae continentur vel cum excerptis mixtae ex scholiis antiquis derivatis. Inter hos eminet quem Bethmannus liberaliter mihi suppeditavit codex accuratissime scriptus Guelferbytanus (Gudianus 15.) chartaceus

seculi quarti decimi foliis 99. formae majoris. Incipit fol. 1. ab excerptis de Vita Euripidis, de quibus suo loco dixi, Hecubae ὑποθέσει et personarum nominibus. Foliis 2ª—98ª. continentur Hecuba, Orestes, Phoenissae cum scholiis copiosis et glossematis. Folia 98ᵇ. et 99. vacua[i]. Folia tria prima, quorum tertium finitur Hecubae versu εἶδον γὰρ βαλιὰν ἔλαφον λύκου (v. 90.), ab librario scripta sunt aliquanto recentiore, qui glossemata interlinearia omnia minio, scholia vero in margine posita omnia atramento scripsit, non intellecta ratione qua in reliqua codicis parte scholia vel minio vel atramento scripta distinguuntur, ut statim dicetur: nisi haec non ipsius librarii culpa est, sed codicis ex quo folia tria prima supplevit, qui omnino minus integer fuisse videtur quam is ex quo reliquorum inde a quarto foliorum scholia descripta sunt ab librario paullo antiquiore. Primus autem hoc codice usus est A. Matthiae non satis accurate collato, nec diversorum quae eo continentur scholiorum inter se ratione perspecta. Nam etsi vidit, quod primus adspectus docet, scholia et quae supra versus posita sunt glossemata ab duabus manibus scripta esse, illud tamen non perspexit, duorum hoc libro contineri grammaticorum ad tres illas fabulas commentarios omni ex parte, exceptis fortasse tribus primis de quibus modo dicebam foliis, integros et scriptura tam clare distinctos ut nulla usquam dubitatio sit quid vel a priore vel ab altero scriptum sit interprete. Nam manifestum est codicem ita esse adornatum ut textui primitus soli scripto, pari per omnes paginas versuum numero, scholia et glossemata minio[j] adscriberentur, literis grandioribus, quum satis ampla et inter versus et marginum spatia essent. Post hunc librarium alter ejusdem aetatis scriba atramento usus alterum adscripsit commentarium, qui quum priore longe copiosior esset, literis multo quam ille minoribus scribendus fuit, ut spatia ab librario priore relicta sufficerent.

[i] Quae nunc eodem in volumine sequuntur folia numeris 100—138. notata nihil prorsus commune habent cum foliis praecedentibus. Continent enim Andromacham cum scholiorum excerptis ab manu seculi sexti decimi scriptam, de quo infra dicetur.

[j] Minium quum librarium deficeret post fol. 69ᵇ., quod finitur Phoenissarum v. 323. δακρυόεσσαν ἰεῖσα πενθήρη κόμαν, reliquam et scholiorum et glossematum partem atramento scripsit, sed iisdem quibus antea literis grandioribus usus est, quibus commentarius prior satis clare distinguitur ab altero, qui per codicem totum atramento scriptus est.

Nomina duorum interpretum non prodita sunt in codice, sed qui scholia ipsa considerare volet grammaticorumque illius aetatis genus scribendi aliunde cognitum habet, facile mihi assentietur breviorem commentarium (quem sigla *Gr.* notavi) ab Manuele Moschopulo, homine loquace magis quam docto, copiosiorem (quem sigla *Gu.* designavi) ab Thoma Magistro esse compositum, non contemnendae pro aetate qua vixit doctrinae viro, qui et scriptores aliquanto plures quam alii multi illorum temporum grammatici legerat et in antiquiorum grammaticorum scriptis versatus erat, ut Ecloga vocabulorum Atticorum ab se composita ostendit. Talem igitur in his quoque ad tres fabulas Euripidis scholiis se praebuit Thomas, quae partim ipse composuit, partim ex veterum scholiorum codicibus[j] excerpsit, et fortasse consulto servavit antiquiorum codicum subscriptionem in fine scholiorum ad Orestem, *πρὸς διάφορα ἀντίγραφα. παραγέγραπται ἐκ τοῦ Διονυσίου ὑπομνήματος ὁλοσχερῶς καὶ ἐκ τῶν μικτῶν*, etsi haec parum convenit jejunis Byzantinorum magistrorum commentariis, quorum aetate vetus illud *ὑπόμνημα* Dionysii pridem ex manibus hominum evanuerat. Eodem autem modo quo in hoc codice in Sophocleis quoque codicibus quibusdam "*Κυροῦ Θωμᾶ τοῦ μαγίστρου καὶ τοῦ Μοσχοπούλου*" scholia aut liquoris quo scripta sunt colore aut cruce (*διὰ τοῦ σταυροῦ*) vel praefixa vel non praefixa distinguuntur, de quo dixi ad scholia in Sophoclem vol. 2. p. 406. Ac de Thoma alterius commentarii auctore omnem dubitationem eximit Thomas ipse, qui in commentariis Aeschyleis[k] passim ad Euripideos prius scriptos respicit, velut ad Prometh. v. 853. p. 273, 9. *γεγράφα-*

[j] In scholiis Thomae Magistri, pariterque Moschopuli, ne unum quidem verbum reperitur ex quo colligi possit codicibus eos usos esse aut locupletioribus aut emendatioribus quam nostri M. A. B. sunt. Nam quod in scholio Thomae ad Phoen. 274. vol. 3. p. 113, 5. traditur, *ἀλκὴ δὲ καλεῖται ἡ Ἀθηνᾶ κατὰ τὴν τῶν Φοινίκων*, ridiculo errore nititur, de quo dixi in annotatione. Scriptores quorum auctoritate Moschopulus et Thomas in scholiis quae non ex veteribus sumserunt, sed ipsi scripserunt, utuntur perpauci sunt et iidem fere quibus alibi quoque illius aetatis grammaticos usos esse videmus, id est Homeri Ilias, Odyssea et Batrachomyomachia, Pindarus, poetarum scenicorum quattuor fabulae tres primae, Lycophron, Thucydides, dialogi aliquot Platonici, Demosthenis orationes aliquot et, quibus inprimis delectabantur, Philostratus, Aristides, Libanius. Scriptorem Latinum, raram in his regionibus avem, unum memorat Thomas Magister Vergilium ad Orest. v. 1389. vol. 2. p. 304, 4.

[k] De his dixi in Leutschii Philologo vol. 20. p. 5. seqq.

μεν δὲ τὴν ἱστορίαν (de Danao) *ἐν τῇ Εὐριπίδου Ἑκάβῃ* (ad v. 886. vol. 1. p. 435.) et ad Septem ad Thebas in *ὑποθέσει*, ubi ad *ὑπόθεσιν* Phoenissarum respicit verbis ab me in Appendice vol. 4. p. 257. appositis. Nam Argumenta quoque fabularum quae in Gu. reperiuntur ab Thoma Magistro vel scripta vel ex antiquioribus quae ferebantur *ὑποθέσεσι* mutata esse non solum similia Thomae Argumenta ad ceterorum poetarum scenicorum fabulas quas attigit confirmant, sed etiam aliorum codicum auctoritate constat, in quibus ea Thomae Magistri nomine inscripta sunt, velut Barocciani 74. de quo infra dicetur, et Romani Bibliothecae Angelicae[l]. Commentarii autem et Moschopuli et Thomae Magistri ex scholiis constant. quae integra dedi, perpaucis quae nimis futilia videbantur omissis[m], et ex glossematis supra versus positis, quorum tot millia reliquerunt longe maxima ex parte prorsus puerilium, ut ego A. Matthiae exemplum secutus delectum eorum facere quam omnibus edendis chartas perdere maluerim. Ceterum Thomas, quum Moschopuli uteretur commen-

[l] Est codex bombycinus seculi quarti decimi, signatus C. 5. 1., formae quartae minoris, foliis 168. Incipit fol. 1[a]. *Ἐπιτομὴ τῶν θ΄ μέτρων ἐκ τοῦ ἐγχειριδίου Ἡφαιστίωνος. τὸ ἰαμβικὸν μέτρον δέχεται μὲν κατὰ τὰς περιττὰς χώρας—καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη.* (ut in Par. B. de quo supra diximus) Fol. 4[a]. *τοῦ σοφωτάτου καὶ λογιωτάτου Μανουὴλ τοῦ Μοσχοπούλου σύνοψις τοῦ βίου τοῦ ποιητοῦ. αἱ δὲ τῶν δραμάτων ὑποθέσεις εἰάθησαν αἱ φερόμεναι ἀπαραποιήτως ἐν τοῖς παλαιοῖς βιβλίοις.* Incipit *Εὐριπίδης Μνησάρχου ἢ Μνησαρχίδου καὶ Κλειτοῦς, οἳ φεύγοντες εἰς Βοιωτίαν μετῴκησαν* etc. (ut vol. 1. p. 13, 15.) Fol. 5. *τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ Θωμᾶ τοῦ μαγίστρου σύνοψις τοῦ τε βίου τοῦ ποιητοῦ καὶ τῆς τοῦ δράματος ὑποθέσεως. Εὐριπίδῃ τῷ ποιητῇ γένος μὲν Ἀθηναῖος, πατέρες δὲ Μνήσαρχος κάπηλος καὶ Κλειτὼ λαχανόπωλις* etc. (vol. 1. p. 11, 7.) Sequitur fol. 6[b].—46[b]. Hecuba cum scholiis Thomae Magistri literis minutissimis scriptis et in foliis primis prope evanidis. Fol. 46[b]. incipit Orestes, *τοῦ αὐτοῦ σοφωτάτου μαγίστρου σύνοψις τῆς ὑποθέσεως τοῦ προκειμένου δράματος. ὅτε ἐκ τῶν Τρώων ἡ Ἑλλὰς ὥρμησεν Ἀγαμέμνων στρατηγὸς ᾑρέθη τοῦ στόλου παντὸς* etc. (ut vol. 2. p. 7, 13. —9, 27. ubi *Θωμᾶ τοῦ μαγίστρου* nomen praescribere debebam.) Fol. 48[b]. scholia incipiunt, *ἐπειδὴ ἡ τοῦ πατρὸς αὐτῆς δυστυχία ὑπερῆρεν ἁπάσας—ὑπέκειτο. ἵνα δὲ μὴ καθ΄ ἕκαστον* etc. ut vol. 2. p. 29, 3—18. Tum (ad v. 7.) *τινές μὲν φασὶν — παῖδες*, ut vol. 2. p. 34, 17.—35, 5. ubi 35, 2. *ἐπιχειρήσῃ* (ut I.) pro *ἐπιχειρήσει* et lin. 4. *τοῦτον πατάξων* pro *πατάξων αὐτόν*. Fol. 104[b]. Phoenissae. *τοῦ αὐτοῦ σοφωτάτου μαγίστρου σύνοψις περιεκτικὴ τῆς ἀπ᾽ ἀρχῆς ἕως τοῦ δράματος ἱστορίας. Ἁρπαγείσης Εὐρώπης ὑπὸ Διὸς γενομένου ταύρου* etc. ut vol. 3. p. 5, 10.—10, 8. ex Gu. et Barocciano 248.

[m] Velut Moschopuli ad Hec. 225. *οἶδα τὸ πρῶτον πρόσωπον, τὸ β΄ οἶσθα, τὸ γ΄ οἶδε, ὁ ὑπερσυντέλικος ᾔδειν, ἡ μετοχὴ ὁ εἰδώς, τὸ ἀπαρέμφατον εἰδέναι, τὸ ὑποτακτικὸν ἐὰν ἰδῶ* (voluit *εἰδῶ*), *τὸ εὐκτικὸν εἰδείην.*

tario, ut ipse aliquid praestitisse nec pendere ab illo videretur, quae Moschopulus occupaverat plerumque aliis usus verbis dixit, rarius scholia illius et glossemata non mutata suo inseruit commentario, velut ad Orest. v. 1293. 1298. 1499. 1507. 1508. 1539. 1652. cujusmodi locos plerumque notavi utraque sigla (*Gr.* et *Gu.*) apposita. Moschopulum ipsum non magis quam alios aequales grammaticos usquam nominat, uno excepto loco schol. Hec. 147. vol. 1. p. 257, 28. ubi Maximi Planudis memorat opinionem verbis, *οὕτω τινὲς τὰ περὶ τούτου ὁ κύριος Μάξιμος*, quo nomine etiam ab schol. cod. Flor. 59. appellatur ad v. 169. vol. 1. p. 262, 9. *καὶ ἀμφότερα μικρὰ γράφει ὁ κύριος Μάξιμος*, quod est fragmentum annotationis loco alieno illatum. Non raro vero Thomas priorum interpretum opiniones notat ita ut vel suas simpliciter opponat, velut *ἐμοὶ δὲ οὐχ οὕτω δοκεῖ* ad Hec. 612. vol. 1. p. 374, 14. vel *ἐγὼ δέ φημι* ib. ad v. 1106. p. 484, 15., vel priores reprehendat lenibus usus verbis, *οὐ καλῶς λέγουσιν*, vel *οὔ μοι δοκοῦσι λέγειν εὐλόγως* ad Orest. 126. vol. 2. p. 65. 23. cujusmodi in locis[n] Arsenius in scholiorum editione, sive ipse

[n] Sic ad Hec. 807. vol. 1. p. 417. *οἱ δὲ πρὸς τὸν Ἀγαμέμνονα τὸ σταθεὶς λέγοντες οὐ καλῶς λέγουσιν* Thomas] *οἱ δὲ πρὸς τὸν Ἀγαμέμνονα τὸ σταθεὶς λέγοντες οὐ μόνον εὐήθεις εἰσὶν, ἀλλὰ καὶ τὸν Εὐριπίδην συμπαραλαμβάνουσι μετ' αὐτῶν. πῶς γὰρ οὐκ ἠλίθιός τις, λέγων σταθεὶς ἄπο, ὦ Ἀγάμεμνον, ὥσπερ γραφεύς*; Arsenius. 846. p. 426, 4. *τὰ ἄλλα ὁμοίως λέγοντες οὐ καλῶς λέγουσι*] *τὰ ἄλλα ὁμοίως λέγοντες ἀμαθεῖς.* 945. p. 454, 2. *εἰ καὶ φασί τινες*] *εἰ καὶ φασί τινες τῶν ψυχρῶν.* 1252. p. 507, 24. *ἐκφέροντες οὕτω—*] *ἐκφέροντες—ὅπερ ἐσχάτης ἂν εἴη ἀμαθίας.* Ad Orest. 162. vol. 2. p. 74, 10. *οἱ στίζοντες ἐνταῦθα οὐ καλῶς ποιοῦσι*] *οἱ στίζοντες ἐνταῦθα ἀμαθεῖς.* 314. p. 105, 7. *εἰ καὶ ὁ Καλλίστρατος τὴν ἐκτὸς τοῦ σ διδάσκει γραφήν*] *εἰ καὶ ληρῶν ὁ Καλλίστρατος* etc. 488. p. 149, 2. *οἱ δὲ λέγοντες τὸ δοῦλον ἀντὶ τοῦ δουλοποιὸν οὐ καλῶς λέγουσιν*] *οἱ δὲ—δουλοποιὸν ἀμαθεῖς ταμάλιστα.* 717. p. 191, 3. *οὐς αὐτὸς ἐάσας οὕτω λέγε*] *οὓς αὐτὸς ἐάσας ὡς ἀμαθεῖς οὕτω λέγε.* 919. p. 446, 25. ubi scholio Thomae, quod finitur verbis *λάμβανε δὲ εἰς τὸ πασσάλῳ ἢ ἔκειτο ἀπὸ κοινοῦ ἢ ὑπῆρχεν*, ab Arsenio additum est, *καὶ μὴ ὥσπερ τινὲς τῶν ἀμαθῶν τὸ ἐθηκεν, αἰτιατικὴν τὸ ξυστὸν λογιζόμενοι.* Et in scholio quod totum ab Arsenio ipso scriptum esse conjecit Matthiae, ad Hec. 1079. vol. 1. p. 480, 23. *οἱ δὲ λέγοντες λινόκροκον φᾶρος τὸν ὀφθαλμὸν—ἆρ' ἔχει τις ἂν εἰπεῖν ὡς οὐ μάλιστα πάντων οἴδε ἀμαθεῖς*; Cui simile est ad Hec. 52. p. 231, 20. apud Arsenium et a manu recentissima in Par. 2713. *ὥσπερ φαμὲν, ἀφαιρῶ σοι χρήματα, οὐ πρὸς τὸ χρήματα συντάσσοντες τὸ σοί, ὥς τινες τῶν ἀμαθῶν οἴονται, ἀλλὰ πρὸς τὸ ἀφαιρῶ.* et ad Orest. v. 410. vol. 2. p. 128, 17. *ἀπαίδευτός ἐστιν ὁ ἐνταῦθα γράφων ἀπαίδευτα καὶ τῶν μέτρων παντάπασιν ἀμαθής. σὺ δ' εἰ βούλει μὴ ἀπαίδευτος εἶναι, ἀπαίδευτον ἐνικῶς γράφε· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς.* quod scholion, Triclinianis simile, sed nullo ex codice annotatum, ab Arsenio alio-

sive praeunte librario recentiore cujus codice utebatur, plerumque acerbiora substituit vocabula, hebetiorum, ut opinor, lectorum caussa, quemadmodum recentiores philologi multi Latine scribentes si quid non recte dictum notare volunt, id *indocte, imperite, inepte, inscite, absurde, temere, leviter, oscitanter, negligenter, festinanter* scriptum esse dicunt, et quae sunt similia verborum lenocimia, quae multo usu vim suam adeo amiserunt ut hodie vix a quoquam iniuriae loco habeantur.

Ab codicis Guelferbytani in duorum interpretum commentariis distinguendis diligentia longe abfuerunt alii multi scholiorum compilatores, qui excerpta vel ampliora vel breviora ex diversissimis scholiorum collectionibus, modo antiquis modo Byzantinis, nullo certo consilio facta congesserunt, seculis quarto quintoque decimo perscripta et plerumque non ultra Hecubam, Orestem et Phoenissas procedentia, cujusmodi codicum infinita ad nostra tempora copia pervenit, quorum si quis vel partem dimidiam examinare omnemque scripturae diserepantiam, quae vel librariorum debetur erroribus vel in verbis modo additis modo omissis modo leviter mutatis aliterve collocatis cernitur, exponere suscipiat, grande implere poterit volumen nullorum unquam hominum usui inserviturum[o]. Quamobrem ego cavendum mihi

ve compositum videtur, qui ipse quoque *ἀπαίδευτον* se praebuit, verae ignarus scripturae, quae in aliis codicibus est servata et facile ex conjectura restitui poterat, *σεμναὶ γάρ· εὐπαίδευτα δ' ἀποτρέπου* (recte Musgr. *ἀποτρέπει*) *λέγειν*. In excerptis scholiorum in Homeri Odysseam quae sunt in codice Harleiano duobusque aliis ejusdem familiae libris frequens est adjectivi *γέλοιος* adverbiique *γελοίως* usus, cujus exempla in Indice editionis Oxoniensis collegi p. 814. Multo plus in hoc genere praestitit Ioannes Tzetza, cujus in scriptis multa reperiuntur et exquisita impoliti sermonis exempla. In grammaticorum veterum Alexandrinorum scriptis nihil hujusmodi legere memini, etsi inter hos quoque fuisse scimus qui Hesiodi dictum confirmarent, *καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ ἀοιδὸς ἀοιδῷ*.

[o] Ex hoc genere sunt codices circiter viginti in Bibliothecis Britannicis asservati, chartacei omnes seculorum quarti quintique decimi, partim ab me ipso inspecti, quos enumeravit accurateque descripsit, additis adeo scripturae speciminibus, F. Paleius in Praefatione ad Euripidem vol. 3. p. xxiv—xxxiii. Quibus, si quis hoc aget, facile centum alii per Europae bibliothecas dispersi addi poterunt labore quam fructu maiore et prorsus inutili quod ad Moschopuli et Thomae scholia attinet, quae in codice Guelferbytano tam accurate scripta et omni ex parte integra sunt ut aliis codicibus nullis opus sit. Qualis est, ut exemplo utar, codex Dresdensis Bibliothecae regiae (D, 22.) de quo dixi in Appendice ad scholia in Sophoclem vol. 2. p. 408. chartaceus seculi quinti

putavi ne rerum inutilium molem ab aliis congestam ipse augerem satisque habui plurima eorum quae Matthiae aliique ex hoc genere codicum protulerant paucarum plagularum dispendio servasse, ut de hoc quoque scholiorum genere lectores ipsi iudicare possent, quod etsi nihil fere ad intelligenda verba poetae confert, tamen alia multa continet ad aestimanda Byzantinorum studia linguamque eorum cognoscendam utilia. Quae autem ex scholiis veteribus excerpta in hujusmodi codicibus reperiuntur manifestum est non e libris antiquioribus quam quorum nobis quoque hodie copia est petita esse, sed plerumque ex medio illo codicum genere, cujus exemplar integerrimum est codex noster Parisinus 2713.

Inter libros editos prima est scholiorum in fabulas septem primas editio (quam litera l. designavi) ab Arsenio, Michaelis Apostolii filio, facta Venetiis a. 1534. qui in Epistola, qua opus suum Paulo III., Romanorum Pontifici maximo, dedicavit, multa quidem de rebus a proposito alienis exposuit, sed de diversis quibus usum se esse in inscriptione editionis suae[p] profitetur codi-

decimi ineuntis. Insunt (fol. 1—132.) Euripidis Hecuba, Orestes, Phoenissae, praemissa Vita Euripidis ea, cui in editione Aldina Manuelis Moschopuli nomen praescriptum est, ut dixi in annot. ad vol. 1. p. 13, 15. Marginibus amplis, sed plerumque vacuis, exilia adscripta sunt scholiorum recentiorum, Thomae Magistri potissimum, excerpta, nec glossemata tam copiosa sunt quam in aliis illius aetatis codicibus non paucis. Scholiorum specimen hoc esto.

Hecubae v. 1. *γράφεται τὸ σκοτος —οἱ Ἀττικοί* (ut vol. 1. p. 220, 7—9.)

ib. *ἥκω ἀντὶ τοῦ ἦλθον. ῥέπει γὰρ τοῦτο πρὸς τὸ παρεληλυθὸς καθόσον τὸ εἶμι πρὸς τὸ μέλλον.* (p. 220, 1—3.)

5. *κινδυνεύω ποιεῖν τόδε ὅπερ οὐ θέλω—εἰς τοῦτο συνελαυνόμενος. καὶ κινδυνεύω—ἀνάγκην* (p. 222, 17—22.)

7. *ὁ Θρᾷξ τοῦ Θρᾳκὸς—ὁ φίλος* (p. 223, 8—11.)

14. *ὅπλα τὰ φ.—ἀμυντήρια* (p. 224, 15—17.)

32. *τριταῖον—συνεχές* (p. 228, 28.)

51. *τὸ τυχεῖν—ἐμόν* p. 231, 14—16.

58. *φθείρειν γὰρ τὸ—δικαστήρια* (p. 232, 30. 31.)

65. *βραδύπους — πορείας* (p. 236, 4—6.

71. *μητέρα—ἄστατοι γάρ εἰσι* (p. 237, 27.—238, 2) omissis (ut Gu.) verbis *τῆς γῆς ἄρα οἱ ὄνειροι.*

74. *τοῦ σ.—λέγει* (p. 238, 16—18.)

78. *ὃς καὶ ἄγκυρα—ἐλπίδας ἔχουσιν* (p. 239, 22 (ubi vid. annot.)—25.)

84. *τὸ γ.—καὶ χ* (p. 240, 10—12.

87. *οὐκ εἶπεν—τράπωμαι* (p. 241, 27—29.)

Alia multa ex hoc codice excerpsit Beckius vol. 3. p. 1019. seqq. sigla *Mosq.* notata (nam fuit hic codex olim Mosquensis) similibusque codicibus nonnullis.

[p] Inscripta est *Σχόλια τῶν πάνυ δοκίμων εἰς ἑπτὰ τραγῳδίας τοῦ Εὐριπίδου, συλλεγέντα ἐκ διαφόρων παλαιῶν βίβλων καὶ συναρμολογηθέντα παρὰ Ἀρσενίου, ἀρχιεπισκόπου Μονεμβασίας.* Venetiis in officina Lucae Antonii

cibus parum distincte paucis tantum verbis dixit[q]. Nihilominus satis manifestum est scholia haec ex diversissimis codicibus esse collecta et fundamentum editionis codicem fuisse similem quidem Parisino 2713., sed multo recentiorem, quod non solum omissa scholia plurima docent, praesertim in extrema Andromachae parte, ubi fragmenta tantum quaedam scholiorum in libro suo reperit Arsenius, sed etiam infinita omnis generis corruptelarum multitudo, qualis non potuit in ullo libro antiquiore exstare, nihil vero miri habet in codicibus quales ab imperitioribus infimae aetatis librariis scribi solebant. Huic scholiorum farragini Arsenius Hecubae, Orestis et Phoenissarum adjunxit Paraphrasin in partes quasdam ampliores divisam, partim ab Thoma[r], partim ab alio recentissimo aliquo grammatico, partim etiam, ut videtur, ab Arsenio ipso ex scholiastarum annotationibus et glossematis interlinearibus compositam; denique scholia metrica in easdem tres tragoedias, post Arsenium a Kingio ex codice Barocciano 72., de quo paullo post dicetur, integriora edita, quae Demetrii Trielinii esse liquet, qui in describendis carminum melicorum Euripidis metris eandem quam in Aeschylo, Sophocle et Aristophane imperitiam prodidit. Nihil aliud enim egit quam ut versus quosvis, praeter dactylicos et anapaesticos, in quattuor syllabarum syzygias divideret: unde non raro absurdissimae prodeunt metrorum formae. In scholiis veteribus nihil quod ad metra spectet annotatum reperitur praeter *τροχαϊκὸν τετράμετρον καταληκτικόν* in A.B.M. in initio tetrametrorum trochaicorum in Oreste v. 729—806, cujusmodi annotationes ad versus singulos etiam in codicibus recentioribus non Trielinianis passim reperiuntur, velut in codice Andromachae Taurinensi ad v. 274—309. ut dixi in annotatione ad vol. 4. p. 151, 15. et in Vaticano Palatino 287. ex quo haec per totam Iphi-

Iuntae a. 1534. (forma octava minore, foliis—nam haec, non paginas numeravit typographus—293.)

[q] Pag. vii. *τὰ εἰς ἑπτὰ τραγῳδίας τοῦ Εὐριπίδου σποράδην εὑρισκόμενα σχόλια, ἃ δή γε οἷά τις μέλισσα ἐνιζάνων αἷς ἐνέτυχον βίβλοις τῶν παλαιῶν ἔν τε τῇ Μίνωος πόλει καὶ Ῥαδαμάνθυος Ἐνετίησί τε κὰν Φλωρεντίᾳ ἠρανισάμην ἐπιμελῶς, καὶ οἷόν τινα συνηρμολογησάμην σειρὰν, πέμπω δῶρον ὀπτήριον τῇ ὑμετέρᾳ παναγιότητι.*

[r] Paraphrasin suam Thomas ipse memorat ad Orest. v. 988. vol. 2. p. 247, 18. *μὴ λάβῃς εἰς τὸ πτανόν ἔξωθεν τὸ διά, ἀλλ' ὥσπερ ἔφαμεν ἐν τῇ παραφράσει, οὕτω σύνταξον.* quod dixerat in paraphrasi p. 244, 17. 18. Quod autem de praepositione dicit Moschopulum notare videtur, etsi hic non *διά*, sed *κατά* suppleverat in paraphrasi p. 243, 18.

geniae in Aulide fabulam enotata habeo, quae speciminis caussa apposui, 1. *ἀναπαιστικὰ συστήματα ἐξ ὁμοίων ἀμοιβαῖα* 49. *ἰαμβικοί* 115. *ἀνάπαιστοι* 162. *παρατέλευτον* (de quo voc. dixi vol. 4. p. 215, 1.) 166. *στροφὴ κώλων κά. χοριαμβικὰ, ἰωνικὰ, ἀντισπαστικὰ, ἀναπαιστικὰ, τροχαϊκά* 185. *ἀντιστροφὴ κώλων κά* 206. *ἐπῳδὸς κώλων κέ* 231. *στροφὴ ἑτέρα κώλων ιά* 242. *ἀντιστροφὴ κώλων ιά* 253. *στροφὴ ἑτέρα κώλων ιβ′* 265. *ἀντιστροφὴ κώλων ιβ′* 277. *ἐπῳδὸς κώλων κς′* 303. 376. 402. 607. 1334. *ἴαμβοι* 543. *στροφὴ κώλων έ*, et ex adverso *ἀντισπαστικὰ, ἰωνικὰ. χοριαμβικὰ, ἀναπαιστικὰ, ἰαμβικά* 558. *ἀντιστροφὴ κώλων έ* 573. *ἐπῳδὸς κώλων ις′* 590. *σύστημα κατὰ ἀναπαίστους ιή περικοπῆς ἀνομοιομεροῦς* 605. (super *ταῖς ἀργείαις*, quod cum praecedente versu conjunctum est) *παρατέλευτος* 751. *στροφὴ κώλων ιά. χοριαμβικὰ, ἰωνικὰ, ἀντισπαστικὰ, ἰαμβικά* 762. *ἀντιστροφὴ κώλων ιά* 773. *στροφὴ ἑτέρα κώλων ιά* 784. *ἀντιστροφὴ κώλων ιά* 801. 917. 1098. 1403. 1532. 1621. *ἰαμβικοί* 850. (ad *ἀμελίᾳ* ex *ἀμελείᾳ* correctum) *ἰωνιστὶ διὰ τὸ μέτρον* 855. *τροχαῖοι, ὅτι μετὰ σπουδῆς ὁ θεράπων ἀφίκετο* 1036. *στροφὴ κώλων κέ. χοριαμβικὰ, ἀντισπαστικὰ, ἰωνικὰ, ἀναπαιστικά* 1058. *ἀντιστροφὴ κώλων κέ* 1080. *ἐπῳδὸς κώλων ιά* 1276. *ἑτερόστροφα ἀναπαιστικὰ γ′* 1279. *χοριαμβικὰ, ἰωνικὰ, ἀντισπαστικά* 1311. *ἴαμβοι, ὅμοιοι τοῖς ἄνω* 1312. *στροφὴ ἑτέρα κώλων κβ′* 1338. *τροχαῖοι* 1474. *στροφὴ καὶ ᾠδὴ τροχαϊκοὶ δ′, ἰαμβικοὶ ι...* 1487. *σύστημα ἀναπαιστικόν* 1491. *ᾠδὴ ἑτέρα καὶ στροφὴ, τροχαϊκοὶ, ἰαμβικοὶ καὶ ἀναπαιστικοί* 1510. *ᾠδὴ καὶ στροφὴ κώλων κγ′. χοριαμβικοὶ, τροχαϊκοὶ, ἀναπαιστικοί* 1615. *ἰαμβικοὶ καὶ ἀναπαιστικοί* 1619. *τροχαϊκοί* 1627. *ἀναπαιστικοὶ, εἰ βούλει τὸ α′ καὶ γ′ χοριαμβικά. τὸ β′ ἰωνικὸν ἡμιόλιον.* In quibus nihil est quod ab Trielinio scriptum haberi possit, qui nullas unquam praeter tres primas poetae fabulas attigit. Nec grammatici multo quam ille antiquiores postremas decem fabulas tractasse videntur, qualis est Eugenius, qui Anastasii imperatoris aetate (a. 498.—518) vixit, *κωλομετρίας τῶν μελικῶν Αἰσχύλου, Σοφοκλέους καὶ Εὐριπίδου ἀπὸ δραμάτων ιέ* auctor, ab Suida memoratus s. v. *Εὐγένιος*: qui liber pridem in deperditis fuit quo tempore Triclinius vixit, qui nullum aliud studiorum suorum adjumentum habuit quam Hephaestionis Enchiridion.

Arsenii editionem levioribus nonnullis vitiis typographius cor-

rectis, illatis vero multo pluribus et gravioribus suorum typothetarum erroribus Ioannes Hervagius, typographus Basileensis, repetivit a. 1544. Huic proximus, etsi longo intervallo, Iosua Barnesius est, qui Euripidis editioni Cantabrigiensi a. 1694. scholia Arseniana adjecit passim emendata et levissimis quibusdam aucta scholiorum ad Hecubam, Orestem et Phoenissas supplementis ex codice seculi quinti decimi Bibliothecae Collegii Corporis Christi Cantabrigiensis (ubi nunc numero 403. notatus est), quo etiam Kingius usus est quum fabulas illas cum scholiis Londini ederet a. 1748., addito simili Bodleiano inter Barocciauos 74. chartaceo seculi sexti decimi ineuntis (in Coxii Catalogo vol. 1. p. 127.) cum scholiis Thomae Magistri potissimum, cujus nomen etiam *ὑποθέσεσι* fabularum ab eo compositis praescriptum est, et Demetrii Triclinii.

Barnesii vestigiis institit Sam. Musgravius in editione Oxoniensi, quae quattuor voluminibus prodiit a. 1778., quorum quartum scholia continet passim correcta, ut apud Beckium videre licet in editione Lipsiensi a. 1787. vol. 3. p. 38 seqq. ubi scholia Musgraviana cum Barnesianis comparavit. Primus vero qui utiliorem in his scholiis, etsi unius tantum fabulae, operam poneret I. C. Valckenarius fuit, qui Phoenissas Franequerae edidit a. 1755. adjectis scholiis, quae non solum doctis illustravit annotationibus, sed etiam locis plurimis auxit et emendavit ex codice tum Augustano [r], nunc Monacensi 560. (C.) de quo supra diximus.

[r] De codice Augustano aliisque editionis suae subsidiis Valckenarius in Praefatione p. xvi—xviii. haec scripsit, "Augustanus codex meam scholiorum nugis saepe decepti superavit exspectationem. Scholia complectebatur vetera ferme tantum et melioris notae, tum quae vulgarat Arsenius, tum inedita non pauca; sed illa partim duntaxat. Ceteris intermiscuerat Arsenius scholia metrum spectantia, paraphrasin quoque; quae sine controversia debentur recentioribus. Nihil horum membranae praebuerunt Augustanae. Centena scholia primus ex Angliae codicibus dederat Kingius: haec eadem partim, partim alia quaedam otiosus aliquando descripseram e codice Vossiano Lugduno-Batavo. Neque horum ullum in Augustano fuit repertum; quod bonitatis erat atque antiquitatis indicium certissimum: nam illa vel a Kingio vulgata, vel a me descripta, perpauca si tantum exceperis, nihil erant aliud nisi magistrorum dictata, quae pueris inservierant erudiendis, saepe futilissima, vel quae nihil nos novi docerent, quod ignorasse detrimento esset.—Io. Kingius ope codicum *mille locis depravata* se scribit *emendasse, novisque scholiis adjectis quinta fere parte auctiora reddidisse.* Ab Arsenio vulgatis trecenta minimum scholia Kingius adjecit Phoenissas spectantia, quae pleraque prae-

Post horum editorum operam Augustus Matthiae novam instituit scholiorum editionem Lipsiae editam duobus voluminibus a. 1817. et 1818. multis quidem ille usus codicibus, de quibus infra posui quae ipse dixit in Praefatione[s], sed recentibus omnibuerunt duo codices, alter Bodleianae Bibl. Baroc. 74, alter Cantabrig. e Biblioth. Collegii Corp. Christi: duo tantum in Phoenissas scholia e tertio prioris Biblioth. codice Laud. 89. fuere repetita. Horum plurima, ne verbis quidem discrepantia, repereram in margine codicis Leidensis B, qui praeterea nova quoque suppeditavit. Universa haec aevi praeferunt indicia recentioris, etiam illa, quae ante vulgatis rem tradunt eamdem, verbis tantum diversis; qualia si tanquam inedita proferenda sunt, quivis facile codices nova subministrabunt. Scriptores his in scholiis perpauci citantur, ne unus quidem quorum scripta perierint: in illis vero ab Arsenio primum publicatis ad unas Phoenissas veteres citantur scriptores, quorum paene nihil ad nos pervenit, plures quam triginta. Tentavit illa quidem conjecturis suis interdum Kingius, sed nusquam e codicibus MSS. emendavit, in quibus illa non videntur inventa. Haec autem, paucis exceptis, propemodum universa complectebatur Augustanus ille codex, saepe vulgatis emendatius scripta; ad haec ejusdem generis alia plurima; nonnulla bonitatis minime vulgaris. In his, quae nunc primum ex isto codice producuntur, testes laudantur *οἱ τὴν Οἰδιποδίαν* [*Οἰδιπόδειαν*] *γράφοντες*, Corinna, Lysimachus, Aristodemus, Asclepiades, ceterique: traduntur et in his non pauca, quae absque illis ignoraremus. — In Paraphrasi, quae sine detrimento potuerat omitti, quaecunque distant ab editione Kingii, vel ex aliis edd. petita sunt vel ex cod. Leid. nonnulla, illuc male relata, revocata sunt in suum locum, praesertim si codex ista praeberet Augustanus. Scholia vetera et recentiora, quo Kingius exhibuerat ordine, repraesentavi tum ex edd. priscis, tum e codd. emendata. His, suis singula locis, interjeci nondum edita quaedam e Leid. cod. plus quam ducenta ex Augustano, ad unum omnia quae codex exhiberet, sive majoris essent seu minoris, aut etiam, ut sunt sane nonnulla, nullius momenti; quin mutila quoque et mendosa, prout illa Tryllitschius enotarat e MS. codice, bibliopegi vitio in extremis oris mutilato." Scholia quae Valckenarii aetate codici Augustano propria esse videbantur nunc pleraque omnia ex antiquioribus codicibus nostris saepe integriora et emendatius scripta prodeunt. Codices Baroccianus, Cantabrigiensis, Leidensis et, quem passim memoravi, Mosquensis Beckii (nunc Dresdensis) scholia continent ex Moschopuli et Thomae Magistri commentariis excerpta, quorum post codicem Guelferbytanum usus nullus est, perpauca eaque futilissima sibi propria habent, quibus in Barocciano Tricliniana accesserunt. De quo codicum genere supra dixi.

[s] Vol. v. p. iv. et vol. i. p. vi. "Mihi ad septem fabulas praesto fuerunt scholia codicum Florentinorum, ad tres priores et Andromachen Guelferbytani, ad Phoeniss as et Andromachen Taurinensis, quibus accedunt scholia cod. Havniensis ad versus 264 priores Phoenissarum. E Florentinis scholia tantum continent codices 9. et 21. plutei 31., et codex 33. plutei 32. ad Hecubam, Orestem et Phoenissas; codex 17. plutei 31. ad Hecubam et Orestem, codex 10. ad Hecubam, Medeam, codex 15. ad Medeam, Hippolytum, Alcestin, codex 2. ad Hippolytum et pauca quaedam ad Supplices, Iphigeniam utramque,

bus seculorum quarti quintique decimi, ex quibus non solum scholia et glossemata aliquanto plura quam opus erat protulit, sed etiam editionis Arsenii, qui deterioribus ejusdem generis codicibus usus erat, vitia saepissime correxit, multo plura tamen vel corrupta vel defecta reliquit, quum antiquiorum, quibus ego nunc usus sum, codicum subsidiis careret, quae post A. Matthiae primi attigerunt Lentingius, qui scholia in Andromacham Zutphaniae a. 1829. ab se editam ex codice Parisino 2713[t]. aliisque Parisinis nonnullis recentioribus emendatiora edidit, et C. G. Cobetus, qui codicum Veneti et Vaticani scholiorum excerpta quaedam in Appendice ad Geelii Phoenissarum editionem (Lugd. Bat. 1846.) proposuit, quorum de scriptura quae ego dixi sicubi ab Cobetianis differunt, codicibus post Cobetum denuo inspectis differunt.

Scholia in fabulas singulas in nova hac editione ita disposui ut primo loco scholia in Rhesum et Troades ponerem, quae omnium sunt et antiquissima et praestantissima, vix ullis admixtis recentiorum grammaticorum additamentis. Post Troades scholia in Hippolytum posui, quae sola fabula aequabili ab initio usque ad finem commentario est instructa, quem grammaticus

Rhesum, Bacchas, Cyclopem, Heraclidas, Helenam, Herculem, Electram, pauciora etiam codex 1. ad Supplices, et sequentes fabulas. Codex 6. plutei 91. sola scholia continet. [De codicibus his Laurentianis, qui omnes seculi vel quarti decimi exeuntis vel quinti decimi sunt, videndus Bandini Catalogus.] Codices 56. 59. 76. chartacei seculi 14. exeuntis sunt Abbatiae Cassinensium, e qua nuper in Mediceam illati sunt. Codicum Taurinensium alter, Orestem et Phoenissas continens, bombycinus seculi xv., signatus est nota B. vi. 7., descriptus in Catalogo edito vol. 1. p. 315. Scholia habet uberrima, quae tamen edita non superent. Ea vero tantummodo usque ad v. 1165. Phoenissarum ed. Barn. pertinent. Alter Andromachen habet, hac nota insignitus C. v. 3. in Catalogo vol. 1. p. 216. Utrumque accuratissime contulit Amedeus Peyron." Taurinensem utrumque ego sigla T. designavi. Taurinensi alteri Andromacham continenti simillimus est Guelferbytanus (sigla *Gu.* ab me notatus), scriptus seculo sexto decimo, ut supra dixi p. xvi.

[t] Praeter hunc codicem etiam alios quosdam Parisinos, qui scholiorum excerpta et glossemata interlinearia continent, inspexit Lentingius, de quibus dixit in Praefatione p. 9—12. qui nihil boni praebent quod non ex antiquioribus codicibus nostris A. B. M. peti potuerit. Ceterum apud Lentingium p. 10. numeri codicum 1212. et 1213. per errorem pro 2712. et 2713. positi sunt. Parisinus 2712. est idem qui etiam Sophoclis tragoedias septem continet et a Brunckio aliisque olim magnae auctoritatis liber habebatur: de quo errore dixi in Praefat. ad volumen tertium Sophoclis editionis Oxoniensis tertiae.

aliquis, multis quidem post Alexandrinos veteres seculis, ita videtur composuisse ut omisso plerumque amplioris doctrinae apparatu, quem ex poetis, historiarum scriptoribus et mythographis collegerant Alexandrini, ea fere apponeret quae ad explicanda verba poetae sufficere viderentur. Post Hippolytum sex reliquarum tragoediarum scholia sequuntur, quae nihil aliud sunt quam commentariorum veterum fragmenta modo longiora modo breviora, ut in Hecuba, ubi post exquisita grammaticorum Alexandrinorum ad primos versus scholia pauca tantum similia per longa intervalla adscripta reperiuntur ad reliquam partem fabulae.

Quot et quas fabulas, praeter novem illas, quarum scholia supersunt, grammatici veteres commentariis illustraverint de Euripide non magis quam de Aeschylo, Sophocle et Aristophane compertum habemus. Nihilominus certum haberi potest non omnes horum poetarum fabulas commentariis fuisse instructas ab grammaticis Alexandrinis, quos multo credibilius est delectu quodam usos esse—ut in aliorum quoque scriptorum operibus fecerunt—cujus intra fines operam suam continerent, quemadmodum multis post illos seculis Byzantini Hecubam tantum, Orestem et Phoenissas, pariterque tres Aeschyli, Sophoclis et Aristophanis fabulas pertractandas sibi sumserunt raroque ultra eas processerunt. Nomina grammaticorum, qui commentarios in Euripidem scripserint, raro et pauca tantum in scholiis memorantur. Praecipuae tamen, ut in scholiis ad Sophoclem, in hoc labore partes Didymi Alexandrini fuisse videntur, qui frequentius in scholiis nominatur quam alii, velut Aristophanes Byzantius ejusque discipulus Callistratus, Apollodorus Tarsensis, Timachidas, Parmeniscus, alii, de quibus Iulius Richterus dixit in libro de Aeschyli, Sophoclis, Euripidis interpretibus Graecis, Berolini edito a. 1839, et Carolus Brunnemannus in commentatione de auctoribus scholiorum Vaticanorum ad Euripidis Troades, ibidem edita a. 1846. Diversorum scholiorum collectio, quale Symmachi scholiorum in Aristophanem syntagma fuit, memoratur in subscriptione scholiorum Orestis quam supra afferebam, *πρὸς διάφορα ἀντίγραφα. παραγέγραπται ἐκ τοῦ Διονυσίου*[u] *ὑπομνήματος*

[u] Dionysius hic quis fuerit nescimus: neque enim de Dionysio Thrace cogitari posse videtur, quem putabat Iul. Richterus in libro de trium tragicorum interpretibus Graecis p. 80., neque idem haberi potest qui in schol. Phoen. 670. vol. 3. p. 188, 7. memoratur.

ὁλοσχερῶς καὶ ἐκ τῶν μικτῶν, quae iisdem fere verbis in fine Medeae leguntur in codice Parisino 2713. et recentioribus nonnullis, *πρὸς διάφορα ἀντίγραφα Διονυσίου ὁλοσχερὲς καί τινα Διδύμου*, ubi memorabilis est scripturae diversitas *Διδύμου* pro *μικτῶν*, quod in loco priore legitur. Usus autem verbi *παραγέγραπται* de scholiorum excerptis idem est in subscriptione scholiorum veterum Aristophanis in codice Veneto in fine Nubium, *παραγέγραπται ἐκ τῶν Φαεινοῦ καὶ Συμμάχου καὶ ἄλλων τινῶν*. et Pacis, *παραγέγραπται ἐκ τῶν Φαεινοῦ καὶ Συμμάχου*.

Aliorum grammaticorum ex scholiis veteribus in Euripidem excerpta vix ulla reperiuntur. Nam qui millena ex scholiis in Aristophanem et Sophoclem excerpta in Lexicon suum transtulit Suidas, scholiis in Euripidem non magis usquam usus esse reperitur quam Aeschyleis. In Etymologico M. *ὑπόμνημα Ἑκάβης* memoratur p. 293, 45. *Δωριάζειν*: *ἐκλήθη καθόλου Δωριάζειν τὸ παραφωνεῖν καὶ παραγνωσθὲν πολὺ τοῦ σώματος τὰς γυναῖκας, διὰ τὸ τοὺς Δωριεῖς χρῆσθαι οὕτως*. (Sequentia omittit codex Vossianus.) *αἱ γὰρ κατὰ Πελοπόννησον κῶμαι διημέρευον ἄζωστοι καὶ ἀχίτωνες, ἱμάτιον μόνον ἐπὶ θάτερα ἐπιπεπορπημέναι, καὶ παρεμφαίνουσαι πολὺ τοῦ σώματος· καθάπερ καὶ ἐν ἀρχαίοις ὕμνοις ἔστιν εὑρεῖν ἐν ὑπομνήματι Ἑκάβης. οὕτως Ὧρος*. Quae in scholiis nostris ad v. 934. (vol. 1. p. 451, 1—7.) integriora leguntur, ex quibus intelligitur grammaticum non *ἐν ἀρχαίοις ὕμνοις*, sed *ἐν ταῖς ἀρχαίαις γραφαῖς* scripsisse. Quae vero de locutione *ἁρμάτειον μέλος*, qua Euripides utitur in Oreste v. 1385., in Etym. M. p. 145, 26—46. tradunter, etsi partim similia sunt scholio Euripideo (vol. 2. p. 301, 7.—308, 5.) tamen non omnia ex scholiis ipsis sunt petita, sed admixtis aliis ex Methodio excerptis.

Ad scholiastarum annotationes ad genera sua revocandas quod attinet, vellem equidem vetera ab novitiis eadem ratione segregare licuisset cujus exemplum in Aeschyli et Sophoclis scholiorum editionibus Oxoniensibus proposui. Verum quod facile fuit in Aeschylo et Sophocle, non aeque expeditum est in Euripide. Nam scholiorum in Aeschylum fons unicus est codex vetus Laurentianus (xxxii, 9.), cujus praeter scholia grammatici Byzantini vetera alia plane nulla habuerunt, ut quidquid scholiis Laurentianis, quae saepissime suos in usus converterunt, addiderint ab ipsis esse inventum appareat, eademque fere scho-

liorum in Sophoclem ratio est, de quibus dixi in Praefat. ad scholiorum horum volumen alterum p. V. Contra in Euripide etsi non difficile fuisset ex scholiorum farragine centena deligere scholia, quae ex Alexandrinorum commentariis derivata esse certis cognoscitur indiciis, tamen non minor eorum scholiorum numerus est, praesertim breviorum, quae non liquet utrum veteribus scholiis sint annumeranda an novitiis, qualia etiam ante Moschopuli et Thomae Magistri tempora veteribus non pauca admixta esse supra ostendi. Quamobrem ego diversorum generum scholia conjuncta, etsi codicum siglis discreta, exhibere quam judicio saepe quidem certo, sed saepe etiam incerto, separare malui, non magno, ut opinor, lectorum incommodo, quum in tribus tantum fabulis, Hecuba, Oreste et Phoenissis submolestum sit vetera et recentia scholia mixta cernere. Nam de sex reliquis fabulis duarum, Rhesi et Troadum, scholia nullis fere, Hippolyti paucis tantum interpolata sunt recentiorum grammaticorum additamentis, in tribus vero fabulis, Medea, Alcestide et Andromacha, tam exiguus scholiorum numerus est ut ne operae quidem pretium videatur duplicem proponere scholiorum seriem.

Ὑποθέσεις, quas singularum fabularum scholiis praemisi ad codices optimos recensitas, aliae ab veteribus scriptae sunt grammaticis aliae a Byzantinis. Antiquiores quae de fabulis nonnullis supersunt haud dubie ex Aristophanis Byzantii, cujus nomen aliquoties servatum in codicibus est, *ὑποθέσεσι* fabularum scenicarum sunt excerptae, de quibus dixit Nauckius in libro de hoc grammatico p. 256 seqq. Dicaearchi *ὑπόθεσις* Rhesi ab scriptore Argumenti quod superest memoratur verbis *ὁ Δικαίαρχος* (nam sic librorum scripturam *δικαί αν* optime correxit Nauckius) *ἐκτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥήσου*, quae annotatio haud dubie sumta est e libro quem Sextus Empiricus adv. Mathem. 3, 3. memorat, *αἱ Δικαιάρχου ὑποθέσεις τῶν Εὐριπίδου καὶ Σοφοκλέους μύθων*. De Thomae Magistri *ὑποθέσεσι* supra dixi ubi de codice Guelferbytano agebam.

Indices huic editioni addidi duo, alterum scriptorum ab scholiastis memoratorum, alterum Graecum nominum propriorum et verborum, in quem non solum vocabula ab scholiastis explanata, quatenus operae pretium erat, rettuli, sed etiam ipsorum scho-

liastarum sermonis, qui multa notatu digna habet, rationem habui. Vocabulis Graecobarbaris, quibus Byzantini interpretes passim utuntur, asteriscum praefixi: inter quae plura sunt quibus Ducangii Glossarium locupletari potest.

Scribebam Lipsiae.

I.

Γένος Εὐριπίδου καὶ βίος.

ΕΥΡΙΠΙΔΗΣ ὁ ποιητὴς υἱὸς ἐγένετο Μνησάρχου καπήλου καὶ Κλει-

1. Γένος Εὐριπίδου καὶ βίος] Excerpta de Vita Euripidis in codicibus aliis vel simpliciter *βίος* Εὐριπίδου vel Εὐριπίδου *γένος* vel *γένος* Εὐριπίδου inscribuntur. "Nunc primum, ni fallor, in lucem prodit haec Euripidis Vita e bibliotheca Collegii Ambrosiani, quod Mediolani est. Codicis nota est A. 104. Leguntur in eo primae tres Euripidis tragoediae a recentiore manu satis mendose scriptae. Unde venerit in Ambrosianam bibliothecam, prima pagina declarat his verbis: *Hic codex optimae notae fuit emptus Pisis a Gratia Maria Gratia V. Cl. nomine Ill.mi Card. Federici Borromaei Ambros. ae Bibliot. ae fundatoris anno M. D. I. X. C.* (1591.) Vita Euripidis ex eodem fonte derivata est, ex quo illam, quae in Aldina editione legitur, hausit Thomas Magister. Sed utraque nonnulla sibi propria habet, quibus altera careat." ELMSL. in Appendice ad Euripidis Bacchas p. 192. Est haec Vita ab grammatico scripta et antiquiore et doctiore quam reliqua omnia de vita Euripidis excerpta per codices sparsa. Ea ipsa vel simili aliqua de vita Euripidis commentatione usus est vetus Diogenis Laertii interpolator, ut mox dicetur.

2. Μνησάρχου] *μνηστάρχου* Ambr. ut infra *μνησταρχίδης* pro *μνησαρχίδης*. Notavit Elmsleius. Recte scriptum in cod. Vindob. 119. ex quo E. Zimmermannus Diariis scholasticis a. 1828. II. n. 2. similia de vita Euripidis excerpta edidit, qualia etiam in codice Havniensi 3549. (chartaceo seculi quarti quintive decimi) reperiuntur, quae O. D. Blochius in Friedemanni et Seebodii Miscell. crit. 1822. I. p. 394—396. edidit. Tribus aliis usus est Kirchhoffius, Vaticano 1345. (ex bibliotheca Fulvii Ursini) chartaceo, qui Oppianum continet cum tribus primis tragoediis Euripidis; Palatino inter Vaticanos n. 98., Urbinate 140. Quibus ex libris ego, omissis quisquiliis, ea tantum annotabo quae memorata digna sunt. In Havniensi nonnulla bis scripta sunt, quae ubi differunt siglis Havn. a. et Havn. b. designabo. Et hic quidem Havn. loco priore *μνησαρ...*, altero *μνησάρχου*. In Vat. 1345. est *μνησαρχίδου*, quae fortasse vera nominis scriptura est habenda, si quid Μνησαρχίδου nepotis nomini, quod infra memoratur, tribuendum est. Nam nepotes saepissime avorum nominibus appellatos fuisse constat.

ib. Κλειτοῦς] κλυτοῦς Ambr. Nomen recte scriptum apud reliquos biographos, Suidam s. v. Εὐριπίδης et schol. Arist. Thesm. ad v. 1. a quo Euripides Κλειτοῦς *υἱωνός* dicitur ad v. 910. quum *υἱός* dicendus esset: nisi hic librarii error est. Κλειτοῦς nominis exempla alia attuli in Thesauro vol 4. p. 1614.

τοῦς λαχανοπώλιδος, Ἀθηναῖος μὲν, ἐγεννήθη δὲ ἐν Σαλαμῖνι ἐπὶ Καλλιάδου ἄρχοντος κατὰ τὴν οε' ὀλυμπιάδα, ὅτε ἐναυμάχησαν τοῖς Πέρσαις οἱ Ἕλληνες. ἤσκησε δὲ κατ' ἀρχὰς μὲν παγκράτιον ἢ πυγμὴν, τοῦ πατρὸς αὐτοῦ χρησμὸν λαβόντος ἵνα στεφανηφόρους ἀγῶνας νικήσει. καί φασιν αὐτὸν Ἀθήνησι νικῆσαι. ἀναγνοὺς δὲ ἐπὶ τραγῳδίαν ἐτράπη, καὶ πολλοὺς προσεξεῦρε λόγους, φυσιολογίας, ῥητορείας, ἀναγνωρισμούς, ὡς δὴ ἀκουστὴς γενόμενος Ἀναξαγόρου καὶ Προδίκου καὶ Πρωταγόρου καὶ Σωκράτους ἑταῖρος. δοκεῖ δὲ αὐτῷ καὶ Σωκράτης ὁ φιλόσοφος καὶ Μνησίλοχος συμπεποιηκέναι τινὰ, ὥς φησι Τηλεκλείδης

> Μνησίλοχός ἐστ' ἐκεῖνος, ὃς φρύγει τι δρᾶμα καινὸν
> Εὐριπίδῃ, καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησιν.

1. λαχανοπόλιδος] λαχανοπωλητρίας dixit Arist. Thesm. 387. omisso Κλειτοῦς nomine. Eodem redit quod σκάνδικας vendidisse dicitur, ad quod alludit Arist. Ach. 478. Eq. 19. ubi videndae scholiastarum annotationes.

ib. Σαλαμῖνι] Phlyensium demo adscribitur apud Photium (ex eoque apud Suidam) p. 651, 21. Φλυεία (Φλυεῖς vel forma Attica Φλυῆς scribere debebat): δῆμος τῆς Κεκροπίδος. ἐκ τούτου δὲ τοῦ δήμου ἦν Εὐριπίδης ὁ τῆς τραγῳδίας ποιητής.

ib. Καλλιάδου] καλλίου Ambr. in qua scriptura codices omnes qui excerpta de Vita Euripidis continent consentire videntur. Correctum ex aliorum scriptorum locis, ab Clintono indicatis Fast. Hell. vol. 2. p. 28.

2. οε'] ἑβδομηκοστοπέμπτην Ambr. Anni notam omittunt Vindob. Havn. a.: in Havn. b. corrupte κατὰ τὴν εἰκοστὴν ὀλυμπιάδα.

3. μὲν om. Havn., proximum αὐτοῦ om. idem et Vind.

4. αὐτοῦ om. Vind. Havn.

ib. στεφανηφόρους] νικηφόρους Vind. Havn.

5. ἀναγνοὺς] ἀναγινώσκειν a Byzantinis dicuntur qui literis operam dant: de quo dixit L. Dindorfius in Thesauro vol. 1. part. 2. p. 319. collatis Io. Malalae exemplis p. 92, 12. ἔμεινεν ὁ Πάρις ἀνατρεφόμενος καὶ ἐν αὐτῷ διάγων καὶ ἀναγινώσκων. p. 352, 9. ἀνεγίνωσκεν ἔσω εἰς τὸ παλάτιον. p. 383, 6. ἐν Κωνσταντινουπόλει ἀνατραφεὶς καὶ ἀναγνούς. quibus in Praefat. ad Xenophontis Memor. ed. Oxon. addidit glossam Hesychii παραμένας (codex παραμήνας): παραναγνούς. Non intellexit Thomas M. qui in Vita Euripidis infra p. 11, 16. aliud quid substituit, ἀγχίνους δὲ ὄν, εἴπερ τις, καὶ τῷ πονεῖν ἑαυτὸν ἐκδεδακὼς εἰς τραγῳδίαν ἐτράπη.

6. προσεξεῦρε] πρειξεῦρε Ambr.

ib. λόγους—ὡς δὴ om. Vind. In Havn. est προλόγους καὶ φυσιολογίας . . . ῥητορείας γενόμενος. In λόγους cum Ambr. consentit Vat. 1345. Nauckius conjecit πολλὰ προσεξεῦρε, προλόγους—.

7. δὴ om. Vaticani tres.

8. Πρωταγόρου] πρωταγόρα Vat. Urb.

ib. ἑταῖρος. δοκεῖ δὲ αὐτῷ] ἑταῖρος δὲ δοκεῖ αὐτῷ Ambr. Correxi ex Vind. Havn.

9. ὁ φιλόσοφος om. Vind. Havn.

ib. καὶ Μνησίλοχος ex sequentibus irrepsisse videbatur Elmsleio.

10. ὥς φησι—Τιμοκράτην Ἀργεῖον omissa in Vind. et Havn.

11. Μνησίλοχος — ὑποτίθησιν] Sic

οἱ δὲ τὰ μέλη φασὶ Κηφισοφῶντα ποιεῖν ἢ Τιμοκράτην Ἀργεῖον. φασὶ δὲ αὐτὸν καὶ ζωγράφον γενέσθαι καὶ δείκνυσθαι αὐτοῦ πινάκια ἐν Μεγάροις· γενέσθαι δὲ αὐτὸν καὶ πυρφόρον τοῦ Ζωστηρίου Ἀπόλλωνος, γεννηθῆναι δὲ τῇ αὐτῇ ἡμέρᾳ καὶ Ἕλλάνικον ἐν ᾗ ἐνίκων τὴν περὶ Σαλαμῖνα ναυμαχίαν οἱ Ἕλληνες, ἄρξασθαι δὲ ἀγωνίζεσθαι

correxi quod in Ambr. est μησίλοχος δὲ ἐκεῖνος φρυγικόντι δρᾶμα καινὸν εὐριπίδῃ καὶ σακράτης ὑποτίθησιν (εὐριπίδου καὶ σακράτου τὰ φρύγανα ὑποτίθησιν Vat. 1345.) Comparanda cum his quae apud Diog. L. in initio Vitae Socratis leguntur 2, 18. Σακράτης Σωφρονίσκου μὲν ἦν υἱὸς λιθουργοῦ καὶ Φαιναρέτης μαίας, ὡς καὶ Πλάτων ἐν Θεαιτήτῳ φησίν, Ἀθηναῖος, τῶν δήμων Ἀλωπεκῆθεν. ἐοίκει δὲ συμποιεῖν Εὐριπίδῃ. ὅθεν Μνησίλοχος οὕτω φησὶ "Φρύγες ἐστὶ καινὸν δρᾶμα τοῦτ' Εὐριπίδου, ᾧ καὶ Σακράτης τὰ φρύγανα ὑποτίθησι." καὶ πάλιν "Εὐριπίδης σακρατογλάμφους." καὶ Καλλίας Πεδήταις "ἦδη σὺ σεμνὴ καταφρονεῖς (καὶ φρονεῖς Menagius) οὕτω μέγα. ἔξεστι γάρ μοι· Σακράτης γὰρ αἴτιος." Ἀριστοφάνης Νεφέλαις "Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν τὰς περιλαλούσας εἴτ' ἐστὶ τὰς σοφάς." ἀκούσας δὲ Ἀναξαγόρου etc. Quorum media ego ad Aristoph. Fragmenta p. 511. ed. Oxon. sic esse in ordinem redigenda ostendi, collata Vita Euripidis, ὅθεν Τηλεκλείδης (in Ἡσιόδου fabula, ut videtur, in qua alium quoque poetam tragicum, Philoclem, exagitatum fuisse cognovimus ex scholio lacero libri Ravennatis ad Arist. Thesm. 168.) "Μνησίλοχός ἐστ' ἐκεῖνος, ὃς φρύγει τι δρᾶμα καινὸν | Εὐριπίδῃ, καὶ Σακράτης τὰ φρύγαν' ὑποτίθησι." καὶ πάλιν "Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν | τὰς σακρατογλάμφους οὗτός ἐστι, τὰς σοφάς." καὶ Καλλίας Πεδήταις (in qua comoedia Callias plures tragicos in scenam produxisse videtur: v. schol. Arist. Av. 31. 151.) "Α. τί δῆτα σὺ σεμνὴ καὶ φρονεῖς οὕτω μέγα; | Β. ἔξεστι γάρ μοι· Σακράτης γὰρ αἴτιος." Videntur autem omnia illa "ἐοίκει δὲ συμποιεῖν—τὰς σοφάς," quae loco parum apto illata sunt, non Diogenis esse, sed interpolatoris, qui ea margini adscripsit, ex Vita Euripidis sumta, qua integriore usus est quam nunc in codice Ambrosiano legitur. De quo monuit L. Dindorfius in Praefat. ad Xenoph. Memor. p. xix. ed. Oxon. Lemma Ἀριστοφάνης Νεφέλαις ex § 20. huc illatum esse conjecit Roeperus in Schneidewini Philologo vol. 3. p. 51.

1. οἱ δὲ τὰ μέλη—] Hic incipit codex Paris. bibliothecae S. Genovevae, ex quo haec edidit I. P. Rossignolius in *Journal des Savans* 1832. p. 240—244.

ib. φασὶ Κηφισοφῶντα] φασὶν ἰσοφῶντα Ambr. Correxit Welckerus in Museo Rhen. (a. 1833.) vol. 1. p. 300. collatis quae infra ex codice Paris. sumta leguntur, ubi nomen in σισοφῶντα est corruptum.

2. αὐτὸν] τινὲς τὸν εὐριπίδην Urb. et omisso τινὲς Vind. Havn.

ib. γενέσθαι] γεγονέναι iidem tres codices.

ib. πινάκια] πίνακα Vind. πινάκιον Havn.

3. γενέσθαι—Ἕλληνες om. Vind. Havn. Multo plura (καὶ δείκνυσθαι—ἐσχηκέναι, γυναῖκα) om. Urb.

4. καὶ Ἑλλάνικον (ἑλλανικὸν Ambr.) ex margine illata esse conjecit Welckerus.

5. ἀγωνίζεσθαι] ἀγωνίσασθαι Vat.

γενόμενον ἐτῶν κϛ'. μετέστη δὲ ἐν Μαγνησίᾳ καὶ προξενίᾳ ἐτιμήθη καὶ ἀτελείᾳ. ἐκεῖθεν δὲ εἰς Μακεδονίαν περὶ Ἀρχέλαον γενόμενος διέτριψε καὶ χαριζόμενος αὐτῷ δρᾶμα ὁμωνύμως ἔγραψε, καὶ μάλα ἔπραττε παρ' αὐτῷ, ὅτε καὶ ἐπὶ τῶν διοικήσεων ἐγένετο. ἐλέγετο δὲ καὶ βαθὺν πώγωνα θρέψαι καὶ ἐπὶ τῆς ὄψεως φακοὺς ἐσχηκέναι, γυναῖκα δὲ γῆμαι πρώτην Μελιτὼ, δευτέραν δὲ Χοιρίλην. καὶ υἱοὺς κατέλιπε τρεῖς, Μνησαρχίδην πρεσβύτερον, ἔμπορον, δεύτερον δὲ Μνησίλοχον, ὑποκριτὴν, νεώτερον δὲ Εὐριπίδην, ὃς ἐδίδαξε τοῦ πατρὸς ἔνια δράματα. ἤρξατο δὲ διδάσκειν ἐπὶ Καλλίου ἄρχοντος κατὰ ὀλυμπιάδα πα' ἔτει α', πρῶτον δὲ ἐδίδαξε τὰς Πελιάδας, ὅτε καὶ τρίτος ἐγένετο. τὰ πάντα δ' ἦν αὐτῷ δράματα ϟβ', σώζεται δὲ οϛ'. τούτων νοθεύεται τρία, Τέννης, Ῥαδάμανθυς, Πειρίθους. ἐτελεύτησε δὲ, ὥς φησι Φιλόχορος, ὑπὲρ τὰ ο' ἔτη γεγονώς, ὡς δὲ Ἐρατοσθένης, οε', καὶ ἐν Μακεδονίᾳ ἐτάφη. κενοτάφιον δὲ αὐτοῦ ἐν

1. κϛ'] εἰκοσιἑξ Ambr. πέντε καὶ εἴκοσι infra ap. Thomam M.

ib. μετέστη—διοικήσεων ἐγένετο om. Vind. Havn.

ib. Μαγνησίᾳ Elmsl. μαγνησίῳ Ambr.

ib. προξενίᾳ Elmsl. προξένῳ Ambr. Paris. Vat.

2. ἀτελείᾳ] ἀτελίᾳ Ambr.

ib. δὲ om. Vat.

ib. Μακεδονίαν] μακεδόνα Vat.

3. μάλα] Neque εὖ, λαμπρῶς vel simile quid excidit, quod opinabatur Elmsleius, neque μάλα in μεγάλα mutandum, quod aliis placuit.

6. γυναῖκα] γυναῖκας Havn.

ib. πρώτην—δευτέραν] πρῶτον—δεύτερον Havn.

ib. δευτέραν δὲ] δὲ om. Havn. Urb.

ib. Χοιρίλην] χοιρίλλην Havn. χοιρίλλαν Vind. χοιρίλλου Urb. χοιρίνην Vat. Χοιρίνη ap. schol. Arist. Thesm. init. et alibi. Videnda de hoc nomine quae ex Philochoro attulit schol. Hecubae v. 1.

7. Μνησαρχίδην] μνησταρχίδην Ambr. Correctum ex aliis.

ib. πρεσβύτερον] μὲν πρεσβύτερον Vind. Havn. μὲν πρῶτον Vat. Par. Probabilius πρεσβύτατον Kirchhoffius, ut νεώτατον pro νεώτερον Nauckius.

8. ὃς ἐδίδαξε] οἳ ἐδίδαξαν Vind. Havn. et Pal.

9. ἤρξατο — ἐγένετο om. Vind. Havn. Pal. Urb.

10. κατὰ om. Ambr. Vat.: habet Par.

ib. ἔτει α' huc transposuit Elmsl.: in Ambr. post πελειάδας (nam sic codex: πλειάδας Paris.). Πελιάδας est in Vat.

11. αὐτῷ] αὐτοῦ Havn. In Pal. est τὰ . . αὐ . . δράματα πάντα ἐνενήκοντα καὶ ὀκτὼ ὡς φανερόν.

ib. σώζεται—Πειρίθους om. Urb.

12. οϛ'] οκ Vind. οζ Suidas.

ib. τούτων] καὶ τούτων Pal. Havn.

ib. νοθεύεται] νοθεύονται Vat.

ib. Τέννης—Πειρίθους om. Pal. Vind. Havn.

ib. Τέννης Elmsl. γέννης Ambr. et Par.

13. ὡς om. Ambr.: habent reliqui.

ib. ο'] ἑβδομήκοντα Ambr.

14. καὶ ἐν Μακεδονίᾳ ἐτάφη] καὶ ἐτάφη ἐν μακεδονίᾳ Vat. Pal. Urb. ἐτάφη δὲ ἐν μακεδονίᾳ Havn.

Ἀθήνησιν ἐγένετο, καὶ ἐπίγραμμα ἐπεγέγραπτο Θουκυδίδου τοῦ ἱστοριογράφου ποιήσαντος ἢ Τιμοθέου τοῦ μελοποιοῦ·

μνῆμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
γῆ Μακεδών· τῇ γὰρ δέξατο τέρμα βίου.
πατρὶς δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι. πλείστα δὲ Μούσας
τέρψας ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

Φασὶ δὲ καὶ κεραυνωθῆναι ἀμφότερα μνημεῖα. λέγουσι δὲ καὶ Σοφοκλέα, ἀκούσαντα ὅτι ἐτελεύτησε, αὐτὸν μὲν ἱματίῳ φαιῷ προελθεῖν, τὸν δὲ χορὸν καὶ τοὺς ὑποκριτὰς ἀστεφανώτους εἰσαγαγεῖν ἐν τῷ προαγῶνι καὶ δακρῦσαι τὸν δῆμον. ἐτελεύτησε δὲ τὸν τρόπον τοῦτον. ἐν τῇ Μακεδονίᾳ κώμη ἐστὶ καλουμένη Θρακῶν διὰ τό ποτε κατῳκηκέναι ἐνταῦθα Θρᾷκας. ἐν ταύτῃ ποτὲ τοῦ Ἀρχελάου Μο-

1. ἐπίγραμμα] δὲ add. Vat.

ib. ἐπεγέγραπτο Par. γέγραπτο Ambr.Vat. αὐτῷ ἐπιγέγραπται Vind. Havn. Urb. Epigramma Θουκυδίδου nomine inscriptum legitur Anth. Pal. 7, 45. inepte illata forma Dorica μνᾶμα.

4. Μακεδὼν] μακεδόνων libri. Correctum ex Anthol.

ib. τῇ γὰρ δέξατο] ᾗπερ (vel ἤπερ) ἐδέξατο Ambr. et, nisi quod δέξατο, Pal. Vind. ἤπερ δέξατο Urb. Havn. ᾗ ποὖπερ δέξατο Par. Vat. Correctum ex Anthol. ubi ἥ (ᾗ editores) γὰρ δέξατο, quod τῇ—scribendum esse monuit Meinekius.

ib. τέρμα βίου Vind. Havn. Anthol. τὸ τέρμα τοῦ βίου Ambr. et, omisso τὸ, Vat. Par.

5. πατρὶς Vind. et Anth. πατέρες Ambr. πάτρη Par. πάτη Vat. πάτρα Havn.

ib. Ἑλλὰς om. Ambr. Vind. Havn. Urb.

ib. πλεῖστα δὲ Μούσας (Μούσαις Anth.) τέρψας] πολλὰ δὲ γράψας μούσαις Par. Vat.

6. πολλῶν] πλείστων Par.

ib. ἔχει] ἔχειν Ambr. qui hic desinit. Reliquam hujus Vitae partem, ab alio adjectam grammatico, qui tempore et doctrina inferior fuit priore ex cod. Paris. edidit Rossignolius. Est etiam in Havn. et Vat. 1345. In Vat. titulus περὶ τῆς τελευτῆς εὐριπίδου.

8. φαιῷ] ἤτοι πορφυρῷ scholion in marg. habet Vat., in textu Par.

10. προαγῶνι] προγῶνι Vat. ἀγῶνι Rossignolius.

ib. ἐτελεύτησε—] Hic usque ad κυνὸς δίκη p. 6, 14. in Havn. praemissa quae supra p. 1.—2, 3. leguntur εὐριπίδης υἱὸς μὲν ἐγένετο—τοῖς πέρσαις οἱ ἕλληνες verbis leviter mutatis. Sic etiam codex Venetus 515. et Vat. 1363. apud Kirchhoffium. In Urb. haec leguntur post ἀναθεῖναι p. 9, 4.

ib. τὸν τρόπον τοῦτον] τοιουτοτρόπως Havn. Ven. 515. et Vat. 1363. In Urb. est φασὶ δὲ τοῦτον τελευτῆσαι τὸν τρόπον τὸν εὐριπίδην.

11. ἐστὶ] δέ ἐστι Havn. Vat. 1363.

ib. Θρακῶν] θράκις Havn. b. (i. e. Θρᾷκις, ut Rossignolius conjecerat). Βορμίσκον memorat Steph. Byz. Βορμίσκος· χωρίον Μακεδονίας, ἐν ᾧ κυνοσπάρακτος γέγονεν Εὐριπίδης.

ib. ποτε om. Havn.

12. ἐνταῦθα Vat. ἐν ταύτῃ Par. αὐτόθι Havn. Ven. 515. Vat. 1363.

ib. ἐν ταύτῃ ποτὲ] εἰς ταύτην ποτὲ Urb.

λοττικὴ κύων ἦλθεν ἀποπλανηθεῖσα. ταύτην Θρᾷκες, ὡς ἔθος, θύσαντες ἔφαγον. καὶ δὴ ὁ Ἀρχέλαος ἐζημίωσεν αὐτοὺς ταλάντῳ. ἐπεὶ οὖν οὐκ εἶχον, Εὐριπίδου ἐδεήθησαν ἀπολύσεως τυχεῖν, δεηθέντος τοῦ βασιλέως. χρόνῳ δὲ ὕστερον Εὐριπίδου ἐν ἄλσει τινὶ πρὸ τῆς πόλεως ἠρεμοῦντος, Ἀρχελάου δὲ ἐπὶ κυνηγέσιον ἐξελθόντος, τῶν σκυλάκων ἀπολυθέντων ὑπὸ τῶν κυνηγῶν καὶ περιτυχόντων Εὐριπίδῃ, διεσπαράχθη καταβρωθεὶς ὁ ποιητής. ἦσαν δὲ ἔκγονοι οἱ σκύλακες τῆς ὑπὸ Θρᾳκῶν ἀναιρεθείσης κυνός, ὅθεν καὶ ἡ παροιμία ἐστὶ παρὰ τοῖς Μακεδόσι, κυνὸς δίκη. ἔσκωπτε δὲ τὰς γυναῖκας διὰ ποιημάτων δι' αἰτίαν τοιαύτην. εἶχεν οἰκογενὲς μειράκιον ὀνόματι Κηφισοφῶντα. πρὸς τοῦτον ἐφώρασε τὴν οἰκείαν γυναῖκα ἀκτενῶς ἔχουσαν. τὸ μὲν οὖν πρῶτον ἀπέτρεπεν ἁμαρτάνειν· ἐπεὶ δ' οὐκ ἔπειθε, κατέλιπεν αὐτῷ τὴν γυναῖκα, βουλομένου αὐτὴν ἔχειν τοῦ Κηφισοφῶντος. λέγει οὖν καὶ ὁ Ἀριστοφάνης

Κηφισοφῶν ἄριστε καὶ μελάντατε,
σὺ δὴ συνέζης ὡς τὰ πόλλ' Εὐριπίδῃ

1. κύων] αὐτόμολος κύων Urb. αὐτόμολος ἡ κύων Ven. 515.
ib. ταύτην] δὲ addit Havn. Ven. 515. Vat. 1363.
2. ἐζημίωσεν αὐτοὺς ταλάντῳ Vat. Par. ἐζημίωσεν αὐτοὺς ταλάντου Havn. ἐζημίωσεν αὐτοῖς τάλαντον Vat. 1363. ζημίαν ἐπήγαγεν αὐτοῖς ταλάντου Urb. Ven. 515.
3. εἶχον] δοῦναι addit Ven. 515.
ib. Εὐριπίδου—ἀπολύσεως] εὐριπίδου (εὐριπίδην Havn.) ἐδεήθησαν τυχεῖν ἀπολύσεως Havn. Urb. Ven. 515. Vat. 1363.
ib. δεηθέντος] δεηθέντα Havn.
4. Εὐριπίδου—ἠρεμοῦντος Par. εὐριπίδης—ἠρέμει ceteri.
5. κυνηγέσιον] τὸ κυνηγέσιον Urb. Vat. 1363. κυνηγεσίου Havn.
ib. ἐξελθόντος] ἐλθόντος Havn. Ven. 515. Vat. 1363.
ib. τῶν] καὶ τῶν Urb.
6. ἀπολυθέντων ὑπὸ τῶν κυνηγῶν καὶ om. Havn. Urb. Ven. 515. Vat. 1363.
ib. περιτυχόντων] ἐπιτυχόντων Havn. Ven. 515. Vat. 1363.
ib. Εὐριπίδῃ] εὐριπίδου Ven. 515. Vat. 1363.
7. διεσπαράχθη] διεταράχθη Vat. ἐσπαράχθη Havn. Urb. Ven. 515. Vat. 1363.
ib. ὁ ποιητής om. Urb., sed addit καὶ ἀπέθανεν.
ib. ἔκγονοι om. Havn. Ven. 515. Vat. 1363.
8. ἡ om. iidem et Urb.
ib. ἐστὶ] ἐπὶ Havn. Par. ἔτι Rossignolius.
ib. παρὰ τοῖς M.] ἐν μ. Urb. τοῖς μ. Havn. Ven. 515, Vat. 1363.
10. Κηφισοφῶντα] κισιφῶντα P. hic et infra κισιφῶντος et κισιφῶν.
14. Ἀριστοφάνης] In Gerytade fabula, ut videtur: de quo dixi ad Fragm. p. 594.
15. μελάντατε] ταλάντατε Seidlerus, parum probabiliter, ut ostendi l. c. p. 595.
16. δὴ συνέζης] δὲ συνέζης Par. Illud malui quam δὲ ξυνέζης.
ib. ὡς Fixius pro εἰς.
ib. Εὐριπίδῃ Rossignolius pro εὐριπίδου.

καὶ συνεποίεις ὡς φησὶ καὶ τὴν μελῳδίαν.

λέγουσι δὲ καὶ ὅτι αἱ γυναῖκες διὰ τοὺς ψόγους, οὓς ἐποίει εἰς αὐτὰς διὰ τῶν ποιημάτων, τοῖς θεσμοφορίοις ἐπέστησαν αὐτῷ βουλόμεναι ἀνελεῖν, ἐφείσαντο δ' αὐτοῦ πρῶτον μὲν διὰ τὰς Μούσας, ἔπειτα δὲ βεβαιωσαμένου μηκέτι αὐτὰς κακῶς ἐρεῖν. ἐν γοῦν τῇ Μελανίππῃ περὶ αὐτῶν τάδε φησὶ

μάτην ἄρ' ἐς γυναῖκας ἐξ ἀνδρῶν ψόγος
ψάλλει κενὸν τόξευμα καὶ κακᾶς λέγει·
αἱ δ' εἶσ' ἀμείνους ἀρσένων, ἐγὼ λέγω

καὶ τὰ ἑξῆς. οὕτω δ' αὐτὸν Φιλήμων ἠγάπησεν ὡς τολμῆσαι περὶ αὐτοῦ θανόντος εἰπεῖν

εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
αἴσθησιν εἶχον, ἄνδρες ὥς φασίν τινες,
ἀπηγξάμην ἄν, ὥστ' ἰδεῖν Εὐριπίδην.

1. ὡς φησὶ καὶ τὴν] ὡς φασι, τὴν Rossignolius parum apte. ὃ φθισικὲ, τὴν Nauckius, conjectura ingeniosa, quam certam dicerem, si de usu adjectivi, *φθισικὸς* apud Atticos veteres constaret.

2. *αἱ* addidit Kirchhoffius.

3. τοῖς θεσμοφορίοις] Haec ex Aristophanis Thesmophor. ficta: ubi vide v. 181 seqq.

ib. διὰ τὰς μούσας Vat. Urb. δι' αὐτὰς μούσας Par.

5. αὐτὰς Meinekius. αὐταῖς Par.

ib Μελανίππῃ scripsi pro μεναλίππῃ, quod etiam alibi ab librariis illatum.

7. ἐς] εἰς Par.

9. εἶσ' Rossignolius pro εἰς.

ib. ἐγὼ] ἦ 'γὼ Nauckius, collato Soph. El. 338.

11. θανόντος Rossignolius pro τοῦ ὄντος.

14. Post Εὐριπίδην Par. et Vatic. 1345. addunt haec loco prorsus alieno illata, περὶ τραγῳδίας ἔνιοι ταῦτά φασι, τοῖς πρῶτον νικήσασι τράγα δοθῆναι κατ' ἀρχὰς ἆθλον καὶ ἀπὸ τούτου κληθῆναι τραγῳδίας (τραγ. Par.). τράγα δὲ ἐκάλουν οἱ παλαιοὶ τὸν νέον οἶνον. ἦν δὲ τὸ (τὸ om. Par.) ὄνομα κοινὸν καὶ πρὸς τὴν τραγῳδίαν καὶ πρὸς τὴν (τὴν om. Par.) κωμῳδίαν, ἐπεὶ οὔπω διεκέκριτο τὰ τῆς ποιήσεως ἑκάτερα. ἔνιοι δὲ οὐ τρυγῳδίας ἀπὸ τῆς τρυγός, ἀλλὰ τραγῳδίαν ὠνομάσθαι λέγουσι τράγος καὶ (scribe τράγος γὰρ, vel ἐπειδὴ τράγος, deleto καὶ) ὡρίσθη τοῖς νικήσασιν. ἕτερον δὲ τὸ μὲν κοινὸν ὄνομα μόνη ἔσχεν ἡ τραγῳδία, ἡ δὲ κωμῳδία (κωμῳδία δὲ Par., omissis praecedentibus ἔνιοι δὲ οὐ—ἔσχεν ἡ τραγῳδία) ὠνομάσθη, ἐπειδὴ πρότερον κατὰ κώμας ἔλεγον αὐτὴν ἐν ταῖς ἑορταῖς τοῦ Διὸς καὶ τῆς Δήμητρος ἢ ἀπὸ τοῦ κωμάζειν.

II.

Φασὶ δ' αὐτὸν ἐν Σαλαμῖνι σπήλαιον κατασκευάσαντα ἀναπυὴν ἔχον εἰς τὴν θάλασσαν ἐκεῖσε διημερεύειν φεύγοντα τὸν ὄχλον· ὅθεν καὶ ἐκ θαλάσσης λαμβάνει τὰς πλείστας τῶν ὑμιώσεων. σκυθρωπὸς δὲ καὶ σύννους καὶ αὐστηρὸς ἐφαίνετο καὶ μισόγελως καὶ μισογύνης, καθὰ καὶ Ἀριστοφάνης αὐτὸν αἰτιᾶται, "στρυφνὸς ἔμοιγε προσειπεῖν Εὐριπίδης." λέγουσι δὲ αὐτὸν γήμαντα τὴν Μνησιλόχου θυγατέρα Χοιρίλην καὶ νοήσαντα τὴν ἀκολασίαν αὐτῆς γράψαι πρῶτον δρᾶμα τὸν Ἱππόλυτον, ἐν ᾧ τὴν ἀναισχυντίαν ἐθριάμβευε τῶν γυναικῶν, ἔπειτα δὲ αὐτὴν ἀποπέμψασθαι. λέγοντος δὲ τοῦ γήμαντος αὐτὴν "σωφρονεῖ παρ' ἐμοί," "δύστηνος εἶ" ἔφη "εἰ γυναῖκα δοκεῖς παρ' ᾧ μὲν αὐτὴν σωφρονεῖν, παρ' ᾧ δὲ μή." ἐπιγῆμαι δὲ αὐτὸν δευτέραν, ἣν εὑρὼν ἀκολαστοτέραν προχειροτέρως εἰς τὴν κατὰ τῶν γυναικῶν βλασφημίαν ἐθρασύνετο. αἱ δὲ γυναῖκες ἐβουλήθησαν αὐτὸν κτεῖναι εἰσελθοῦσαι εἰς τὸ σπήλαιον, ἐν ᾧ γράφων διετέλει. διαβάλλεται δὲ ὑπὸ φθόνου ὡς τὸν Κηφισοφῶντα εἶχε συμποιοῦντα αὐτῷ τὰς τραγῳδίας. λέγει δὲ καὶ Ἕρμιππος Διονύσιον τὸν Σικε-

2. Haec usque ad finem hujus excerpti sunt in Vind. et Havn. φασὶ δ' αὐτὸν usque ad στόμα (p. 9, 8.) om. Vat. et Par.

ib. Φασὶ] Conf. Philochorus ap. Gellium 15, 20.

ib. κατασκευάσαντα] ἀνασκευάσαντα Vind.

3. ἐκεῖσε διημερεύειν φεύγοντα] ἐκεῖ διημερεύοντα φεύγειν Urb.

4. τὰς πλείστας] τοὺς (voluit τὰς, ut Urb.) πλείους Havn.

5. δὲ καὶ] δὲ ἦ Havn.

ib. ἐφαίνετο] κατεφαίνετο Urb.

ib. μισογύνης om. Urb. In ἰσογροίης corruptum in Havn.

6. Ἀριστοφάνης] Immo Alexander Aetolus, cujus versum integrum (ὁ δ' Ἀναξαγόρου τρίφιλμος χαιοῦ στρυφνὸς μὲν ἔμοιγε προσειπεῖν) cum duobus versibus proximis servavit Gellius 15, 20: de quibus dixit Meinekius in Anal. Alex. p. 247.

ib. αὐτὸν om. Havn.

7. λέγουσι] φασὶ Urb.

8. Χοιρίλην] χοιρίλλην Havn. χοιρίλλην Vind. χοιρίλλου Urb.

ib. πρῶτον (πρώταν Havn.) δρᾶμα] τὸ δρᾶμα πρὸς Vind. In Urb. γράψαι πρότερον τὸ δρᾶμα τὸν Ἱππόλυτον. Urb. Recte habet πρῶτον, cui respondet ἔπειτα δέ.

9. ἐθριάμβευε] ἐθριάβευε Havn. ἐθριαβεύει Urb. θριαμβεύει Vind.

10. αὐτὴν om. Vind.

ib. ἀποπέμψασθαι] ἀποπέμπεσθαι Vind.

ib. λέγοντος—διετέλει om. Urb.

11. σωφρονεῖ] σωφρονεῖν Vind. Havn. Ficta autem haec ex Eurip. El. 923. ut vidit Nauckius, ubi legitur, δύστηνός ἐστιν, εἰ δοκεῖ τὸ σωφρονεῖν ἐκεῖ μὲν αὐτὴν οὐκ ἔχειν, παρ' οἷ δ' ἔχειν.

16. συμποιοῦνται] συμποιοῦνταHavn.

17. λέγει—τὸν] λέγουσι δὲ καὶ Ἕρμιππον τὸν Vind. Urb.

λίας τύραννον μετὰ τὴν τελευτὴν τοῦ Εὐριπίδου τάλαντον τοῖς κληρονόμοις αὐτοῦ πέμψαντα λαβεῖν τὸ ψαλτήριον καὶ τὴν δέλτον καὶ τὸ γραφεῖον, ἅπερ ἰδόντα κελεῦσαι τοὺς φέροντας ἐν τῷ Μουσῶν ἱερῷ ἀναθεῖναι, ἐπιγράψαντα τοῖς αὐτοῦ Εὐριπίδου ὀνόμασιν. διὸ καὶ ξενοφιλώτατον κεκλῆσθαί φησι διὰ τὸ μάλιστα ὑπὸ ξένων φιλεῖ- 5
σθαι· ὑπὸ γὰρ Ἀθηναίων ἐφθονεῖτο. μειρακίου δέ τινος ἀπαιδευτοτέρου στόμα δυσῶδες ἔχειν ὑπὸ φθόνου αὐτὸν εἰπόντος "εὐφήμει" ἔφη "μέλιτος καὶ Σειρήνων γλυκύτερον στόμα." ἔσκωπτε δὲ τὰς γυναῖκας διὰ τῶν ποιημάτων δι' αἰτίαν τοιάνδε. εἶχεν οἰκογενὲς μειράκιον 10
ὀνόματι Κηφισοφῶντα. πρὸς τοῦτον ἐφώρα τὴν ἰδίαν γυναῖκα ἀτακτοῦσαν· καὶ τὸ μὲν πρῶτον ἀπέτρεπεν ἁμαρτάνειν, ἐπεὶ δ' οὐκ ἔπειθε, κατέλιπεν αὐτῷ τὴν γυναῖκα, βουλομένου αὐτὴν ἔχειν τοῦ Κηφισοφῶντος. οὕτω δ' αὐτὸν Φιλήμων ἠγάπησεν ὡς καὶ τάδε περὶ αὐτοῦ τολμῆσαι εἰπεῖν

1. τοῦ om. Urb.
ib. τάλαντον] τάλαντα Vind. Urb.
2. αὐτοῦ om. Havn.
ib. πέμψαντα] ἐκπέμψαντα Havn.
ib. τὸ ψαλτήριον om. Vind. spatio relicto.
ib. τὴν δέλτον] Similem de Aeschyli pugillaribus (πυξίῳ) narrationem apud Lucian. Adv. indoctum c. 15. comparavit Westermannus: de quo v. Meinek. Hist. com. p. 362.
3. ἰδόντα] ἰδὼν Havn.
ib. τοὺς om. Havn. Urb.
ib. Μουσῶν] τῶν Μουσῶν Westerm.
4. ἐπιγράψαντα] ἐπιγράψαι Vind.
ib. Εὐριπίδου] καὶ Εὐριπίδου Kirchh.
ib. διὸ—στόμα om. Urb.
5. φησι] φασι Havn.
6. ἐφθονεῖτο] φθονεῖται Vind.
ib. ἀπαιδευτοτέρου] ἀπαιδεύτου Vind.
7. δυσῶδες ἔχειν] δυσωδεῖν Vind.
ib. εὐφήμει] ἡ φήμη Vind.
8. Σειρήνων γλυκύτερον] σειρῆνος γλυκὺ Vind.
ib. στόμα] Sequuntur in Urb. ἐτελεύτησε—κυνὸς δίκη (quae supra leguntur p. 5, 10. — 6, 9. post quae sic pergit, ἐν τοῖς ποιήμασι δὲ αὐτοῦ ὡς εἴρηται, τὰς γυναῖκας ἔσκωπτε διὰ τὸ πεφωρᾶσθαι τὸν Κηφισοφῶντα (κισιφῶντα a m. pr., κιφησοφῶντα a m. sec.), οἰκογενῆ ὄντα συνελθεῖν τῇ οἰκείᾳ γυναικί· αἳ τὰ σκώμματα μὴ φέρουσαι ἀνελεῖν αὐτὸν ἔγνωσαν. ἔπειτα ἐφείσαντο αὐτοῦ πρῶτα μὲν διὰ τὰς Μούσας, ἔπειτα δὲ διὰ τὸ συνθέσθαι (sic Kirchhoffius pro σὸν θέσθαι) μηκέτι αὐταῖς πεφωρᾶσθαι κακῶς ἐρεῖν-
τα. ἐν τοῖς ἀμοιβαίοις φασὶ περιττὸν καὶ φορτικὸν (codex φορτίον) εἶναι, ἐν τοῖς προλόγοις ὀχληρόν, ῥητορικώτατον τῇ κατασκευῇ καὶ ποικίλον τῇ φράσει καὶ ἱκανὸν ἀνασκευάσαι τὰ εἰρημένα. Cum postremis ἐν τοῖς ἀμοιβαίοις—εἰρημένα comparanda quae ex codice Vaticano 1345. infra posuimus sub III.
8.—p. 10, 4. Eadem fere, aliis interpositis, supra p. 6, 9.—7, 14.
10. Κηφισοφῶντα] κισσιφῶντα Vat. et infra κισσιφῶντος. κτησιφῶντα hic et infra κτησιφῶντος Vind.
ib. τοῦτον] τούτῳ Havn.
ib. ἐφώρασε] ἐφώρα Vind. Havn.
ib. ἰδίαν om. Havn.
12. αὐτῷ] αὐτὸς Havn.
13. Φιλήμων] καὶ φιλήμων Havn.
ib. καὶ—εἰπεῖν] τολμήσαντα αὐτὸν τοῦτο Havn., omissis reliquis εἰ ταῖς

εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
αἴσθησιν εἶχεν, ἄνδρες ὥς φασίν τινες,
ἀπηγξάμην ἄν, ὥστ' ἰδεῖν Εὐριπίδην.

οὕτως ἠγοῦντο πολλοῦ τινος ἄξιον.

III.

Εὐριπίδης Μνησαρχίδου Ἀθηναῖος.

Τοῦτον οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ ὡς λαχανοπώλιδος κωμῳδοῦσι. γενέσθαι δὲ κατ' ἀρχὰς μὲν αὐτόν φασι ζωγράφον, σχολάσαντα δὲ Ἀρχελάῳ τῷ φυσικῷ καὶ Ἀναξαγόρᾳ ἐπὶ τραγῳδίαν ὁρμῆσαι. ὅθεν καὶ πλέον τι φρενήσας εἰκότως περιίστατο τῶν πολλῶν εὐδεμίαν φιλοτιμίαν περὶ τὰ θέατρα ποιούμενος. διὸ τοσοῦτον αὐτὸν ἔβλαπτε τοῦτο ὅσον ὠφέλει τὸν Σοφοκλέα. ἐπέκειντο δὲ καὶ οἱ κωμικοὶ φθόνῳ αὐτὸν διασύροντες. ὑπεριδὼν δὲ πάντα εἰς Μακεδονίαν ἀπῆρε πρὸς Ἀρχέλαον τὸν βασιλέα, κἀνταῦθα ὀψιαίτερον ἀναλύων ὑπὸ βασιλικῶν ἐφθάρη κυνῶν. ἤρξατο δὲ διδάσκειν κατὰ τὴν πα' ὀλυμπιάδα ἐπὶ ἄρχοντος Καλλίου. πλάσματι δὲ μέσῳ χρησάμενος περιγέγονε τῇ ἑρμηνείᾳ ἄκρως εἰς ἀμφότερον χρώμενος ταῖς ἐπιχειρήσεσι. καὶ τοῖς μέλεσίν ἐστιν ἀμίμητος παραγκωνιζόμενος τοὺς μελοποιοὺς σχεδὸν πάντας, ἐν δὲ τοῖς ἀμοιβαίοις περισσὸς καὶ

—ἄξιον. In Vat. est ὡς τολμῆσαι περὶ αὐτοῦ τοιοῦτον εἰπεῖν, in Vind. ὡς καὶ τάδε περὶ αὐτοῦ τολμῆσαι εἰπεῖν, ut est ap. Thomam M.

1. ἀληθείαισιν] ἀληθείησιν Vat.

4. οὕτως—ἄξιον] Haec omissa supra post p. 7, 14. in Vat. Par. et Havn.: habent Vind. et Thomas M.

6. Εὐριπίδης—] Hoc excerptum ex cod. Vat. 1345. chartaceo, qui olim Fulvii Ursini fuit, primum edidit Kirchhoffius. Legitur autem in codice supra p. 5, 6. inter ἔχει et φασί loco alieno illatum.

ib. Μνησαρχίδου Kirchh. μνησαρχίδης Vat.

8. κωμῳδοῦσι Kirchh. ἐκωμῳδοῦσι Vat. quasi ἐκωμῳδοῦσι vel, quod Nauckius conjecit, ἐκκωμῳδοῦσι scribere voluerit librarius.

9. τῷ addidit Kirchh.

ib. τραγῳδίαν Kirchh. τραγωδίας Vat.

11. τοσοῦτον Nauckius. τοῦτον Vat.

13. φθόνῳ Kirchh. φόνω Vat.

ib. πάντα] πάντας Kirchh.

14. Μακεδονίαν Kirchh. μακεδόνα Vat.

16. μέσῳ—τῇ ἑρμηνείᾳ Meinekius. μέσον—τῆς ἑρμηνείας Vat.

19. ἐν δὲ τοῖς ἀμοιβαίοις—εἰρημένα] Eadem fere leguntur in alio alius codicis excerpto quod attulimus ad p. 9, 8.

φορτικὸς, καὶ ἐν τοῖς προλόγοις δὲ ὀχληρὸς, ῥητορικώτατος δὲ τῇ κατασκευῇ καὶ ποικίλος τῇ φράσει καὶ ἱκανὸς ἀνασκευάσαι τὰ εἰρημένα. τὰ πάντα δ' ἦν αὐτῷ δράματα ιϛ'. σώζεται δὲ αὐτοῦ δράματα ξζ', καὶ γ' πρὸς τούτοις τὰ ἀντιλεγόμενα, σατυρικὰ δὲ ἡ'. ἀντιλέγεται δὲ καὶ τούτων τὸ α'. νίκας δὲ ἔσχε ε'.

IV.

Θωμᾶ τοῦ Μαγίστρου σύνοψις τοῦ βίου τοῦ Εὐριπίδου.

Εὐριπίδῃ τῷ ποιητῇ πατρὶς μὲν Ἀθῆναι, πατέρες δὲ Μνήσαρχος κάπηλος καὶ Κλειτὼ λαχανόπωλις. γεννηθεὶς δὲ ἐν Σαλαμῖνι τῇ πρὸ τῆς Ἀττικῆς νήσῳ ἐπὶ Καλλιάδου ἄρχοντος κατὰ τὴν οε' ὀλυμπιάδα, ὅτε καὶ τὸ τοῦ Ξέρξου ναυτικὸν κατεναυμάχησαν Ἀθηναῖοι, πρῶτον μὲν ἤσκησε παγκράτιον καὶ πυγμὴν, τοῦ πατρὸς αὐτῷ χρησμὸν λαβόντος ὅτι στεφανηφόρους ἀγῶνας ὁ παῖς αὐτῷ νικήσει. ὃ δὴ καὶ εἰς ἔργον προύβη· ἐνίκησε γὰρ ταῦτα Ἀθήνησιν. ἔπειτα εἰς λόγους ὡρμηκὼς ἐφοίτησε παρὰ Ἀναξαγόρᾳ καὶ Πρωδίκῳ καί τισιν ἄλλοις. ἀγχίνους δὲ ἦν, εἴπερ τις, καὶ τῷ πονεῖν ἑαυτὸν ἐκδεδωκὼς εἰς τραγῳδίαν ἐτράπη καὶ ἔλαμψεν ἐπὶ ταύτῃ σεμνῶς· πολλὰ γὰρ

4. τούτοις Kirchh. τούτους Vat.

5. ἀντιλέγεται Kirchh. ἀντιλέγει Vat.

ib. ε' Kirchh. ιε Vat.

7. Θωμᾶ] Hanc Vitam, quam Thomas Magister ex antiquiorum grammaticorum, quae supra proposuimus, excerptis composuit suisque additamentis exornavit, primum edidit Aldus. Ego codice Parisino 2713. (P.) usus sum, a quo leviter tantum discrepat Monacensis 560. chartaceus seculi sexti decimi, quem memoravi ubi operae pretium erat.

ib. Θωμᾶ—Εὐριπίδου] σύνοψις τοῦ τε βίου τοῦ ποιητοῦ καὶ τῆς τοῦ δράματος (i. e. Hecubae) ὑποθέσεως B. fol. 3 b. et Ald. in quibus haec cum Hecubae ὑποθέσει sunt conjuncta.

8. πατρὶς μὲν Ἀθῆναι] γένος μὲν ἀθηναῖος B.

10. Καλλιάδου] καλλίου B. Ald. Correxi cum Meursio, etsi non librarii esse error videtur, sed ipsius Thomae, qui scripturam vitiosam in codice suo invenerat, ut est in Ambrosiano, de quo supra dicebam ad p. 2, 1.

ib. οε'] πέμπτην καὶ ἑβδομηκοστὴν B. Ald.

11. κατεναυμάχησαν] κατεναυμαχήσθησαν (sic) B.

12. αὐτῷ] Rectius αὐτοῦ supra p. 2, 4. ubi pronomen in duobus codicibus omissum.

14. Ἀθήνησιν] ἀθήνῃσιν B. Ald. hic et infra.

16. ἀγχίνους] Vid. ad p. 2, 5.

ib. ἑαυτὸν om. B.

17. σεμνῶς Ald. σεμνόν B. Mon.

μνῆμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
γῆ Μακεδών· ἧπερ δέξατο τέρμα βίου.
πάτρη δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι· πλεῖστα δὲ Μούσας
τέρψας ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

φασὶ δὲ ἐπὶ τῷ ἀκούσματι τῆς Εὐριπίδου τελευτῆς, τοὺς μὲν Ἀθηναίους πάντας πενθῆσαι, Σοφοκλέα δὲ αὐτὸν μὲν καὶ φαιὸν ἐνδεδύσθαι χιτῶνα, τοὺς δὲ ὑποκριτὰς ἀστεφανώτους τῷ τότε εἰσαγαγεῖν πρὸς τὸν ἀγῶνα. οὕτω δ' αὐτὸν Φιλήμων ἠγάπησεν ὡς καὶ τόδε περὶ αὐτοῦ τολμῆσαι εἰπεῖν

εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
αἴσθησιν εἶχον, ἄνδρες ὥς φασίν τινες,
ἀπηγξάμην ἄν, ὥστ' ἰδεῖν Εὐριπίδην.

οὕτως ἡγοῦντο πολλοῦ τινος ἄξιον.

V.

Μανουὴλ τοῦ Μοσχοπούλου σύνοψις τοῦ βίου τοῦ Εὐριπίδου.

Εὐριπίδης Μνησάρχου ἢ Μνησαρχίδου καὶ Κλειτοῦς, οἳ φεύγοντες εἰς Βοιωτίαν μετῴκησαν, εἶτα ἐν τῇ Ἀττικῇ. οὐκ ἀληθὲς δὲ ὡς λαχανόπωλις ἦν ἡ μήτηρ αὐτοῦ· καὶ γὰρ τῶν σφόδρα εὐγενῶν

1. μνῆμα] μνᾶμα Ald. eodem errore quo in Anthol. codex Palatinus, ut notavi ad p. 5, 1.

2. Μακεδών] μακεδόνων B. pr., sed correctum μακεδών, et Mon.

ib. ἧπερ B. Mon. ἣ γὰρ Ald. quod corrector ex Anthol. Pal. intulisse videtur: v. ad p. 5, 4.

ib. τέρμα] τέρμα (τοῦ superscr.) B., sed deleto τοῦ τέρμα γε Mon

3. πάτρη B. Mon. πατρὶς Ald. ut in Anthol.

ib. Ἑλλάδος supra versum additum ab alia manu B.

4. πολλῶν] πολλῶν πάνυ B., sed deleto πάνυ, et Mon.

ib. ἔχει] σὺν δίκῃ addit B., sed deletum. Habet etiam Mon.

11. φασίν] φασὶ B.

12. ἰδεῖν] εἰδεῖν B.

15. Μανουὴλ—Εὐριπίδου] Haec inscriptio est in Ald., fortasse editoris arbitrio. Γένος Εὐριπίδου inscriptum ab manu seculi 15. exeuntis, ut videtur, in Guelf. fol. 1. σύνοψις τοῦ βίου τοῦ ποιητοῦ. αἱ δὲ τῶν δραμάτων ὑποθέσεις εὕσθησαν (sic). αἱ φερόμεναι γὰρ ἦσαν ἀπαραποιήτως ἐν τοῖς παλαιοῖς βιβλίοις in B. fol. 2 b. Neque in codicibus Venetis Marcianis 470. et 614. aliisque Moschopuli nomen praescriptum. Neque eo opus erat, quum haec Vita tota ex Suida sit transcripta.

17. Κλειτοῦς] κλητοῦς B.

ἐτύγχανεν οὖσα, ὡς Φιλόχορος ἀποδείκνυσιν. ἐν δὲ τῇ διαβάσει Ξέρξου ἐκυφορεῖτο ὑπὸ τῆς μητρὸς, ἐτέχθη δὲ καθ' ἣν ἡμέραν Ἕλληνες ἐτρέψαντο τοὺς Πέρσας. γέγονε δὲ τὰ πρῶτα ζωγράφος, εἶτα μαθητὴς Προδίκου ἐν τοῖς ῥητορικοῖς, Σωκράτους δὲ ἐν τοῖς ἠθικοῖς καὶ φιλοσόφοις. διήκουσε δὲ καὶ Ἀναξαγόρου τοῦ Κλαζομενίου. ἐπὶ τραγῳδίαν δὲ ἐτράπη τὸν Ἀναξαγόραν ἰδὼν ὑποστάντα κινδύνους δι' ἅπερ εἰσῆξε δόγματα. σκυθρωπὸς δὲ τὸ εἶδος ἦν καὶ ἀμειδὴς καὶ φεύγων τὰς συνουσίας, ὅθεν καὶ μισογύνης ἐδοξάσθη. ἔγημε δὲ ὁμοῦ πρώτην μὲν Χοιρίλην, θυγατέρα Μνησιλόχου, ἐξ ἧς ἔσχε Μνησίλοχον καὶ Μνησαρχίδην καὶ Εὐριπίδην. ἀπωσάμενος δὲ ταύτην ἔσχε καὶ δευτέραν, καὶ ταύτης ὁμοίως ἀκολάστου πειραθεὶς, μεταναστὰς ἀπ' Ἀθηνῶν ἦλθε πρὸς Ἀρχέλαον τὸν βασιλέα τῶν Μακεδόνων, παρ' ᾧ διῆγεν ἄκρας ἀπολαύων τιμῆς. ἐτελεύτησε δὲ ἐξ ἐπιβουλῆς Ἀρριβαίου τοῦ Μακεδόνος καὶ Κρατεύα τοῦ Θετταλοῦ, ποιητῶν ὄντων καὶ φθονησάντων αὐτῷ καὶ πεισάντων τὸν βασιλέως οἰκέτην, ὄνομα Λυσίμαχον, δέκα μνῶν ἀγορασθέντα, τοὺς βασιλικοὺς οὓς αὐτὸς ἔτρεφε κύνας ἐπαφεῖναι τῷ Εὐριπίδῃ. ἕτεροι δὲ ἱστόρησαν οὐχ ὑπὸ κυνῶν, ἀλλ' ὑπὸ γυναικῶν αὐτὸν διασπασθῆναι πορευόμενον ἀφ' ἑστίας πρὸς Κρατερὸν τὸν ἐρώμενον Ἀρχελάου (καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας), οἱ δὲ πρὸς τὴν γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου. ἔτη δὲ βεβιωκέναι φασὶν αὐτὸν ϟε', καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ μετακομίσαι τὸν βασιλέα. δράματα δὲ αὐτοῦ κατὰ μέν τινας ϟε', κατὰ δὲ ἄλλους ϟβ'. σώζονται δὲ οζ'.

1. οὖσα om. Suidas.
3. γέγονε Guelf. et Suidas. ἐγένετο B. Ald.
7. κινδύνους om. Guelf.
ib. τὸ εἶδος ἦν] ἦν τὸ ἦθος apud Suidam in cod. Paris. A.: nam ceteri libri τὸ ἦθος omittunt.
9. Χοιρίλην] Χοιρίνην ap. Suidam, nisi quod in cod. Bruxell. χοιρίλλην.
12. μεταναστὰς] ἀπάρας δ' Suidas.
ib. τὸν ex Suida addidi.
13. διῆγεν — ἐξ] διῆγε τῆς — ὑπὸ Suidas.
14. Ἀρριβαίου ex Suida. ἀριβαίου B. Guelf. Ald.
ib. Κρατεύα] κρατέα Guelf. κραταίως B.
15. καὶ πεισάντων] πεισάντων τε Suidas.
17. τῷ Εὐριπίδῃ] αὐτῷ Suidas.
ib. ἕτεροι] οἱ Suidas.
19. καὶ γὰρ—Ἀρεθουσίου om. B. et Guelf.
21. βεβιωκέναι] βιῶναι Suidas, omisso φασίν.
21. 23. οε'] ἑβδομήκοντα πέντε B. et priore loco Guelf.
22. καὶ τὰ ὀστᾶ—οε' om. Suidae codex Par. A.
ib. Πέλλῃ] πέλῃ B.
23. ϟβ'] ἐννενήκοντα δύο B.
ib. σώζονται δὲ οζ' om. B. Guelf. et Suidae codex Leidensis.

νίκας δὲ εἴλετο πέντε, τὰς μὲν τέσσαρας περιὼν, τὴν δὲ μίαν μετὰ τὴν τελευτὴν, ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ αὐτοῦ Εὐριπίδου. ἐπεδείξατο δ' ὅλους ἐνιαυτοὺς κβ'. τελευτᾷ δὲ ἐπὶ τῆς ϟγ' ὀλυμπιάδος.

1. εἵλετο] ἀνείλετο Suidae codex Paris. A.
ib. τὴν om. B.
2. ἐπιδειξαμένου — κβ' om. B. Guelf. Ald., habet Suidas. Numerum κβ', in deterioribus Suidae libris κ̄ϛ̄ scriptum, vitiosum esse animadvertit Bernhardyus, qui μβ' propius ab vero abesse monet.
3. ϟγ'] ἐνενηκοστῆς τρίτης B. Guelf. Ald.

ΡΗΣΟΣ.

I.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΥΠΟΘΕΣΙΣ.

Ῥῆσος παῖς μὲν ἦν Στρυμόνος τοῦ ποταμοῦ καὶ Τερψιχόρης, Μουσῶν μιᾶς, Θρᾳκῶν δὲ ἡγούμενος εἰς Ἴλιον παραγίνεται νυκτὸς, στρατευομένων Τρώων παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων. τοῦτον Ὀδυσσεὺς καὶ Διομήδης κατάσκοποι ὄντες ἀναιροῦσιν, Ἀθηνᾶς αὐτοῖς ὑποθεμένης· μέγαν γὰρ ἔσεσθαι κίνδυνον ἐκ τούτου. Τερψιχόρη δὲ ἐπιφανεῖσα τὸ τοῦ παιδὸς σῶμα ἀφείλετο. ὡς ἐν παρόδῳ δὲ διαλαμβάνει καὶ περὶ τοῦ φόνου τοῦ Δόλωνος.

Ἡ σκηνὴ τοῦ δράματος ἐν Τροίᾳ. ὁ χορὸς συνέστηκεν ἐκ φυλάκων Τρωϊκῶν, οἳ καὶ προλογίζουσι. περιέχει δὲ τὴν νυκτεγερσίαν.

II.

ΥΠΟΘΕΣΙΣ ΡΗΣΟΥ.

Ἕκτωρ τοῖς Ἕλλησιν ἐπικοιτῶν ἀκούσας αὐτοὺς πῦρ καίειν

3. Hujus Argumenti codicibus utimur quinque, A. (Vaticano 909), Havniensi, qui fere cum A. consentit, Harl. (Harleiano Musei Britannici 5743.) Pal. (Palatino Bibliothecae Vaticanae 287, ex quo edidit Musurus in editione Aldina), Flor. (Bibliothecae Laurentianae plutei xxxii, 2.) Ἀριστοφάνους nomen solus servavit A. cujus scripturam integram annotabo, reliquorum selectam.

4. παῖς post Μουσῶν μιᾶς habent A. Havn.

5. Μουσῶν μιᾶς] μιᾶς τῶν μουσῶν Havn.

6. Τρώων] τῶν τρώων Pal.

7. κατάσκοποι ὄντες] κατασκοπεύοντες Nauckius.

8. μέγαν γὰρ ἔσεσθαι A. Havn. μέγαν δὲ ἔσεσθαι Harl. ὡς μέγας γὰρ ἔμελλον ἔσεσθαι Pal. unde ὡς μέγαν ἐσόμενον Musurus.

ib. κίνδυνον A. τοῖς ἕλλησι κίνδυνον Harl. τοῖς ἕλλησι κίνδυνος Pal.

9. ὡς ἐν—Δόλωνος om. A. Havn. Harl.; habent Pal. Flor.

11. Ἡ—νυκτεγερσίαν om. Havn.

14. Ὑπόθεσις Ῥήσου] Sic inscriptum in A. et, qui τοῦ εὐριπίδου post ὑπόθεσις addit, Harl.

15. ἐπικοιτῶν] ἐπὶ κοιτῶν A. ἐποικτῶν Harl.

ib. πῦρ καίειν A. πυρκαίειν Havn. δάλλης πυρὰν (δείλης πυρὰ Nauckius) καίειν Harl.

εὐλαβήθη μὴ φύγωσιν. ἐξοπλίζειν δὲ διεγνωκὼς τὰς δυνάμεις μετενόησεν Αἰνείου συμβουλεύσαντος ἡσυχάζειν, κατάσκοπον δὲ πέμψαντας δι' ἐκείνου τὴν ἀλήθειαν ἱστορῆσαι. Δόλωνα δὲ πρὸς τὴν χρείαν ὑπακούσαντα ἐκπέμπεσθαι ..... τόπον εἰς τὴν παρεμβολὴν ἀφώρισεν αὐτῷ. ἐπιφάνεντες δὲ οἱ περὶ τὸν Ὀδυσσέα καὶ Δόλωνα μὲν ἀγρηκότες, ἐπὶ δὲ τὴν Ἕκτορος κατηγηκότες σκηνὴν πάλιν ὑπέστρεψαν οὐχ εὑρόντες τὸν στρατηγόν. οὓς Ἀθηνᾶ ἐπιφανεῖσα κατέσχεν καὶ τὸν μὲν Ἕκτορα ἐκέλευσε μὴ ζητεῖν, Ῥῆσον δὲ ἀναιρεῖν ἐπέταξε· τὸν γὰρ ἐκ τούτου κίνδυνον μείζονα ἔσεσθαι τοῖς Ἕλλησιν, ἐὰν βιάσῃ. τούτους δὲ ἐπιφανεὶς Ἀλέξανδρος ..... ἐπίστασθαι πολεμίων παρουσίαν. ἐξαπατηθεὶς δὲ ὑπὸ Ἀθηνᾶς, ὡς δῆθεν ὑπὸ Ἀφροδίτης, ἄπρακτος ὑπέστρεψεν. οἱ δὲ περὶ Διομήδην φονεύσαντες Ῥῆσον ἐχωρίσθησαν, καὶ ἡ συμφορὰ τῶν ἀγρηκότων καθ' ὅλου ἦλθε τὸ στράτευμα. παραγενομένου δὲ Ἕκτορος, ἵνα αὐτὸς περιγίνηται τῶν πεπραγμένων, τετρωμένος ὁ τοῦ Ῥήσου ἐπιμελητὴς δι' αὐτοῦ φησιν Ἕκτορος τὸν φόνον γεγενῆσθαι. τοῦ δὲ Ἕκτορος ἀπολογουμένου τὴν ἀλήθειαν αὐτοῖς ἐμήνυσεν ἡ τοῦ Ῥήσου μήτηρ ἡ Μοῦσα νεκρὸν κομίζουσα τὸ σῶμα. κατοδυρομένη δὲ καὶ τὸν ἐπιπλακέντα αὐτῇ Στρυμόνα διὰ τὸ τοῦ παιδὸς πένθος καὶ τὸν ἐξ ἐκείνου γεγενημένην Ῥῆσον οὐδ' Ἀχιλλεῖ φησιν ἀδάκρυτον ἔσεσθαι τὴν στρατείαν, τῷ κοινῷ τῶν ἐπιφανῶν θανάτῳ τὴν ἰδίαν παραμυθουμένη λύπην.

3. πέμψαντας] πέμψαντα Harl.
4. Lacunam post ἐκπέμπεσθαι indicavit Morstadius.
ib. τόπον] καὶ τόπον Havn. τόπον om. Harl.
5. καὶ om. Harl.
6. κατηγηκότες σκηνὴν Harl. κοίτην cum spatio vacuo A. quod addito ἐλθόντες expletum in Havn.
7. ἐπιφανεῖσα κατέσχεν] κατέσχεν ἐπιφανοῦσα Harl.
9. μείζονα ἔσεσθαι] ἔσεσθαι μείζονα Harl.
10. τούτους Harl. τούτων A. Havn.
ib. Post Ἀλέξανδρος spatium vacuum in A. Havn.
ib. ἐπίστασθαι om. A. Havn.
11. πολεμίων Kirchhoffius pro πολέμου.
14. στράτευμα] Sequentia om. Havn.
15. περιγίνηται] περιγένηται Harl.
16. φησιν om. A. in lacuna. φασὶν est in Harl. quod correxit Kirchhoffius.
ib. τὸν om. A.
18. κομίζουσα] κομίζειν A.
ib. κατοδυρομένη Harl. κἀποδυρομένη A. Verbo κατοδυραμένη utitur scriptor argumenti Troadum. Quod probabilius quam crasis illa κἀποδυρομένη.
20. Ἀχιλλεῖ] ἀχιλεῖ A.
ib. τὴν στρατείαν om. A.
21. τῷ κοινῷ τοῖς (τῶν Kirchhoffius) ἐπιφανῶν θανάτῳ Harl. τῶν κοινῶν φανερῷ θανάτῳ A.
ib. λύπην] Sequuntur in Harl.

Τοῦτο τὸ δρᾶμα ἔνιοι νόθον ὑπεύθυναν, Εὐριπίδου δὲ μὴ εἶναι· τὸν γὰρ Σοφόκλειον μᾶλλον ὑποφαίνει χαρακτῆρα. ἐν μέντοι ταῖς διδασκαλίαις ὡς γνήσιον ἀναγέγραπται, καὶ ἡ περὶ τὰ μετάρσια δὲ ἐν αὐτῷ πολυπραγμοσύνη τὸν Εὐριπίδην ὁμολογεῖ. πρόλογοι δὲ διττοὶ φέρονται. ὁ γοῦν Δικαίαρχος ἐκτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥήσου γράφει κατὰ λέξιν οὕτως

Νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος—

καὶ ἐν ἐνίοις τῶν ἀντιγράφων ἕτερός τις φέρεται πρόλογος, πεζὸς πάνυ καὶ οὐ πρέπων Εὐριπίδῃ· καὶ τάχα ἄν τινες τῶν ὑποκριτῶν διεσκευακότες εἶεν αὐτόν. ἔχει δὲ οὕτως·

Ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος
Παλλάς, παρῶμεν· οὐκ ἐχρῆν ἡμᾶς ἔτι
μέλλειν Ἀχαιῶν ἀφελεῖν στρατεύματα.
νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορὸς,
λόγχῃ βιαίως Ἕκτορος στροβούμενοι.
ἐμοὶ γὰρ οὐδέν ἐστιν ἄλγιον βάρος,
ἐξ οὗ γ' ἔκρινε Κύπρις Ἀλεξάνδρου θεὰν
κάλλει προήκειν τῆς ἐμῆς εἰμορφίας
καὶ σῆς, Ἀθάνα, φιλτάτης ἐμοὶ θεᾶς,
εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν
Πριάμου, βίᾳ πρόρριζον ἐκτετριμμένην.

illa ἡ σκηνὴ—νυκτεγερσίαν, quae supra leguntur in fine Argumenti Aristophanis, cum indice personarum, tum reliqua Argumenti Aristophanis pars.

2. ὑποφαίνει] ὑποφαίνειν Valckenarius.

4. πρόλογοι δὲ] ἐν αὐτῷ addunt A. Havn. ex versu praecedente repetitum.

5. Δικαίαρχος Nauckius pro δικαίαν, quod om. Harl. Δικαιάρχου ὑποθέσεις τῶν Εὐριπίδου καὶ Σοφοκλέους μύθων memorantur ab Sexto Emp. Adv. Mathem. 3, 3.

ib. ἐκτιθεὶς A. Havn. ἐπιτιθεὶς ceteri.

6. οὕτως] οὕτω Harl.

8. καὶ ἐν ἐνίοις] δὲ addunt Harl. Pal.

ib. φέρεται] φαίνεται A. Havn.

11. τέκος om. A.

13. στρατεύματα] στράτευμα A. στρατεύματι Harl. fortasse recte.

14. μάχῃ] μακρῇ A. μακρῷ Havn.

15. βιαίως Hermannus. βιαίᾳ A. βιαίας Harl. Pal.

16. οὐδέν ἐστιν ἄλγιον βάρος] οὐκ ἔνεστι βάρβαρος A. Havn.

ib. ἄλγιον βάρος] ἀλγίβαρος Harl.

17. ἐξ οὗ γ' Ald. fortasse ex Pal. Et sic Florentinus Vossii. ἐξ ὅτ' A. ἐξ ὅτ' Harl.

18. προήκειν Valckenarius pro προσήκειν.

19. Ἀθάνα Valckenarius pro Ἀθηνᾶ. Recte, nisi contra usum tragicorum peccavit horum versuum scriptor.

21. βίᾳ om. A.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΝ ΡΗΣΟΝ.

---

1. ΒΛΘΙ πρὸς εὐνάς: *βᾶθι ἀντὶ τοῦ βῶμεν. βᾶθι πρὸς εὐνὰς, ὡς πλησίον γενόμενοι τῶν κοιτῶν τοῦτό φασιν.—οἱ φύλακες ἐν χοροῦ σχήματι παρακελεύονται ἑαυτοῖς.*

2. *τὶς ὑπασπιστῶν: ὁ ὑπασπιστὴς ἴδιον ὄνομα, σύνεγγυς παρασπίζων τοῦ βασιλέως· ὁ γὰρ τευχηφόρος κοινὸς παντὸς ὁπλίτου.*

5. *οἳ τετράμοιρον: ὅτι οἱ ἀρχαῖοι εἰς τρεῖς φυλακὰς νέμουσι τὴν νύκτα.* Ὅμηρος

ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει.

Στησίχορον δὲ καὶ Σιμωνίδην πενταφύλακόν φησιν ὑποτίθεσθαι τὴν νύκτα. διαπορήσει δέ τις ὅπως ... "οἳ τετράμοιρον νυκτὸς φυλακήν," πρὸς ὃ ῥητέον ὅτι οὐκ ἐν τῷ καθόλου φησὶ τετραφύλακον, ἀλλὰ τὴν ἐν τῷ παρόντι φυλακὴν, ὡσανεὶ πρώτην ἢ δευτέραν. ὁ δὲ Κράτης δείκνυσιν ὅτι κατὰ τὸν Εὐριπίδην πενταφύλακον ἐκτίθησι τὰ ὑπ' αὐτοῦ εἰρημένα

τίς, ἐκπρίχθη πρώτην φυλακήν,

4. γενόμενοι] γενομένων A.

5. ἑαυτοῖς Vaterus. ἑαυτούς A.

6, 7. est etiam in Fl. 2. sic scriptum, *ὑπασπιστὴς ἰδίως ὁ παρασπίζων τῷ βασιλεῖ, τευχηφόρος δὲ κοινὸς ἦν παντὸς ὁπλίτου.*

9. Ὅμηρος] Od. 14, 483. δὲ post Ὅμηρος delevit Kampmannus.

10. βεβήκει] βέβηκε A.

11. Στησίχορον δὲ καὶ Σιμωνίδην Cobetus. στησιˡᵒ δὲ ὁ σιμωνίδης A.

ib. et 15. πενταφύλακον] Forma recentior pro πεντεφύλακον.

ib. φησιν] Si recte sic scriptum, grammaticus intelligendus cujus sententiam excerpsit scholiasta. Sed multo probabilius *φασιν* corrigitur. Nulla in hac re codicum auctoritas.

12. διαπορήσει δέ τις] Aptius διαπορήσαι (vel διαπορήσειε) δ' ἄν τις.

ib. Post ὅπως aliquid excidisse vidit Colet. Addendum *φησίν*, nisi plura desiderantur.

15. πενταφύλακον] πενταφῦ A.

16. εἰρημένα] v. 538.

καὶ τὰ ἑξῆς. πρώτους γὰρ τοὺς περὶ Κόρυβόν φησι φυλάττειν, δευτέρους δὲ Παίονας, τρίτους δὲ Κίλικας, οὓς καὶ Μυσούς φησιν ὁμοεθνεῖς νομίζων. παραγειτνιᾷ γὰρ ὁ Ἀδραμυττηνὸς κόλπος τοῖς Μυσοῖς. παρὰ δὲ Μυσῶν αὐτοὺς τοὺς Τρῶας παραλαβεῖν, πέμπτους δὲ τοῖς Λυκίοις φησὶν ἐπιβάλλειν τὴν φυλακήν, ὥστε οἱ τετάρτην μοῖραν φρουροῦντες ἐν ἀρχῇ φασιν

οἳ τετράμοιρον νυκτὸς φυλακήν.

ὁ δὲ Κράτης εὐχερῶς δείκνυσι τοὺς Μυσοὺς τοὺς αὐτοὺς τοῖς Κίλιξι φάσκων εἶναι. κεχωρισμένοι γὰρ ἀλλήλων εἰσὶν, ὡς καὶ Ὅμηρός φησι

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν.

ἡ μὲν γὰρ Κιλικία ἐν τοῖς ἔμπροσθεν μέρεσι τῆς Τροίας κεῖται, ὁ δὲ Ζεὺς ἀπεστραμμένος ὁρᾷ Μυσούς. οἱ γὰρ τραγικοὶ Κίλικας οὐκ ἴσασι τούτους, ἀλλὰ τοὺς ἐν Ταύρῳ ᾠκηκότας. πῶς οὖν τῶν δύο ἐθνῶν μία ἦν ἡ φυλακή; ἄμεινον οὖν νοεῖν ὅτι Παιόνων ὁ Κόρυβος ἦρχεν, οἵτινες τὴν πρώτην φυλακὴν ἔσχον καὶ παραδεδώκασι τὴν δευτέραν τοῖς Κίλιξιν, ἐξ ὧν ἐπιφέρουσιν οἱ Τρῶες "Μυσοὶ δ' ἡμᾶς," δῆλον ὅτι οἱ Μυσοὶ τὴν τρίτην φυλακὴν εἶχον, μεθ' οὓς οἱ Τρῶες τὴν τετάρτην. διό φασιν

οἳ τετράμοιρον νυκτὸς φυλακήν,

οἵτινες τοὺς Λυκίους πέμπτους ἐγείρουσιν. Ἄλλως. τετράμοιρον: τὴν τετάρτην μοῖραν τῶν φυλακῶν οἱ Τρῶες εἶχον. ὁ δὲ πᾶς λόγος τοιοῦτός ἐστι· δέξασθε παρ' ἡμῶν, φησὶ, τὴν νέαν καὶ πρόσφατον κληδόνα, οἵτινες φυλάσσοντες τὴν τετάρτην φυλακὴν προκαθήμεθα:

Παρ' Ὁμήρῳ

ὀρθωθεὶς δ' ἄρ' ἐπ' ἀγκῶνος κεφαλὴν ἐπαείρας.

1. Κόροιβον] κόρυβον A.
2. Παίονας] παιόνας A.
ib. φησιν] φασὶν A.
3. τοῖς Μυσοῖς Vaterus. τοὺς μυσοὺς A.
5. φησὶν ἐπιβάλλειν Cobetus. φασὶ παραβάλλειν A.
9. Ὅμηρος] Il. 13, 5.
11. ἀγαυῶν] ἀγαθῶν A.
13. ἀπεστραμμένος] Respicit ad verba Homeri Il. 13, 3. πάλιν τρέπεν ὄσσε φαεννώ.
ib. Κίλικας Vaterus. κιλικίας A.
14. πῶς οὖν τῶν Cobetus. πῶς ... τῶν A.
17. δ' ἡμᾶς] δὲ ὑμᾶς A.
19. φασιν Cobetus.
21. τοὺς Λυκίους πέμπτους Cobetus. τοῖς λυκίοις πέμπτην A.
25. Ὁμήρῳ] Il. 10, 80.

8. λῦσον βλεφάρων: ἀντὶ τοῦ διυπνίσθητι. γοργωπὸν δὲ τὴν φοβερὰν καὶ καταπληκτικήν.

28. ἢ τὸν Εὐρώπας: παρ' Ὁμήρῳ πρὸς ὄρεσιν Εὐρώπης εἶναι τὸν Σαρπηδόνα. ὁ δὲ Ἡσίοδος Εὐρώπης μέν φησιν αὐτὸν, ὡς Ἑλλάνικος, εἶσι δὲ εἰ Λυκάστου καὶ Ἴδης τῆς Κορύβαντος γενεαλογοῦσι μετὰ καὶ Μίνως καὶ Ῥαδαμάνθυς, καθάπερ Σωκράτης ἐν τοῖς Ἀργολικοῖς. ἔχει δὲ ὁ λόγος τὸ ἕτερον εἶναι Σαρπηδόνα τὸν ἐπὶ τὴν Ἴλιον στρατεύσαντα καὶ ἄλλων τινὰ Θρᾴκα, ἀφ' οὗ Σαρπηδονίαν πέτραν φασὶν ὀνομάσθαι. διττὰς δὲ τὰς Εὐρώπας ἀναγράφουσιν ἔνιοι· μίαν μὲν Ὠκεανίδα, ἀφ' ἧς καὶ τὸ ἓν μέρος τῆς οἰκουμένης κληθῆναι, καθάπερ Ἀπίων ἐν τοῖς περὶ ἐπωνύμων καὶ Ἀριστοτέλης ἐν πρώτῳ τῆς Θεογονίας, ἑτέραν δὲ Φοίνικος ἔνιοι καὶ Ἀγήνορος, ὡς καὶ Εὐριπίδης καὶ ἄλλοι ἱστοροῦσιν, ἧς τοὺς περὶ τὸν Μίνω γενέσθαι φασίν. ἔνιοι δέ εἰσιν οἳ καὶ παρὰ τὴν αἰτὴν ἀνομάσθαι τὴν ἤπειρον, καθάπερ καὶ Καλλίμαχος, Ζηνόδοτος δὲ ἐξ αὐτοῦ. εἰσὶ δὲ οἱ καὶ τρίτην ἀναγράψαντες, καθάπερ Ἡγήσιππος ἐν τοῖς Παλληνιακοῖς γράφων οὕτως "Κάδμος σὺν τῇ μητρὶ τῆς Εὐρώπης Τηλεφάῃ ἐπήει

1. βλεφάρων] βλέφαρον A.: sed in textu βλεφάρων.

3. πρὸς ὄρεσιν corruptum. οὐχ εὗρεν Vaterus.

4. Ἑλλάνικος] ἑλλανικὸς A. Omisit fragmentum Muellerus.

5. Λυκάστου Vaterus. λευκάστου A. Λύκαστος duarum urbium fluviique nomen aliunde cognitum: nomen hominis ex uno hoc loco.

6. Σωκράτης] Intelligendus Socrates Argivus, cujus fragmenta collegit Muellerus vol. 4. p. 496.—499. hoc tamen omisso. Neque ejus Ἀργολικὰ aliunde cognita, nisi quod Περιήγησιν Ἄργους ab eo scriptam esse annotavit Diogenes L. 2, 47. quod opus non diversum ab illo esse videtur.

7. τὸ ἕτερον] τὸ fortasse delendum.

10. ἧς Vaterus. οὗ A.

11. Ἀπίων ἐν τοῖς περὶ ἐπωνύμων] Opus aliunde non magis cognitum quam Aristotelis Θεογονία. Alia quae memorantur Apionis fragmenta collecta ab Muellero vol. 3. p. 506. —510.

12. Φοίνικος ἔνιοι καὶ Vaterus. φοινικ .... καὶ A.

13. ἧς τοὺς Vaterus. καὶ τοῦ A.

14. ἀνομάσθαι] Intelligendum φασὶ ex verbis proxime praecedentibus. Sic infra ad v. 248. εἰσὶ δὲ οἳ Τηλέφῃ γενέσθαι. τὸν χρησμὸν τοῦτον, ubi pariter praecessit φασί. Conf. etiam annot. ad schol. Troad. 31, 221.

15. ἐξ αὐτοῦ] Defecta vel corrupta.

16. Ἡγήσιππος] Hoc quoque fragmentum addendum Muelleri collectioni vol. 4. p. 423.

17. Εὐρώπης Τηλεφάνη ἐπήει Vaterus. εὐρώπ.. τηλεφάνη ἐπίει A. Recte correxit Vaterus, nisi quod Τηλεφάῃ scribere debebat: de quo dixit L. Dindorfius in Thesauro vol. 7. p. 2137.

περὶ Ἀθήνας καὶ ἐπυνθάνετο Εὐρώπην ἔχεσθαι ἐν Θράκῃ καὶ οὕτως ἀφίκετο εἰς τὴν καταντιπέραν ἤπειρον καὶ ἦρχεν ἐν τῇ χώρᾳ ταύτῃ πάντων. Εὐρώπη τοῦ ἀνδρὸς ἀπολειφθεῖσα οὐκ ἡ Φοίνικος, ἀλλ' ἐπιχωρία τις γυνὴ, ἀφ' ἧς καὶ ἡ ἤπειρος ἅπασα ἡ πρὸς Βορέαν ἄνεμον Εὐρώπη κέκληται."

33. κερόδετα: τὰ κερουλκὰ, τὰ ὑπὸ κεράταν δεδεμένα. Fl. 2.

36. ἀλλ' ἢ Κρονίου Πανός: τὸν Πᾶνα οἱ μὲν Πηνελόπης φασὶ Καλλιστοῦς καὶ δύο παῖδας γενομένους, ἀφ' ἧς ὄρος Κυλλήνης, ἄλλοι δὲ Ἀπόλλωνος καὶ Πηνελόπης, ὡς καὶ Εὐφορίων, ὃν ἔθρεψαν νύμφαι· διὸ καὶ νυμφαγν.... αὐτόν φησι, τραφέντα παρ' ἐκείναις. Ἀρίαιθος δὲ ὁ Τεγεάτης Αἰθέρος αὐτὸν καὶ νύμφης Οἰνόης γενεαλογεῖ. ἔνιοι δὲ Ὀρσινόης νύμφης καὶ Ἑρμοῦ. Ἐπιμενίδης δὲ

1. περὶ] πρὸς Kampmannus.
ib. ἔχεσθαι Vaterus. ἐχ.... A.
2. τὴν κατ' ἀντιπέραν Vaterus. τὸν κατ' ἀντιπέραν A.
7. Πηνελόπης — Κυλλήνης (κυλήνης A.)] Verba non integra. Collato schol. Theocriti 1. 123. dubitari potest an scripserit scholiasta, τὸν Πᾶνα οἱ μὲν Πηνελόπης καὶ Ὀδυσσέως ἢ Ἑρμοῦ φασιν, οἱ δὲ Καλλιστοῦς καὶ Διός, καὶ δύο παῖδας γενομένους Πᾶνα καὶ Ἀρκάδα, μίαν δὲ θυγατέρα Κυλλήνην, ἀφ' ἧς τὸ ὄρος Κυλλήνης. A Cyllene enim aliqua multi nomen inditum esse tradiderunt. Schol. Eurip. Orest. 1642. γυναῖκα ἀγαγόμενος (Πελασγὸς) ἐπιχωρίαν Κυλλήνην, ἀφ' ἧς τὸ ὄρος αὖτω καλεῖται, υἱὸν ἔσχε Λυκάονα. Dionys. A. R. 1, 13. ex Pherecyde, Πελασγοῦ καὶ Δηϊανείρας γίγνεται Λυκάων. οὗτος γαμεῖ Κυλλήνην, Νηΐδα νύμφην, ἀφ' ἧς τὸ ὄρος ἡ Κυλλήνη καλεῖται. Conf. Eustath. ad Od. Ω. p. 1951. Il. B. p. 300. Igitur quamvis nemo Cyllenen Callistus filiam dixerit, non verisimilitudine caret filiam Callistus eodem quo mater ejus vocabatur nomine nuncupatam esse. Pausanias constanter ab heroe Cyllene, Elati filio, hunc montem nomen traxisse prodidit: vid. 8, 4, 4. et 6. 8, 17, 1. cf. Boeckh. Explic. Pindar. p. 160. VATER.
9. Ἀπόλλωνος καὶ Πηνελόπης] Sic etiam Pindarus Fragm. 68. p. 594. Alii pro Apolline Mercurium nominant: de quo dixit Meinek. ad Euphor. in Anal. Alexand. p. 158.
10. νυμφαγν....] Non sufficiunt criticorum conjecturae νυμφάγνητον, νυμφαγενῆ, νυμφαγενέτην.
11. Ἀρίαιθος Vaterus. ἀρῆθος A. Narratio sumta ex Ariaethi Ἀρκαδικοῖς, quorum pauca quae supersunt fragmenta collegit Muellerus vol. 4. p. 318. 319.
ib. Αἰθέρος—Οἰνόης] Schol. Theocr. 1, 121. τὸν δὲ Πᾶνα οἱ μὲν Πηνελόπης καὶ Ὀδυσσέως, ἢ Ἑρμοῦ, ἄλλοι δὲ Διὸς καὶ Καλλιστοῦς, ἕτεροι δὲ Οἰνῆδος, ἢ Νηρηΐδος (verba ἢ Νηρηΐδος, quae sunt diversa lectio praecedentis Οἰνῆδος recte delet Jacobsius), ἔνιοι δὲ Οὐρανοῦ καὶ Γῆς. et ad 1, 3. τὸν Πᾶνα οἱ μὲν λέγουσιν υἱὸν Πηνελόπης καὶ πάντων τῶν μνηστήρων καὶ διὰ τοῦτο λέγεσθαι καὶ Πᾶνα. Ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασιν αὐτοῦ Διὸς καὶ Καλλιστοῦς Πᾶνα καὶ Ἀρκάδα διδύμους. Ἀρίστιππος δὲ ἐν τῷ Ἀρκαδικῷ (scribendum ἐν τῷ α' Ἀρκαδικῶν cum Toupio) Διὸς καὶ νύμφης Οἰνῆδος (var. lect οἰνοηΐδος).
12. Ὀρσινόης] Ita appellatam esse

Καλλιστοῖς καὶ Διὸς παῖδας γεγενῆσθαι Πᾶνα καὶ Ἀρκάδα διδύμους. Μνασέας δὲ ξενικώτερον ἀφηγεῖται τὰ περὶ Πᾶνα, ἢ ὅτι Κρόνου παῖς ἢ ὅτι παλαιός ἐστιν. Λίθερος γενεαλογεύμενος, (Κρόνους δὲ καὶ Κρονίους τοὺς πάνυ ἀρχαίους ἔλεγον,) ἢ παππωνυμικῶς, ὅτι Διὸς, ὡς τὸν Ἀχιλλέα Αἰακίδην. Αἰσχύλος δὲ δύο Πᾶνας, τὸν μὲν Διὸς, ὃν καὶ δίδυμον, τὸν δὲ Κρόνου. περὶ δὲ τῶν αἰφνιδίων φόβων ταραχὴν ἀνῆψαν Παν διὰ τοὺς ἤχους τοὺς ἐν τοῖς ὄρεσι γενομένους, ἔνθα ὁ Πὰν ἅμα ταῖς νύμφαις συρίζει, ὡς καὶ Ὀδυσσεύς·

ὥστε με κυράων ἀμφίλιθε θῆλυς αὐτὴ,
νυμφάων, αἳ ἔχουσ' ὀρέων αἰπεινὰ κάρηνα.

propter τὰ Πανικὰ κινήματα conjicit Welckerus in libro de cyclo epico p. 323. Hinc apud Pausaniam 8, 30, 3. ubi legitur, καὶ ἄγαλμα Πανὸς λίθου πεποικμένον, ἐπίκλησις δὲ Συνόεις ἐστὶν αὐτῷ, τήν τε ἐπίκλησιν γενέσθαι καὶ τῷ Πανὶ ἀπὸ νύμφης Συνόης λέγουσι, ταύτην δὲ σὺν ἄλλαις τῶν νυμφῶν καὶ ἰδίᾳ γενέσθαι τροφὸν τοῦ Πανός, scribendum videri posset Ὀρσινόεις et Ὀρσινόης, nisi probabilius esset Οἰνόεις et Οἰνόης, quod Siebelisius restituit, secundum famam vulgarem. Libri quidam συνόεις et συνόης.

ib. Ἐπιμενίδης] Cum his pugnant ea quae de Pane, Epimenide auctore, tradit Eratosthenes qui dicitur Cataster. 27. et schol. Germanici 285. et Epimenidis nomine omisso Hygin. Poet. Astron. 2, 28. Quum vero ab Eratosthene vocetur Ἐπιμενίδης ὁ τὰ Κρητικὰ ἱστορῶν, utrumque auctorem diversum esse dixerim. VATER. p. 89.

1. παῖδας] παῖδα A.

ib. Πᾶνα καὶ Ἀρκάδα] πᾶνα—καὶ ἀρκάδω A. apud Amatium. Si quid excidit, scribendum Πᾶνά τε καὶ Ἀρκάδα.

2. Μνασέας] μνασίας A. Intelligendus Mnaseas Patrensis in Περιηγήσει Εὐρώπης, ut apparet ex schol. Theocr. 1, 64. Μνασέας ἐν τῷ περὶ Εὐρώπης Πανὸς υἱὸν φησι Βουκολίωνα.

3. παλαιός ἐστιν] παλαιότερος Brunnius ap. Welcker. Mythol. vol. 2. p. 659.

4. δὲ] γὰρ Mueller. Fragm. Hist. vol. 3. p. 151.

5. Ἀχιλλέα (ἀχιλέα A.) Αἰακίδην] λέγουσιν addit Muellerus.

ib. δύο] λέγει addit Kampmannus. Id Aeschylum in Glauco Pontio fecisse colligi potest ex scholio ad Theocr. 4, 62. τοὺς Σατύρους ἀκρατεῖς οἱ πλείονές φασιν, ὡς καὶ τοὺς Σειληνοὺς καὶ τοὺς Πᾶνας, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ.

6. ὃν καὶ] Ἀρκάδος Vaterus p. 86.

ib. Κρόνου] Hanc genealogiam Ioannes Lydus de mens. profert 4, 74. p. 274. τινὲς δέ φασι τὸν Πᾶνα ἐκ Κρόνου καὶ Ῥέας γενέσθαι ἀντὶ τοῦ ἐκ τοῦ νοῦ καὶ τῆς ὑγρᾶς οὐσίας. ubi quae confert Roetherus ejusdem monetae sunt. VATER. p. 86.

ib. αἰφνιδίων φόβων Vaterus. ἀφνιδίων φόβον A. Forma αἰφνιδίων in sermone grammatici probabilior quam ἀφνιδίων. Et αἰφνιδίου est in scholio v. 674. Recte scriptum in excerpto cod. Fl. 2. τοὺς αἰφνιδίους φόβους ἀνῆψαν τῷ Πανὶ, σφοδροὺς ὄντας καὶ ἐκπληκτικούς. γίνονται δὲ ἐν τοῖς ὄρεσιν, ἐν οἷς πολλῶν φωνῶν φερομένων διὰ τὰς ἐν αὐτοῖς κοιλότητας, πτοοῦνται οἱ ἀκροώμενοι μὴ ὁρῶντες τοὺς φωνοῦντας.

8. Ὀδυσσεὺς] Apud Homerum Od. 6, 122.

Ἄλλως. περὶ τῶν Πανικῶν λεγομένων κινημάτων Ἀπελλόδωρος τὴν αἰτίαν ἐκτίθησι ταύτην· "τὰ ὄρη καὶ αἱ νάπαι καὶ πάντα τὰ ὕπαυτρα τῶν ὁρῶν ἐστιν ἠχώδη, ποικίλων καὶ παντοδαπῶν φωνῶν ἐν τοῖς ὄρεσι γινομένων ὑπό τε κυνηγῶν καὶ ζῴων ἡμέρων τε καὶ ἀγρίων· ἦχοι δὲ μιμητικοὶ γίνονται τούτων. ὅθεν πολλάκις τινὲς τὰ μὲν σώματα τῶν φωνούντων οὐχ ὁρῶντες, αὐτὴν δὲ μόνην τὴν προσπίπτουσαν φωνὴν, φασὶ Πᾶνα σὺν ταῖς νύμφαις ἐν τοῖς ἄντροις μετ' αὐλῶν καὶ συρίγγων φωνεῖν."

41. χ πυραίθει στρατὸς Ἀργόλας: τὸ χ ὅτι συνθέτως ἀναγνωστέον καὶ ὅτι οὐκ ἔστιν Εὐριπίδου ὁ στίχος.

43. διπετῆ δὲ νεῶν: τὰ δὲ ναύσταθμα ὡς διπετῆ ἐστι τοῖς πυρσοῖς. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· αἱ τῶν νεῶν ἐπαύλεις . . . συνεχῶς ταῖς λαμπάσιν, ὥσπερ ἐκ Διὸς συνεχὴς ὄμβρος.

52. εἰς καιρὸν ἦλθες: ἀκολούθως καὶ εὐκαίρως ἦλθες, εἰ καὶ φόβον ἀγγέλλεις.

55. σαίνει μ' ἔννυχος: εὐθυμεῖν με ποιεῖ ἡ τῶν Ἑλλήνων φρυκτωρία. φρυκτωρία δὲ ἡ λαμπὰς ἢ λαμπαδηφορία καὶ ὁμαδουχία.

58. σύρδην: ὁμοῦ, ἅρδην.

68. θυοσκών: τῶν μάντεων τῶν ἐκ τῶν θυμάτων τὸ μέλλον σκοπούντων.

84. ἁπλοῦς: σύντομος. Gl. τὸ ἑξῆς, ἁπλοῦς μῦθος, ἐπ' ἐχθροῖς ὁπλίζειν χέρα.

105. εἶθ' ἦσθ' ἀνὴρ εὔβουλος: ἔμπαλιν ὁ Σοφοκλῆς φησιν

εἶθ' ἦσθα σώφρων ἔργα τοῖς λόγοις ἴσα.

4. κυνηγῶν] Clamores venatorum, a quibus Dianae κελαδεινῆς cognomen factum est, saepius memorant veteres. Hinc Eurip. Iph. T. 284. de Oreste, μανίαις ἀλαίνων, καὶ βοᾷ, κυναγὸς ὡς, Πυλάδῃ, δέδορκας τήνδε; Τὰ κυνηγετικὰ ἐπιθωΰσσειν dixit Nicephorus in Walzii Rhet. vol. 1. p. 470.

7. ἄντροις Vaterus. ἀγροῖς A.

9. Ἀργόλας] ἀργόλαος A.

ib. συνθέτως] πῦρ αἴθει divisim scriptum in cod. Flor. Vossii. Dubitarunt grammatici ΠΥΡΑΙΘΕΙ utrum pro πυραίθει an pro πύρ' (i. e. πυρὰ) αἴθει accipiendum esset et hoc loco et, ubi syllaba prima brevi opus, 78. τίς γὰρ πυραίθειν πρόφασις Ἀργείων στρατόν; Tertium verbi exemplum est in versu interpolato 823. Πυρὰ δαίεται dixit v. 136. Ceterum mira est versus 41. ἀθέτησις.

11. νεῶν] ναῶν A.

ib. πυρσοῖς Vaterus. πύργοις A.

12. ἐπαύλεις] ἐπαύλεια A. Correxit Vaterus additque verbum φεγγονται.

19. θυοσκών] Scholiasta θυοσκόπων legit, quod aliis in libris est.

ib. μάντεων] μαντέων A.

23. Σοφοκλῆς] (Fragm. 747.) Cobetus. σοιρὸς A.

24. ἔργα] Sequebatur in versu

109. ἐξήρθης: *ἀνεπτερώθης, ἠγέρθης. τὸ ἐξῆς· ὅστις πυρὸς λαμπτῆρας κλίνων ἐξήρθης Ἀχαιοὺς φεύγειν καὶ ἐξῆλθες ἐπὶ τὸ στρατεῦσαι.*

158. ἐπώνυμος μὲν κάρτα: *ἐτυμολογεῖ τὸ ὄνομα.*

165. τάξαι δὲ μισθόν: *γελοῖον τὸ οἴεσθαι ὅτι βασιλείαν αἰτήσει.*

177. ἀποινᾶσθαι θέλεις: *ἄποινα λέγεται τὰ λύτρα. Ὅμηρος "ἔλυσεν ἀποίνων." τίνα οὖν, φησὶ, τῶν Ἀχαιῶν λύτρα λαβὼν βούλει ἀπολῦσαι;*

185. ἀφθίτων γὰρ: *παρ' Ὁμήρου ἔλαβε τὴν ἱστορίαν. φησὶ γὰρ "ἀθάνατοί τε γάρ εἰσιν."*

207. σαγή: *ἡ σαγὴ ἐξυτόνως. Ἡρωδιανός.*

210. βάσιν τε χερσί: *ἀπίθανον τετραποδίζειν αὐτὸν ὡς τοὺς λύκους· οὐδὲ γὰρ Ὅμηρος διὰ τοῦτο τὴν λυκείαν αὐτῷ περιτίθησιν.*

219. σωθήσομαί τε: *τὸ ἐξῆς, σωθήσομαι καὶ κτανὼν Ὀδυσσέως ἢ Διομήδους κεφαλὴν ἥξω ἄγων.*

224. Θυμβραῖε καὶ Δάλιε: *ἀπὸ τῶν Τρωϊκῶν χωρῶν τὰ ὀνόματα.*

240. τάς: *ὅτι θηλυκῶς. Ὅμηρος "Ξάνθου καὶ Βαλίου καὶ Πουλυδάμαντος ἔπορ' αὐτούς." διὸ τὸ χ.*

proximo ὅρῶν vel simile verbum.

ib. ἴσα] Ἶσα A.

2. ἐπὶ τὸ στρατεῦσαι] ἐπιστρατεύειν apud Cobetum.

5. βασιλείαν Vaterus. βασὶ A. Scholion pertinet ad verba πλὴν ἐμοῖς τυράννοις.

7. ἀποινᾶσθαι] ποινᾶσθαι A. In Flor. I. 2. ἀποινᾶσθαι ἀντὶ τοῦ τιμωρεῖσθαι καὶ ἀπεμπολεῖν.

ib. Ὅμηρος] Il. 11, 106.

10. Ὁμήρου] Il. 23, 277.

11. τε om. A.

12. σαγὴ] σάγη A. in textu.

ib. ἡ σαγὴ Cobetus. ἡ σφαγὴ A. eodem errore quo in textu libri quidam σφαγὴ pro σάγη vel σαγὴ praebent.

ib. Ἡρωδιανός Kampmannus. ἡρώδης A. Herodiani sententiam accuratius exposuit Arcadius p. 104, 25. τὸ μέντοι σαγή τὸ πλῆθος τινὲς μὲν ἐξύνουσι, τινὲς δὲ βαρύνουσι. Qui ἐξυτόνως scripserunt similitudine nominis σφαγή inducti esse videntur.

14. Ὅμηρος] Il. 10, 334.

ib. λυκείαν Vaterus. λυκίαν A. Sic λυκείαν ἐπιτίθεται apud Polyb. 6, 22, 3. Usitatior tamen et rectior forma est λικέαν vel contracta λυκῆν.

16. Ὀδυσσέως] ὀδυσέως A.

20. τὰς] Non hoc, sed praecedentia verba Ἀχαιὸν Ἄρη in lemmate habet A.

ib. ὅτι θηλικῶς] Homero equi

245. τὸ ἐξῆς τοῦ νεῦ· ὄντως σπανία τῶν ἀγαθῶν γίνεται, ὅταν ὡς ἐν πελάγει τὸ τῆς καταδύσεως δυσήλιον ᾖ καὶ ζοφώδες καὶ σαλεύῃ πόλις.

247. ἔστι Φρυγῶν τις: ἐπεὶ κεκωμῴδηνται οἱ Φρύγες ὡς δειλοί, φησὶν ὅτι οὐ δεῖ παντελῶς ἀποδοκιμάζειν τοὺς Φρύγας· ἔστι γὰρ ἐν αὐτοῖς θράσος καὶ ἰσχύς, ὡς ἔδειξεν ὁ Δόλων.

248. ἕνι δὲ θράσος ἐν αἰχμᾷ: τῆς "ἔσχατος Μυσῶν" παροιμίας μέμνηται Φιλήμων ἐν Σικελικῷ

τὸ δὴ λεγόμενον τοῦτο, Μυσῶν ἔσχατον
ἐνόμιζ' ὁρᾶν τὸν υἱὸν ἐκπλέοντ' ἐρᾶν.

καὶ Μένανδρος

εἰ μὴ γαμεῖς γάρ, ἔσχατον νόμιζέ με
Μυσῶν.

κέχρηται δὲ καὶ νῦν Εὐριπίδης τῇ παροιμίᾳ παρὰ τοὺς χρόνους. Δήμων γοῦν ἐξηγούμενος περὶ αὐτῆς φησιν ὡς ὕστερον τῶν Τρωϊκῶν λοιμοῦ καὶ φθορᾶς καρπῶν περιεληλυθυίας τὴν Ἑλλάδα μαντευομένοις περὶ τῶν παρόντων χρῆσαι τὴν Πυθίαν τηνικαῦτα παῖλαν αὐτοῖς

Achillis commemorantur, non equae, quare hic versus ἐκεχίαστο in scholiis. VATER. Si constare sibi voluit poeta, etiam v. 187. scribere debuit quod est in A. δίδωσι δ' αὐτὰς πωλεσαμήστας ἄναξ Πηλεῖ Ποσειδῶν, non αὐτούς, quod vulgo legitur. Scholiasta autem fortasse scripserat ὅτι θηλυκῶς τὰς ἵππους ἔφη. In proximis verbis, fortasse librarii culpa, duo confusi loci Homeri, alter Il. 16, 149. Ξάνθου καὶ Βαλίου, alter 23, 277. ἀθάνατοί τε γάρ εἰσι Ποσειδάων θ' ἕπορ' αὐτοῖς πατρὶ ἑμῷ Πηλῆϊ.

ib. Ποσειδάων ἔπορ'] ποσειδᾶνα ἔπορσ A.

2. ᾖ—σαλεύῃ] ἦ—σαλεύει A. δυσήλιον autem scholiasta dicit quia in textu δυσάλιον legit, ut est in A., non δυσάλιος, quod cum libris deterioribus habet Aldus.

4. ἐπεὶ κεκωμῴδηνται — δειλοὶ L. Dindorfius. ἐπικεκωμωδοῦνται — δῆλοι A. quod etiam ἐπεὶ κωμῳδοῦνται esse potest.

7. ἔσχατος L. Dindorfius. ἐσχάτης A.

8. Σικελικῷ L. Dindorfius. σκελετῷ A.

10. ἐνόμιζ' Cobetus. ἐνόμιζεν A.

13. Μυσῶν L. Dindorfius. φρυγῶν μυσῶν A.

15. Δήμων] De Demone, proverbiorum interprete, dixit Schneidew. Praef. ad Paroemiogr. vol. 1. p. viii. Eodem, ut conjicere licet, loco de proverbio Μυσῶν λεία Demo dixerat: vid. Harpocrat. s. v. Μυσῶν λείαν, ubi Δήμων ἐν α' περὶ παροιμιῶν citatur. Dixit de his proverbiis Vaterus p. 139. 140.

16. καρπῶν] *Frumenti:* nisi καρπῶν scripsit, quod conjecit Vaterus.

ib. περιεληλιθυίας] περὶ ἐληλιθυίας A.

ib. μαντευομένοις Clinton. Fast. Hell. vol. 1. p. 103. μαντευομένων L. Dindorfius. μαντευομένην A.

17. χρῆσαι Vaterus. χρῆσθαι A.

τῶν δεινῶν, ἐπειδάν τινες τῶν ἀπὸ Ἀγαμέμνονος ἐχόντων τὸ γένος πλεύσαντες εἰς Τροίαν τὰς πόλεις κτίσωσι καὶ τὰς τῶν θεῶν τιμὰς ἀναλάβωσιν, ἃς ἠφανίσθαι συνέβαινεν ὑπὸ τοῦ πολέμου. ταύτην τὴν μαντείαν παραδεξάμενον τὸν Ὀρέστην συνέβη λιπεῖν τὸν βίον. μετὰ δὲ Ὀρέστην Τισαμενὸν λαβεῖν τὴν ἀρχὴν καὶ μετ' ἐκεῖνον Κομήτην. οὗ χρωμένου ποῦ δέοι πλεῖν, (κατὰ γὰρ εὐλάβειαν καὶ δὶς καὶ τρὶς περὶ τῶν αὐτῶν ἐπανέρχεσθαι), ὑπὸ τοῦ θεοῦ δοθῆναι χρησμὸν, ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν. κατολιγωρήσαντας δὲ πολλῶν συνηθροισμένων τοῦ χρησμοῦ ἀφίστασθαι καὶ τὸν Κομήτην καταλιπεῖν, μικρὸν πεφροντικέναι λέγοντας αὐτοῦ τε καὶ τοῦ Μυσῶν ἐσχάτου. κατὰ τὴν ἐχομένην γενεὰν ..... Πευθίλου πάλιν συναγείραντος τὴν στρατιὰν καὶ τοῦ θεοῦ τὸν αὐτὸν ἐπενέγκαντος χρησμὸν, διὰ τὸ παράδοξον εἰς παροιμίαν διὰ τοῦτο περιστῆναί φασιν. εἰσὶ δὲ οἳ Τηλέφῳ γενέσθαι τὸν χρησμὸν τοῦτον· μαντευομένῳ γὰρ αὐτῷ περὶ γονέων, ἐπί τίνας ἂν τόπους πλανηθεὶς ἐξεύροι τοὺς αὐτοῦ γονεῖς, τὸν θεὸν προστάξαι ἐλθεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν. ἀφικόμενον δὲ εἰς τὴν Τευθρανίαν, νέμεσθαι γὰρ τὰ χωρία ταῦτα Μυσοὺς, ἐπιτυχεῖν τῇ μητρί.

251. ὃς ἐμὰν συμμαχίαν: ὁ τὴν συμμαχίαν ἀτίζων, ὅ ἐστιν εὐτελίζων, πρὸς Μυσῶν, φησὶν, ἐστὶν ἢ ὡς εἰπεῖν ἔσχατος καὶ οὐδενὸς λόγου ἄξιος, οἷον Μυσός ἐστιν ὁ ἀτιμάζων ἡμᾶς, ὁ ἀδόκιμος παρὰ

1. ἐχόντων L. Dindorfius. ἔχοντες A.

7. ἐπανέρχεσθαι, ὑπὸ τοῦ L. Dindorfius. ἐπανέρχεται τοῦ A.

ib. χρησμὸν] Hoc oraculum memorant Photius et Suidas s.v. ἔσχατος Μισῶν.

10. Μυσῶν] μυσοῦ A.

11. ἐχομένην—Πευθίλου L. Dindorfius. ἐρχομένην—πλυθίλ A. Lacunam ante Πευθίλου indicavit Vaterus p. 111. qui conjicit Ἐχέλα τοῦ Πευθίλου, collato Strabone 13. p. 582., Pausania 3, 2, 1., Plutarcho Mor. p. 163 A. Neque enim Penthilus post Cometen superstes fuisse potest. Animadvertit errorem etiam Clintonus l. c. p. 103.

13. περιστῆναι correxi pro προστῆναι.

ib. γενέσθαι] Intelligendum φασὶ ex praecedentibus. De quo dixi ad schol. v. 28.

17. ταῦτα] τότε A. Correxit Vaterus p. 142. ex Photio et Suida (s. v. ἔσχατος Μυσῶν), ubi est, νέμεσθαι γὰρ ταῦτα τὰ χωρία Μυσοὺς, ἐπιτυχεῖν τῇ μητρὶ αὐτοῦ· τάσσεται δὲ ἡ παροιμία ἐπὶ τῶν δυσχερῆ ἐπιτασσομένων.

21. ὁ ἀδόκιμος] Id est ὅ ἐστιν ἀδόκιμος. Duas autem scholiasta proponit explicationes, priorem eorum qui post ἐν αἰχμῇ interpungerent, et recte quidem, alteram eorum qui non interpungerent.

τὴν παρεμβολήν. ἡ οὕτως· ἔστι δὲ θάρσος ἄκρον καὶ ἐκ τῶν Μυσῶν πρὸς τοὺς ἀτιμάζοντας τὴν ἐμὴν συμμαχίαν καὶ εὐτελίζοντας.

260. κακόγαμβρον: οὐκ ἀκριβῶς εἴρηκεν. οὐ γὰρ Ἀγαμέμνων τῇ Ἑλένῃ γαμβρός.

274. δόρῃ βαστάζομεν: ἀπὸ γενικῆς τῆς δόρεος καὶ δόρεα καὶ δόρη, ὡς βέλεα βέλη.

282. ὀργάδας: ὀργάδες κυρίως οἱ ἱεροὶ τῶν θεῶν τόποι. Flor. 1. 2.

294. πρὶν δὴ δι' ὥτων: πρὶν ἠκούσαμεν αὐτῶν τὴν βαρβαρικὴν φωνὴν καὶ ἔγνωμεν ὅτι βάρβαροι ἦσαν.

303. πλάστιξ αὐχένα ζυγηφόρων: τινὲς τὸν ζυγόν φασι· περὶ δὲ τὸ μέσαβον συνέδησε τὸν αὐχένα τῶν ἵππων.

306. ἔλαμπε Γοργὼν δ' ὡς: ὡς ἡ Γοργὼν ἐπεκτύπει τοῖς μετώποις τοῖς ἱππικοῖς προσδεδεμένη μετὰ κωδώνων, ψόφον ἀποτελοῦσα.

311. πολλὰ πελταστῶν τέλη: πέλτη ἀσπίς ἐστιν ἴτυν οὐκ ἔχουσα, καθάπερ φησὶν Ἀριστοτέλης ἐν Θεσσαλῶν πολιτείᾳ γράφων οὕτως "διελὼν δὲ τὴν πόλιν Ἀλεύας ἔταξε καὶ τὸν κλῆρον παρέχειν ἑκάστους, ἱππέας μὲν τεσσαράκοντα, ὁπλίτας δὲ ἀγδοήκοντα. ἦν δὲ ἡ πέλτη ἀσπὶς ἴτυν οὐκ ἔχουσα οὐδ' ἐπίχαλκος, αἰγὸς

5. 6. Hoc scholion est etiam in Fl. 2., omisso utroque καί.

12. συνέδησε] συνέδησ... A.

13. ἐπεκτύπει Vaterus. ἐπεκτ... A.

14. ἀποτελοῦσα] ἀποτελοῦ... A.

16. πέλτη] De pelta pluribus dixit Vaterus p. 156. qui partem loci Aristotelici apud scholiastam Platonis exstare monet ad Leg. 7. p. 813. πέλτη ἐστὶν εἶδος ἀσπίδος, ὥς φησιν Ἀριστοτέλης, ἥτις ἴτυν οὐκ ἔχει οὐδ' ἐστὶν ἐπίχαλκος, οὐδὲ βοὸς, ἀλλ' αἰγὸς δέρματι περιτεταμένη. et non nominato Aristotele apud Photium, πελτασταί: οἱ πέλτας ἔχοντες στρατιῶται. πέλτη δὲ εἶδος ἀσπίδος οὐκ ἐχούσης ἴτυν, οὐδ' ἐπίχαλκον (ἐπίχαλκος Vaterus), οὐδὲ βοὸς, ἀλλ' αἰγὸς δέρμα περιτεταμένη. Brevius et plenius Aristotelis locum exhibet Eustath. ad Il. p. 905, 59. ἡ γὰρ πέλτη οὔτε ἴτυν ἔχει, καὶ αἰγὸς ἡ οἷος περιέσταλται δέρμα.

18. Ἀλεύας Pflugk. ad Eurip. Alc. 498. ἀλόας Λ. Harpocratio s. v. Τετραρχία, Ἀριστοτέλης ἐν τῇ κοινῇ Θετταλῶν πολιτείᾳ ἐπὶ Ἀλεύα τοῦ Πύρρου διῃρῆσθαί φησιν εἰς δ' μοίρας τὴν Θετταλίαν.

ib. καὶ] κατὰ Pflugkius.

19. Post ὁπλίτας δὲ ἀγδοήκοντα excidit cetratorum numerus, nisi forte scripsit Aristoteles ὁπλίτας δὲ ἀγδοήκοντα πελταστάς vel simile, siquidem cetrati nonnunquam annumerantur. v. Achill. Tat. 3, 13. VATER. p. 157. ὁπλίτας in πελταστάς mutat Pflugkius.

20. οὐδ' addidi e locis grammaticorum supra allatis.

ib. αἰγὸς] Scribendum saltem αἰγὸς δὲ, nisi Aristoteles scripsit ut est

δέρματι περιτεταμένη, καὶ ἄκοντα ἢ μικρὸν δόρυ πάντες ἐφόρουν, ὃ σχέδιον ἐκαλεῖτο."

318. ἔρπει κατάντης: κατῆι..... οὐ ταλαιπορ... καὶ εὐπετλ... ὡσανεὶ ἔλεγεν, οὐ προσάντης οὐδὲ δύσβατος.

322. ἡνίκ' ἐξώστης Ἄρης: ἀπὸ μεταφορᾶς τῶν ἀνέμων τῶν ἐξωθούντων τὰ σκάφη· λέγει δὲ οὕτως τὸ βίαιον. τινὲς δὲ ἐξώστης ἀντὶ τοῦ πρὸ τοῦ ἄστεος καθήμενος.

329. σύ τ' εὖ παραινεῖς: ἐπεὶ καλῶς παρῄνεσεν ὁ ἄγγελος τὸν Ῥῆσον εἰς συμμαχίαν δέχεσθαι, λειπὸν ἥξει.

342. Ἀδράστεια μέν: ἰδικῶς τὴν Ἀδράστειαν Διός φησι παῖδα, ἄλλων τροφὸν τοῦ Διὸς φασκόντων. ἔστι δὲ καὶ ἐν τῇ Καρίᾳ Ἀδράστειας πεδίον ἀπὸ Ἀδράστου τοῦ βασιλέως, ἀφ' οὗ καὶ ὁ δαίμων. ἄλλοι δὲ Μελισσέως μὲν τοῦ Κρητὸς, ἀδελφὴν Κυνοσούρας, Διὸς τροφόν. Καλλίμαχος "σὲ δ' ἐκοίμισεν Ἀδρήστεια λίκνῳ ἐνὶ χρυσέῳ." ἔνιοι ἑτέραν μὲν Ἀδράστειάν φασιν, ἑτέραν δὲ Νέμεσιν· οἱ μὲν Ὠκεανοῦ φασιν εἶναι θυγατέρα, οἱ δὲ Διὸς καὶ Δήμητρος, γεννηθῆναι δὲ ἐν Ῥαμνοῦντι τῆς Ἀττικῆς.—μὴ φθονήσειεν ἡ Ἀδράστεια ἐπὶ τοῖς λεχθεῖσι περὶ τοῦ Ἕκτορος ἢ ἐπὶ τοῖς μέλλουσι λεχθῆναι, ὃ καὶ ἄμεινον.

347. ἥκεις ὦ ποταμοῦ παῖ: οὐκ εἴρηκε τίνος Μουσῶν ὁ Ῥῆσος εἴη παῖς. Κλειοῦς μέντοι λέγουσιν αὐτὸν εἶναι, καθάπερ Μαρσύας ὁ νεώτερος ἐν τοῖς Μακεδονικοῖς ..... τῶν κακοβρῖ γράφων οὕτως "εἰσὶ δὲ οἳ καὶ περὶ τούτου εἶπον τοῦτο· Κλειὼ τὴν θεὸν ὑπὸ τοῦ

apud scholiastam Platonis, οὐδὲ βοὸς, ἀλλ' αἰγὸς —, quod probabilius.

1. ἄκοντα Pflugkius. τριακόντα A. ex quo Muellerus in Fragm. Hist. vol. 4. p. 656. τρία ἄκοντα fecit.

ib. μικρὸν Pflugkius. μακρὸν A. Σχέδιον δόρυ Hesychius exp. ὃ ἀκοντίζεται ἐκ τοῦ σύνεγγυς. et σχέδια, ὅπλα τὰ ἐκ χειρὸς τιτρώσκοντα. Fuit igitur non μακρὸν, sed μικρὸν δόρυ.

3. 4. Verborum corruptorum sensus esse videtur, fortunam adjuvare non miseros (ταλαιπώρους) et debiles (εὐτελεῖς), sed felices. VATER. p. 157.

6. τινὲς δὲ—καθήμενος] Interpretatio inepta.

10. Ἀδράστεια] ἀδράστια A. et infra ἀδραστία, ἀδραστίας et ἀδραστίαν.

14. Καλλίμαχος] Hymno in Jovem 47.

ib. Ἀδρήστεια] ἀδραστία A.

22. ἐν τοῖς Μακεδονικοῖς Hermannus Opusc. vol. 5. p. 190. ἐν τ'... οἰκοδομῖ .. A.

ib. ... τῶν κακοβρῖ] περὶ τῶν κακομόρων Hermannus parum probabiliter. περὶ τῶν κατὰ Ῥῆσον Muellerus in Appendice ad Arrian. ed. Duebner. p. 45.

23. τοῦτο Hermannus. τοῦτον A.

Στρυμόνος ἐκ τοῦ χορεῦ τῶν Μουσῶν νυμφευθῆναι τεκνῶσαί τε τὸν Ῥῆσον." καὶ μετ' ὀλίγον "ἔστιν ἱερὸν τῆς Κλειοῦς ἐν Ἀμφιπόλει ἱδρυθὲν ἀπέναντι τοῦ Ῥήσου μνημείου ἐπὶ λόφου τινός." ἔνιοι δὲ Εὐτέρπης αὐτὸν γενεαλογοῦσι, καθάπερ Ἡράκλειτος. φησὶ δέ· "ἑβδόμη δὲ Καλλιόπη ποίησιν εὗρε πεπμάτων, καὶ συνοικήσασα Οἰάγρῳ γεννᾷ Ὀρφέα, τὸν πάντων μέγιστον ἀνθρώπων ἐν τῇ κιθαρῳδικῇ τέχνῃ γενόμενον, πρὸς δὲ καὶ τῆς ἐγκυκλίου μαθήσεως συγκρεματικώτατον· ὀγδόη δ' Εὐτέρπη, ἣ τὴν κατ' αὐλεῖν εὗρεν ἐνέπειαν, συνοικήσασα Στρυμόνι ἐντεκνοῖ Ῥῆσον, ὃς ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἀναιρεῖται." οἷς καὶ Ἀπολλόδωρος ἐπηκολούθησε γράφων οὕτως "τὰς μὲν Μούσας οἱ μὲν πλεῖστοι παρθένους παραδεδώκασι· γράφεται δὲ εἶναι Οὐρανίας μὲν Λίνον, Καλλιόπης δὲ Ὀρφέα, Μελπομένης δὲ Θάμυριν, Εὐτέρπης δὲ Ῥῆσον, Τερψιχόρης δὲ Σειρῆνας, Κλειοῦς δὲ Ὑμέναιον, τῶν δὲ λοιπῶν Θαλείας Παλαίφατον, ἐκ δὲ Πολυμνίας Τριπτόλεμον· Ἐρατὼ δὲ ἐρασθῆναι μὲν Ὑακίνθου, τελευτήσαντος δὲ αὐτοῦ μηδένα μηδ' υἱὸν γενέσθαι αὐτῶν."

351. μελῳδοῦ Μούσας: τὸ ὄνομα τῆς Μούσης οὐκ εἴρηκε, φησὶ δὲ ὅτι διαβαίνουσαν διὰ τοῦ Στρυμόνος ὁ ποταμὸς ἔγκυον ἐποίησε. μήποτε δὲ ἐπ... τὴν ἱστορίαν.

1. χορεῦ Hermannus. χρόνου A.
ib. τεκνῶσαι Hermannus. τεκῶ A.
5. πεπμάτων Hermannus. πάντων A.
ib. συνοικήσασα Οἰάγρῳ Hermannus. συνοικήσαντα ἀγρῷ A.
7. συγκρεματικώτατον] συγκρεματικώτερον A. Correxi terminationem, sed intactum reliqui vitium alterum, quod non sanavit Hermannus, qui συγκριματικώτατον scripsit. Requiritur adjectivum ἐμπειρότατον significans.
9. ἐντεκνοῖ Hermannus. ἐντεκνῶ A.
10. Ἀπολλόδωρος] Quae hic leguntur, iis contraria prorsus sunt quae de Musarum filiis idem narravit Apollodorus Biblioth. 1, 3, 2. seqq.: ut ex alio Apollodori libro haec hausta esse minime dubitem. Apollodorum vero aliis locis alia tradidisse nemo erit qui miretur, praesertim quum in ipsa bibliotheca multa insint pugnantia. De Musarum vero filiis apud grammaticos tanta est dissensio ut omnino haec nequeant componi. VATER. p. 163.
11. γράφεται Amatius. γράφει A.
ib. δὲ εἶναι Οὐρανίας μὲν Λίνον Hermannus. δὲ οὐρανίας μέλινον A.
12. δὲ post Καλλιόπης addidit Hermannus.
13. Σειρῆνας Vaterus collatis scholiis Apollon. Rh. 4, 896. et Lycophr. 671. 712. σειρῆνα A.
14. δὲ post Ἐρατὼ (ἐρατῶ A.) addidit Hermannus.
16. μηδ' υἱὸν Hermannus. κἀδεῖνον A. τὸν υἱὸν Vaterus.
ib. αὐτῶν] αὐτῆς Vaterus.
18. ὁ ποταμὸς L. Dindorfius. ὁπότε A.
ib. ἐπ...] ἐποίησε Kampmannus. ἔπεται τῇ ἱστορίᾳ Vaterus.

356. βαλιαῖσιν: οὐ κυρίως νῦν τῇ λέξει κέχρηται, λευκὰς γὰρ εἶχεν, ὡς καὶ ἀνωτέρω αὐτὰς ἔφη. δύναται δὲ ἀντὶ τοῦ ταχείαις.

360. ἆρά ποτ' αὖθις: ἆρά ποτε, φησὶν, ὑποστρεψάντων τῶν Ἑλλήνων ἡμεῖς μετὰ εὐφροσύνης διάξομεν καὶ δι' ὅλης ἡμέρας ἄξει καὶ τελέσει ἡ πόλις τοὺς ἐν τοῖς συμποσίοις χοροὺς ταῖς τῶν κυλίκων φιλοφρονείαις. λέγει δὲ τὰς προπόσεις ἀπὸ τῆς συνεκδοχῆς· οἰνοπλανήτοις δὲ ταῖς διὰ τοῦ οἴνου παραγούσαις τὸν νοῦν.

364. ὑποδεξίαις: ὑποδεκτικαῖς, ἀπὸ τοῦ κύλικος. λέγει δὲ τὰς προπόσεις ἀπὸ τῆς συνεκδοχῆς. ἀμίλλαις: φιλοφρονείαις κυλίκων, οἷον πόσεων. οἰνοπλανήτοις ταῖς διὰ τοῦ οἴνου παραγούσαις τὸν νοῦν.

372. διχμίαν: πλαγίαν μετεωρίζων τὴν πέλτην παρὰ τὴν σχιστὴν αὐτῆς περιφέρειαν.

πεδαίρων: κουφίζων, ἐκ τοῦ πέδου αἴρων.

373. σχιστὰν παρ' ἄντυγα: σχιστὴν λέγει παρόσον οἱ πυρριχίζοντες διαβαίνουσιν, ἢ ὅτι ἡ πέλτη τετράγωνός ἐστιν ἐξοχὰς ἔχουσα.

379. φίλτατον ἄχθος οἴσει: ἡδὺ γὰρ αὐτῇ τοὺς πολεμίους παθεῖν.

381. ταῦτα πρὸς τὸν Ῥῆσον ἀποστρέψαντες λέγουσιν "ὦ μέγα βασιλεῦ," ὁρῶντες δὲ αὐτόν.

τὸ ἑξῆς, καλὸν ἰδεῖν χρυσοκόσμητον.

384. κωδωνοκρότους: ἐν γὰρ τοῖς πόρπαξιν εἶχον κώδωνας.

393. παῖ τῆς μελῳδοῦ μητέρος: οἱ μὲν Κλειοῦς, οἱ δὲ Εὐτέρπης. Ὅμηρος δὲ Ἠϊονέως φησίν

ἐν δέ σφι Ῥῆσος βασιλεὺς, παῖς Ἠϊονῆος.

397. τοὐπὶ σ': κατὰ τὸ σὸν μέρος.

405. Ἕλλησιν ἡμᾶς: ὅσον ἦν ἐπὶ σοὶ προδέδωκας ἡμᾶς καὶ εἴασας. λείπει ἡ κατά, κατὰ τὸ σὸν μέρος.

2. εἶχεν] ἐχρῆν L. Dindorfius.
ib. ἀνωτέρω] v. 304.
4. ἄξει καὶ τελέσει L. Dindorfius. σει ἔξει καὶ τελ A.
6. τῆς συνεκδοχῆς Vaterus. τ'... συνεκδ... A. hic et in scholio proximo.
10. οἰνοπλανήτοις] οἰνοπλανήτων A.
11. πλαγίαν] πλαγείαν A.
21. χρυσοκόσμητον explicatio est vocis χρυσάδετον v. 383., reliqua inepta. VATER. p. 170.
23. Εὐτέρπης Vaterus. εὐρωπ... A.
24. Ὅμηρος] Il. 10, 435.
25. Ἠϊονῆος] ἠϊονέως A.

417. ψυχρὰν ἄησιν: τὸν χειμῶνα. τοῦ εἶναι αὐτοὺς εὔνους ἡμῖν ἀπόδειξίς ἐστι τὸ κεῖσθαι αὐτοὺς ἐν τῇ πόλει καὶ ταφῆναι.

419. ἄμυστιν: οἱ μὲν ποτηρίου εἶδος ἐπιτηδειότητα ἔχον πρὸς τὰς ἀμυστὶ πόσεις, ὡς ἐν Αὔγῃ

σὺν τῷ βαθείας καὶ πυκνὰς
ἕλκουσι τὰς ἀμύστιδας.

ἄλλοι δὲ ἐπὶ τῆς ἀπνευστὶ σπάσεως τάττουσι τὸ ὄνομα, ὡς Κρατῖνος

ἀλλ' οἶν θεῷ σπείσαντ' ἄμυστιν δεῖ πιεῖν.

427. μέλλοντι νόστον: ὅτι νόστον ἁπλῶς τὴν ὁδὸν καὶ τὸν πλοῦν ἔφη. καὶ γὰρ ἔπλευσε καὶ ἐπέζευσεν, ὡς ἐξῆς ἐρεῖ, οὐ μόνον τὴν εἰς τὴν πατρίδα ὑποστροφήν.

430. ἔνθ' αἱματηρός: ὡς πέμμα ξηρανθὲν τὸ αἷμα τοῦ φόνου. ἀκύρως δὲ κέχρηται τῷ πέλανος, ἄμεινον δὲ ἑτέρωθι εἶπεν ἀφρῷδη πέλανον διὰ τὴν λευκότητα. οὕτως γὰρ ἔλεγον πελάνους τὰ πόπανα ἀπὸ τοῦ πεπλατύνθαι, ἢ ἀπὸ τῆς παιπάλης· ἀπὸ γὰρ τοῦ λεπτοτάτου κατασκευάζονται· καὶ Ὅμηρος τὸ λευκᾶναι παλῦναι· " ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας."

αἱματηρὸς πέλανος] ὡς πέμμα ξηρανθὲν τὸ αἷμα τοῦ φόνου. Fl. 1. 2.

440. φυσήματα: πνεύματα. Fl. 2.

442. πορπήμασιν: ἐνδύμασιν. Fl. 2.

446. κυβεύων: ἀνωμάλως διατιθέμενος, ἐκ μεταφορᾶς τῆς κύβης. Fl.

469. ἀποινάσαιο: εἰσπράξαιο, τιμωρήσαιο.

474. εἰ τοῦ παρόντος: πολλὰ ἂν εὐχαριστήσαιμι τοῖς θεοῖς, εἰ τοῦ παρόντος ἀπαλλαγείς κακοῦ τὴν παλαιὰν λάβοιμι κατάστασιν.

1. τοῦ Vaterus. τῶν A.
4. Αὔγῃ] Haud dubie Euripidis, etsi Eubuli quoque et Philyllii comicorum fabulae fuerunt Αὔγη inscriptae. αὐτῇ A., quod correxit Hermannus Opusc. vol. 5. p. 189.
5. τῷ] Quidni ᾧ?
7. σπάσεως Hermannus. τάσεως A. πόσεως L. Dindorfius.
9. θεῷ σπείσαντ' ἄμυστιν δεῖ πιεῖν L. Dindorfius. θεὸν πείσαντες μῦστιν δεῖ ποιεῖν A.
14. ἑτέρωθι] Orest. 220.
16. παιπάλης] πεπάλης A.
17. Ὅμηρος] Il. 10, 7.
26. ἂν et κακοῦ addidit Vaterus.
27. λάβοιμι Vaterus. λάβω A.

480. *οὐ τούσδ' ἀριστέας: ἐν ἐρωτήσει τοῦτο προενεκτέον· οὐχ οὗτοί εἰσιν οἱ ἄριστοι τῶν Ἑλλήνων οἱ ἐνταῦθα ἐλθόντες;*

481. *κοὐ μεμφόμεσθά γ': καὶ οὐκ ἐκφαυλίζομεν αὐτούς, ἀλλὰ πάντα κινοῦμεν πρὸς τὸ ἀποστῆσαι αὐτούς, ὅμως ἐλαύνομεν αὐτοὺς καὶ πολεμοῦμεν. ἡ δὲ καλὴ ἐξήγησις αὕτη· καὶ οὐκ ἐκφαυλίζομεν αὐτούς, ἀλλὰ πάνυ κάμνομεν καὶ ἄγαν ἐμφορούμεθα τοῦ κόπου μαχόμενοι αὐτοῖς· καὶ Ὅμηρος*

ἀλλ' ἔτι μέν μιν φημι ἄδην ἐλάαν κακότητος,

ὅ ἐστιν ἐμφορηθῆναι.

482. *οὐκοῦν κτανόντες: εἰ οἷν τοὺς ἀρίστους αὐτῶν ἀναιρήσομεν, πάντα διεπραξάμεθα· ῥᾴδιον γὰρ καὶ τὸ Ἄργος πορθῆσαι τούτων ἀπολλυμένων.*

483. *ἀρκεῖν ἔοικεν: ἀντὶ τοῦ παραιτῇ τὸ παθεῖν, δρᾶσαι δὲ οὔ. ἀντὶ τοῦ ἡδέως εἶχες καὶ τοῦ πρᾶξαι, εἰ μὴ ἠλαβοῦ τὸ παθεῖν. πρὸς ὃν Ἕκτωρ "ναὶ" φησὶ "παραιτοῦμαι τὸ παθεῖν, πολλῆς γὰρ ἄρχω τυραννίδος," οἷον τὰ ἐνταῦθα ἀρκεῖ μοι. Ἄλλως. οἷον τὸ παθεῖν παραιτῇ, πρᾶξαι δέ τι οὐ παραιτῇ.*

485. *ἀλλ' εἴτε λαιόν: ἐν οἷς, φησὶ, βούλει μέρει τῆς παρατάξεως ἕξεστί σοι τὰς πέλτας, τουτέστιν τοὺς σοὺς ὑπηκόους, στῆσαι.*

494. *ἀλλὰ μηνίων: μηνίων. τινές φασιν ὅτι οὐ δύναται ὑφ' ἓν εἶναι μηνίων ἀντὶ τοῦ ὀργιζόμενος, ἐπεὶ τὰ εἰς ῶ καθαρὸν λήγοντα ὑπὲρ δύο συλλαβὰς ἐκτείνει τὸ ἰῶτα. ἔστι δὲ παρ' Ὁμήρῳ συστολὴ αὐτοῦ·*

αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος.

διὸ καὶ οὕτως ἀναγνῶναι οὐδὲν κωλύει τῆς χρήσεως ἐχούσης.

499. *κρότημ' Ὀδυσσεύς: οἷον συγκρότημα, μηχάνημα καὶ ἱκανῶς τὸ φρόνημα θρασύς.*

1. προενεκτέον Vaterus. προσενεκτέον A.
6. κόπου Cobetus. σκόπου A.
7. Ὅμηρος] Od. 5, 290.
8. ἄδην om. A.
10. ἀναιρήσομεν] ἀνῃρήσαμεν vel ἀνῃρήκαμεν Vaterus.
15. ἓν] ἑ Vaterus.
ib. ναὶ, φησὶ Cobetus. φησὶ ναί φησι A.
ib. πολλῆς] πολλ... A.
19. τὰς πέλτας Vaterus. τοὺς πέλτας A.
21. οὐ δύναται ὑφ' ἓν] Fuerunt igitur qui μὴν ἰών legerent.
22. ῶ Cobetus. ὧν A.
23. Ὅμηρῳ] Il. 1, 488.
27. Ὀδυσσεύς] ὀδυσεὺς A. hic et alibi.

502. κλέψας ἄγαλμα: παρὰ τοὺς χρόνους· ὕστερον γὰρ τούτων τὸ Παλλάδιον ἔκλεψε· μέμνηται δὲ αὐτοῦ Ὅμηρος

θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν.

508. Θυμβραῖον ἀμφὶ βωμόν: παρὰ τὴν ἱστορίαν. ὁ γοῦν Διονυσόδωρος ἐν τοῖς παρὰ τοῖς τραγῳδοῖς ἡμαρτημένοις φησὶν οὕτως "ὁ δὲ Εὐριπίδης τὸ τοῦ Ἀπόλλωνος ἄλσος τοῦ Θυμβραίου στάδια πεντήκοντα ἀπέχον τῆς πόλεως πλησίον τῶν πυλῶν εἶναί φησι." δύναται δὲ καὶ στίζεσθαι εἰς τὸ βωμόν, ἢ ἄστεος πέλας. οὐδὲν γὰρ τὸ κωλῦον.

509. κακῷ δὲ μερμήρῃ: μήποτε πρὸς τὸ χεῖρον μετέστραπται ἀπὸ τοῦ Τερμέρου, ἵν' ᾖ παρὰ τὴν παροιμίαν "Τερμέρια κακά," ὑπὲρ ὧν Φίλιππος ἐν τῷ περὶ Καρῶν συγγράμματί φησιν οὕτως· Τέρμερον καὶ Λύκων Λέλεγας γενέσθαι θηριώδεις τὴν φύσιν. τοῦτον δὲ τὸν Τέρμερον πόλιν οἰκίσαι, ἣν δὴ ἀπ' αὐτοῦ Τέρμερον ὀνομάσθαι. τού-

2. Ὅμηρος] Il. 6, 92.

4. Διονυσόδωρον] Dionysodorum Alexandrinum, memoratum ab schol. Hom. Il. 2, 111. intelligit Vaterus p. vii. Liber quo τὰ παρὰ τοῖς τραγῳδοῖς ἡμαρτημένα tractavit aliunde non cognitus. Immerito autem, ut monet Vaterus p. 192., Euripidem vituperavit Dionysodorus novam Ilium cum vetere confundens, ut apparet ex verbis Strabonis 13. p. 598. τό τε "πρὸς Θύμβρης δ' ἔλαχον Λύκιοι" (Il. 10, 430.) οἰκειότερόν ἐστι τῷ παλαιῷ κτίσματι (Trojae)· πλησίον γάρ ἐστι τὸ πεδίον ἡ Θύμβρα καὶ ὁ δι' αὐτοῦ ῥέων ποταμὸς Θύμβριος, ἐμβάλλων εἰς τὸν Σκάμανδρον κατὰ τὸ Θυμβραίου Ἀπόλλωνος ἱερόν· τοῦ δὲ νῦν Ἰλίου καὶ πεντήκοντα σταδίους διέχει. Decem stadia computantur apud Hesych. Θύμβρα· τόπος τῆς Ἰλίου, περὶ τὸν Θύμβριον (Θύμβρον codex) λεγόμενον ποταμόν, οὕτως ὀνομασθέντα — —, τῆς ἀρχαίας πόλεως ἀπέχοντα σταδίους δέκα, ὅπου γε καὶ ἱερὸν Ἀπόλλωνος Θυμβραίου.

6. στάδια—πυλῶν] στάδιον ἀπέχει τῆς πλ μετὰ τῶν πυλῶν A. Correxit Cobetus. Numerum stadiorum ex Strabone restituerat L. Dindorfius, στάδιον in στάδια ν' mutato.

8. δύναται δὲ addidit L. Dindorfius.

ib. τὸ βωμὸν Cobetus. τὸν βωμὸν A. "Voluit scholiasta plenius distingui post βωμόν, et deinde aut ἢ ἄστεος πέλας scribi, aut ἢ subaudiri saltem, qua distinctione sane refutasset Dionysodorum, si opus esset conjecturis." VATER. p. 193.

9. κωλῦον] κωλύον A.

10. μήποτε—] Inepte scholiasta vocem μέρμερον ob Termerum, a quo proverbium Τερμέρια κακὰ derivatur, in malam partem cessisse suspicatur. Notavit Vaterus, quem v. p. 194.

11. ὑπὲρ] περὶ Vaterus.

12. Φίλιππος] Philippum dicit Theangelensem, cujus inter Καρικῶν fragmenta hunc locum posuit Muellerus vol. 4. p. 475.

13. τοῦτον] τούτων Vaterus p. 194.

τους δέ φασι πρώτους λῃστεῦσαι καὶ οὐ μόνον τὰ περὶ Καρίαν, ἀλλὰ καὶ σχεδίας ἐκ ῥιπῶν ποιήσαντας εἰς Κῶ ἐκπλεῖν.

521. *ξύνθημα δ' ἡμῖν Φοῖβος*: *σημεῖον τοῦ μὴ ξένους καὶ πολεμίους εἶναι δίδωσιν αὐτῷ τὸ ὄνομα λέγειν τοῦ Φοίβου.*

προταινί: *Παρμενίσκος τὴν προταινὶ λέξιν Βοιωτικὴν φησι καὶ μετ' οὐδεμιᾶς πίστεως. σημαίνει δὲ τὸ ἔμπροσθεν.*

529. *τοῦ σκορπίου.* Gl.

πρῶτα δύεται σημεῖα: *Κράτης ἀγνοεῖν φησι τὸν Εὐριπίδην τὴν περὶ τὰ μετέωρα θεωρίαν διὰ τὸ νέον ἔτι εἶναι ὅτε τὸν Ῥῆσον ἐδίδασκε. μὴ γὰρ δύνασθαι Πλειάδων καταδυομένων τὸν ἀετὸν μεσουρανεῖν. ὑπὸ γῆν γάρ ἐστι τότε ὁ αἰγόκερως, ἐφ' οὗ ὁ ἀετὸς ἵδρυται. καὶ ἔτι Πλειάδων δυομένων ὑπὲρ μὲν γῆς εἰσὶ ζῴδια τάδε, ταῦρος, δίδυμοι, καρκίνος, λέων, παρθένος, ζυγός· ὑπὸ γῆν δὲ τάδε, σκορπίος, τοξότης, αἰγόκερως, ὑδροχόος, ἰχθῦς, κριός. καὶ ταῦτα μὲν ὁ Κράτης. ἔοικε δὲ ὑπὸ τῆς φράσεως ἀμφιβόλου οὔσης ἐξηπατῆσθαι· τὰ γὰρ πρῶτα σημεῖα καὶ τὰς Πλειάδας ᾠήθη καταδύεσθαι λέγειν τὸν Εὐριπίδην. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τὰ μὲν πρῶτα σημεῖα τῆς φυλακῆς φησι δύεσθαι, τὰς δὲ Πλειάδας ἀνατέλλειν. πῶς γὰρ ἐπὶ καταδυομένων αἰθερίας εἶπεν αὐτάς; ὥστε τριχόθεν τὸν καιρὸν ὑπὸ τῶν φυλάκων δηλοῦσθαι, ἀπὸ τῆς δύσεως, ἀνατολῆς καὶ μεσουρανήματος. ὁ μὲν οὖν Παρμενίσκος πρῶτα σημεῖά φησι λέγεσθαι τὰς τοῦ σκορπίου πρώτας μοίρας διὰ τὸ ὑπὸ τῶν ἀρχαίων οὕτως αὐτὰς λέγεσθαι καὶ ὅτι ταύταις ὁ Βοώτης ἅμα ἄρχεται καταδύεσθαι. Κλεόστρατον γοῦν τὸν Τενέδιον ἀρχαῖον οὕτως·*

ἀλλ' ὁπόταν τρίτον ἦμαρ ἐπ' ὀγδώκοντα μένῃσι
σκορπίος, εἰς ἅλα πίπτει ἅμ' ἠοῖ φαινομένῃφι.

2. *ἐκ ῥιπῶν* Cobetus. *καὶ ῥιπῶν* A.
ib. *ἐκπλεῖν*] *ἐξπλεῖν* A.
6. *οὐδεμιᾶς*] *οὐδὲ μιᾶς* A.
10. *τὸν ἀετὸν*] *τοῦ αἰετοῦ* A. Correxit Cobetus.
11. *ἐφ' οὗ* Amatius. *ἐφ' ᾗ* A.
ib. *ἀετὸς*] *αἰετὸς* A.
13. *δίδυμοι, καρκίνος* Vaterus. *διδυμος καρκῖνος* A.
15. *ἀμφιβόλου οὔσης ἐξηπατῆσθαι* Cobetus. *ἀμφ..... κεκρατῆσθαι* A.
20. *ἀπὸ* Cobetus. *ὑπὸ* A.
24. *Κλεόστρατον*] In *Ἀστρολογίᾳ*, ut monet Vaterus, quod carminis nomen memoravit Athenaeus 7. p. 278 B.
ib. Post *ἀρχαῖον*, quod ex *ἀστρολόγον* corruptum videri potest, aliquid excidit. Desideratur enim verbum a quo pendeat accusativus *Κλεόστρατον*.
25. *ὀγδώκοντα* correxi pro *ὀγδοήκοντα*. *ὀγδώκοντα* est apud Homerum Il. 2. 568. 652. aliosque.
26. *σκορπίος* Kampmannus. *σκορπίου* A.

τοῦτο δὲ παραδείξας ὁ Παρμενίσκος ὅτι καταδύεται τὰ πρῶτα σημεῖα τοῦ σκορπίου καὶ τὰ περὶ τῆς Πλειάδος ἐπιτολῆς ἐπέξεισιν· ὅταν γὰρ, φησὶν, Εὐριπίδης λέγῃ "καὶ ἑπτάποροι Πλειάδες αἰθέριαι," οὐ δύεσθαι τότε αὐτὰς, ἀλλ' ἔμπαλιν ἀνατέλλειν ἐκ τοῦ ὑποτμήματος εἰς τὸν ὑπερορίζοντα ἀνιούσας. καὶ τοῦτο εἶναι τὸ "καὶ ἑπτάποροι Πληϊάδες," οἷον ὡς τὸν ὡς πρὸς ἡμᾶς οὐρανὸν ἀφικνούμεναι. ταῦτα δὲ καταστησάμενος, ὁμολογεῖ, φησὶ, τοῖς Εὐριπίδου τὰ φαινόμενα. τὰ μὲν πρῶτα σημεῖα τῆς ὥρας εἰς δύσιν κεχώρηκεν, ἡ δὲ Πλειὰς ἀνατέλλει, ὁ δὲ ἀετὸς πρὸς τὸ μέσον κεχώρηκε. λοιπὸν οὖν τῆς φυλακῆς ὁ καιρός· "ἔγρεσθε, τί μέλλετε." ἑπτάπορον δὲ τὴν Πλειάδα, ὅτι ἐξ ἑπτὰ ἀστέρων σύγκεινται αἱ Πλειάδες. ἀετὸς δὲ ὁ τὸ ἧπαρ τοῦ Προμηθέως ἐσθίων, ὥς φασί τινες. Ἄλλως. τῶν περὶ τὸν Μενεκράτη ἐν διδύμοις τὸν ἥλιον λεγόντων, ἐν ᾧ τὰ τῆς καταστάσεως τῶν φαινομένων ὅπως εἶχε πρόκειται. εἰσὶ δὲ οἵ φασι περὶ τὰς ἐσχάτας μοίρας τοῦ καρκίνου εἶναι τότε τὸν ἥλιον. οὐ γὰρ ἂν μόνως τὴν σελήνην πρὸς ἀνατολὴν ἔσεσθαι συνάγεσυιν οὗτως ὃ βούλονται. εἰ μὲν γὰρ πάλαι τὴν σελήνην ὡς ἐν τρισὶν ἡμέραις τοῦτον (γρ. τὰ προεκκείμενα) οἱ φύλακες εὐήθεις ἱκανῶς ἔσονται. εὔλογον γὰρ ..... (ζήτει τὸ λεῖπον).

540. Κίλικας Παίων: οἱ μὲν τοὺς Κίλικας καὶ τοὺς Παίονας τοὺς αὐτοὺς ἤκουσαν. Ἀρίσταρχος δὲ Κόρινθον Παιόνων ἡγεμόνα

4. ἐκ τοῦ ὑποτμήματος εἰς τὸν ὑπερορίζοντα] Verba corrupta. ἐκ τοῦ ὑπὸ γῆν (vel τὴν γῆν) τμήματος ὑπὲρ τὸν ὁρίζοντα L. Dindorfius in Thesauro vol. 8. p. 456.

6. ἀφικνούμεναι] ἀφικνούμενα A.

8. ὥρας] φρουρᾶς Vaterus p. 200., collato quod scholiasta supra dixit τὰ πρῶτα σημεῖα τῆς φυλακῆς φησι δύεσθαι. ὥρας defendit Idelerus apud Vaterum, monens signiferum in duodecim signa (ζῴδια) sive viginti quattuor horas dividi.

10. φυλακῆς] πέμπτης φυλακῆς Vaterus.

12. ἐσθίων (vel κείρων) addendum esse vidit Cobetus.

13. Μενεκράτη] Menecratem Ephesium, qui Arati Solensis magister dicitur ab Suida s. v. Ἄρατος, intelligit Vaterus p. 200.

ib. ἥλιον hic et paullo post in A. usitata nota tachygraphica scriptum, qua modo ἥλιος modo Ἀπόλλων significatur: v. Bast. Comm. paleogr. p. 834.

18. γρ. τὰ προεκκείμενα] Significant ea verba: γράφε τὰ προεκκείμενα, huc inserenda esse quae supra alieno loco essent apposita et pertinent ad codicem, quem librarius describebat. COBET.

20. Παίων—Παίονας] παιὼν—παιόνας A.

21. τοὺς ante αὐτοὺς addidit Vaterus.

ib. Κόρινθον Παιόνων ἡγεμόνα] Recessit in hoc Euripides ab Homero

καὶ τὴν φυλακὴν ποτὲ μὲν ἀπὸ τοῦ ἡγεμόνος, ποτὲ δὲ ἀπὸ τῶν ἑπηκόων.

541. Μυσοὶ δ' ἡμᾶς: ὡς Μυσῶν διαδεχομένων Κίλικας. Κίλικες γὰρ μετὰ Παίονας, εἶτα Μυσοί, εἶτα Τρῶες, εἶτα πέμπτοι Λύκιοι.

547. κοίτας φονίας: διὰ τὰ τολμηθέντα ἐπὶ τῷ Ἰτύλῳ· λείπει δὲ τὸ ὡς, ὡς ἐπὶ τοῦ Σιμόεντος ὑμνεῖ τὴν μίξιν, αἰῶ. γράφεται καὶ θρηνεῖ καὶ ἔξωθεν λαμβάνεται ἡ ἐπί καὶ τὸ ὡς, ὡς ἐπὶ τοῦ Σιμόεντος ἐζομένη θρηνεῖ τὰς φονίας κοίτας ἡ ἀηδών.

550. μελοποιὸς ἀηδονίς: λέγεται γὰρ ἡ Πρόκνη μετὰ τὸ κρεανομεῖσθαι Ἴτυν τὸν υἱὸν διὰ τὴν λύπην μεταβληθῆναι εἰς ὄρνιν· καὶ ἡ μὲν Πρόκνη εἰς ἀηδόνα μετεβλήθη, ὡς καὶ ἡ Φιλομήλα εἰς χελιδόνα.

674. σκηπτοῦ πιόντος: πρὸς τὰ ναύσταθμα αἰφνιδίου κεραυνοῦ σφοδροῦ ἐπελθόντος.

675. ἔα ἔα: ὁ χορὸς λέγει αἴσθησιν λαβὼν τῶν γεγονότων.

691. ἀλλὰ συμμάχους: ἀλλὰ δεινόν, φησί, τοὺς συμμάχους ταράττειν νυκτὸς οὔσης.

711. ὕπαφρον] ὕπαφρος ὁ μὴ φανερός, ἐκ μεταφορᾶς τῶν ὑπ' ἀφρὸν νηχομένων, ἢ τῶν ὑφάλων πετρῶν αἷς ἐπανθεῖ ἀφρός· ἢ ὁ καταπληκτικός, ὁ μανικός. Fl. 2.

715. βίον δ' ἐπαιτῶν: τροφὴν αἰτῶν.

716. ψαφαρόχρουν: τὸ χ ὅτι φαλακρὸν αὐτόν φησιν.

724. δυσοίζων: βλασφημῶν ἢ ὀργιζόμενος καὶ λοιδορῶν.

Il. 2, 848. qui Pyraechmem ducem Paeonum facit, ubi vid. Eustath. p. 359. VATER. p. 208.

4. μετὰ Παίονας Vaterus. εἶτα παίονες A. "Quinque vigilias esse ex hoc loco apertum est, at ratio paullo intricatior, ut adeo fefellerit Cratetem ap. schol. ad v. 4. qui Mysos et Cilices eosdem putavit. Similia ii docuere qui in scholio ad v. 540. ab Aristarcho refutantur, qui verum vidit, Coroebum Paeonum ducem fingi, ut haec sit series vigiliarum: 1. Paeones, quorum dux Coroebus, 2. Cilices, 3. Mysi, 4. Trojani, 5. Lycii." VATER. p. 207.

7. ἐπὶ τοῦ Hermannus Opusc. vol. 3. p. 305. ἐπὶ κοίτης τοῦ A.

ib. ὑμνεῖ Hermannus. ὑμνεῖν A.

ib. γράφεται Hermannus. γρ. A.

9. ἐζομένη Hermannus. ἑλόμενοι A.

10. ἀηδονίς] ἀηδὼν A.

ib. κρεανομεῖσθαι Vaterus. κρεανομ... A.

16. λαβὲν Vaterus. λαβεῖν A.

741. διόπων στρατιᾶς: τῶν φροντιστῶν καὶ ἐπιστατῶν.

766. πλῆκτρα: αἱ μάστιγες.

769. φαύλως: ἁπλῶς, ὡς ἔτυχεν.

785. αἱ δ' ἔρεγχον: ἐκ τῶν μυκτήρων ποιὸν ἦχον ἀπετέλουν.

789. μυχθισμὸν νεκρῶν: ποιὸν ἦχον καὶ στεναγμὸν μετὰ πνοῆς γενόμενον.

790. τὸ ἑξῆς, θερμὸς δὲ κρουνὸς αἵματος νέου δεσπότου παρὰ σφαγαῖς δυσθυήσκοντος βάλλει με.

817. μαράγνα] οὕτως παροξύνει ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου. δηλοῖ δὲ τὴν μάστιγα. ἤτοι μαστίγων πλήγμασιν, ἢ τῷ καρατομηθῆναι. Fl. 2.

825. ἔβριξα: βρίξαι κυρίως τὸ μετὰ βορᾶ νωλίγειν κοιμηθῆναι. Fl. 2.

852. τίς δ' ἂν χαμεύνας: τὸ ἑξῆς, τίς ἂν κατ' εὐφρόνην τῶν πολεμίων μολὼν Ῥήσου χαμεύνας ἐξεῦρεν;

855. ᾔσαν: ᾔδεισαν, ἐγίνωσκον.

859. ἐν σοὶ δ' ἂν ἀρχοίμεσθα: ἀρχὴν ἔχομεν τοῦ κακολογεῖσθαι πρῶτον ὑπὸ σοῦ, ἢ σὺ ἡμᾶς πρῶτον ἤρξω κακηγορεῖν.

873. αὐθεντῶν: τῶν Τρώων· αὐτοὺς γὰρ ἐδόκει τοῦ Ῥήσου φονεῖς γενέσθαι. Fl. 2.

895. ἰαλέμῳ αὐθιγενεῖ: τῷ εὐθὺς γενομένῳ θρήνῳ. Gl. καὶ Ἀσκληπιάδης ἐν τοῖς τραγῳδουμένοις πλείοις τῆς Καλλιόπης λέγει παῖδας ἐν τουτ... Καλλιόπῃ γὰρ τὸν Ἀπόλλωνα μιχθέντα γεννῆσαι Λίνον τὸν πρεσβύτατον καὶ τρεῖς μετ' ἐκεῖνον, Ὑμέναιον, Ἰάλεμον, Ὀρφέα· τῷ δὲ νεωτάτῳ τὴν μὲν ἐπιθυμίαν .....ευμάτων

4. Hoc scholion etiam in Fl. 1. 2.

5. Interpretatio ποιὸν στεναγμὸν est etiam in Fl. 1. 2.

7. παρὰ σφαγαῖς] παρασφαγαῖς A.

9. Ἡρωδιανὸς] Non legitur haec notatio in Arcadii Epitome p. 96, 22. ubi de nominibus in να agitur.

12. κυρίως addidi ex Harl. qui κυρίων.

13. τίς δ' ἂν] τίς δ' αὖ A.

14. χαμεύνας ἐξεῦρεν Vaterus. χαμειν...εῦρεν A.

15. In Fl. 2. est gl. ἠπίστατο.

16. ἀρχὴν ἔχομεν τοῦ—ὑπὸ σοῦ, ἢ σὺ Vaterus. ἀρχὴν ... τοῦ—ὑπὸ...σὺ A.

17. κακηγορεῖν] κατηγορ... A.

21. ἐν τοῖς τραγῳδουμένοις πλείοις] ἐν τ'... περὶ δουλ... πλείους A. Correxit Hermannus Opusc. vol. 5. p. 192. collato schol. Pindari Pyth. 4, 313. καὶ Ἀσκληπιάδης ἐν ἕκτῳ τραγῳδουμένων ἱστορεῖ Ἀπόλλωνος καὶ Καλλιόπης Ὑμέναιον, Ἰάλεμον, Ὀρφέα. Cf. etiam schol. Apoll. Rh. 1, 23.

22. ἐν τουτ...] Non satisfacit Vateri correctio ἐν τούτοις.

ib. γεννῆσαι Λίνον τὸν πρεσβύτατον] γεν... λιν... τὸν πρεσβύτερον A. Correxit Hermannus.

23. Ἰάλεμον addidit Hermannus. In A. lacuna.

24. νεωτάτῳ Hermannus. νεωτέρῳ

ἐμπεσεῖν. καὶ περὶ τὴν μουσικὴν ..... πάντων, οὐ μὴν τοιοῦτό γε πάθος ..... γενέσθαι. Ἄλλως. ἰαλέμῳ: φασὶ τὸν ἰάλεμον παρωνομάσθαι ἐπὶ τιμῇ Ἰαλέμου τοῦ Ἀπόλλωνος καὶ Καλλιόπης, ὥς φησι Πίνδαρος,

ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ
ὥριαι παιανίδες· ἔντι .....ελλοντες ἐκισῦ ..στέφ[illegible]
ἐκ διο.....αιόμεναι· τὸ δὲ κοιμίσαν τρ̄...
..... σώματ' ἀποφθιμένων,
ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὕμνει,
ἁ δ' Ὑμέναιον, ὃν ἐν γάμοισι χροϊζόμενον
.....σὺμ πρῶτον λάβεν
ἐσχάτοις ὕμνοισιν, ἁ δ' Ἰάλεμον ὠμοβόρῳ νούσῳ πεδαθέντα σθένος
υἱὸν Οἰάγρου.

A. Lacunam Hermannus sic explere conatus est parum probabiliter, τῷ δὲ νεωτάτῳ τὴν μὲν ἐπιθυμίαν ὀλεθρίαν ἀπ[illegible] ἐμπεσεῖν, οὐ μὴν τοιοῦτό γε πάθος, οἷον λέγουσί τινες, αὐτοῦ γενέσθαι.

2. ἰαλέμῳ: φασὶ τὸν ἰάλεμον] ἰαλέμω ..... λέγον A. Correxit Hermannus, nisi quod φασὶ δὲ scripsit.

4. Πίνδαρος] In Θρήνοις, ut conjecit Schneidewinus in Welckeri et Naekii Museo Rhenano vol. 2. (a. 1833.) p. 113. Fragmentum Pindari in A. tam male habitum est ut plura legi nequeant, aliorum non satis certa lectio sit.

5. Λατοῦς] Hujus nominis vix tenuia in A. vestigia supersunt. χρυσαλακάτου ἔρνεσι Λατοῦς dixit Pindarus Nem. 6, 61.

6. ὥριαι Hermannus. ὥ.... A.

ib. παιανίδες] παιάνιδες A.

ib. ἔντι .....ελλοντες ἐκισῦ... (sic A. secundum Ambroschium apud Schneidewinum, ἐκ κισῦ ... apud Amatium)] ἔντι δ' ἐπαντέλλοντος εὐκίσσου Hermannus.

7. διο.....αιόμεναι] ἐκ διθυράμβου μαιόμεναι Hermannus.

ib. κοιμίσαν] Utrum hoc an κοίμισαν voluerit Pindarus incertum est, quum verba proxima exciderint, quae sic redintegranda esse conjecit Hermannus, τὸ δὲ κοίμισαν τετράζυγον θεαὶ | κᾶδος υἱῶν σώματ' etc., recte, ut videtur, restituta numeri quaternarii mentione. Quattuor enim in sequentibus memorantur filii, Linus, Hymenaeus, Ialemus et Orpheus. Orphei nomen manifestum est in verbis post υἱὸν Οἰάγρου proximis, quae scholiasta non apposuit vel librarius omisit, memoratum fuisse, colligique potest etiam ex scholio ad Pyth. 4, 313. quod Schneidewinus comparavit, Ἀπόλλωνος τὸν Ὀρφέα φησὶν εἶναι, ὃν καὶ αὐτὸς ὁ Πίνδαρος καὶ [illegible] Οἰάγρου [illegible].

9. Λίνον] λινὸν A.

ib. ὕμνει Hermannus. ὑμνεῖν A.

10. Ὑμέναιον, ὃν ἐν γάμοισι Hermannus. ὑμέναιον ἐργάμοισι A.

11. σὺμ πρῶτον λάβεν] Id est πρῶτον σύλλαβεν. In A. συμ̄ πρῶτ... λάβεν. Subjectum verbi μοῖρα esse conjecit Bergkius Poet. Lyr. p. 269.

12. ὕμνοισιν Hermannus. ὕμνοις A.

ib. ὠμοβόρῳ Schneidewinus. ὁμοβόλῳ A.

ib. ὅτι, quod in A. est post νούσῳ, delevit Hermannus.

ib. πεδαθέντα Welckerus. [illegible]θέντοι A.

13. Οἰάγρου Schneidewinus. οἴαγρον A.

ΤΡΩΙΑΔΕΣ.

ΥΠΟΘΕΣΙΣ ΤΡΩΙΑΔΩΝ.

ΜΕΤΑ τὴν Ἰλίου πόρθησιν ἔδοξεν Ἀθηνᾷ τε καὶ Ποσειδῶνι τὸ τῶν Ἀχαιῶν στράτευμα διαφθεῖραι. τοῦ μὲν εὐνοοῦντος τῇ πόλει διὰ τὴν κτίσιν, τὴν δὲ αἰτησάσης τοὺς Ἕλληνας ὑπὲρ τὴν Αἴαντος εἰς Κασάνδραν ὕβριν. οἱ δὲ Ἕλληνες κληρωσάμενοι περὶ τῶν αἰχμαλώτων γυναικῶν τὰς ἐν ἀξιώμασιν ἔδωκαν Ἀγαμέμνονι μὲν Κασάνδραν. Ἀνδρομάχην δὲ Νεοπτολέμῳ. Πηνελόπην δὲ τῷ Ἀχιλλεῖ. ταύτην μὲν οὖν ἐπὶ τῆς τοῦ Ἀχιλλέως ταφῆς ἔσφαξαν. Ἀστυάνακτα δὲ ἀπὸ τῶν τειχῶν ἔρριψαν. Ἑλένην δὲ ὡς ἀποκτενῶν Μενέλαος ἤγαγεν. Ἀγαμέμνων δὲ τὴν χρησμῳδὸν ἐνυμφαγώγησεν. Ἑκάβη δὲ τῆς μὲν Ἑλένης κατη-

2. Ὑπόθεσις Τρῳάδων] Sic inscriptum Argumentum est in Harl. 5743 et Vaticano Palatino 287. Est etiam in A. (Vaticano 909.), et Havniensi : de quibus diximus ad Rhesi ὑπόθεσιν.

3. τὴν om. Havn.

ib. πόρθησιν] πόρθωσιν A.

ib. Ποσειδῶνι] τῷ ποσειδῶνι Havn.

4. διαφθεῖραι] διαφθαρῆναι Harl.

5. Αἴαντος] τοῦ αἴαντος N.

6. Κασάνδραν] Sic A.N. hic et infra, non κασσάνδραν.

ib. οἱ δὲ Ἕλληνες κληρωσάμενοι περὶ των αἰχμαλώτων γυναικῶν τὰς ἐν ἀξιώμασιν] Sic A.N. et sic Harl. quoque, nisi quod post γυναικῶν interpungit et pergit τὰς γὰρ ἐν ἀξιώμασι. Quam scripturam in Ald., haud dubie ex Pal., posuit Musurus, nisi quod ἐκληρώσαντο ex conjectura, ut videtur, scripsit pro κληρωσάμενοι. Falsum est quod ἐκληρώσαντο in A. esse dicitur, qui, pariter ut Neapolitanus, κληρωσάμενοι habet.

8. μὲν om. Havn.

ib. Ἀνδρομάχην δὲ] ἀνδρομάχην μὲν A.

9. τῷ Ἀχιλλεῖ] τῷ om. Havn.

ib. ἐπὶ τῆς τοῦ ἀχιλλέως ταφῆς ἔσφαξαν A. Feminino τῆς ταφῆς offensus corrector aliquis scripsit ἐπὶ τοῦ τοῦ ἀχιλλέως τάφου κατέσφαξαν, quod est in Havn. Alius in Harl. ἐπὶ τῆς τοῦ προειρημένου ταφῆς ἔσφαξαν. et in Pal. ἐπὶ τῆς τοῦ εἰρημένου ταφῆς ἔσφαξαν, cui Musurus in Ald. substituit ἐπὶ τοῦ τάφου αὐτοῦ ἔσφαξαν.

10. τειχῶν] τειχέων Havn.

11. ἀποκτενῶν] ἀποκτείνων libri. Correxit Musurus in Ald.

ib. Μενέλαος libri. Μενέλεως Ald.

γορήσασα, τοὺς ἀναιρεθέντας δὲ κατοδυραμένη καὶ τὸν Ἀστυάνακτα κηδεύσασα πρὸς τὰς Ὀδυσσέως ἥχθη σκηνὰς, τούτῳ λατρεύειν δοθεῖσα.

1. ἀναιρεθέντας δὲ] ἀναιρεθέντας μὲν A.

ib. κατοδυραμένη A. Havn. κατοδυρομένη ceteri.

ib. καὶ τὸν Ἀστυάνακτα κηδεύσασα Kirchhoffius. καὶ κηδεύσασα A. Havn. τε καὶ θρηνήσασα καὶ κηδεύσασα Harl. τε καὶ θρηνήσασα Pal.

2. Ὀδυσσέως] τοῦ ὀδυσσέως Ald.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΑΣ ΤΡΩΙΑΔΑΣ.

1. Ἥκω λιπόν: ὅλος ἐστὶ τοῦ θεάτρου ὁ Εὐριπίδης, πρὸς ὃ ἀφορῶν τοὺς λόγους νῦν ὁ Ποσειδῶν ποιεῖ παρὰν ἐν τῇ ὑποθέσει. πολλαχοῦ δὲ τοιοῦτος, ὡς ἐν ταῖς Βάκχαις ὁ Διόνυσος,

ἥκω Διὸς παῖς τήνδε Θηβαίων χθόνα.

6. οὔπωτ' ἐκ φρενῶν: τὸ ἑξῆς, ἐκ φρενῶν τῶν ἐμῶν. παρὰ Ὁμηρικὸν δὲ Ποσειδῶνα ταῦτα.

9. ὁ γὰρ Παρνάσσιος: Παρνάσσιον αὐτὸν εἶπε Φωκέα ὄντα διὰ τὸ τάττεσθαι Δελφοὺς ὑπὸ Φωκεῦσιν. Ὅμηρος

αὐτὰρ Φωκῆων Σχεδίος καὶ Ἐπίστροφος ἦρχον,
υἱέες Ἰφίτου μεγαθύμου Ναυβολίδαο.

εἶτα

οἳ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν.

παρ' ὃ δὴ ᾐξιοῦντο τοῦ τε ἱεροῦ καὶ τῶν αὐτόθι χρημάτων ἔχειν τὴν ἐπιμέλειαν. ἔνθεν καὶ οἱ ἱεροὶ πόλεμοι κατερράγησαν, Λακεδαιμονίων μὲν ἀποδύντων Δελφοῖς τὸ ἱερὸν μετὰ τὸ καταπολεμῆσαι Φωκέας, Ἀθηναίων δὲ ἔμπαλιν Φωκεῦσιν αὐτὸ παραδόντων, καθάπερ Θουκυδίδης φησί. καλεῖται δὲ ἱερὸς ὅτι περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δελφοῖς ἐγένετο. Φῶκον δὲ τοῦ Ψαμάθης καὶ Ἀστεροδίας τῆς Δηϊονέως ἐγένετο Πανοπεὺς καὶ Κρῖσος ὁ κρισάντου, τοῦ δὲ Παν-

3. ἐστὶ Cobetus. ἐπὶ A.
5. Βάκχαις] v. 1.
7. παρὰ L. Dindorfius. περὶ A.
ib. Ὁμηρικὸν] Vid. Il. 12, 17. et 13 init.
9. διὰ τὸ τάττεσθαι L. Dindorfius. διατάττεσθαι A.
10. Ὅμηρος] Il. 2, 517.
11. Σχεδίος] σχέδιος A.
15. παρ' ὃ L. Dindorfius. παρ' ὧ A.
ib. ἔχειν L. Dindorfius. εἶχον A.
18. παραδόντων N. παραδόντων αὖτις A.
19. Θουκυδίδης] 1, 112.
20. Ἀστεροδίας] Rectam hujus nominis scripturam Ἀστεροδείας esse dixi in annot. ad schol. Homeri Odyss. p. 50, 1.
21. Κρῖσος Kampmannus. κροῖσος A.

σπέως Ἐπειός. οὗτος εἰς Τροίαν στρατεύσας τὸν δούρειον ἵππον ἐποίησεν. Ἄλλως. ὁ Φωκεὺς Παρνάσσιος εἴρηται, ἐπεὶ Δελφὸς ὢν σὺν τοῖς Φωκεῦσιν ἐτάττετο, ἢ διὰ τὸ πλησίον τῇ Φωκίδι εἶναι τὸν Παρνασσόν.

14. δούρειος ἵππος: ψυχρῶς ἠτυμολόγησε τὸν ἵππον ἀπὸ τῶν δοράτων· ἄμεινον γὰρ παρὰ τὰ δοῦρα πεποιῆσθαι ἤγουν τὰ ξύλα. Ὅμηρος δουράτεον, ὅ ἐστι ξύλινον.

15. ἔρημα δ' ἄλση: ἔρημα αὐτά φησιν, ὡς τῶν θεῶν ἐκλελοιπότων τὰ ἱερά. αὐτὸς οὖν ὁ Ποσειδῶν φησι

λείπω τὸ κλεινὸν Ἴλιον βωμούς τ' ἐμούς.

16. πρὸς δὲ κρηπίδων βάθροις: παρὰ τοῖς βάθροις δὲ τῶν κρηπίδων τοῦ ἑρκείου Διὸς ἀντὶ τοῦ ὑπὸ τοῖς βωμοῖς τοῦ Διός. τὸν δὲ ἕρκειον Δία ἄλλοι ἱστορικοὶ ἀναγράφουσιν ἰδίαν τινὰ σχέσιν περὶ αὐτοῦ ἱστοροῦντες, τρισὶν ὀφθαλμοῖς αὐτὸν κεχρῆσθαί φασιν, ὡς οἱ περὶ Ἀγίαν καὶ Δερκύλον. πεφόνευται δὲ ὁ Πρίαμος ὑπὸ Νεοπτολέμου δικαίως, ἐπειδὴ καὶ τὸν πατέρα αὐτοῦ Ἀχιλλέα ἐλθόντα ἐπὶ τὸν γάμον τῆς Πολυξένης οἱ περὶ Ἀλέξανδρον ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῷ λόγχαις ἀνεῖλον.

20. δεκασπόρῳ χρόνῳ: ἀντὶ τοῦ διὰ δέκα ἐνιαυτῶν· ἔνθεν καὶ ποιὰς τοὺς ἐνιαυτοὺς ἔλεγον ἀπὸ τῆς τῶν καρπῶν ἀναδόσεως.

27. νοσεῖ τὰ τῶν θεῶν: ἀντὶ τοῦ ἐξασθενεῖ, οἷον τὰ τῶν θεῶν ἀμελούμενα ὑπὸ τῶν ἀνθρώπων.

29. βοᾷ Σκάμανδρος: ἀντὶ τοῦ καταβοᾶται· ἐν τῷ αὐτὰς βοᾶν Νεοπτόλεμος καὶ ἄλλοι τινές.

ib. ὁ κρισάντου A. ὁκρισαν N., uterque vitiose. ὁ Κρῖσαν κτίσας Kampmannus.

2. ἐπεὶ Δελφὸς ὢν—ἐτάττετο Cobetus. ἐπειὸς δὲ ἀφῶν (ἀφ' ὧν N.)—ἐτάττοντο A.N.

7. Ὅμηρος] Od. 8, 493. 512.

12. ἑρκείου—ἕρκειον] ἑρκίου—ἕρκιον A.

ib. τὸν δὲ Cobetus. τὸ δὲ A.

14. ἱστοροῦντες] Conf. Pausan. 2, 24, 4. et 8, 46, 2. COBET.

ib. αὐτὸν Kampmannus. αὐτοὺς A. Ante τρισὶν excidit καί.

15. Ἀγίαν καὶ Δερκύλον] ἀγίαν καὶ δέρκαλον A. Athenaeus 3. p. 86 F. Ἀγίας δὲ καὶ Δερκύλος ἐν Ἀργολικοῖς τοὺς στραβήλους ἀστραβήλους ὀνομάζουσιν. Clemens Alexandr. Strom. 1. p. 381. Ἴλιον ἑάλω—Θαργηλιῶνος μηνὸς δευτέρᾳ ἐπὶ δέκα—Ἀγίας δὲ καὶ Δερκύλος ἐν τῇ τρίτῃ μηνὸς Πανέμου ἀγδόῃ φθίνοντος. COBET.

18. ἱερῷ Kampmannus. ἱερὸν A.

ib. λέγειν] His in A. adjuncta sunt verba ταῦτα ἔνιοι—ἀφηγουμένων τῶν Ἀθηναίων, quae scholio versus 31. adjunxi, monente Cobeto.

31. εἴληχ᾽ Ἀθηναίων τε Θησεῖδαι πρόμοι: ἔνιοι ταῦτά φασι πρὸς χάριν εἰρῆσθαι· μηδὲν γὰρ εἰληφέναι τοὺς περὶ Ἀκάμαντα καὶ Δημοφῶντα ἐκ τῶν λαφύρων, ἀλλὰ μόνην τὴν Αἴθραν, δι᾽ ἣν καὶ ἀφίκοντο εἰς Ἴλιον Μενεσθέως ἡγουμένου. Λυσίμαχος δὲ τὸν τὴν Πέρσιδα πεποιηκότα φησὶ γράφειν οὕτως

Θησεΐδαις δ᾽ ἔπορεν δῶρα κρείων Ἀγαμέμνων
ἡβὴ Μενεσθῆϊ μεγαλήτορι ποιμένι λαῶν.

Ἄλλως. ταῦτα ἔνιοι πρὸς χάριν Ἀθηναίων Εὐριπίδην λέγειν· ἀγαπητὸν γὰρ εἶναι τοῖς περὶ Δημοφῶντα Αἴθραν ἀναλαβεῖν, ἧς ἕνεκα αὐτοίς φασιν ἐπὶ Τροίαν ἐλθεῖν Μενεσθέως ἀφηγουμένου τῶν Ἀθηναίων.

32. ἄκληροι Τρῳάδων: γράφεται παρθένων. ὅσαι μὲν οὖν ἐκληρώθησαν ἀπεδόθησαν, ὅσαι δὲ ἀκλήρωτοι ἐξαιρέτως δοθεῖσαι τοῖς πρώτοις ἐνταῦθα τυγχάνουσιν.

36. τὴν δ᾽ ἀθλίαν: ἄμεινον ἦν ἀπὸ τῶν πραγμάτων παράγεσθαι ὀδυρομένην τὰ παρόντα. οὕτω γὰρ ἂν ἡ τραγῳδία τὸ πάθος εἶχε, νῦν δὲ ψυχρῶς τῷ θεάτρῳ προσδιαλέγεται.

41. ἣν δὲ παρθένον μεθῆκ᾽ Ἀπόλλων: ἣν οὐ διεκόρευσεν, ἀλλ᾽ εἴασε παρθένον· οἱ γὰρ ἐνθουσιῶντες ἐπιτετραμμένοι εἰσὶ τῇ κοινωνήσει.

44. γαμεῖ βιαίως: ἀντὶ τοῦ γαμήσει· σεσημείωται καὶ μηκέτι αὐτῆς εἰκουμένης· ὑπάπτευκε γὰρ Ἀριστοφάνης ἐκ τούτου τὸ "νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει."

2. πρὸς χάριν] κατὰ χάριν A. Correctum ex scholio inferiore.

ib. μηδὲν Cobetus. μὴ A.

5. Πέρσιδα Cobetus. περσηΐδα A. Πέρσιδα dicit quam grammatici Ἰλίου πέρσιδα vel Ἰλιοπέρσιδα dicere solent, nisi id hic quoque restituendum, quemadmodum apud Pausaniam 10, 15, 5. et Proclum Chrestom. p. 483. ed. Gaisf. Ἰλίου πέρσιος in Ἰλιοπέρσιος mutandum.

6. ἔπορεν] ἔπορε A.

8. Praefixi Ἄλλως. Scholion ipsum non hoc loco in A. legi, sed scholio v. 16. adjectum esse supra dicebam.

ib. ταῦτα ἔνιοι] ταῦτά φασιν ἔνιοι Cobetus, ut in scholio superiore legitur: recte, ut videtur, etsi omissum φασί defendi quodammodo potest exemplis ad schol. Rhesi v. 28. allatis.

10. φασιν Cobetus. φησὶν A.

16. οὕτω L. Dindorfius. οὐ A.

ib. ἄν addidit Cobetus.

19. κοινωνήσει Kampmannus. κοινήσει A.

22. τὸ addidit Nauckius in libro de Aristophane Byz. p. 30. Locus autem est Homeri Il. 20, 307. ubi Aristophanem non unum tantum versum hunc, sed tres 306—308. videri suspectos habuisse monet Nauckius.

51. ἔξεστιν· αἱ γάρ: φιλονεικεῖ ὁ Ποσειδῶν σώζειν τὴν Ἴλιον, ἐπεὶ ᾠκοδόμησεν αὐτήν.

61. ἐκεῖσε πρῶτ' ἄνελθε: ἀντὶ τοῦ ἐκεῖνον ἀνάλαβε τὸν λόγον καὶ ἀνάτρεχε εἰς τὸν περὶ Ἑλλήνων λόγον.

80. Μυκόνου: ἀκτή τις οὕτω καλουμένη. Καφηρεὺς δὲ ἀκρωτήριον Εὐβοίας, μεταξὺ Σκύρου. Νεάνθης δὲ ὁ Κυζικηνὸς Καθηρέα αὐτόν φησι πρότερον κεκλῆσθαι· εἶναι γὰρ ἐκεῖ βωμὸν εἰς ὃν Εὐρωπεῖς καθαιρόμενοι ἔθυον. χρόνου δὲ προϊόντος Καφηρεὺς ἐκλήθη παραφθειράντων τῶν ἐνοικούντων τὴν λέξιν. περὶ τοῦτο δὲ οἱ πλεῖστοι τῶν Ἑλλήνων κατὰ τὸν ἀπόπλουν διεφθάρησαν. κινὰ δὲ διὰ τῆς ἱστορίας.

96. τύμβους θ', ἱερά: λείπει ὁ γάρ, ἵν' ᾖ τὰ γὰρ ἱερὰ τῶν τεθνηκότων ἔρημα πιήσας αὐτὸς ὕστερον ὁλεῖται.

99. ἄνα δυσδαίμων: πρὸς ἑαυτὴν ταῦτα ἡ Ἑκάβη λέγει, ἀνάστηθι τὴν κεφαλήν σου, ὦ Ἑκάβη. ὁ δὲ λόγος, ἄνα δυσδαίμων. ὦ ἐκ θεῶν δυσδαίμων κεφαλὴ γεγονυῖα, ἀνάστηθι. ἡ δὲ πεδόθεν κεφαλὴ ἐμπαθεστέρα ἐστὶ καὶ τοῖς ὑποκειμένοις οἰκείως ἔχουσα. ἡ γὰρ Ἑκάβη ἔρριψεν ἑαυτὴν διὰ τὰς συμφορὰς ἐπὶ τοῦ ἐδάφους καὶ τούτῳ οἰκείως ἐπέλεξε τὸ "ἐπάειρε δέργη," ὡς πεπτωκυίας αὐτῆς καὶ κεκλιμένης ἐπὶ τοῦ ἐδάφους. καὶ τὸν Πρίαμον ὁμοίως κείμενον πρὶν συνέστησεν οὕτως "πρὸς δὲ κρηπῖδων βάθροις πέπτωκε Πρίαμος." ὥστε εἰκὸς διὰ τὰ τοιαῦτα τὴν Ἑκάβην τὰς ἐπιτηδείους καθέδρας καταλιποῦσαν ἐπὶ τοῦ ἐδάφους κεῖσθαι.

101. ἀνέχου: ἀνέχου, φησὶν, ἐν εὐτελείᾳ τυγχάνουσα· οὐ γὰρ

3. πρῶτ'] πρῶτον A.
5. Μυκόνου] μυκίνου A.
ib. Καφηρεὺς Kampmannus. κάφηρος A.
6. μεταξὺ] ἀντικὺ Kampmannus, nisi alius loci nomen exciderit. καὶ Ἄνδρου addit Brunnemannus.
ib. Κυζικηνὸς Καθηρέα Kampmannus. κυζικηνός:—καφήρειοί τ' ἄκραι: καφηρεὺς καθηρέα A. Verba Καφήρειοί τ' ἄκραι (v. 90.) e lemmate illata. Narrationem autem Neanthis ex opere περὶ τελετῶν excerptam esse probabiliter conjecit Muellerus Fragm. Histor. vol. 3. p. 11.
9. περὶ] π̈ A.N. quod etiam παρὰ esse potest.
14. δυσδαίμων] δυσδαῖμον A. hic et infra.
ib. ἀνάστηθι] ἀνάστησον dicere debebat.
16. δυσδαίμων] δυσδαῖμον A.
ib. πεδόθεν] παιδόθεν A.
17. ἐμπαθεστέρα] ἐμπαθέστερον A. ἐμπαθεστέρᾳ N.
ib. οἰκείως] οἰκείοις A.
19. τούτῳ scripsi pro τοῦτο.
21. συνέστησεν Kampmannus. συνέστηκεν A.
ib. οὕτως] v. 16.

τὰ παρόντα νῦν ἐστιν ἡ Τροία οὐδὲ ἡ πρὶν εὐδαιμονία, οὐδὲ νῦν βασιλεῖς ἐσμεν Τροίας.

103. μηδὲ προσίστω: ἀντὶ τοῦ μὴ ἀντικεῖσθαι τοῖς πρὸς πρῷραν κύμασιν, ὅ ἐστι, μὴ ἀνθίστασο τῷ δαίμονι τοῦ βίου, ἀλλὰ πλέε κατὰ τὸ εὐθύ· ὅταν γὰρ ἡ ναῦς πρὸς κῦμα ἢ πρὸς ἄνεμον πλέῃ, βλάπτεται. σὺ οὖν, φησὶ, πλέυσα πρὸς κῦμα μὴ ἀνθίστασο τῇ τύχῃ. τοῦτο δὲ ἐναντίον τῷ

ἡ δ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.

108. ὦ πολὺς ὄγκος: ὄγκον λέγει τὴν πάλαι εὐτυχίαν μεταφορικῶς· ὦ πολλὴ εὐδαιμονία τῶν προγόνων συσταλέντων.

113. ἄρθρων κλισίας: ἀντὶ τοῦ φεῦ τῆς ἀνακλίσεως τῶν μελῶν ὡς διάκειμαι.

117. ἄκανθαν: τὴν τῶν μελῶν ἄκανθαν. λέγει δὲ τοὺς νωτιαίους σφονδύλους. τοίχους δὲ τὰς πλευρὰς μεταφορικῶς εἴρηκεν. τὴν ῥάχιν εἶν ἄκανθάν φησιν. ὁ δὲ λόγος, πόθος μέ ἐστι τὴν ῥάχιν εἰλῆσαι περὶ τὰ πλευρά.

119. ἐπὶ τοὺς αἰεὶ δακρίων: ἡ ἐπί ἀντὶ τῆς διά, ὅ ἐστι βούλομαι διαδοῦναι ἐμαυτήν· κέκμηκα γὰρ διὰ τοὺς ἐλέγους καὶ τοὺς θρήνους.

120. Μοῦσα δὲ καὐτή: καὶ αὐτὴ δὲ, φησὶ, παραμυθία ἐστὶ τοῖς δυστυχεῖσι, τὰς ἑαυτῶν ἀπεδίρεσθαι συμφοράς. ἔστι γὰρ καὶ μοῦσα θρηνωδίας.

122. ναῶν ὠκεῖαι: ὦ πρῷραι τῶν νηῶν, αἵτινες κώπαις ἀνὰ τὴν θάλασσαν καὶ τοὺς λιμένας μετ' αὐλῶν βαίνουσαι τὴν πλεκτὴν τῆς Αἰγύπτου παιδείαν, ὅ ἐστι τὰ σχοινία, ἐν τοῖς κόλποις τῆς Τροίας ἐξήψασθε, τὴν Μενελάου γυναῖκα μετερχόμενοι. Ἄλλως. τὰ σχοινία, φησὶν, ἐν τῷ τῆς Τροίας λιμένι ἐξήψασθε τὰ πρυμνήσια. Αἰγύπτου δὲ παιδείαν τὰ σχοινία, καθὸ ἡ Αἴγυπτος τὴν βύβλον τρέφει. ὁ δὲ νεῦς τοιοῦτος, ὦ νῆες ἐπὶ αὐλῶν στυγνῷ παιᾶνι τὴν Τροίαν

1. οὐδὲ ἡ πρὶν] ἡ δὲ πρώην N.
3. πρῷραν] πρόραν A.
7. τῷ] τὸ A.
8. ἡ δ' ἔθεεν] δὲ εὐθὺς in A. esse videtur. δὲ εὐθεε N. Correctum ex Hom. Od. 2, 249.
ib. διαπρήσσουσα] διαπρήσας A. Correctum ex Homero.
10. συσταλέντων N. συσταλτῶν A. ut videtur.
13. 16. Verba τοὺς νωτιαίους et περὶ τὰ πλευρὰ obliterata in A., servata in N.
19. καὐτή] Scribendum καῦτη et in verbis scholiastae καὶ αὕτη.
25. ἐξήψασθε] ἐξήρτασθε A. Correctum ex scholio proximo. ἐξηρτήσασθε dixit poeta v. 129.
28. αὐλῶν στυγνῷ] αὐλῶν στυγνῶν A. αὐλῷ στυγνῷ N.

πρισωρμισατε. παρ' ὅσον αὐλοῦσιν αὐλοὺς ἔχοντες εἰς τὰς ναῦς. "ἀλλ' Ἡρακλῆς αὐλεῖ τις."

132. Κάστορι λώβαν: τὴν γενομένην τῷ Κάστορι λώβαν καὶ τῷ Εὐρύτῃ δύσκλειαν, τῷ ποταμῷ Λακεδαίμονες. κοινοπιεῖ δὲ ἐπὶ πάσης Ἑλλάδος.

130. σκηναῖς ἔφεδρος Ἀγαμεμνονείαις: αὕτη μὲν ἔξω τῆς σκηνῆς ἦν, ὁ δὲ χορὸς ἔσω.

141. κουρᾷ ξυρήκει: τῇ ξυρικῇ κουρᾷ ἐκκαρεῖσα τὴν πενθίμην κεφαλήν, ἀντὶ τοῦ πένθιμον κεφαλὴν ἔχουσα.

147. μάτηρ ὃ ὡσεὶ πτανοῖς: καθάπερ δὲ ὄρνισιν ἡ μήτηρ ἐξάρχει τὴν πτῆσιν, οὕτως κἀγὼ κατὰ τὴν κλαγγὴν καὶ τὸν θρῆνον ἐξάρχω. ἐξάρχω δὲ οὐ κατὰ τὴν μελπὴν ἐκείνην, ἣν εἰάθειν εὐτυχοῦσα λέγειν.

150. σκήπτρῳ Πριάμου: τῷ σκήπτρῳ τοῦ Πριάμου ἐπερεισθεῖσα ταῖς εὐκόμποις πληγαῖς Φρύγιαι τοῦ ἀρχεχόρου πόδες ἐξῆρχον τοὺς θεούς, ὅ ἐστιν ἀνύμνουν.

διερειδομένα: ἡ λύσις ἑκάτερον ἔχει, καὶ τὴν αὐτῆς ἀσθένειαν καὶ τὴν Πριάμου δυναστείαν.

168. ἔξω κομίζεσθ' οἴκων: ἔξω τῶν οἴκων εὐτρεπίζεσθε, πρὸς τὸ πλεῖν στέλλεσθε ἑαυτάς. λέγει πρὸς τὰς λοιπὰς τὰς ἔσω, ἵνα τὸ ἡμιχόριον ἐξέλθῃ.

169. μὴ νῦν μοι τὰν ἐκβακχεύουσαν: ἐπειδὴ μέλλουσιν αἱ Τρῳάδες ἐξιέναι, συμβουλεύει ἡ Ἑκάβη μὴ ἐὰν Κασσάνδραν ἐξιέναι διὰ τὸ μαίνεσθαι.

1. προσωρμίσατε A. προσωρμήσατε N. ib. αὐλεῖσιν] Scribendum, videtur βαίνουσιν ex scholio praecedente. Verba εἰς τὰς ναῦς, quae legere non potuerat Amatius, satis clare scripta sunt in A.N. Verba proxima ἀλλ' Ἡρακλῆς αὐλεῖ τις particula esse videntur loci ex comico aliquo allati: de quo etiam Meinekius cogitavit Com. vol. 4. p. 685.

3. τὴν — λώβαν N. In A. haec obliterata et mox syllabae τῷ ποταμῷ λακεδαί et ἑλλάδος. Supplevi ex N., qui τὸν ποταμόν.

8. τῇ ξυρικῇ κουρᾷ] Decepit scholiastam scriptura interpolata κουρᾷ ξυρήκει (nam quod in scholio legitur ξυρικῇ, adjectivum inauditum, non scholiastae, sed librarii vitium esse videtur) πενθήρη κρᾶτ' ἐκπορθηθεῖσα, quacum codices qui hodie supersunt omnes consentiunt, nisi quod inter πενθήρει et πενθήρη variant. Vera scriptura est κουρᾷ πενθήρει κρᾶτ' etc., ejecto ξυρήκει, quod ex Alcest. 427. illatum esse vidit Bothius.

12. εἰάθειν scripsi pro εἴωθεν.

16. ἑκάτερον N. ἑκατέρας A.

18. κομίζεσθ'] Metrum postulat κομίσασθ', quod in ed. Ald. legitur, etsi fortasse ex editoris conjectura.

19. λέγει] Fort. λέγει δὲ—.

20. ἡμιχόριον Kampmannus. ἡμιχορὸν A.

22. Τρῳάδες] τρωϊάδες A.

171. αἰσχύναν Ἀργείοισιν: μὴ πέμψητε αὐτὴν αἰσχύνην τοῖς Ἕλλησιν, ἵνα καταισχύνωσιν αὐτὴν οἱ Ἕλληνες.

176. οἶμοι: τὸ λοιπὸν ἡμιχόριον ἐξῆλθεν.

182. ὀρθρεύου σὰν ψυχάν: ἔπαιρε τὴν σεαυτοῦ ψυχὴν, ὦ χορέ. ἀπὸ μεταφορᾶς τῶν ὄρθρου ἐγειρομένων.

187. τίς μ' Ἀργείων: τίς τῶν Θεσσαλῶν ποτὲ ἢ νησιωτῶν ἄξει με; ἢ Θεσσαλὸς ἢ Ἀργεῖος.

192. δειλαία νεκροῦ μορφά: ἥτις εἰμὶ δειλαία νεκροῦ μορφὴ, ἢ νεκρᾶν ἄγαλμα.

193. ἄγαλμ', ἢ τὰν παρά τε προθύροις: ἢ θυρωρὸς ἐσομένη καὶ τὴν φυλακὴν τῶν προθύρων κατέχουσα. ἢ παίδων τροφὸς ἄγομαι. δέον, φησί, ταῦτα ποιῆσαι ἡ τῆς Τροίας δεσπότις.

197. ποίοις δ' οἴκοις: δύναται πρὸς τὴν Ἑκάβην, ἵν' ᾖ οὕτω, πῶς αὐτάρκως δύνασαι τὰ κατὰ σὲ θρηνῆσαι;

199. οὐκ Ἰδαίοις ἱστοῖσι: οὐχ ὡς πρότερον ᾖδεν ἐν τοῖς ἱστοῖς δινεύουσα καὶ στρέφουσα τὴν κερκίδα.

201. νέατον τεκέων: ὅσῳ, φησὶ, νέα ὑπάρχουσα αἰχμάλωτος γυνὴ, κρείσσους ἴσμεν μόχθους. καὶ αἱ δυναταὶ ἰσχύουσαι πᾶν τὸ ἐπιτασσόμενον ποιοῦσιν· ἐὰν δὲ καὶ εὔμορφος ᾖ, καὶ ὕβρισται. Ἄλλως. τὰ ὑμῶν σώματα νέα ὁρῶ πρὸς ὑπομονὴν τῶν πόνων.

203. ἢ λέκτρους πλαθεῖσ' Ἑλλάνων: ἢ λέκτροις πλησιάσασα τῶν Ἑλλήνων.

204. ἔρροι νύξ: φθειρέσθω ἡ νὺξ ἡ ἐμὲ νυμφεύουσα τοῖς πολεμίοις, ὁμοίως δὲ καὶ ὁ θαίμων ἔρροι.

209. ἔλθοιμεν Θησέως εὐδαίμονα χώραν: ταῦτα ὑποθεραπεύουσα τοὺς Ἀθηναίους λέγει.

210. μὴ γὰρ δὴ δίναν: ἀπὸ κοινοῦ τὸ ἔλθοιμι. μὴ ἔλθοιμι, φησὶν, ὑπὸ τὴν δίνην τοῦ Εὐρώτου, ἥτις ἐστὶ Θεράπνη ἡ πόλις τῆς Ἑλένης. ἱκετήριον δέ φησι τὰς Θεράπνας τῶν Διοσκούρων παρ-

2. ἵνα] ἵνα μὴ Kampmannus.
4. ὀρθρεύου σάν] Vitiose pro ὀρθρεύουσαν: quod fraudi fuit scholiastae.
5. τῶν] τοῦ A.N.
6. τίς τῶν—ἄξει με] τίς πρὸς τὴν τῶν—ἄξει με χώραν Kampmannus.
ib. ποτὲ A. πότερον N.
16. δινεύουσα scripsi pro δινεύουσα.
18. δυναταὶ] δοῦλαι Kampmannus.
ib. ἰσχύουσαι A.N., non αἰσχραὶ οὖσαι ut Amatius.
23. φθειρέσθω scripsi pro φθαρέσθω.

ὅσοι ἐπὶ τὴν γῆν τῆς Θεράπνης εἶναι λέγονται ζῶντες, ὡς Ἀλκμάν φησιν.

214. τὰν Πηνειοῦ σεμνὰν χώραν: Πηνειοῦ χώραν τὴν Θετταλίαν. τῆς γὰρ Μακεδονίας Ὄλυμπος, ἡ δὲ Μακεδονία τῆς Θετταλίας. αἰνίττεται δὲ τὸν Νεοπτόλεμον. Καλλίμαχος "Πηνειὲ Φθιῶτα."

218. τάδε δεύτερά μοι: ἐν δευτέρᾳ μοι τάξει τῶν καλῶν ἐστι ταῦτα τὰ κατὰ τὸν Πηνειὸν μετὰ τὴν ἱερὰν πόλιν τοῦ Θησέως.

220. καὶ τὰν Λίτναιαν Ἡφαίστου: ὁ λόγος, καὶ τὴν Λίτνην τὴν τοῦ Ἡφαίστου χώραν τὴν καταντικρὺ κειμένην τῆς Φοινίκης τῆς τε Καρχηδόνος, ἵνα λέγῃ τὴν Λιβυφοινίκων χώραν. μητέρα δὲ τῶν Σικελῶν ὀρέων ἀκούω ἐπὶ στεφάνοις σεμνύνεσθαι. τὴν Σικελίαν δὲ ὀρέων φησὶ μητέρα, ἐπειδὴ ὀρεινή.

221. Φοινίκας ἀντήρη χώραν: ἀντήρη Σικελίας τὴν Λιβύην εἶπε καὶ τὴν Καρχηδόνα, παρόσον τὸ Λιλύβαιον ἀκρωτήριον τῆς Σικελίας ἀντικρὺ κεῖται τῆς Καρχηδόνος, εἰς ἣν ἀπῴκησαν Τύριοι. ἔστι δὲ ἡ Καρχηδὼν πόλις Λιβύης. ὀλίγῳ δὲ πρότερον τῶν Τρωϊκῶν Εὔδοξος ὁ Κνίδιος ἀπῳκηκέναι τοὺς Τυρίους εἰς αὐτήν, Ἀζάρου καὶ Καρχηδόνος ἡγουμένων, ἀφ' οὗ καὶ τὴν ὀνομασίαν ἔσχεν ἡ πόλις. τινές φασι καὶ τὴν Ῥώμην καὶ τὴν Καρχηδόνα ἐπὶ τῆς πρώτης ὀλυμπιάδος κτισθῆναι. Σοφοκλῆς δὲ ἐπὶ τῶν καιρῶν Τριπτολέμου οἰκισθῆναι τὴν Καρχηδόνα, ἐν οἷς φησι

Καρχηδόνος δὲ κράσπεδ', ἣν ἀσπάζομαι.

Ἄλλως. ἀντήρη Σικελίας τὴν Λιβύην φησὶ καὶ τὴν Καρχηδόνα, παρόσον τὸ Λιλύβαιον ἀκρωτήριον τῆς Σικελίας καταντικρύ ἐστι

1. Ἀλκμάν Cobetus pro ἀλκμαίων, quod est in N. Nam in A. solae literae ἀλκ supersunt.

5. Καλλίμαχος] H. in Delum 112.

11. λέγῃ τὴν Λιβυφοινίκων χώραν] λέγηται λιβυκφοινίκων A.N. omisso χώραν. Correxi ex gl. interl. φοινίκης τῆς καρχηδόνος, ἵνα λέγῃ τὴν τῶν λιβυφοινίκων χώραν.

16. Τύριοι Kampmannus. τίρροι A. et mox τιρρίους.

18. ἀπῳκηκέναι] Infinitivus pendet ab verbo φησὶ intellecto. Vid. ad schol. Rhesi v. 28.

20. τινές] τινὲς δέ Kampmannus.

ib. ἐπὶ τῆς L. Dindorfius. ἀπὸ τῆς N. ἀπ̣ A.

21. Σοφοκλῆς] In Triptolemo fragm. 536.

23. κράσπεδες (κράσπεδ cum compendio syllabae ες) ἀσπάζομαι N. κράσπεδ. ν ἀσπάζομαι A: unde Bergkius κράσπεδ', ἣν ἀσπάζομαι. κράσπεδ' ἔστ'. B. ἀσπάζομαι Cobetus, addita interlocutoris nota.

25. τοῦτο ante καταντικρὺ delevit Kampmannus.

Καρχηδόνος. ὁ δὲ Παρμενίσκος τὴν Σικελίαν ἀντήρη τῆς Φοινίκης φησίν.

224. τάν τ' ἀγχιστεύουσαν: καὶ τὴν ἀγχιστεύουσαν γῆν τῷ Ἰονίῳ. κατὰ κοινοῦ τὸ "ἀκούω κηρύσσεσθαι στεφάνοις ἀρετᾶς." τὴν Ἰταλίαν δὲ λέγει τὴν ἐγγὺς τοῦ Ἰονίου πελάγους· Ἰόνιον γὰρ πέλαγος τὸ πρὸς τὴν Ἰταλίαν.

228. Κρᾶθις: δύο εἰσὶ Κράθιδες, ὡς Παρμενίσκος φησίν· ὁ μὲν ἀπὸ Πελοποννήσου τὰς πηγὰς ἔχων μέχρι Ἀρκαδίας, ὃς ἐμβάλλει τῷ Ἀλφειῷ, οὗ ἐάν τις τὸ ὕδωρ ἐπὶ πολὺν χρόνον ἀφῇ οὐ σήπεται, οὐδὲ ἐὰν ἀπ' αὐτοῦ ἄστοι πεφθῶσιν εὐρωτιῶσιν· ὁ δὲ ἐν Ἰταλίᾳ, οὗ νῦν μέμνηται ὁ Εὐριπίδης, ἐν ᾧ ἐάν τις λούσηται λελιπασμένος ἀνέρχεται, ὡς δοκεῖν ἠλεῖφθαι καὶ τὴν τρίχα ξανθίζειν, ὡς ἐν ὀλίγαις ἡμέραις τὸν λουσάμενον ἐν αὐτῷ πυρρότριχα γίνεσθαι. ἔνιοι δέ φασι τὸν μὲν Κρᾶθιν τοῦτο μὴ ποιεῖν, τὸν δὲ ἐν Τροίᾳ Ξάνθον, ἀφ' οὗ καὶ ὀνομάζεται Σκάμανδρος καλούμενος. τὸν δὲ Εὐριπίδην ἐπὶ τοῦ Κράθιδός φασι τοῦτο μετενηνεχέναι. ὁ δὲ Λίστριόνιος φησὶν ὅτι ἐν Πελοποννήσῳ ἦν Κρᾶθις καλούμενος ποταμός, ὃς ἐποίει τὰς κόμας ξανθὰς τῶν λουσαμένων. οἱ δὲ ἀπὸ Πελοποννήσου ἀποικίαν στειλάμενοι καὶ κτίσαντες Σύβαριν τὸν ἐκεῖ ποταμὸν ὠνόμασαν Κρᾶθιν. ἀπὸ οὖν τοῦ ἐν Πελοποννήσῳ ὁ Εὐριπίδης τοῦ ἐν Ἰταλίᾳ μέμνηται ὡς οὐ μόνον τὸ αὐτὸ ὄνομα ἔχοντος τῷ ἐν Ἀχαΐᾳ ποταμῷ, ἀλλὰ καὶ τὴν αὐξαμιν.

244. τίνα πότμος εὐτυχής: τίνα τῶν Τρῳάδων πότμος εὐτυχὴς ἐκδέχεται;

250. ἦ τᾷ Λακεδαιμονίᾳ: παρῆσαν ἡ Κλυταιμνήστρα Τυνδάρεω, οὗτος δὲ Λακεδαιμόνιος.

258. ἱεροὺς στολμούς: τὰς τῶν στεφάνων στολὰς ὥσπερ ἔνδυσιν ποιουσαν αὐτῇ.

267. τί θέσμιον: τί θεσμοποιὸν, θεμιτὸν, ἢ νόμος τῶν Ἑλλήνων.

4. κατὰ] ἀπὸ margo N.

8. ἐμβάλλει τῷ Cobetus. συμβάλλει καὶ τῷ A.

12. εἰλῆφθαι A., quod ἠλεῖφθαι esse intellexit L. Dindorfius. etsi hanc formam rejicit Sextus Emp. p. 266. ἀλήλιπται μὲν εἴποι τις ἄν, ἤλειπται δὲ οὐκέτι. In N. est εἰλίφθαι, quasi ἠλίφθαι scribere voluerit librarius. Veteres ἀλήλιφθαι dixerunt.

14. Κρᾶθιν] κράθιν A.

21. τῷ—ποταμῷ Cobetus. τοῦ—ποταμοῦ A.

27. ἔνδυσιν ποιούσαν (sc. τῶν στεφάνων) Kampmannus. ἐν δυσὶ (δυσὶν N.) ποιουσῶν A.

208. εὐδαιμόνιζε παῖδα σήν: αἰνίττεται ὅτι τέθνηκεν, ἢ σαφῶς εἶπεν· καὶ ἡ Ἑκάβη οὔτε ἐστέναζεν οὔτε ἀπηλλάγη. εἴτε γὰρ εἶδεν οἰκτίσασθαι περὶ θυγατρὸς εἴτε μὴ εἶδεν, ἐρωτῆσαι καὶ μαθεῖν.

275. ἐγὼ δὲ τῷ πρόσπολος: τίνι δὲ ἐγὼ ἐκληρώθην δούλη, ἡ τριτοβάμονος βάκτρου δεομένη διὰ τὸ γηραιὸν κάρα· τρίτος γὰρ ποὺς ἡ βακτηρία.

285. ὃς πάντα κεῖθεν: τὰ μὲν ἐκεῖ διαβάλλων ἐνταῦθα ἀντίπαλα τίθησιν, αὖθις δὲ ἐκεῖ πολέμια τίθησι, δῆλον ὅτι τὸ ἐνταῦθα. τοῦτο γὰρ λείπει.

296. εἶτα τὰς εἰλεγμένας: τὰς κεκληρωμένας καὶ ἐκλελεγμένας τοῖς ἄλλοις δῶ.

301. αὐτῶν τ' ἐκπυρεῦσι: καίουσι, φησὶν, ἑαυτὰς ἐξελθεῖν μέλλουσαι τῶν οἴκων. Ἄλλως. διὰ τὸ μὴ εἰθίσθαι δουλείειν καίουσιν ἑαυτάς.

303. δυσλόφως: ἀπὸ μεταφορᾶς τῶν ὑποζυγίων.

304. μὴ τὸ ταῖσδε: μὴ διὰ τὸ πρόσφορον ἑαυταῖς φονεύουσιν ἑαυτὰς καὶ λυπήσουσι τοὺς Ἕλληνας, κἀγὼ αἰτιός εἰμι.

308. ἄνεχε, πάρεχε: ὡς πρός τινα ποιεῖται τὸν λόγον βαδουχοῦντα· ἀναχάρει, φησὶ, καὶ πάρεχε ὁδόν. δύναται δὲ πρὸς ἑαυτὴν λέγειν ἀντὶ τοῦ ἄνεχε καὶ φέρε.

310. ὦ Τμὴν Τμέναι: πρὸς Τμέναιον ἀποτείνεται διὰ τὸ μέλλειν γαμεῖν. καθαίρω, φησὶ, τὸ ἱερὸν, οὐχ ὅτι ἐν ἱερῷ ἦν, ἀλλ' ὅτι μαινομένη ἐν ἱερῷ ἐνόμιζεν εἶναι.

315. ἐπεὶ σὺ, μῆτερ: ἐπεὶ σὺ, μῆτερ, περὶ τὸν ἴδιον ἄνδρα, πατέρα δὲ ἐμὸν, γίνῃ καταστενάζουσα αἰτὸν καὶ οὐ ποιεῖς τὰ μητέρων (νήμιμεν γὰρ ἐστι τῇ μητρὶ βαδουχεῖν ἐν τοῖς γάμοις τῶν θυγατέρων,) ἐγὼ τοῦτο ποιήσω ἐμαυτῷ.

321. ἐς αὐγάν: ὥστε αὐγὴν καὶ αὔγλην ποιεῖν σοὶ, ὦ Τμέναιε·

3. θυγατρὸς et ἐρωτῆσαι, pro quibus θ:γατρ... et ἐρωτ᾽ apud Amatium legitur, satis clare scripta sunt in A.N. Ante ἐρωτῆσαι aliquid excidisse videtur.

5. ἐκληρώθην] κληρωθῶ N.

6. τριτοβάμονος—τὸ] τριβάμονος—τὸν A.

7. βακτηρία] βάκτρα N

9. πολέμια τίθησι Kampmannus. πολέμια τίθεινς A.

17. πρόσφορον] σύμφορον N.

ib. φονεύουσιν—λυπήσουσι] Immo φονεύσωσιν—λυπήσωσι.

ἢ σὺ, ὦ Ἑκάτη, διδοῦσα φῶς, ὥσπερ νόμος ἐστὶ τοῖς παρθένοις· ἔθος γὰρ εἶχον πῦρ ἀνάπτειν ἐπὶ τὸν γάμον.

323. ὦ Ἑκάτη: τὴν Ἑκάτην παρέμιξε διὰ τὸ μετ' ὀλίγον ἀποθνήσκειν· χθονία δὲ ἡ θεός. ἢ ὅτι γαμήλιος ἡ Ἑκάτη.

325. πάλλε πόδ' αἰθέριον: εἰς τὸν αἰθέρα χόρευε. λέγει δὲ Βακχικὰ ἐπιφθέγματα.

320. εἰὰν εὐοῖ: τὸ εἰὰν εὐοῖ Βακχικὰ ἐπιρθέγματα. εἰσὶ δὲ ἐπιρρήματα θειασμοῦ. διόρισον. τὰ δὲ θειασμοῦ, οἷον, εὖ οἷ εὖ ἄν.

330. ἀνάκτορον θυηπολῶ: ὥσπερ ἐν τῷ ἱερῷ οὖσα, οὕτως θυηπολῶ. ἢ οὕτως, ἡγοῦ σὺ τοῦ θυηπόλου.

341. βασίλεια: ταῦτά τινες τῷ Ταλθυβίῳ, τινὲς δὲ τῷ χορῷ ἐπιμερίζουσιν.

343. Ἥφαιστε, δαδουχεῖς: παρὰ τὸ πᾶν διαλέγεται· εἰ καὶ ἐν γάμοις δαδουχεῖς, ἀλλ' οὐ νῦν ἐν εὐπραγίᾳ φαίνῃ.

350. ἐσωφρωνήκασ': σώφρονα πεποιήκασι, τὰ κακὰ σὲ οὐ πεπαιδεύκασιν.

351. ὄακρυσί τ' ἀνταλλάσσετε: ὄακρυα, φησὶν, ἀνταλλάξατε ἀντὶ τῶν γαμηλίων χορῶν. τοῖς δὴ ταύτης γαμηλίοις μέλεσι δάκρυα ἀνταλλάξατε.

357. Ἑλένης γαμεῖ με: προμηνύει ὅτι δι' αὐτὴν Ἀγαμέμνων ἀποθανεῖται, καὶ ἥδεται δοκοῦσα αὐτὸν ὥσπερ τιμωρῆσαι.

361. ἄλλατ' ἐάσω: τινὰ, φησὶν, ἐάσω. δι' ὧν δὲ δοκεῖ ἀποσιωπᾶν, διὰ τούτων λέγει.

366. ἔνθεος μέν: ἔνθεος μέν εἰμι καὶ ἐμμανὴς, ὅμως διὰ τὴν ἀλήθειαν ἔξω μωρίας καὶ βακχευμάτων δέξω εἶναι, ἐπειδὴ τὸ τὴν

7. εὐὰν εὐοῖ] εὖ ἂν εὖ οἷ A. in lemmate et in scholio.

15. ἐσωφρωνήκασ'] ἐσωφρόνηκα A. et mox πεποίηκα—πεπαίδευκᾶ. ἐσωφρονήκασ' A. in textu, et sic ceteri quoque libri, nisi quod ἐσωφρονήκασιν est in ed. Ald. et ἔσω φρονίκασιν in cod. Flor. ex quo σεσωφρονίκασιν fecit Stephanus. Scholiastae interpretatio postulat οὐδὲ σ' αἱ τύχαι —σεσωφρονίκασιν, etsi hoc fortasse non legit, sed σεσωφρωνήκασ', a metri correctore positum, illo sensu dictum accepit. Recte judicarunt qui aliud quid scriptum ab Euripide fuisse censuerunt, velut σοφὴν ἔθηκαν.

21. τιμωρῆσαι Kampmannus. τιμωῆ... A. In A. τιμωρῆσαν esse videtur, in N. τῖμ, literis reliquis compendio expressis.

22. ἄλλατ'] Sic A. etiam in textu: quod pro ἀλλ' ἄτ' accepit, aut id ipsum legit, scholiasta. Veram scripturam ἀλλ' αὖτ' restituit Musgravius.

ἀλήθειαν λέγειν οὐκ ἔστι μαινομένου. τοσοῦτον οὖν, φησὶν, ἔξω γενήσομαι μανίας ὡς καὶ πιστεύεσθαι.

372. τέκνων ἀδελφῷ: τὸ ἐπὶ τῆς Ἰφιγενείας εἰπὼν πληθυντικῶς λέγει τέκνων ἀντὶ τοῦ τέκνου, ἀδελφῷ δὲ τῷ Μενελάῳ.

379. τὰ δ' οἴκοι: οἷς εἶπον· καὶ γὰρ καὶ οἱ ἐν τοῖς οἴκοις ἀπέθνησκον, μὴ ὁρῶντες τοὺς οἰκείους.

381. οὐδὲ πρὸς τάφους: τῶν γὰρ τεθνηκότων οἱ παῖδες τιμῶσι τοὺς τεθνηκότας.

393. Ἀχαιοῖς ὧν ἀπῆσαν: ὧν, τούτων, τὸ μεταξὺ τῶν οἰκιῶν ἀποθνήσκειν, αἱ ἡδοναὶ τοῖς Ἕλλησιν ἀπῆσαν· οὕτως τούτων ἐστέρηντο.

396. ἵξις ἐξεργάζεται: παρουσία, ἄφιξις. ἀνδρεῖον αὐτὸν ἀπέδειξεν. γράφεται καὶ ἧρξις, ἵν' ᾖ καὶ ἡ ἔρξις καὶ ἡ πρᾶξις.

397. εἰ δ' ἦσαν οἶκοι, χρηστός: ὁ Ἕκτωρ χρηστὸς γεννηθεὶς κατεσιωπήθη ἄν, εἰ μὴ ἐστράτευσαν ἐπὶ Ἴλιον.

398. Πάρις τ' ἔγημε: ἑτερότροπόν ἐστιν· ἐπὶ γὰρ κακῷ ἔσχε τὸ κλέος, ὥσπερ ἡ Ἑλένη. Ὅμηρος "ὡς καὶ ὀπίσσω ἀνθρώποισι πελώμεθ' ἀοίδιμοι."

401. εἰ δ' ἐς τόδ' ἔλθοι: εἰ δὲ εἰς πόλεμον ἔλθοι, οὐκ αἰσχρὸν τῇ πόλει αὐτοῦ ἀποθνήσκειν.

407. μέλπεις θ' ἅ: καὶ ταῦτα, φησὶν, ἃ εἴρηκας καλῶς, οὐ δείξεις αὐτὰ σαφῶς καλὰ καὶ ἀληθῆ.

408. εἰ μή σ' Ἀπόλλων: μάταιός ἐστιν ὁ Ταλθύβιος ἐπιπλήσσων καὶ λέγων, εἰ μὴ ἐμαίνου, ἐτιμωρήθης ἄν· πᾶς γάρ τις τοῖς μαινομένοις συμπεριφέρεται.

411. καὶ δοκήμασιν σοφά: τὰ τῷ δοκεῖν σοφά. λέγει δὲ περὶ

13. γράφεται (γράψον apud Amatium) καὶ ἧρξις—πρᾶξις] In marg. cod. Harl. est γρ. καὶ ἔρξις, ἵν' ᾖ ἡ ἔρξις, τουτέστιν ἡ πρᾶξις, unde corrigendum scholion est, nisi ἧρξις pro ἔρξις scriptum scholiastam induxit ut ex ἡ ἔρξις contractum crederet. ἧξις ἀντὶ τοῦ ἄφιξις Εὐριπίδης Τρῳάσιν annotavit Antiatticista in Bekk. Anecd. p. 99, 4: ἵξις per παρουσία, ἄφιξις, ἱκετεία explicat Hesychius.

14. γεννηθεὶς Kampmannus. γενναθ'... A.

15. κατεσιωπήθη L. Dindorfius. κατεσκοπήθη A.

16. Πάρις] ἄλλως. πάρις A.

17. Ὅμηρος] Il. 6, 358.

ib. ὀπίσσω—πελώμεθ'] ὀπίσω—γενόμεσθ' A.

19. πόλεμον — ἀποθνήσκειν] πόλιν μου ἔλθοι, οὐκ αἰσχ..... τοῦ ἀποθν... A. Correxit Kampmannus.

'Αγαμέμνονος, διὰ ταύτης ἐληλυθέναι εἰς ἔρωτα. τὰ σοφὰ, φησὶ, δοκοῦντα τῶν εὐτελῶν οὐκ ἔστι κρείσσονα· οἷον 'Αγαμέμνων ὁ σοφὸς οὐ διαφέρει τινὸς τῶν εὐτελῶν.

418. καὶ Φρυγῶν ἐπαινέσεις: τὰς ὕβρεις τὰς εἰς τοὺς Ἕλληνας καὶ τοὺς ἐπαίνους τοὺς εἰς τὴν Τροίαν ὑπὸ σοῦ λελεγμένους ἐῶ ἀνέμῳ φέρεσθαι.

420. καλὸν νύμφευμα: ἐν εἰρωνείᾳ ταῦτα λέγει.

424. τί ποτ' ἔχουσι τοὔνομα: τί ποτε αὐτοῖς ἐστι τὸ ὄνομα τοῦτο, ὥστε κοινῇ ὑπὸ πάντων ἐχθαίρεσθαι. εἰσὶ δὲ καὶ ἕτεροι κήρυκες, οἱ περὶ τὰ δεῖπνα διακονοῦντες. Ὅμηρος

κήρυκες δ' αὐτοῖσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.

Ἄλλως. διὰ τί πάντες τὸ αὐτὸ ὄνομα ἔχουσιν εἰς ἀπέχθειαν ἐπιτήδειον; Ἄλλως. διὰ τί ποτε τὸ ὄνειμα αὐτῶν τοιοῦτον ὥστε ὑπὸ πάντων μισεῖσθαι;

430. τἄλλα δ' οὐκ ἀνειδιῶ: τὰ λοιπά· ἐν γὰρ Θράκῃ κύων γενομένη ἀπέθανεν.

432. ὡς χρυσὸς αὐτῷ: τὰ ἐμὰ, φησὶ, καὶ τὰ τῶν Τρώων κακὰ νομίσει ποτὲ χρυσὸν εἶναι καὶ τίμια, παρὰ τὸ Ὁμηρικὸν "τρισμάκαρες Δαναοί."

435. εἴ δὴ στενὸν δίαυλον: ὁ λόγος, ἐλεύσεται δὲ εἰς τὸν στενὸν δίαυλον τῆς πέτρας, ὅπου ἦν οἰκοῦσα ἡ Χάρυβδις, δηλονότι ἐπὶ τῆς πέτρας. δίαυλον δὲ λέγει τὸν αὐλῶνα· ἦσαν γὰρ οἱ σκόπελοι πλησίον ἀλλήλων, ὁ τῆς Σκύλλης καὶ ὁ τῆς Χαρύβδεως.

440. αἱ σάρκα φανήεσσαν: καὶ Ὅμηρος "κρέα δ' ἀμφ' ὀβελοῖσι μέμυκεν."

446. νυκτὸς, οὐκ ἐν ἡμέρᾳ: πρὸς 'Αγαμέμνονα λέγει· ἐν νυκτὶ γὰρ τέθνηκεν.

448. κἀμέ τοι νεκρὸν φάραγγες: τῷ ὕδατι τῷ χειμερινῷ ῥέουσαι, ἀπὸ τῶν ὀρῶν καταφέρουσαι, πλησίον τοῦ τάφου τοῦ 'Αγαμέμνονος κομίσουσί με· φονεύσασα γὰρ 'Αγαμέμνονα καὶ τὴν Κασάν-

10. Ὅμηρος] Legitur hic versus Il. 9, 173. τοῖσι δὲ—αὐτίκα κήρυκες μὲν ἕδωρ ἐπὶ χεῖρας ἔχευαν. et ter in Odyssea (1, 146. 3, 338. 21, 270.), τοῖσι δὲ κήρυκες μὲν ὕδωρ etc.

11. ἔχευαν] ἔχευον A.

18. Ὁμηρικὸν] Od. 5, 306.

23. Σκύλλης] σκύλης A.

24. Ὅμηρος] Od. 12, 395.

28. νεκρὸν] νεκρῶν A.

ib. ῥέουσαι—καταφέρουσαι Kampmannus. ῥέουσα—καταφέρουσα A.

δραν εἰς ὄρος ἔρριψεν. ὑπ' οὐδενὸς δὲ παραδίδοται ἡ Κασάνδρα ἄταφος ἐκβεβλημένη. Ἄλλως. ὅτι ἰδικῶς ἱστορεῖ ἄταφον τὴν Κασάνδραν ἐκβεβλῆσθαι εἰς ὄρος.

451. ὦ στέφη: ὦ στέφη τοῦ Ἀπόλλωνος, ἅπερ ἐστί μοι ἀγάλματα· ἀπορρίπτει δὲ τοὺς στεφάνους.

453. σπαραγμοῖς: σπαρασσόμενοι, φησὶν, οἱ στέφανοι ἴτε ἀπ' ἐμοῦ. ἤδη δὲ διεκορεύθη ὑπὸ τοῦ Αἴαντος, καὶ πῶς λέγει ἑαυτὴν παρθένον; φαμὲν οὖν ὅτι, ὅσον τὸ κατ' αὐτὴν ἦκεν, παρθένος ἦν· βίᾳ γὰρ διεκορεύθη.

456. οὐκέτ' ἂν φθάνοις: κατ' ἐρώτησίν φησιν, οὐκέτι φθάνεις με; καὶ τοῦτο λαμβάνεις ἐπὶ τὴν ναῦν προεπειγόμενος; ἢ ἀποφαντικῶς, ἐὰν μὴ νῦν με ἄγῃ, οὐκέτι ἔσται ἐπιτήδειος ἄνεμος.

457. τριῶν Ἐρινύν: τρεῖς γάρ εἰσιν Ἐρινύες, Ἀληκτὼ, Τισιφόνη, Μέγαιρα. πεποίηται δὲ τὰ ὀνόματα.

460. οὐ μακράν: λείπει ἡ εἰς· οὐκ εἰς μακρὰν, ὅ ἐστι μετ' ὀλίγον.

463. δέσποιναν ὡς ἄνανδος: ὡσ. τιν. αὐτῆς ἐπιμελοῦμεν, πρὸς ἃς ποιεῖται τὸν λόγον.

466. οὗτοι φίλα: τὰ μὴ ὄντα φίλα οὐδέποτε ἔσται φίλα· οὐκοῦν οὐχ ἥδομαι ἐπὶ τῷ ἀναστῆναι· οὐ γὰρ φίλον.

467. κεῖσθαι πεσοῦσαν: τὸ ἑξῆς, ἐᾶτέ με κεῖσθαι πεσοῦσαν.

470. ὅμως δ' ἔχει: ὅμως δὲ παραμυθία ἐστὶ τοῖς δυστυχοῦσιν ἀνακαλεῖσθαι τοὺς θεούς.

472. πρῶτον μὲν οὖν μοι: ἡδύ μοι, φησὶ, πρῶτον τὰ ἀγαθὰ ὑμνῆσαι· ὅτε γὰρ πρῶτον εἰς τὰ καλὰ μνημονεύσω, τῶν κακῶν τότε μείζονα οἶκτον κινῶ.

487. κοὔτ' ἐξ ἐκείνων: καὶ οὔτε ἐκεῖναι ἐλπίζουσιν ἐμὲ ὄψεσθαι οὔτε ἐγὼ ἐκείνας.

489. τὸ λοίσθιον δὲ θριγκός: τὸ ἔσχατον πάντων κακῶν τὸ δοῦλον εἶναι, οἱονεὶ τὸ τέλος ἐστὶ, μεταφορικῶς ἀπὸ τῶν οἰκοδομημάτων· μετὰ γὰρ τὴν οἰκοδομὴν ἐπιτίθεται θριγκὸς, ὅπερ ἐστὶ τὸ γεῖσον.

496. τὸ ἑξῆς, τρυχηρὰ πέπλων λακίσματα, ἤγουν σχίσματα.

13. εἰσιν L. Dindorfius. φησιν A. ib. Ἀληκτὼ] ἀλεκτὼ A.

501. ἔλυσας συμφορᾶις: τουτέστιν ἐν ἀτυχίαις ἔλυσάς σου τὴν παρθενίαν, οὐδὲ ἐν εὐτυχίαις.

506. ἄγετε τὸν ἄβρὸν δήποτ': τὸν ἐμὸν πόδα πρώην ἁβρὸν ὄντα, νῦν δὲ θοῦλον, ἄγετε εἰς τὴν στιβάδα καὶ εἰς τὰ πέτρινα κρήδεμνα καὶ περιβόλαια.

511. ἀμφί μοι Ἴλιον: ποίησόν με ᾆσαι ἐπικήδειον μέλος εἰς τὴν Ἴλιον, ὅ ἐστι, περὶ τῆς Ἰλίου ποίησόν με θρηνῆσαι.

516. τετραβάμονος: ἀλληγορικῶς τὸν ἵππον τὸν δούρειον, τέσσαρας βάσεις ἔχοντα· ἀπήνην γὰρ τὸν ἵππον καλεῖ.

525. τόδ' ἱερόν: πρὸς ἑαυτοὺς δὲ, φησὶ, παρεκελεύοντο οἱ Τρῶες, τοῦτο τὸ ἱερὸν ξόανον, τὸν ἵππον, ἄγετε τῇ Ἀθηνᾷ.

532. πεύκᾳ ἐν οὐρείᾳ: ἐν τῇ οὐρείᾳ πεύκῃ· ξύλινος γὰρ ὁ ἵππος.

535. θέᾳ δώσων: καὶ ὁ Πρίαμος ἐξῆλθε τὴν βλάβην θεασόμενος.

536. καὶ χάριν ἄζυγος: καὶ χάριν ἀντὶ τοῦ τέρψιν, ἐπιτερπῶς θεασόμενος τὸν ἵππον.

ἀμβρότα: ὡς ἱππότα, ἵν' ᾖ ἀμβρότου πώλου.

537. κλωστοῦ δ': καθάπερ ναὸς σκάφος κλωστοῦ λίνου ἀμφιβόλοις, ὅ ἐστι σχοινίοις, οὕτως ἐπὶ τὸν ἵππον ἐπέβαλον.

539. φοίνιά τε πατρίδι: ἀντὶ τοῦ φονίως, ἤτοι φοινιχθέντα. τοῦτο δὲ ἀπὸ τοῦ συμβεβηκότος λέγει.

541. ἐν δὲ πόνῳ: πόνῳ διὰ τὸ κεκμηκέναι ἐν τῷ ἕλκειν, χαρᾷ διὰ τὸ ἐλπίζειν τι ἀγαθὸν ἐνηυχέναι.

547. ἐνὶ δόμοις δὲ παμφαὲς σέλας: τὸ δὲ σέλας τοῦ πυρὸς τὴν μέλαιναν αἴγλαν δέδωκε τῷ ὕπνῳ, ὅ ἐστι τὴν μέλαιναν κατάστασιν τῷ ὕπνῳ. ἔδωκε τὸ πῦρ ἀντὶ τοῦ διεδέξατο ἡ νὺξ τὸ πῦρ· σβεσθέντος γὰρ αὐτοῦ ἐκοιμήθησαν· οἷον ἐπὶ τῶν λαμπάδων καιομένων ἐκοιμήθησαν. ἰδίως δὲ αἴγλην εἶπε τῆς νυκτὸς τὸ φῶς.

562. σφαγαὶ δ' ἀμφιβώμιοι: ἐκ δὲ τοῦ σφάζεσθαι ἐρημία

2. οὐδὲ Kampmannus. ... δὲ A.

14. Verba καὶ ὁ Πρίαμος—θεασόμενος in A. cum scholio praecedente sunt conjuncta, cum lemmate ἐστὶν λάχων ἀργείων.

18. ὡς ἱππότα] Decepit scholiastam scriptura vitiosa ἀμβρότα πώλου pro ἀμβροτοπώλου, quod restituit Musgravius.

21. ἤτοι L. Dindorfius. ἢ τὰ A.

παρηκολούθησεν, ἥτις τῇ μὲν Ἑλλάδι στέφανον ἔφερε, τῇ δὲ Τροίᾳ πένθος.

568. Ἑκάβη, λεύσσεις: ἀποθεωροῦσιν αἱ κατὰ τὸν χορὸν τὴν Ἀνδρομάχην παροδεύουσαν ἐπὶ ὀχήματος Ἑλληνικοῦ καὶ τὸν Ἀστυάνακτα αὐτῇ ἑπόμενον.

570. εἰρεσίᾳ: τῇ συζυγίᾳ. ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων.

573. σκύλευς τε Φρυγῶν: τί παρακαθέζῃ τοῖς σκύλοις, ὡς καὶ σκύλων ὄντων μετ' αὐτῆς, ἐν οἷς καὶ τὸ Ἕκτορος ὅπλον.

577. τί παιᾶν' ἐμόν: ἐπειδὴ εἶπεν οἴμοι, λέγει, διὰ τί τὸν ἐμὸν θρῆνον θρηνεῖς; παιᾶνα δέ φησι κατὰ ἀντίφρασιν, ὡς τὸ

ἅπας δ' ἀνευφήμησεν οἰμωγῇ λεώς.

590. οἱ δὲ πόθοι μεγάλοι: ἃ ποθεῖτε μεγάλα ἐστίν, ἡ μὲν Ἕκτορα, ἡ δὲ Πρίαμον.

592. δυσφροσύναις: κακοβουλίαις. καὶ ὁ Πάρις τεχθεὶς δυσφροσύναις τῶν θεῶν οὐκ ἀπώλετο.

601. δάκρυά τ' ἐκ δακρύων: ὁ οἶκος αὐτὸς, φησὶν, ἐκ διαδοχῆς καὶ δακρύει καὶ θρηνεῖ.

614. ἄλλος τις Αἴας: τῆς σῆς θυγατρὸς φαίνεται καὶ δεύτερος Αἴας, ἐπειδὴ καὶ τότε οὗτος αὐτὴν ἐδίωξεν.

626. ὄλωλεν ὡς ὄλωλεν: ἐμοῦ ζώσης εὐτυχέστερον ἀπώλετο· τοῦ γὰρ αἰχμάλωτον δουλεύειν κρεῖσσον τὸ ἀποθανεῖν.

628. οὐ ταυτόν, ὦ παῖ, τὸ βλέπειν: ἔθος ἐστὶ τῷ Εὐριπίδῃ τῷ βλέπειν χρῆσθαι ἀντὶ τοῦ ζῆν, ὡς καὶ ἀλλαχοῦ

τὸ μὲν τέθνηκε σῶμα, τοῦτο δ' αὖ βλέπει.

630. ὦ μῆτερ ὦ τεκοῦσα: οὐ στοχάζεται τῶν ὑποκειμένων προσώπων. καὶ γὰρ νῦν ἡ Ἀνδρομάχη τὰ αὐτὰ φιλοσοφεῖ ἅπερ καὶ ἔμπροσθεν ἡ Κασάνδρα.

636. κείνη δ' ὁμοίως: ἡ δὲ Πολυξένη ὥσπερ μὴ ἰδοῦσα τὸ φῶς καὶ μὴ αἰσθανομένη τέθνηκεν.

1. παρηκολούθησεν] παρηκολούθη A. Sic ἀφώρμη pro ἀφώρμησα scriptum in scholio v. 938., ἐξώρμ pro ἐξώρμησε ad v. 1129.

3. λεύσσεις] λεύσεις A.

7. παρακαθέζῃ Kampmannus. παρακαθελκ... A.

10. ὡς τὸ] Sophoclis Trach. 783.

19. αὐτὴν (Casandram) Kampmannus. αὐτὸν A.

24. δ' αὖ βλέπει Cobetus. δ' ἀναβλέπει A.

26. τὰ αὐτὰ Kampmannus. αὖ A.

28. κείνη] ἐκείνη A.

638. ἐγὼ δὲ τεξεύσασα: μεταφορικῶς φησιν, ἐγὼ δὲ τεξεύσασα καὶ βαλοῦσα ..... τὸν σκοπὸν τῆς εὐδαιμονίας κατὰ τὸ πλεῖστον τῆς τύχης ἥμαρτον. ἢ οὕτως, ἐγὼ δὲ ἐπὶ τὴν εὐδιξίαν βαλοῦσα καὶ τῆς τύχης ἐτύγχανον συγκυρούσης, ὡς καὶ παρ' Ὁμήρῳ τὸ ἁμαρτάνω ἐπὶ τοῦ συγκυρῶ τίθεται.

642. πρῶτον μὲν ἔνθα: πρῶτον μὲν κἂν ᾖ κἂν μὴ ᾖ ὑγὸς ταῖς γυναιξίν, ὅμως κακῶς αὐτὰς ἀκούειν δεῖ, ὅταν μὴ μένωσιν οἴκοι.

645. τούτου παρεῖσα πόθον: τοῦ ἐξέρχεσθαι ἀπὸ τῶν οἴκων ἐάσασα τὴν ἐπιθυμίαν ἀντὶ τοῦ μὴ ἐξερχομένη.

650. ᾤδειν δ' ἁμὲ χρή: εἰς ἃ ἐχρῆν, κἀκείνῳ ὧν ἐχρῆν τὴν νίκην ἐᾶν.

652. καὶ τῶνδε κληδών: τούτων τῶν ἔργων καὶ τῆς εὐκοσμίας ἡ κληδὼν ἐλθοῦσα εἰς τοὺς Ἕλληνας ἀπώλεσέ με.

653. ᾑρέθην: τὴν γὰρ ἀρίστην ἔκρινεν αὐτὸς λαβεῖν ὁ Νεοπτόλεμος.

655. αὐθεντῶν δόμοις: τοῖς τῶν φονέων οἴκοις· αὐθέντας γὰρ λέγουσι τοὺς ἑκουσίῳ φόνῳ μετερχομένους, καὶ αὐτοέντας τοὺς αὐτόχειρας λέγουσιν.

681. αὐτὴ μὲν οὔπω ναός: ἐγὼ μὲν οὐδέποτε εἰς νῆα εἰσέβην, γραφῇ δὲ μόνῃ καὶ ἀκοῇ οἶδα. εἰκάσαι δὲ βούλεται τὰ κατὰ τὴν ναῦν τοῖς ἑαυτῆς κακοῖς· ὥσπερ γὰρ οἱ ἐν νηὶ μετρίων ὄντων πόνων ἐλπίδα ἔχουσι σώζεσθαι, εἰ δὲ βία συμβῇ ἀπελπίζουσι τῆς ζωῆς, οὕτως κἀγὼ ἀπήλπισα.

703. Φρυγῶν ἀρίστου: μήποτε οὐχ ὁ Ταλθύβιος, ἀλλ' ἄλλος τις ταῦτα λέγει. καὶ γὰρ οὐ λάτρις. ἀλλ' ὀνομαστὶ Ταλθύβιον καλεῖν εἴωθεν.

781. τὰ δὲ τοιάδε: τὰ δὲ τοιαῦτα ἐπιτάγματα χρὴ ποιεῖν, ὅσοι ἀναιδεῖς εἰσι καὶ φίλοι τῇ ἀναιδείᾳ.

798. ὄχθοις ἱεροῖς: ἀπὸ τῶν ὄχθων ἐπὶ τὴν πόλιν, ἐν ᾗ πόλει ἡ Ἀθηνᾶ τὸν γλαυκῆς ἐλαίας κλάδον ἔδειξε, τὸν οὐράνιον στέφανον.

803. ἔβας ἔβας: ὦ βασιλεῦ Τελαμών, ἔβας ὅτε τὸ πρῶτον ὁ

2. Post βαλοῦσα nihil deese videtur. KAMPMANN.

4. ἁμαρτάνω] Scribendum vel οὐχ ἁμαρτάνω vel in verbis proximis οὐ συγκυρῶ, ut monet Kampmannus: nisi negligenter locutus est scholiasta.

23. ἀπήλπισα Kampmannus. ἀπ. ... A.

Ἡρακλῆς τὸ τῶν Ἑλλήνων ἦγαγεν ἄνθος διὰ τοὺς πώλεις λιποὺμενος.

814. τυκίσματα: τὰς κατασκευὰς, τὰ τείχη.

821. Λαομεδόντιε παῖ: τὸν Γανυμήδην καθ' Ὅμηρον Τρωὸς ὄντα παῖδα Λαομέδοντος νῦν εἶπεν ἀκλευθήσας τῷ τὴν μικρὰν Ἰλιάδα πεπληκότι, ὃν οἱ μὲν Θεστορίδην Φωκέα φασὶν, οἱ δὲ Κιναίθωνα Λακεδαιμόνιον, ὡς Ἑλλάνικος, οἱ δὲ Διόδωρον Ἐρυθραῖον. φησὶ δὲ οὕτως

ἄμπελον, ἣν Κρονίδης ἔπορεν οὗ παῖδος ἄποινα
χρυσείην φύλλοισιν ἀγανοῖσι κομόωσαν
βότρυσί θ', οἷς Ἥφαιστος ἐπασκήσας Διὶ πατρὶ
δῶχ', ὁ δὲ Λαομέδοντι πόρεν Γανυμήδεος ἀντί.

καὶ Ἀντιφάνης Λαομέδοντος παῖδα τὸν Γανυμήδην φησὶ διὰ τούτων

τῶν οἰκιῶν οὖν ἓν ὁρᾷς ἐν τῇδε μὲν
ὁ τῶν Φρυγῶν τύραννος οἰκᾶν τυγχάνει
γέρων, ἀπ' ἀρχῆς Λαομέδων καλούμενος.

828. ἠϊόνες δ' ἅλιαι: τὴν Ἀλκυόνην λέγει. οὕτως, φησὶν, ἐβόησαν οἱ αἰγιαλοὶ ὥσπερ οἰωνὸς, ἤγουν ἡ Ἀλκυόνη, ὑπὲρ τῶν τέκνων.

840. Ἔρως Ἔρως: ὦ Ἔρως, μεγάλως τότε τὴν Τροίαν ηὔξησας διὰ τὸ τοὺς θεοὺς ἐρᾶν.

3. τυκτίσματα A. in lemmate ut in textu vitiose pro τυκίσματα.

4. Ὅμηρον] Il. 5, 265. 20, 231.

6. Κιναίθωνα] κιναιθῶνα A. Dixi de hoc nomine, apud alios Κιναίθων et Κίναιθος scripto, in Thesauro vol. 4. p. 2110.

7. Ἑλλάνικος Hermannus Opusc. vol. 5. p. 185. μελάνικος A.

10. χρυσείην] χρισείοις A. Correxi ex schol. Orest. 1392. ubi haec ex cyclo afferuntur, τινὲς οὐχ ἵππους, ἀλλὰ χρυσῆν ἄμπελόν φασι δεδόσθαι ὑπὲρ Γανυμήδους, καθάπερ ἐν κύκλῳ λέγει, ubi excidit nomen poetae, nisi λέγεται scripsit.

ib. φύλλοισιν ἀγανοῖσι] Sic etiam in scholio ad Orest. vitio manifesto, cujus lenissima est correctio ab Schneidero in Lexico facta ἀγανοῖσιν, sed merito rejecta ab Hermanno, quum ἀγανός non dicatur de rebus inanimatis. φύλλοισι παναργυρέοις Hermannus.

11. θ' et Διΐ om. schol. Orest.

12. δῶχ', ὁ δὲ] δῶκεν, αὐτὰρ ὁ schol. Orest.

ib. πόρεν] πόρε A.

ib. ἀντί] ἄρτι schol. Orest.

13. Ἀντιφάνης Hermannus. ἀριστοφάνης A. Versus ex prologo fabulae Γανυμήδης inscriptae sumtos esse monet Cobetus. Ceterum scholiasta paullo plura quam tres qui nunc leguntur versus attulisse videtur. Nam in his nulla Ganymedis mentio fit.

ib. διὰ τούτων—οἰκᾶν] Sic haec correxit Cobetus. διὰ τὰς τῶν οἰκείων ... ὁρᾷς ἐν τῇδε μενόντων φρυγῶν τύραννος ἄκων A. οἰκιῶν etiam L. Dindorfius et ὁ τῶν—οἰκῶν Hermannus.

16. ἀρχῆς Seidlerus. ὀργῆς A.

18. ὥσπερ] ἢ addit A.

19. ὦ Kampmannus. ὁ A.

850. φέγγος ὁλοόν: τὸ δὲ φέγγος τῆς ἡμέρας, ὅ ἐστιν αὕτη ἡ ἡμέρα, πῶς περιεῖδε τὸν ὁλοὸν τοῦτον ὄλεθρον, τὸν κατὰ ταύτην τὴν γῆν ἐπηρμένον καὶ τῶν περγάμων, καίτοι ἄνδρα ἔχουσα ἐν ταύτῃ τεκνοποιὸν, ὡς καὶ τέκνα ἔχειν τὸν Μέμνονα.

855. ὃν ἀστέρων τέθριππος: τὸν Τιθωνὸν λέγει ἡ Ἡμέρα ἔχουσα. κατὰ δὲ Ἡσίοδον οὐκ ἔστι ταυτὸν Ἠὼς καὶ Ἡμέρα. λέγει ὁτὲ μὲν

Θεία δ' Ἠέλιον τέκετο λαμπράν τε Σελήνην.

Ἄλλως. ὅντινα Τιθωνὸν ὁ τέθριππος, ὁ χορὸς τῶν ἄστερων, ὅ ἐστιν ὁ λάμπων ἀστὴρ, τῇ πατρῴᾳ γῇ μεγάλην ἐλπίδα παρεχόμενος.

863. Μενέλαός εἰμι: περισσὸν τὸ "Μενέλαός εἰμι" αὐταρκες γὰρ τὸ "δάμαρτα τὴν ἐμὴν χειρώσομαι."

884. ὦ γῆς ὄχημα: τὴν γῆν ὀχῶν καὶ ἐπὶ γῆς ὀχούμενος. λέγει δὲ τὸν ἀέρα· ὦ συνέχων τὴν γῆν· ἔστι γὰρ καὶ ἐπάνωθεν ἀὴρ καὶ κάτω, ὡς τὴν γῆν εἶναι μετέωρον. ὦ ὄχημα τῆς γῆς ὅστις εἶ, εἴτε Ζεὺς εἴτε ἄλλο τι, ἐπάκουσον, εἴτε τὸν νοῦν τοῖς ἀνθρώποις ἐντιθείς. δύναται καὶ οὕτως· ὁ διήκων διὰ πάντα νοῦς. καὶ μήποτ' ἐστὶ βέλτιον· καὶ γὰρ ἔνιοί φασιν, ὁ νοῦς ἡμῶν ὁ θεός· ὁρᾶται δὲ ἐκ τῶν Ἀναξαγορείων λόγων. Ἄλλως. ἔνιοι οὕτως· ὁ τὸν νοῦν τοῖς ἀνθρώποις τιθείς, ἢ ὁ διήκων ἐπὶ πάντας νοῦς, ὃ καὶ βέλτιον, εἴτε Ζεὺς ὁ τοιοῦτος ἀνθρωπόμορφος εἴτε φυσικὴ ἀνάγκη, ἢ τοιοῦτος νοῦς οἷον ἔχουσιν οἱ ἄνθρωποι, ἢ τοιοῦτον μὲν οὐδὲν, ἀναπλασμὸς δέ ἐστι τῆς ἡμῶν διανοίας ὁ θεός.

890. Μενέλαε: διὰ τί τολμηρῶς αὐτὸν Μενέλαον καὶ οὐ πόσιν

4. τὸν Μέμνονα] Scribe Ἡμαθίωνα καὶ Μέμνονα, collato Apollod. 3, 12, 4.
6. Ἡσίοδον] Theog. 371.
ib. Ἡμέρα—Θεία Cobetus. ἡμέρα ταυτόν. λέγει ὅτε μενθεῖα Α.
8. τέκετο] Scribendum τε μέγαν.

Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει
ἀθανάτοις τε θεῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
γείνατ' ἐποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.

ὁτὲ δὲ (v. 124)

Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
εὖς τέκε κυσσαμένη Ἐρέβει φιλότητι μιγεῖσα. COBET.

τέλετο debetur librario antiqui codicis evanidam scripturam vel lacunam utcunque explenti. Eadem de causa reliquam partem scholii, quam expedire nullo modo poterat, omisit, sic supplendam:

16. ἀνθρώποις addidit Kampmannus ex scholio proximo. In A. lacuna.

προσαγορεύει; διὰ τὸ μετὰ φόβου ἐξάγεσθαι ἀρχὴν φησι τοῦ λόγου ταύτην ἀξίαν φόβου τὸ Μενέλαον αὐτὸν καὶ οὐ πόσιν προσαγορεύειν.

901. οὐκ εἰς ἀκριβές: ὁ ἐστιν οὐκ εἰς τὸ ἀκριβὲς ἦλθεν ὥστε ἀριθμουμένων τῶν ψήφων εἰς τὸ βραχὺ ἐλθεῖν καὶ εἰς ἰσοψηφίαν καταντῆσαι.

906. ἄκουσον αὐτῆς: καταφέρεται εἰς τὸ νόσημα τῶν ἀντιθέσεων· ἡ γὰρ πρότερον λέγουσα "ὅρα μή σε ἕλῃ" νῦν φησιν "ἄκουσον αὐτῆς."

911. σχολῆς τὸ δῶρον: ἀργίας, φησὶ, χρεία εἰς τὸ συγχωρῆσαι αὐτῇ εἰπεῖν· ὅμως ἕνεκα τῶν σῶν λόγων, ὦ Ἑκάβη, δίδωμι αὐτῇ τὸ παρρησιάζεσθαι, οὐχ ἕνεκα ταύτης.

916. ἃ σ' εἶμαι: ἅπερ σε εἶμαι διὰ λόγων ἰόντα κατηγορήσειν, ταῦτα ταῖς ἀντιθέσεσιν ἀνατρέψω.

928. εἰ σφε κρίνειεν Πάρις: εἰ κρίνει αὐτὴν ὁ Πάρις βελτίονα. ταῦτα δὲ συλλογίζεται λέγουσα, ὅτι, εἰ μὴ εἵλετο ὁ Ἀλέξανδρος, ἐβούλευσεν τοῖς Τρωσὶν ἡ Ἑλλάς· ἡ γὰρ Ἀθηνᾶ τὴν βασιλείαν τῆς Ἑλλάδος αὐτῷ ὑπέσχετο.

932. οἱμοὶ γάμοι: οἱ ἐμοὶ γάμοι ὤνησαν τὴν Ἑλλάδα, καθὸ ἐκράτησε τῶν βαρβάρων· εἰ γὰρ ἐπείσθη τῇ ὑποσχέσει τῆς Ἀθηνᾶς, ἔμελλον ἂν νικᾶσθαι ὑπὸ τῶν βαρβάρων οἱ Ἕλληνες.

934. οὔτ' εἰς δόρυ: οὔτε εἰς μάχην σταθέντες οὔτε ἐν τυραννίδι, οἷον οὐκ ἐτυραννήθησαν. οἷον, εἰ γὰρ ἡ Ἥρα ἐκράτησε, τύραννον ἔλεγε καταστῆσαι Ἀλέξανδρον, ἡ δὲ Ἀθηνᾶ εἰς μάχην.

938. οὔπω με φήσεις: ἀλλ' ἐρεῖς με, φησὶ, μὴ εἰπεῖν τὰ ἀναγκαῖα. ποῖα δέ εἰσι τὰ ἀναγκαῖα; τὸ, πῶς ἁφάρμησα ἐκ τῶν σῶν οἴκων.

941. ὁ τῆσδ' ἀλάστωρ: ἡ ἀπολογία αὕτη ἐστίν· ὁ ταύτης ἀλάστωρ ὁ Ἀλέξανδρος ἦλθε μεθ' ἑαυτὸν ἄγων οὐ μικρὰν θεὸν τὴν Ἀφροδίτην.

8. πρότερον] v. 891.
15. κρίνειεν] κρίνειε A.
17. ἐβούλευσεν] ἂν addit Kampmannus.
18. αὐτῷ Kampmannus. αὐτῇ A.
19. οἱμοὶ] οἱ 'μοὶ A. Recta scriptura est οἴμοι.
26. ἀφώρμησα Kampmannus. ἀφόρμη A.
28. ταύτης Kampmannus. τῆς αὐτῆς A.
29. μικρὰν scripsi pro μικρόν.

943. σοῖσιν ἐν δόμοις: καὶ ταῦτα παρὰ τὴν ἱστορίαν φησίν· οὐ γὰρ παρόντος αὐτοῦ, ἀλλ' ἀποδημοῦντος, ὁ Ἀλέξανδρος παρεγένετο.

951. ἔνθεν δ' ἔχοις: τοῦτο καθ' ἑαυτὸ ἀναγνωστέον· βούλεται γὰρ λέγειν ἐκ τῶν λέγεσθαι μέλλοντων· ἐνταῦθα ἔχεις εἰς ἐμὲ εὐπρεπῆ λόγον, διὰ τί ἀποθανόντος Ἀλεξάνδρου οὐκ ἦλθες εἰς ἐμέ.

966. βασίλει', ἄμυνον: ἤγουν ὡς λέγοι· καλλιώτερον ἐγένετο... ὅτι ἐφονεύθησαν ὑπὸ σοῦ καὶ ἡ Τροία διώλετο.

975. αἳ παιδιαῖσι καὶ χλιδῇ μορφῆς πέρι ἦλθον πρὸς Ἴδην: ἀνοίκειον τοῦτο τοῦ ὑποκειμένου. ἔδει γὰρ αὐτὴν ἀνελεῖν καὶ μὴ εἰπεῖν ὅτι παίζουσαι ἦλθον εἰς τὴν τοῦ κάλλους ἔριν. διόπερ καὶ τοὺς ἐν Ἰλιάδι στίχους ἀθετοῦσι τοὺς "ὃς νείκεσσε θεάς." δύναται δὲ καὶ καθ' ὑπόκρισιν ἐρωτηματικῶς ἀκούεσθαι, αἳ παιδιαῖς καὶ τρυφῇ ἦλθον εἰς Ἴδην οὐκ ἦλθον, οὐ δῆτα· ὥστε εἶναι πάντων τῶν προειρημένων ἀναιρετικόν. τὸν γὰρ ἐναντίον λόγον χειρίζουσα ὀφείλει ἀναιρεῖν ἐκεῖνα.

983. Κύπριν δ' ἔλεξας: ἐλθεῖν δὲ τὴν Κύπριν ἔλεξας εἰς τοὺς Μενελάου δόμους σὺν τῷ ἐμῷ παιδί, ἅπερ γέλως εἴη.

988. ὁ σὸς δ' ἰδὼν νιν: σὺ κατὰ τὸν ἐπτοηθέντα νοῦν ἀναπλάσσῃ Κύπριν ποιοῦσα. ὁ δὲ νοῦς οὕτως, ὁ δὲ σὸς νοῦς ἰδὼν τὸν Ἀλέξανδρον ἐποιήθη Κύπρις, οἷον ἐμωράνθη καὶ εἰς ἀκολασίαν ἐτράπη· ἡ γὰρ Ἀφροδίτη ἐπὶ ἀσελγείας λαμβάνεται.

989. τὰ μῶρα γάρ: συνεχῶς ὁ Εὐριπίδης μῶρα λέγει τὰ ἀκόλαστα καὶ κατωφερῆ. καὶ νῦν τοῦτό φησιν, ὅτι τὴν σαυτῆς ἀκολασίαν εἰς τὴν θεὸν ἀποτρίβει· πάντα γὰρ τὰ ἀκόλαστα Ἀφροδίτη λέγεται.

990. καὶ τοὔνομ' ὀρθῶς: τὴν Ἀφροδίτην ἐτυμολογοῦσιν οἱ μὲν

6. διὰ τί Kampmannus. διὰ τὸ A.

7, 8. Scholion manus recentioris.

9. Lemma praefixit Cobetus. In A. est ἐγὼ γὰρ Ἥραν ex v. 971.

10. μὴ εἰπεῖν] *negare*. KAMPM.

11. παίζουσαι Kampmannus. παίζουσα A.

ib. τοὺς ἐν Ἰλιάδι στίχους] Versus dicit 23—30. ut ex scholiis Homericis cognoscitur, quorum unus (29.) incipit ab verbis quae apposuit scholiasta, ὃς νείκεσσε θεάς, quibus Cobetus καὶ τὰ ἑξῆς addidit.

12. τοὺς "ὃς νείκεσσε] τὸ ὃς νείκεσε A.

22. ἀσελγείας] ἀσελγίας A.

25. ἀποτρίβει] Scribe ἀποτρίβῃ. Non utitur alias scholiasta forma in ει. KAMPM.

παρὰ τὸν ἀφρὸν τὸν ἐν τῇ συνευσίᾳ, οἱ δὲ παρὰ τὸν ἐν τῇ θαλάττῃ ἀφρὸν, ὡς Ἡσίοδος ἐν Θεογονίᾳ· οἱ δὲ ἀφόρητόν τινα εἶναι, ὡς αὐτός φησι

Κύπρις γὰρ οὐ φορητὸς, ἢν πολλὴ ῥυῇ.

οἱ δὲ Ἀβρδίτην ἀβροδίαιτόν τινα οὖσαν· μόνη γὰρ οὐκ οἶδε πολε- 5
μικὰ ἔργα.

995. χρυσῷ ῥέουσαν : ἤλπισας τὴν Τροίαν χρυσῷ ῥέουσαν ταῖς δαπάναις πλημμυρεῖν.

1006. ἀνταγωνιστὴν μέγαν : ἀντεραστήν· λυποῦνται γὰρ οἱ ἐρῶντες, ὅταν οἱ ἀντερασταὶ ἐπαινῶνται. 10

1008. εἰς τὴν τύχην δ' ὁρῶσα : πρὸς τὴν τύχην ἑκάστου ἐφέρου καὶ τὸν εὐτυχοῦντα ἐπῄνεις.

1010. κἄπειτα πλεκταῖς : καθόλου νῦν παρὰ τὸ πρσῆκον ἡ Ἑκάβη δικαιολογεῖ, ὥς φησιν νικτην ὁ ποιητής. εἰσὶ δὲ αἱ τοιαῦται ἐπιχειρήσεις ἀμάρτυροι πίστεις. 15

1030. στεφάνωσον Ἑλλάδ' : εὐήθης ἡ Ἑκάβη. ἀπὸ γὰρ τῆς ἐμβολῆς τοῦ ξίφους ἐχρῆν ἐπιγῶναι τὴν διάθεσιν τοῦ ἀνδρὸς, ὡς ἐν τῇ Ἀνδρομάχῃ

οὐκ ἔκτανες γυναῖκα χειρίαν λαβών.

1034. ἀφελοῦ πρὸς Ἑλλάδος : ἀφελοῦ τὸ θῆλυ, τουτέστιν μὴ 20 θηλυνθῇς, ἀνελὼν δὲ ταύτην σεαυτὸν ἀπαλλάξεις ψόγου.

1036. ἐμοὶ σὺ συμπέπτωκας : πρὸς τὴν Ἑκάβην φησί· συμφωνεῖς μοι λέγουσα τὰ τοιαῦτα, ἑκουσίᾳ ἐξελθεῖν τῶν ἐμῶν οἴκων καὶ μάτην τὴν Κύπριν προβάλλεσθαι.

1037. ἑκουσίως τήνδ' ἐκ δόμων : ἑκουσίως ἔπλευσε, κόμπου δὲ 25 χάριν ἡ Ἀφροδίτη τοῖς λόγοις αὐτῆς ἐμβέβληται.

1049. μὴ νῦν : καὶ τοῦτο γέλοιον, γελοιότερος δὲ ὁ ἀντερῶν.

1051. οὐκ ἔστ' : ὁ στίχος οὗτος ἐν παροιμίαις φέρεται.

1057. ῥᾴδιον μὲν οὐ τόδε : τὸ κατὰ τῶν γυναικῶν μῖσος ἑαυτοῦ

2. Θεογονίᾳ] 197.
ib. αὐτός] Hippol. 443.
10. ἐπαινῶνται Kampmannus. ἐπαινοῦνται A.
13. πρσῆκον] πρέπον apud Amatium.
14. νικτην (νικτ cum compendio syllabae ην) A. corrupte.
17. ἐχρῆν] ἐχρὴν A. hic et alibi.
18. Ἀνδρομάχῃ] 628.
19. γυναῖκα] γυναῖκα σὴν A.
22. φησί· συμφωνεῖς — προβάλλεσθαι] φησιν αμφῶ — προβάλλεσθε A. Correxit Kampmannus.

καὶ διὰ τούτων παρίστησιν ὁ Εὐριπίδης· οὐ γὰρ, φησὶ, ῥᾴδιόν ἐστι ποτε σωφρονίσαι γυναῖκα.

1059. κἂν ἔτ' ὦσ' ἐχθίονες : κἂν ἀκόλαστοι πάνυ ὦσιν.

1064. σμύρνης αἰθερίας : εἰς τὸν αἰθέρα φθανούσης ἢ τῆς αἰθομένης τὴν ἀκρόπολιν. κατὰ κοινοῦ τὸ προὔδωκας.

1068. τέρμονά τε : τέρμονα νῦν λέγει τὴν τοῦ Ἰδαίου ὄρους κορυφὴν διὰ τὸ τερματίζειν, πρωτόβολον δὲ διὰ τὸ ἐμβάλλειν τὸν ἥλιον πρῶτον ἀνίσχοντα εἰς αὐτήν.

1070. ζαθέαν θεράπναν : ἔνθα τὸ θεῖον θεραπεύεται. νῦν δὲ θεράπναν λέγει τὴν τοῦ Διὸς οἴκησιν, παρόσον ὁ Ζεὺς τὴν Ἴδην οἰκεῖ.

1075. Φρυγῶν τε ζάθεοι : ἀμφιβόλως ἔχει, πότερον κατ' ἐνιαυτὸν διὰ τὸ δωδεκασέληνον εἶναι τὸν ἐνιαυτὸν, ἢ δι' ὅλου τοῦ ἐνιαυτοῦ κατὰ μῆνα. λέγουσι δὲ ἔνιοι καὶ τὰ πέμματα σελήνας διὰ τὸ λευκὰ εἶναι καὶ περιφερῆ· σελήνας δε..... ἱδρύεσθαι· δύναται οὖν λέγειν ἐκ δώδεκα πεμμάτων θυσίαν.

1079. αἰθέρα τε πόλεως : καὶ τὸν αἰθέρα ἐπιβεβηκώς. ὁ Δίδυμος τὸν ἐμπυρισμὸν, ἀπὸ τοῦ αἴθεσθαι.

1084. φθιμένοις ἀλαίνεις : ἐν τοῖς νεκροῖς διατρίβεις.

1090. κατάορα : ἐστεγασμένα, πεπυκνωμένα τοῖς δάκρυσι. κατήορα τῇ βοᾷ. ἢ βοᾷ, ἵν' ᾖ ῥῆμα.

1100. ἔνθ' ἀκάτου : ἔνθα πορευομένης τῆς νεὼς τοῦ Μενελάου κατὰ τὸ μέσον πέλαγος τοῦ Αἰγαίου. τὸ δίπαλτον πῦρ τὸ ἱερὸν, ὅ ἐστιν ὁ κεραυνὸς, κεραυνώσει κατὰ τὸ μέσον τὴν πλάτην, ὅ ἐστι τὸ πλοῖον· εὔχονται γὰρ κατὰ τὸ μέσον πέλαγος κεραυνωθῆναι.

1107. χρύσεά δ' ἔνοπτρα : φαίνεται ἐπιλαθόμενος ὧν προείρηκεν· ἀπῆκται γὰρ ἐπὶ τὰς ναῦς ὡς ἀποτυμπανισθησομένη. ἤτοι οὖν ἐπιλελησμένην αὐτὴν εἰσάγει καὶ καταστοχαζομένην, ὅτι πάλαι ἔχει τὰ ἔνοπτρα καὶ καλλωπίζεται.

1112. χαλκόπυλόν τε : τινὲς θεᾶς μέλαθρον. ἢ προσυπακουστέον αὐτὸ ἔξωθεν. ἔστι δὲ χαλκοῖκον Ἀθηνᾶς ἐν Σπάρτῃ ἱερόν.

1118. καινὰ καινῶν : παρασκευάζουσαι αἱ συντυχίαι τῇ Τροίᾳ. τὸ ἑξῆς δὲ, λεύσσετε Τρώων ἄλοχοι μέλεαι.

3. Praefixi lemma κἂν ἔτ' ὦσ' ἐχθίονες. In A. verba κἂν—ὦσιν scholio praecedenti adjecta sunt.

30. χαλκιοίκου] χαλκειοίκου A.

32. λεύσσετε] λεύσετε A.

1121. ἐν πύργων δίσκημα: ἀντὶ τοῦ ἔκτεινον βίψαντες καὶ δισκεύσαντες αὐτὸν ἀπὸ τῶν τειχῶν.

1123. νεὼς μὲν πίτυλος: ἀντὶ τοῦ μία ναῦς· πίτυλος γὰρ ἡ κωπηλασία, ὡς τῆς Ἀνδρομάχης παρακαλεσάσης αὐτὸν μετὰ τῆς ἀσπίδος θάπτεσθαι. διὰ τοῦτο Ταλθύβιος λέγει μίαν ναῦν καταλελεῖφθαι ἐπ' αὐτὸ τοῦτο.

1126. αὐτὸς δ' ἀνῆκται: ἀναγωγὴ λέγεται ἡ ἀπὸ τοῦ λιμένος εἰς τὸ πέλαγος ἀναχώρησις· δοκεῖ γὰρ ὑψηλότερον εἶναι ἡ θάλασσα τῆς γῆς.

1128. Ἄκαστος ἐκβέβληκεν: ὁ μὲν Εὐριπίδης ὑπὸ Ἀκάστου φησὶν ἐκβεβλῆσθαι τὸν Πηλέα, εἰσὶ δὲ οἳ φασιν ὑπὸ τῶν δύο αὐτοῦ παίδων, Ἀρχάνδρου καὶ Ἀρχιτέλους, κατὰ τὸν καιρὸν ὃν ἔμελλον Ἕλληνες ἐξ Ἰλίου ἐπανιέναι ἐξεληλάσθαι, καὶ ἐλθόντα εἰς ἀπάντησιν τῷ Νεοπτολέμῳ προσελθεῖν διὰ χειμῶνα τῇ Κῷ τῇ νήσῳ καὶ ξενισθέντα ὑπὸ Μόλωνός τινος Ἄβαντος ἐκεῖ καταλύσασθαι τὸν βίον.

1129. εὖ θᾶσσον: θᾶσσον τοῦ δέοντος ἐξώρμησε καὶ οὐκ ἐπεμέρισέ τινα τῇ μονῇ χάριν. οὔτε γὰρ ἠγήσατο κεχαρισμένον ἑαυτῷ εἶναι τὸ μεῖναι, ἀλλ' ἀνήχθη. τοῦτο δὲ πρὸς τὴν δραματικὴν ὑπόθεσιν μεμηχάνηται, ὅπως τὸ ἐπεισόδιον ἐπαγάγοι τοῦτο ἐπὶ τῆς σκηνῆς, τήν τε ἀσπίδα παρεισενέγκοι καὶ τὸν Ἀστυάνακτα. πρὸς μὲν οὖν τὴν ταχεῖαν ἀναχώρησιν εὗρεν ὅτι αἴτιον τῷ Νεοπτολέμῳ τὸν Πηλέα ὑπὸ Ἀκάστου ἐκβεβλῆσθαι, περὶ δὲ τῆς ἀσπίδος, ὅτι ἠξίωσεν αὐτὸν ἡ Ἀνδρομάχη τὴν ἀσπίδα αὐτῇ ἀφεῖναι, ὅπως μὴ ἐν τῷ αὐτῷ θαλάμῳ ἡ τοῦ Ἕκτορος ἀσπὶς ᾖ. κομψὰ δὲ ταῦτα πάντα πεποίηκε, παρῄρηκτο δὲ τὸ τραγικὸν κατασκεύασμα. εἴπερ γὰρ παρῆν ἡ Ἀνδρομάχη, οἰκτρότερον ἂν ἐγένετο τὸ πάθος θρηνούσης αὐτῆς τὸν ἴδιον παῖδα. ἀντικατήλλακται δὲ τοῦ τοιούτου πάθους τὴν τῆς ἀσπίδος εἰσαγωγήν.

1133. καί σφ' ἠτήσατο: παρεκάλεσε δὲ συνθάψαι καὶ τὴν ἀσπίδα, ἥτις τοῖς Ἕλλησι φόβον παρεσκεύασεν.

1. δισκεύσαντες L. Dindorfius. διεσκευάσαντο A.
12. καιρὸν L. Dindorfius. σκανὸν A.
17. ἐξώρμησε Cobetus. ἐξώρμη A.
18. οὔτε] Immo οὐδέ.
21. παρεισενέγκοι Cobetus. παρεισενέγκη A.
24. αὐτῇ] αὖ A.
26. γὰρ addidit Cobetus.

1138. μή νιν παρεῖσαι : παρεκάλεσεν αὐτὸν μὴ ἄγειν τὴν ἀσπίδα εἰς τὸν Πηλέως οἶκον, πρὸς τὸ μὴ λυπεῖσθαι ὁρῶσαν αὐτήν.

1141. ἀλλ' ἀντὶ κέδρου : ἀντὶ σοροῦ· ἀπὸ κέδρου γὰρ αἱ σοροί. συνθάπτειν τὴν ἀσπίδα.

1143. ὡς περιστείλῃς νεκρόν : ἵνα σὺ περιστείλῃς, ἐπειδὴ ἡ Ἀνδρομάχη βέβηκε· τὸ γὰρ τοῦ Νεοπτολέμου τάχος ἀφείλετ' αὐτὴν ὥστε μὴ δι' ἑαυτὴν θάπτειν τὸν νεκρόν.

1152. ἔλουσα νεκρόν : καὶ καθόλου ἔλουσα καὶ κατὰ μέρος ἀπένιψα.

1153. ἀλλ' εἶμ' ὀρυκτόν : ἀλλὰ πορεύομαι ἐπὶ τῷ ὀρύξαι τάφον.

1154. ὡς σύντομ' ἡμῖν : ἵνα συντόμως δι' ἐμοῦ καὶ διὰ σοῦ πραχθέντα ταῦτα παρασκευάσῃ ἡμᾶς πλεῖν.

1158. ὦ μείζον' ὄγκου θρός : ὦ Ἀχαιοὶ μᾶλλον κομποῦντες ἐν λόγοις ἢ ἐν πολέμῳ, εἰ τοῦτον ἐφοβήθητε.

1161. οὐδὲν ἦτ' ἄρα : οὐδὲν ἐτυγχάνετε, ὅτι Ἕκτορος μὲν ζῶντος ἐπορθήσατε τὴν πόλιν, τοῦτον δὲ νῦν φοβεῖσθε.

1166. ὅστις φοβεῖται : ὅστις μὴ μετὰ λογισμοῦ φοβεῖται.

1175. ὃν πόλλ' ἐκήπευσ' : κῆπος κουρᾶς εἶδος, ἣν οἱ κειρόμενοι διεβάλλοντο, κατελίμπανον δὲ τὰς ἔξω τῆς κεφαλῆς περὶ τὰ ἄκρα τρίχας. οὐ κέχρηται οὖν μεταφοραῖς ὁ Εὐριπίδης, ἀλλὰ τὸ τῆς κουρᾶς εἶδος αἰνίττεται. οὕτως ὁ Ἐρατοσθένης· οὐ γὰρ ἀξιοῖ μεταφορὰν εἶναι. λέγει οὖν, ὅντινα βόστρυχον κῆπον ἔκειρε. τὴν τοιαύτην δὲ κουρὰν καλοῦσι κῆπον. Ἄλλως. κατά τινας ἐπιμελείας ἠξίωσεν, ἐθεράπευσεν, ἵν' ᾖ μεταφορά. ἔστι δὲ καὶ εἶδος κουρᾶς ὁ κῆπος, ᾧ οἱ χράμενοι διεβάλλοντο, κατελίμπανον δὲ τὰς ἔξω τῆς κεφαλῆς τρίχας. νῦν οὖν ὁ Εὐριπίδης τὸ εἶδος τῆς κουρᾶς, ὡς καὶ Ἐρατοσθένης λέγει.

1176. ἔνθεν ἐκγελᾷ : ἔνθεν ἀπὸ τῶν βοστρύχων τῶν ὀστέων ῥαγέντων διαχάσκει ὁ φόνος· φόνον δὲ λέγει τὸν ἐγκέφαλον.

1177. ἵν' αἰσχρὰ μὴ λέγω : ἵνα τὰ εἰθισμένα μὴ εἴπω· αἰσχρὸν γὰρ λέγειν ἐγκέφαλον.

1178. ὦ χεῖρες, ὡς εἰκοῦς : τῆς μὲν εἰκόνος καὶ τῆς εἰκασίας τοῦ

1. παρεκάλεσεν — ἄγοι (praetuli ἄγειν) Kampmannus. παρεκαλ..... ἄγει A.
3. συνθάπτειν τὴν ἀσπίδα] Haec spectant ad v. 1136.
13. παρασκευάσῃ] παρασκευάσει A.
14. κομποῦντες] κομπῶντες A.

πατρὸς κέκτησθέ τι, οἷον, ὅμοιοι μέν ἐστε τοῦ πατρὸς, ἐν δὲ τοῖς ἄρθροις ἐκλελυμένοι πρόκεισθε.

1182. *ὦ μῆτερ, ἡδύς*: ἔλεγες τοιαῦτα, φησὶν, ὅτι, ὅτε τεθνήξῃ, τὸν πλόκαμον σου κεροῦμαι, καὶ τοῦτο ἔλεγες, ὅτι ὑμνήσω σε μετὰ τῶν ὁμηλίκων.

1189. *γράψειεν ἄν σε*: εἰώθασιν ἐν τοῖς τάφοις τῶν ἀποθνησκόντων γράφειν τὰ ἀνδραγαθήματα. καὶ σὲ οὖν πῶς γράψει; ἆρα ὡς ἐφονεύθης ὑπὸ τῶν Ἑλλήνων, αἰσχύνην τοῖς Ἕλλησι, δι' ἣν λέγει αὐτοὺς ἕνα παῖδα πεφοβῆσθαι.

1196. *σὸς κεῖται τύπος*: *ὁ ταί... τύπος τοῦ Ἕκτορος συμβέβηκεν εἶναι ἐκ τοῦ ἱδρῶτος, ἢ ἁπλῶς ὁ ἱδρὼς κεῖται, ὃν ἔσταξεν ὁ Ἕκτωρ ἐκ τοῦ μετώπου τοῖς περιδρόμοις τῆς ἀσπίδος.*

1201. *οὐ γὰρ ὁ δαίμων δίδωσιν εἰς κάλλος τὰς τύχας*: *ἀντὶ τοῦ, οὐκ ἔστιν εὐπρεπὴς οὐδὲ πο.....*

1204. *τοῖς τρόποις γὰρ αἱ τύχαι*: *αἱ γὰρ τύχαι πηδῶσιν, ὅ ἐστι γίνονται κατὰ τοὺς τρόπους τοῦ εὐμεταβλήτου καὶ ἄλλοτε ἄλλῳ πηδῶντος ἀνθρώπου· ἔμπληκτος γὰρ ὁ εὐμετάβλητος.*

1207. *καὶ μὴν πρὸ χειρῶν*: *ἕτεραι Τρῳάδες φέρουσι σκῦλα τῷ τεθνηκότι Φρυγῶν.*

1223. *θανῇ γὰρ οὐ θανοῦσα*: *καίτοι συνθαπτομένη τῷ νεκρῷ οὐκ ἀποθανῇ.*

1230. *νεκρῶν ἴακχον*: *ἐγὼ στενάζω τὸν νεκρῶν ἴακχον, τὸν θρῆνον τὸν εἰς τὸν Ἴακχον, ὃν φασι Περσεφόνης εἶναι υἱόν.*

1233. *τλήμων ἰατρός*: *κἀγὼ, φησὶν, ἰατρὸς νομιζομένη, τὰ δὲ ἔργα τῶν ἰατρῶν οὐκ εἰδυῖα, τοῖς ῥάκεσι πληρώσω τὰ ἕλκη σου.*

1240. *οὐκ ἦν ἄρ' ἐν θεοῖσιν*: *οὐδὲν ἦν ἐν τοῖς θεοῖς, φησὶν, εἰ μὴ ἡ Τροία καὶ οἱ ἐμοὶ πόνοι· οἷον περὶ οὐδενὸς ἐφρόντιζον οἱ θεοὶ εἰ μὴ περὶ ἐμοῦ καὶ τῶν ἐμῶν πόνων καὶ τῆς Τροίας τῆς μεγάλως μισουμένης.*

2. πρόκεισθε] πρόσκεισθε A.
7. ἆρα Cobetus. ἄρα A.
11. ἔσταξεν vel ἔσταζεν Kampmannus. ἔταξεν A.
14. πο.....] πολυτελὴς Kampmannus.
15. πηδῶσιν om. A. in lacuna. Supplevi verbum e textu.
17. ἀνθρώπου Kampmannus. τοῦ ἀνθρώπου A.
21. ἀποθανῇ Kampmannus. ἀποθανῇ με A.
22. νεκρῶν—νεκρῶν] νεκρὸν—νεκρὸν A.

1244. ἀφαιεῖς ἂν ὄντες: νῦν, φησί, περιβόητοι ἐγενόμεθα· εἰ δὲ ὡς ἔτυχεν ἐπορθήθημεν οὐδὲ ὑμνούμεθα. τρίτον δὲ τὸ ἄν παρέλαβε δέον ἅπαξ. Ἀττικὸν δὲ τὸ ἔθος.

1248. δεκῶ δὲ τοῖς θανοῦσιν: δεκῶ δὲ μηδὲν διαφέρειν τοῖς νεκροῖς τό τε πολυτελῆ καὶ ὀλίγον θάπτεσθαι.

1250. κενὸν δὲ γαύρωμ' ἐστί: τὸ γὰρ πλουσίως ταφῆναι κόμπος μόνον ἐστὶ τοῖς ζῶσιν, οὐδὲν δὲ τοῖς τεθνηκόσι διαφέρει.

1254. μέγα δ' ὀλβισθείς: νομισθεὶς δὲ εὐδαίμων εἶναι, ἅτε δὴ ἀγαθῶν γονέων ὑπάρχων, νῦν ἐν συμφορᾷ δεινῇ περιπέπτωκας.

1257. λείσσω φλογέας: ὁρῶ τοὺς Ἕλληνας πορθοῦντας τὴν Ἴλιον, ἵνα ταχέως ἀποπλείσωσι. φλογέας δὲ ἅπτοντας.

1260. αὐδῶ λοχαγοῖς: λέγω, φησὶν, ὑμῖν, τοῖς τὸ Ἴλιον ἐπιτεταγμένοις πιμπράναι, μὴ ἀργεῖν.

1266. χωρεῖτε, Τρῴων παῖδες: καὶ ὑμεῖς χωρεῖτε, ὦ Τρῳάδες, ἵνα ὁ λόγος δύο τάξεις ἔχῃ. τό τε συμβουλεύειν τοῖς καίουσι καὶ ὑμᾶς ἐξιέναι. μορφὰς δὲ εἰώθασι λέγειν τὰς τάξεις, ἵνα, φησὶ, δύο τάξεις ὁ λόγος ἔχῃ, ἵνα δι' ἑνὸς λόγου δύο πράγματα γίνωνται.

1275. ἀλλ' ὦ γεραιὲ πούς: πρὸς γὰρ αὐτὸν ὁ λόγος, ὡσεὶ ἔλεγε, συγκαυθῶ αὐτῇ.

1295. λέλαμπεν: τὸ Ἴλιον τῷ πυρὶ λέλαμπεν. ὁμοίως δὲ καὶ τὰ Πέργαμα καὶ τὰ τέραμνα τῶν Περγάμων.

1299. οὐρανία πεσοῦσα: πέσουσα δὲ ἡ γῆ τῇ οὐρανίᾳ, ὅ ἐστι τῇ ὑψηλῇ, ἑαυτῆς πτέρυγι, ὅ ἐστι τῇ ἀκροπόλει, καταφθίνει καὶ μαραίνεται τῷ πυρὶ ὡς καπνός.

καταφθίνει γᾶ: ἡ δὲ γῆ, φησὶν, ὑπὸ τοῦ δόρατος φθίνει καὶ ὁ καπνὸς ὥσπερ πτέρυγι χρώμενος οὕτως ἀνίπταται.

1304. ἰαλέμῳ τοὺς θανόντας: ἀνακαλεῖς τοὺς τεθνηκότας θρήνῳ, οὐχ ὡς ἕτεροι σπενδαῖς. Ἄλλως. ἀνακαλοῦμαι, φησὶν, αὐτοὺς τὰ γεραιὰ μέλεα προστιθεῖσα τῇ γῇ καὶ ταῖς δισσαῖς χερσὶ κτυποῦσα τὴν γῆν.

1307. διάδοχόν σοι: οὐκοῦν, φησὶν, ἐγὼ διαδέχομαί σε, καὶ τῷ θρηνεῖν τὸ γόνυ τίθημι ἐπὶ τῆς γῆς.

3. δέον Cobetus. δὲ A.
8. μέγα—εὐδαίμων] μελέα μήτηρ: νομισθεῖσα δὲ εὐδαίμων A.
10. λείσσω] λείσω A. ut solet.
11. φλογέας δὲ ἅπτοντας] Haec non integra. Hoc dicit, φλογέας δαλοῖσι χέρας διερέσσοντας significare τοὺς δαλοὺς ἅπτοντας.

1310. ἀγόμεθα: τ.....εγόμεθα δούλειον ὑπὸ μέλαθρον.

1315. θάνατος ὅσιον: ὅτι ἐπὶ τοῦ ἑρκείου Διὸς ἡ σφαγή. τινὲς δὲ διὰ τὸ αὐτὸν μὲν εἶναι ὅσιον, ἀνοσίαν δὲ τὴν σφαγήν.

1316. ἰὼ θεῶν μέλαθρα: ἰδίως τοὺς βωμούς, ἢ θεῶν μέλαθρα διὰ τὸ θεόκτιστον εἶναι τὴν πόλιν.

1320. κόνις δ' ἴσα: ἡ δὲ κόνις καὶ ἡ σποδός, ὁμοίως τῷ καπνῷ ὡς πτέρυγι χρωμένη, ἄϊστον καὶ ἀφανῆ τὸν ἐμὸν οἶκον τίθησιν. ἡ δὲ σποδός, φησί, καθάπερ καπνὸς ἀναστήσεται πρὸς τὸν αἰθέρα τῶν ἐμῶν οἴκων ἀφανισθέντων πυρί.

1325. ἐμάθετε: αἰσθάνεσθε, φησὶ, πεσούσης τῆς Τροίας, ὡς τῶν Ἑλλήνων τὰ λείψανα καταρριπτούντων.

1. τ.....εγόμεθα] τουτέστιν ἀγόμεθα Kampmannus.

2. ἑρκείου] ἑρκίου A.

10. αἰσθάνεσθε, φησὶ, — καταρριπτούντων Kampmannus. αἰσθάνεσθαί φησι—καταριπτούντων A.

ΙΠΠΟΛΥΤΟΣ.

ΥΠΟΘΕΣΙΣ ΙΠΠΟΛΥΤΟΥ.

Θησεὺς μὲν ἦν Αἴθρας καὶ Ποσειδῶνος, βασιλεὺς δὲ Ἀθηναίων. γήμας δὲ μίαν τῶν Ἀμαζονίδων Ἱππολύτην Ἱππόλυτον ἐγέννησε, κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα. ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο Κρητικὴν γυναῖκα, τὴν Μίνω τοῦ Κρητῶν βασιλέως θυγατέρα Φαίδραν. ὁ δὲ Θησεὺς Πάλλαντα, ἕνα τῶν συγγενῶν, φονεύσας, φεύγει εἰς Τροιζῆνα μετὰ τῆς γυναικὸς, οὗ συνέβαινε τὸν Ἱππόλυτον παρὰ Πιτθεῖ τρέφεσθαι. θεασαμένη δὲ τὸν νεανίσκον ἡ Φαίδρα εἰς ἐπιθυμίαν ὤλισθεν, οὐκ ἀκλαστος οὖσα, πληρεῖτο δὲ Ἀφροδίτης μῆνιν, ἣ τὸν Ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίνασα τὴν Φαίδραν εἰς τὸν Ἱππολύτου ἔρωτα παρώρμησε,

2. Ὑπόθεσιν recensui ad codices A. (Vaticanum 909.) B. (Parisinum 2713.) et M. (Marcianum Venetum 471.) omissis recentiorum, qui nulli fere usui sunt, quisquiliis plerisque, quibus usi sunt Janus Lascaris in quattuor fabularum (Medeae, Hippolyti, Alcestidis et Andromachae) editione Florentina a. 1496. et Aldus in duodeviginti fabularum editione a. 1503. quorum prior apographo recentissimo usus est Parisino 2888., alter Vaticano Palatino 287. ab Musuro, cujus opera Aldus usus est, passim interpolato. Repetivit Arsenius in scholiorum editione Veneta a. 1544. fol. 225 b. 226 a. non magnopere discrepante ab Lascaris editione, sed additis in fine verbis ἡ σκηνὴ τοῦ δράματος et quae sequuntur. Excerpsit etiam Eudocia in Villoisoni Anecd. vol. 2. p. 411.

3. Αἴθρας] υἱὸς literis majoribus scriptum in litura paullo ampliore additum in B. legiturque in libris recentioribus pluribus.

ib. δὲ om. B.

ib. Ἀθηναίων] ἀθηνῶν Vat. quidam.

4. Ἀμαζονίδων] ἀμαζόνων Ald.

ib. Ἱππολύτην] ἀντιόπην Pal. Lasc. De quo conf. quae ad schol. v. 10. dixi.

6. Μίνω] μίνως Lasc. Ald. cum codicibus recentioribus. Iidem post βασιλέως addunt καὶ Πασιφάης.

8. Τροιζῆνα] τροίζηνα M. qui hoc accentu etiam in scholiis prope constanter utitur.

9. συνέβαινε] συνέβη Aldus et Eudocia.

12. τὴν Φαίδραν—παρώρμησε om. M. In Pal. est ἀνελεῖν κρίνασα φαίδραν εἰς τὸν ἱππολύτου ἔρωτα παρώρμησε,

τέλος δὲ τοῖς προτεθεῖσιν ἔθηκε. στέγουσα δὲ τὴν νόσον ἡ Φαίδρα χρόνῳ πρὸς τὴν τροφὸν δηλῶσαι ἠναγκάσθη, κατεπαγγειλαμένην αὐτῇ βοηθήσειν· ἥτις κατὰ τὴν προαίρεσιν λόγους προσήνεγκε τῷ νεανίσκῳ. τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα τῇ μὲν τροφῷ ἐπέπληξεν, αὐτὴν δὲ ἀνήρτησε. καθ' ὃν καιρὸν φανεὶς Θησεὺς ζ καὶ καθελεῖν σπεύδων τὴν ἀπηγχονισμένην εὗρεν αὐτῇ προσηρτημένην δέλτον, δι' ἧς Ἱππολύτου φθορὰν κατηγόρει καὶ ἐπιβουλήν. πιστεύσας δὲ τοῖς γεγραμμένοις τὸν μὲν Ἱππόλυτον ἐπέταξε φεύγειν. αὐτὸς δὲ τῷ Ποσειδῶνι ἀρὰς ἔθετο, ὧν ἐπακούσας ὁ θεὸς τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμις δὲ τῶν γεγενημένων ἕκαστον διασαφή- 10
σασα Θησεῖ τὴν μὲν Φαίδραν οὐ κατεμέμψατο, τοῦτον δὲ παρεμυθήσατο υἱοῦ καὶ γυναικὸς στερηθέντα, τῷ δὲ Ἱππολύτῳ τιμὰς ἔφη γῆς ἐγκαταστήσασθαι.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Τροιζῆνι. ἐδιδάχθη ἐπὶ Ἐπα-

τέλος δὲ τοῖς προτεθεῖσιν ἐπέθηκε, στέργουσα δὲ τὴν νόσον χρόνῳ πρὸς τὴν τροφὸν δηλῶσαι ἠναγκάσθη. quae sic mutavit Musurus in ed. Ald. ἀνελεῖν κρίνασα τὴν φαίδραν εἰς ἔρωτα παρόρμησε, τέλος δὲ τοῖς προτεθεῖσιν ἐπέθηκε. στέργουσα γὰρ τὴν νόσον ἡ φαίδρα χρόνῳ πρὸς τὴν τροφὸν δηλῶσαι ἠναγκάσθη. Lascaris ediderat, ἀνελεῖν κρίνασα τέλος τοῖς προτεθεῖσιν ἔθηκε τὴν φαίδραν εἰς τὸν ἱππολύτου ἔρωτα παρορμήσασα. ἡ δὲ τὴν νόσον στέργουσα χρόνῳ πρὸς τὴν τροφὸν τὸ πάθος δηλῶσαι ἠναγκάσθη. Similiter in B. ἀνελεῖν κρίνασα τέλος τοῖς προτεθεῖσιν ἔθηκε τὴν φαίδραν εἰς τὸν ἱππολύτου ἔρωτα παρορμήσασα. στέργουσα δὲ τὴν νόσον χρόνῳ πρὸς τὴν τροφὸν δηλῶσαι ἠναγκάσθη.

1. στέργουσα] στέργουσα libri. Correxit Valcken.

ib. νόσον om. M.

2. χρόνῳ] ῳ M. χρόνον A.

ib. κατεπαγγειλαμένην M.: ceteri omnes et Eudocia κατεπαγγειλαμένη, ex quo Musurus fecit ἡ δὲ κατεπηγγείλατο.

3. βοηθήσειν] βοηθῆσαι A.B.

ib. ἥτις κατὰ A.B.M. ἥτις (καὶ addit Pal. Ald.) παρὰ recentiores.

ib. προσήνεγκε] προήνεγκε B.M.

5. αὐτὴν (i. e. αὑτὴν) A.B.M. ἑαυτὴν recentiores.

6. σπεύδων A.B.M. θέλων Pal. Ald.

7. δέλτον] βίβλον B. et Arsen.

10. ἕκαστον B.M. ἕκαστα A.

11. οὐ κατεμέμψατο B. οὐκ ἀπεπέμψατο A. Pal. οὐ κατεπέμψατο M.

ib. παρεμυθήσατο] παρεμυθεῖτο Arsen.

12. τιμὰς] τιμὴν Vat. quidam.

ib. γῆς] ἐγχωρίους Musurus.

13. ἐγκαταστήσεσθαι Nauckius. ἐγκαταστήσασθαι libri. Post haec in A.B.M. sequuntur τὰ τοῦ δράματος πρόσωπα, tum reliqua, ἡ σκηνὴ etc. quae Aristophanis Byzantii ὑποθέσεως partem extremam esse similium in aliis fabulis ὑποθέσεων comparatio docet. Periit igitur pars prior Argumenti. Nam amplior illa quae nunc in codicibus legitur argumenti expositio non habet colorem Aristophaneum.

14. ἐν Τροιζῆνι κεῖται emendatum in marg. editionis Brubachianae. ἐν θήβαις κεῖται M. ὑπόκειται ἐν θήβαις A.B.

ib. ἐπὶ Ἐπαμείνονος Matthiae, re-

μείνονος ἄρχοντος ὀλυμπιάδι πζ', ἔτει δ'. πρῶτος Εὐριπίδης, δεύτερος Ἰοφῶν, τρίτος Ἴων. ἔστι δὲ οὗτος ὁ Ἱππόλυτος δεύτερος καὶ στεφανίας προσαγορευόμενος. ἐμφαίνεται δὲ ὕστερος γεγραμμένος· τὸ γὰρ ἀπρεπὲς καὶ κατηγορίας ἄξιον ἐν τούτῳ διώρθωται τῷ δράματι. τὸ δὲ δρᾶμα τῶν πρώτων.

stituto recto archontis nomine, quod librarii etiam alibi corruperunt: de quo dixit Clinton. Fast. Hell. vol. 2. p. 62. ἐπὶ ἀμείνονος A.B. ἐπὶ ἀμήνονος M.

1. ὀλυμπιάδι] ὀλυμπιάδος A.
ib. πζ'] ἐπὶ πζ M.
2. ὁ Ἱππόλυτος] ὁ om. M.
4. κατηγορίας] κακηγορίας B.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΝ ΙΠΠΟΛΥΤΟΝ.

1. ΠΟΛΛΗ *μὲν ἐν βροτοῖσι*: *μεγάλη, δυνατὴ, ἔνδοξος, θαυμαστή. Ὅμηρος* "*πολλὸς γάρ τις ἔκειτο παρήορος.*" *πάσαις ταῖς ἀπὸ Ἡλίου ἐγκότως διάκειται ἡ Ἀφροδίτη διὰ τὸν ἔλεγχον τῆς μοιχείας τοῦ Ἄρεως. ἡ διάνοια ἐμφαντικώτερον καὶ ῥητορικώτερον πέφρασται, ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον παραλαμβάνουσα.*

πολλή: *ἰσχυρὰ, μεγάλη.* Fl. 2. *ἀνώνυμος*: *ἄδοξος.* A.

2. *οὐρανοῦ τ' ἔσω*: *ὅ ἐστι παρὰ θεοῖς καὶ ἐν τῷ οὐρανῷ.* A.B.

3. *ὅσοι*] *ἐκείνοις.* B. rec.

ὅσοι τε πόντου: *ἐπὶ τὸ μέγιστον ηὔξησε τὸ κατηγόρημα τοῦ*

Scholia in Hippolytum maxima ex parte quattuor librorum (A.B. M.I.) communia sunt. Quamobrem siglas codicum iis tantum apposui quae non sunt communia. Libri Veneti (M.) quum inde ab v. 808. scholia vel glossemata nulla sint, sponte intelligitur scholia quibus illic nullae appositae sunt codicum siglae in tribus tantum libris (A.B.I.) exstare. Porro scholia ad v. 352.—807. sine siglis posita eorundem trium librorum sunt, paucis quibusdam exceptis quae etiam in M. exstare in annotationibus significavi.

3. *μεγάλη, δ. ἔνδοξος, θ.* A. et a m. sec. *τιμία. ἀντὶ τοῦ δ. θ. μεγίστη* B. *δυνατὴ, θαυμαστὴ, μεγίστη* I.

4. *Ὅμηρος*] Il. 7, 156. Verba poetae om. A.

ib. *πάσαις*] *πάσαις δὲ* I.

5. *ἐγκότως* Boisson. in Thesauro vol. 3. p. 101. pro *εἰκότως*. Idem vitium in schol. Arist. Eq. 84. correxit Hemst. Conf. infra p. 82, 9.

ib. *ἡ Α.*] *ἡ* om. B.

6. *τοῦ Ἄρεος*] *τοῦ* addidi ex A.

ib. *ἡ διάνοια* cum lemmate *ἡλίου* A. *ἡ δὲ διάνοια* sine lemmate B. *καὶ ῥητορικώτερον* addidi ex B.

7. *παραλαμβάνουσα* A. *ἀπολαμβάνουσα* B.I. In M., omissis praecedentibus est, *ἐμφαντικωτέρα πέφρασται ἡ διάνοια—παραλαμβάνουσα.*

9. *παρὰ*] *καὶ παρὰ* B. *καὶ παρὰ θεοῖς καὶ ἐντὸς οὐρανοῦ* gl. rec. B.

11. *ἐπὶ τὸ* M. Aberat *τό.*

ib. *τὸ κατηγόρημα*] *τὴν κατήγορον* M.

νεανίου. εἰ γὰρ ἐκεῖνοι, θηριώδεις ὄντες τὴν φύσιν καὶ νόμων καὶ γραφῶν ἄπειροι, σέβουσιν ὅμως τὴν θεὸν, τὴν φύσιν δεξάμενοι διδάσκαλον, πόσης καταγνώσεως ἄξιος ὁ ἐν μέσῃ τῇ Ἑλλάδι τραφεὶς καὶ μέγιστον ἐπὶ φιλοσοφίᾳ φρονήσας. εἰ δὲ καὶ σωφρονεῖν ἀπὸ γάμων ἤθελεν, οὐδὲν ἧττον ἔδει πάλιν αὐτὸν σέβειν τὴν δαίμονα. προεστῶσαν τῶν ἀγαθῶν ἐπιθυμιῶν. πάντες γὰρ οἱ φιλόσοφοι τιμῶσι τὴν θεὸν, πρὸς τὸ μὴ πρὸς ταύτην ἁμαρτάνοντες τὰ ἐναντία τῆς γνώμης δυστυχεῖν. τερμόνων τ' Ἀτλαντικῶν: παρὰ τὸ Ἀτλαντικὸν πέλαγος ἤκουσαν. ἔνιοι δὲ τὰ Γάδειρα, ἔνθα ἐστὶν ὄρος ὁ Ἄτλας, ὅπερ ἐστὶ δυτικόν. ὁ δὲ πόντος ἀνατολικός.

τερμόνων: εἰς τὰ ἔσχατα· ἵνα καὶ τοῖς στοιχείοις Ἀφροδίτην γινώσκεσθαι λέγῃ δι' ὧν φύεται. οἷον καὶ τὰ ἔσω τοῦ πόντου φυόμενα Ἀφροδίτην οἵδε τῇ φύσει. ἢ τοὺς ἐν τοῖς πέρασι τῶν στοιχείων τούτων οἰκοῦντας θηριώδεις ἀνθρώπους λέγει. ὃ καὶ βέλτιον. B.M.I.

5. τοὺς μὲν σέβοντας: τὸ ἐξῆς τῆς διανοίας· πρεσπιθειχθέντος τοῦ μεγάλην μέ τινα καὶ ἐπιστήμονα εἶναι παρ' ἀνθρώποις, τοιαύτη τίς εἰμι τὴν φύσιν ὡς τοὺς μὲν σέβοντας τιμᾶν, τοὺς δὲ ἀποσειομένους τὴν εἰς ἐμὲ εὐσέβειαν καταβάλλειν. ἀντὶ τοῦ πολλή τις οὖσα τοὺς μὲν τιμῶντας σέβω, τοὺς μὴ τιμῶντας σφάλλω. πρεσβεύω δὲ τὸ ὑπερτιμῶ. οὕτως Ἀττικοί· πρεσβεύειν γὰρ τὸ τιμᾶν.

6. σφάλλω: βλάπτω. A.B.I. ἐκ μεταφορᾶς τῶν ἐμποδιζομένων.

1. νεανίου A.M. νεανίσκου I.
2. δεξάμενοι] δὲ οἱ M.
3. πόσης A.B.M. πάσης I.
ib. καταγνώσεως] κατὰ γνώμης M. i. e. καταγνώμης, quo voc. utitur Constantin. de admin. imperio in Banduri Imp. or. vol. 1. p. 67. ἄξιος add. Heathius.
4. ἀπὸ] ὑπὸ A.
ib. ἧττον] ἧσσον B.M.
ib. πάλιν A.B.M. πάλαι I.
7. ἁμαρτάνοντες] ἁμαρτάνοντα M.
8. τ' M. δὲ B.I. τ' Ἀτλαντικῶν om. A.
ib. παρὰ A.B.M. περὶ I.
ib. ὁ Ἄτλας] ὁ om. A.M.
10. ἀνατολικός M. ἀτατολικὸν I.
11. τερμόνων] ἄλλας M.
ib. τὰ ἔσχατα M. τὸ ἔσχατον B.I.
12. γινώσκεσθαι] γιγνώσκεσθαι M.
ib. λέγῃ add. B.M.
13. ἢ add. B.M.
14. οἰκοῦντας] κατοικοῦντας I.
15. τὸ ἑξῆς—ἀνθρώπους om. M.
ib. πρεαποδειχθέντος] πρεαποδειχθείσης A.
16. μέ] μέν A.
ib. ἐπιστήμονα] ἐπίσημον Heathius.
ib. εἶναι A.B. Fl. 6. 15., om. I.
ib. παρ' A.B. παρὰ τοῖς I.
18. τὴν εἰς ἐμὲ εὐσέβειαν] με M.
ib. καταβάλλειν] διαβάλλειν A.
19. τοὺς μὲν—σφάλλω A. τοὺς μὲν τιμῶ, τοὺς δὲ σφάλλω B.M.I.
20. Ἀττικοί] ἀττικῶς M. ἀττικὸν A., omisso γὰρ post πρεσβεύειν. In eodem gl. τιμῶ, σέβω. In M. πρεσβεύειν τὸ ὑπερτιμᾶν.

B. rec. *βλάπτω, καταβάλλω.* M. *ἀποβάλλω.* M. Fl. 15. *εἰς ἡμᾶς: ἀντὶ τοῦ καθ' ἡμῶν.* A.M.I.

7. *ἔνεστι γὰρ δή: ἔνεστι καὶ ἐν τοῖς θεοῖς τὸ χαίρειν ταῖς τιμαῖς, ὡς ἐπὶ τῶν ἀνθρώπων. καὶ διὰ τούτου καὶ ἔδειξεν ὅτι προαμιλλόγηται τοῦτο παρὰ πᾶσιν ἀνθρώποις.*

9. *δείξω δὲ μύθων: ἔξεστι μὲν τοῦτο καὶ ἐπὶ τῶν καθόλου προειρημένων νοημάτων λαβεῖν, ἐξαιρέτως δὲ ἐπὶ τοῦ τοὺς μὲν σέβοντας τιμῶ, τοὺς δὲ βλασφημοῦντάς με σφάλλω.*

τοῦτο δύναται καὶ ἐπὶ πάντων λαμβάνεσθαι τῶν προειρημένων, δύναται δὲ καὶ ἐπὶ τοῦ παρόντος. M.

10. *Ἀμαζόνος τόκος: ὅτε γὰρ μετὰ Ἡρακλέους ὁ Θησεὺς ταῖς Ἀμαζόσιν ἐπολέμησε διὰ τὸν ζωστῆρα, καὶ Ἀντιόπην ἔλαβεν αἰχμάλωτον καὶ ἤγαγεν εἰς τὴν Ἑλλάδα, καὶ συμμιγεὶς αὐτῇ ἐποίησεν υἱὸν ὁμώνυμον τῇ Ἱππολύτῃ.*

Ἀμαζόνος: τῆς Ἀντιόπης. A.B. rec.

11. *ἀγνοῦ Πιτθέως: ἁγνὸν τὸν Πιτθέα, ὡς καὶ ἐν Μηδείᾳ "παῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατος." παρὰ Πιτθεῖ τῷ πατρὶ τῆς*

2. *ἀντὶ τοῦ* om. I.

3. *καὶ* A. *δὲ* B.M.I.

4. *ὡς* A.M. *ὥσπερ καὶ* B.I.

ib. *τούτου* Matthiae. *τοῦτο* A.B. *τοῦ* M.I.

ib. *καὶ ἔδειξεν ὅτι] κἂν ἔδοξε ὅτι,* reliquis omissis, M.

ib. *προαμιλλόγηται* A.B. *ἐμιλλόγηται* I.

5. *τοῦτο παρὰ* add. A. et qui *τοῦτο* post *ὅτι* ponit B.

ib. *ἀνθρώποις* om. A.

6. *μὲν* Heathius pro *μοι.*

ib. *τοῦτο καὶ] καὶ τοῦτο* A.

7. *νοημάτων] νοήματα* M.

ib. *τοῦ] τούτου* M.

8. *σφάλλω] βάλλω κάτω* M.

12. *ἀντιόπην ἔλαβεν (ἀνέλαβεν* A.) A.M. Fl. 6. *ἥνυσαν* (sic cum spiritu aspero) I. Delendum autem *καὶ* ante *Ἀντιόπην. Ἱππολύτην, ὡς δὲ ἔνιοι Ἀντιόπην, ἔλαβεν* Matthiae, quia e verbis proximis appareat non Antiopam, sed Hippolytam pro matre Hippolyti ab scholiasta habitam esse. Quae satis probabilis conjectura est, nisi quod inverso potius ordine *Ἀντιόπην, ὡς δὲ ἔνιοι Ἱππολύτην, ἔλαβεν* scribere debebat. Nam pauci tantum Hippolytam, plerique Antiopam Hippolyti matrem fuisse perhibuerunt: de quo Valckenarius "Latinae tragoediae scriptori (Senecae) mater Hippolyti, de nomine nusquam Euripidi memorata, nec Diodoro 4, 62., semper Antiope, sicut plerisque, dicitur; semper etiam Plutarcho, unum tantum Clidemum memoranti in Vita Thesei c. 27. qui Hippolyten dixerit, *οὐκ Ἀντιόπην.* Clidemo jungi poterit alius rerum Atticarum scriptor Ister apud Athen. 13. p. 557 A." Hippolyten dixit scriptor Argumenti hujus tragoediae p. 70, 4.

14. *τῇ Ἱππολύτῃ] τῷ ἱππολύτῳ* A.

16. *τὸν* add. B.M.

ib. *Μηδείᾳ* (v. 684.) A.M. *Μηδείᾳ φησὶ* I.

17. *πατρὶ* A.M. *περὶ* (i. e. *πρὶ*) I.

Αἴθρας, τῆς μητρὸς Θησέως, ἐπαιδεύετο ὁ Ἱππόλυτος. ἦν δὲ ὁ Πιτθεὺς σοφὸς καὶ χρησμολόγος καὶ ἱερὸς θεοῖς, ὃς καὶ ἔλυσε τὸν χρησμὸν τῷ Αἰγεῖ "μὴ λύσῃς ἀσκόν" καὶ τὴν θυγατέρα ἔδωκεν, εἰδὼς τῇ σοφίᾳ οἷος ἔσται ὁ τεχθησόμενος. παρ' αὐτῷ δὲ ὁ Θησεὺς ἐπαιδεύετο, ὥς φησι Καλλίμαχος.

13. πεφυκέναι: ὑπάρχειν.

14. ἀναίνεται δὲ λέκτρα: καὶ τί, φασὶν, ἐλύπει αὐτὴν τὸ τῆς φιλοσοφίας; καὶ λεκτέον ὅτι ὡς αὐτὴν ἀτιμάζων ἐδόκει καὶ τοῦτο ποιεῖν, ὡς καὶ αὐτῇ μὴ ποιῶν τὰ τερπνὰ, ἀγνοῶν ὅτι καὶ σωφροσύνης ἔρωτας αὐτὴ ἀποστέλλει, ὡς καὶ ἐν διηγήσει λέγει. Ἄλλως. καὶ τί, φασὶν, ἐλύπει αὐτὴν τοῦτο; ἀλλ' οὕτως αὐτὸ εἶπεν, ὡς ἐκείνου πρὸς κνησμονὴν αὐτῆς τοῦτο ποιοῦντος.

17. χλωρὰν δ' ἂν ὕλην: κατὰ τὴν χλωρὴν ὕλην. A.

18. ἐξαίρει: ἐκ μέσου αἴρει, ἀφανίζει. A.B.I. ἐξαίρει: διώκει. B. ἀντὶ τοῦ θηρᾶται, ἐκβάλλει. Fl. 2. χθονός: ἀπό. B. rec.

19. προσπεσὼν ὁμιλίας: ἐντυχών. A.B.I. εὐτυχήσας τῆς ἐπιμιξίας τῆς δαίμονος πλέον ἢ ὡς δεῖ ἀξιοῦσθαι ἄνθρωπον φιλίας θεοῦ. οἷον μεῖζόν τι τῆς ἀνθρωπίνης ὁμιλίας ἐντυχὼν τῆς Ἀρτέμιδος.

προσπεσών: γράφεται τυχών. Fl. 2. ἐπιτυχὼν τῆς Ἀρτέμιδος τῆς τιμῆς. Fl. 15.

1. μητρὸς om. M.

2. τὸν χρησμὸν τῷ Αἰγεῖ μὴ λύσῃς τὸν (delevi τὸν quod in codice esse videtur) ἀσκὸν καὶ τὴν M. quocum consentiunt Fl. 6. 15. nisi quod verba μὴ λύσῃς ἀσκόν post τὸν Χρησμὸν habent. τὸν χρησμὸν ἐν τῷ αἰγεῖ καὶ τὴν A. τὸν χρησμὸν τῷ αἰγεῖ καὶ τὴν I.

4. αὐτῷ (αὐτῷ I.) M. ut videtur: nam postrema scholii verba prope obliterata. In A. compendium, quod αὐτοῦ potius est quam αὐτῷ.

ib. δὲ ὁ A.M. δὲ φησὶν ὁ I.

5. ἐπαιδεύετο om. A.

ib. ὥς φησιν καλλίμαχος M. ὡς καὶ καλλίμαχος A. ὡς καὶ καλλίμαχος μαρτυρεῖ I.

7. φασὶν Matth. pro φησίν sic et 11.

ib. αὐτὴν] αὐτὸν I.

8. ἐδόκει καὶ τοῦτο ποιεῖν A.B.M. Fl. 6. 15. καὶ τοῦτο ἐποίει I.

9. μὴ ποιῶν] μὴ ποιεῖν I.

10. αὐτὴ ἀποστέλλει] αὕτη ἀποστέλλει Matth.

ib. ὡς καὶ ἐν B. Fl. 6. 15. ὡς ἐν A. ὡς αὐτὴ ἐν M.I.

ib. διηγήσει A.B. Fl. 6. 15. τῇ διηγήσει I. διηγήμασι M.

ib. Ἄλλως om. M.

11. φησὶν ἐλύπει αὐτὴν A.M. φησὶν αὐτὴν ἐλύπει B.I.

ib. αὐτὸ] αὐτῷ M.

ib. ἐκείνου post κνησμονὴν αὐτῆς A.

12. κνησμονὴν] κνησμὸν B. κνισμὸν I.

ib. αὐτῆς] ταύτης M.

14. αἴρει] αἱρεῖ I.

17. ἀξιοῦσθαι ἄνθρωπον] ἀξιούσας ἀνθρώπου I.

18. οἷον] καὶ οἷον A.

ib. ἐντυχὼν I. εὐτυχὼν B. Florr. ἐντυχῶν M.

20. *τούτοισι*: *ταῖς τιμαῖς τῆς Ἀρτέμιδος*. A.B.M. *ἕνεκεν τούτων αὐτῷ οὐ φθονῶ*. B. *τί γάρ με δεῖ*: *οὐ δεῖ γάρ με φθονεῖν*. A.B.I.

23. *πάλαι προκόψασα*: *ἀρχαϊσμός ἐστι τοῦτο, οὐ σολοικισμός*. B. rec. I. *τὰ πολλὰ δὲ πάλαι προκόψασ' οὐ πόνου*: *τοῦτο ἐσολοί-* 5
κισεν. οὕτως γὰρ ἔδει εἰπεῖν, τὰ πολλὰ δὲ πάλαι προκόψασα οὐ πόνου πολλοῦ χρείαν ἔχω. συνεχῶς δὲ τούτῳ τῷ σχήματι χρῆται ὁ Εὐριπίδης. ἦν δὲ ὥσπερ ὑγιέστερον οὕτως εἰπεῖν, τὰ πολλὰ δὲ πάλαι προκεκοφυὴς ἔτι οὐ πολλοῦ με πόνου δεῖ· ἢ οὕτως, τὰ πολλὰ δὲ ἤδη προκόψασα οὐκέτι πολὺν ἔχω πόνον. προκόψασα δὲ ἀντὶ τοῦ 10
προκατασκευάσασα, ἐπαυξήσασα τὴν ἐπίνοιαν· ὥσπερ ἂν εἴ τις εἴποι προεκοπτόμησα ὀλίγου χρείαν ἔχω πόνου. γέγονε δὲ ὁ σολοικισμὸς πρὸς τὸ ἀκατάλληλον τῆς πτώσεως. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· προανυσάσῃ μοι τὰ πρὸς τὸν ἔρωτα τοιῷδε τρόπῳ ὀλίγα λείπεται πρὸς τὴν τιμωρίαν. 15

προκόψασ': *ἔδει εἶναι προκόψασαν ἢ προκψάσῃ. συνεχῶς δὲ κέχρηται τῷ τοιούτῳ σχηματισμῷ*. M. Flor. 6. 15. *προευτρεπίσασα, εἰκονομήσασα*. A. *προκοπιάσασα*. Fl. 15.

24. *ἐλθόντα γάρ νιν*: *ἐν τῇ Ἀττικῇ ἔτι οὖσα ἡ Φαίδρα, πρὶν μετοικῆσαι εἰς Τροιζῆνα, ἰδοῦσα τὸν Ἱππόλυτον ἐξελθόντα ἐπὶ μίσησιν* 20
τῶν Ἐλευσινίων ἥρα. καὶ ἐκ τῆς συνεχοῦς θέας δυνατὸν νοῆσαι τὸν ἔρωτα ὅτι πολὺς ἦν, ὡς ἐξ αἰφνιδίου θέας τηλικοῦτον ἰσχῦσαι.

2. *φθονεῖν* om. A.

6. *οὕτως γάρ—προκατασκευάσασα*] *οὕτω γὰρ ἔδει εἰπεῖν. τὰ πολλὰ δὲ πάλαι προκόψασα οὐκ ἔτι πολὺν ἔχω πόνον. προκόψασα*: *προκατασκευάσασα* I. Pleniora ego dedi ex A.B.M. Similiter in Fl. 6. 15. (post verba *προκόψασ' ἔδει εἶναι ἢ προκόψασαν, ἢ προκοψάσῃ. συνεχῶς δὲ χρῆται τούτῳ τῷ σχηματισμῷ*) pergitur, *τοῦτο ἐσολοίκισεν*· et quae sequuntur, nisi quod pro *προκεκοφυὴς*, quod ego ex B. (qui *προκεκοφυής*) et Fl. 6. posui, in A.M. et Fl. 15. est *προκεκούφισμαι* (non *προκεκούφισται*, quod Florentino 15. tribuit Matth.), et pro *πόνου δεῖ*, quod est in A., *δεῖ πόνου* in B.M. Fl. 6. 15., denique δὲ (ante *ἤδη*, quod om. M.) abest ab Fl. 6. 15.

12. *ὁ* add. A.B.

13. *λέγει*] *λέγω* A.

14. *τὸν ἔρωτα*] *τὸν* om. A.I.

16. *ἔδει—προκόψασῃ* etiam A.

20. *Τροιζῆνα*] *τροίζηνα* M. hic et infra.

ib. *ἐξελθόντα* A. *ἐλθόντα* B.M.I.

21. *ἦρα*] *καὶ πρὶν εἰς* (*πρὶν καὶ* M.) *Τροιζῆνα* (*τροίζηναν* M.) *ἐλθεῖν* addunt B.M.I., om. A.

ib. *καὶ ἐκ* A.M. *ὥστε καὶ ἐκ* B.I.

ib. *δυνατὸν* om. A.M. Videtur ab recentiore grammatico, ut *ὥστε* ante *καὶ ἐκ*, additum esse. Auctor scholii fortasse *ἔστι* scripserat.

ib. *νοῆσαι* A.B.M. Fl. 6. *γενέσθαι* I.

22. *ὅτι πολὺς* (*ὁ ἔρως* addit M.) *ἦν*

25. σεμνῶν ἐς ὄψιν: μεγάλων, σεπτῶν. ἔοικε δὲ λέγειν τὴν Ἐλευσινίων. ὄψιν δὲ λέγει τὴν θέαν, τέλη δὲ τὴν τελετήν.

ἐς ὄψιν: ἐπὶ τὸ ἰδεῖν τὰ μυστήρια. B.

26. Παυδίονος γῆν: εἰς τὴν Ἀττικήν. A.B.M.

27. κατέσχετο: κατεσχέθη ὑπὸ τοῦ ἔρωτος. A.B.M.

29. καὶ πρὶν μὲν ἐλθεῖν: τὸ ἐξαίρετον τοῦ ἔρωτος δηλοῖ, ὅτι καὶ πρὸ τοῦ ἐλθεῖν εἰς Τροιζῆνα οὕτως ἦρα ὡς καὶ Ἀφροδίτης ἱερὸν ἱδρύσασθαι ἐν τῇ Ἀττικῇ, ἐξιλεουμένη τὸν Ἔρωτα, καὶ μὴ παρόντος ἐρῶσα τοῦ Ἱππολύτου ἐπ' αὐτῷ ἱδρύσασθαι ἱερὸν λέγει.

Τροιζηνίαν: ὅτι ἡ Τροιζὴν τὸ τέλος ἐστὶ τῆς Πελοποννήσου, ἀντικειμένη τῇ Ἀττικῇ καὶ τῷ Γλαυκωπίῳ ὄρει τῆς Ἀττικῆς. τὸ Σούνιον. οἱ δὲ Ἀττικῶς λεγόμενον ἐπὶ Τροιζῆνος λαμβάνουσιν, ἐπειδὴ καὶ ἐν αὐτῇ ὑφέστηκε τὰ πράγματα. βέλτιον δὲ ἐπακολουθοῦντα τοῖς προτέροις πρὸς τὸν Ἀττικὸν Παυδίονα αὐτὴν καὶ τἄλλα ὡς προειρημένα αὐτὸ λαμβάνειν.

30. πέτραν παρ' αὐτήν: ἐπὶ πέτρας τινὸς ἐν τῇ Ἀττικῇ, ἀφ' ἧς ἦν ἀποβλέπεσθαι τὴν Τροιζῆνα, Ἀφροδίτης ναὸν ἱδρύσασθαι τὴν Φαίδραν φασίν. ἐκάλεσε δὲ Ἀφροδίτην ἐφ' Ἱππολύτῳ, ἣν καὶ Ἱππολυτίαν καλοῦσι. κατόψιον οὖν ἀντὶ τοῦ κατὰ τὸ ἀντικείμενον.

ὡς ἐξ A.M. ὡς πολὺς ἦν ὅτι καὶ ἐξ B.I.

p.77.l.22. ἴσχυσε A.M. ἴσχυσε B.I.

2. Ἐλευσινίων] ἐλευσινιαίων A.B. forma inaudita. ἐλευσινιακῶν M.

ib. τελετήν] τελευτήν A.

9. ἐπ' αὐτῷ A.M. ὥστε καὶ ἐπ' αὐτῷ B.I.

ib. ἱερὸν M. τὸ ἱερὸν A.B.I.

ib. λέγει addidi ex A. In M. est ἔλεγεν. Post ἱερὸν in B.I. leguntur verba ἐπὶ πέτρας τινός etc., quae ex A.M. suo loco posuimus ad v. 30.

10. Lemma Τροιζηνίαν addidi ex A.

ib. ὅτι ἡ Τροιζὴν] ὅτι δὲ ἡ τροίζηνα M. ut supra in eodem τροίζηναν pro Τροιζῆνα.

11. Γλαυκωπίῳ Barnes. γλαυκωπείῳ A.B.M. γλαυκωπεῖ I.

12. Σούνιον Heathius. θούνιον B.I. θούνειον M. θήνιον A. Sed verba τὸ Σούνιον non cohaerent cum praecedentibus, ut aliquid excidisse videatur.

13. ὑφέστηκε] τὴν δύναμιν καὶ addit A. fuitque fortasse in M. in quo plura hic obliterata.

14. τὸν Ἀττικὸν Παυδίονα αὐτὴν] τὴν Ἀττικὴν Παυδίονος γῆν Heathius. Sed haec quoque non possunt intelligi.

15. ὡς] καὶ ὡς A.

16. πέτραν (πέτρην A.M.) παρ' αὐτήν — Ἱππολυτίαν καλοῦσι hoc loco posui cum A.M. In B.I., omisso lemmate, leguntur in scholio v. 29. post ἱδρύσασθαι τὸ ἱερόν.

ib. τινὸς A.B.M. Fl. 6. 15. τὸν ἔρωτα I.

17. ἦν addidit Valcken. p. 165.

19. Ἱππολυτίαν] Ἱππολυτείαν Matth. ex schol. Hom. Od. 11, 320. ubi ἱερὸν τὸ νῦν Ἱππολύτειον καλούμενον. ἱππολυτίνην Fl. 6.

ib. κατόψιον οὖν ἀντὶ A.B. παλλάδος κατόψιον: ἀντὶ I. ἄλλως. ἀντὶ M.

τοῦτο τὸ κατόψιον πιθανώτερον ἐξηγούμενοι ἤκουσαν τὸ ὄρος τὸ ἀντικείμενον τῷ Γλαυκωπίῳ τῆς γῆς τῆσδε, ὅ ἐστι Τροιζῆνος. Ἄλλως. πέτραν Παλλάδος φησὶ τὸ Γλαυκώπιον ὄρος. κατόψιον δὲ ἀντὶ τοῦ ἐπὶ ταύτης τῆς γῆς τῆς Ἀττικῆς. ἢ τὸ κατόψιον ἀντὶ τοῦ ἐξ ἐναντίας. Ἄλλως. κατόψιον τὸ ὑψηλὸν, παρόσον τὰ ὑψηλὰ κατα-
πτεύουσι πάντα τὰ ὑποκείμενα. πέτραν δὲ Παλλάδος τὸ Γλαυκώπιον ὄρος.

κατόψιον: ὑψηλὸν, ἔμπροσθεν. A. τὸν κατοπτευτήριον. Flor. 2.

31. ἐγκαθίσατο: ἔκτισεν. B.I. ἐνιδρύσατο. M. Fl. 15.

32. ἐρῶσ' ἔρωτα: ἔρως τοῦ Ἱππολύτου ἐπ' αὐτῷ. A.B. ἔκδη-
λον: μὴ παρόντα. B.M. ἄδηλον. B.

33. τὸ λοιπόν: εἰς τὸ μετὰ ταῦτα.

ἱδρῦσθαι θελὼν: ἱδρύσασθαι ἱερὸν ἔλεγε. πέτραν δὲ Παλλά-
δος φησὶ τὸ ἐν τῇ Ἀττικῇ Γλαυκώπιον, οὗ Καλλίμαχος ἐν Ἑκάλῃ μέμνηται. περὶ δὲ τὸ ἱερὸν Γλαυκώπιον καλεῖσθαι ἀπὸ τοῦ ἐπωνύμου. A.B.M. Fl. 15. ἐν γὰρ τῇ ἀκροπόλει ἱδρύσατο Ἀφροδίτης ναὸν ἐπὶ κακῷ Ἱππολύτου. I.

34. Κεκροπίαν: τὴν Ἀττικήν. B.I. Κεκροπίδα: τὴν Ἀττικὴν, ἤγουν τὰς Ἀθήνας. A.

35. μίασμα φεύγων: τοὺς Παλλαντίδας ὑπὸ Θησέως ἀγρῆσθαι

1. τοῦτο τὸ M. τοῦτο δὲ τὸ B.I. quae om. A. qui proximum κατόψιον ut lemma habet.

2. 14. 15. Γλαυκωπίᾳ—Γλαυκώπιον] Γλαυκωπείῳ et Γλαυκώπειον libri. De Glaucopio dixit Nackius De Callimachi Hecale c. 6. p. 51—60.

2. Τροιζῆνος] τροίζηνος B.M. Sequentia Ἄλλως (sic A.: in M. est numerus scholii γ') πέτραν Παλλάδος (πέραν παλλάδα A.) φησὶ τὸ Γλαυκώπειον ὄρος. κατόψιον δὲ ἀντὶ τοῦ (ἀντὶ τοῦ om. A.)—Ἀττικῆς. ἢ τὸ (τὸ δὲ A.) κατόψιον (τῆς Ἀ. et τὸ κατόψιον om. Fl. 15.) ἀντὶ τοῦ (κατόψιον τουτέστι A.) ἐξ ἐναντίας om. B.I. Tum in M. sequuntur superiora illa, κατόψιον: τοῦτο τὸ κατόψιον — ὅ ἐστι τροίζηνος praefixo numero δ'. Illa vero Ἄλλως. κατόψιον—τὸ Γλαυκώπιον (sic hoc loco I. -ειον B.) leguntur in solis B.I., nisi quo priora Ἄλλως—ὑποκείμενα etiam in M. reperiuntur.

8. τὸν (τὸ ?) κατοπτευτήριον scripsi pro τὸν κατοπτεύτριον. De quo dixi ad schol. Phoen. 233.

10. ἐρῶσ'—ἐπ' αὐτῷ] ἱππολύτῳ δ' ἔπι: ἐπ' αὐτῷ τῷ ἱππολύτῳ I. Omittit haec M.

ib. ἔκδηλον] Sic M. in textu. In B. ἔκδηλον, licet glossema ἄδηλον ad scripturam corruptam ἔκδηλον spectet.

13. ἱδρύσασθαι ἱερὸν ἔλεγε addidi ex B.M.

ib. Παλλάδος φησὶ] φησὶ om. B.

14. οὗ Fl. 15. οὕτως A.B.M.

ib. ἐν] ὡς ἐν A.

ib. Ἑκάλῃ Matth. pro Ἑκάβῃ. In M. ἑκ$^{\alpha}$ fuisse videtur.

15. περὶ δὲ] δὲ om. Fl. 15.

Φιλόχορος ἱστορεῖ οὕτω· Πάλλαντος ἐπιθέσθαι ταῖς Ἀθήναις διανοουμένου καὶ τὴν Σφηττίαν ὁδὸν προφανῶς διαπορευομένου ἐπὶ τὸ ἄστυ μετὰ τῆς δυνάμεως αὐτοῦ, οἱ τούτου παῖδες κατὰ βούλησιν τοῦ πατρὸς Γαργηττοῖ ἐγκαθίζουσι μετὰ τῶν ἡλικιωτῶν, ἵν', ὅταν ἐπεξέλθωσι τοῖς Ἀθηναίοις καὶ ὁ Πάλλας συμβάλῃ, ἐξ ἐφόδου προσπεσόντες λάβωσι τὴν πόλιν. ἀνὴρ δέ τις, ὃς ἐκηρύκευε τῷ Πάλλαντι, ἀπαγγέλλει τῷ Θησεῖ τὸ γενόμενον. ὁ δὲ προσπεσὼν εὐθὺς μετὰ τῶν ἡλικιωτῶν αὐτοὺς ἀναιρεῖ. ἡ δὲ ἱστορία οὕτως ἔχει. Νῖσος καὶ Πάλλας καὶ Αἰγεὺς τρεῖς ἀδελφοὶ ἐκ Πανδίονος γεγόνασι, καὶ ὁ μὲν Νῖσος τὰ Μέγαρα ᾤκει, Αἰγεὺς δὲ καὶ Πάλλας δῆμων τινῶν ἦρχον, τῆς Ἀττικῆς οὔπω συνῳκισμένης εἰς ἕν. λόγος οὖν τὸν Θησέα, ἀνεψιὸν ὄντα τῶν Παλλαντιδῶν παίδων, ἕνα αὐτὸν ἀντιποιούμενον τῆς βασιλείας ἀνελεῖν. οἱ δὲ οὕτως ἱστόρησαν. φασὶ γὰρ τοὺς Παλλαντίδας παῖδας ἀνελεῖν τὸν Θησέα λοχῶντας, ἵνα εἰσπέσωσι τῇ πόλει, ὅταν ὁ πατὴρ αὐτῶν Πάλλας ἐγγὺς γένηται. ὁ δὲ Θησεῖ μηνύσας τὴν ἔφοδον αὐτῶν ἀνὴρ ἦν, ὃς ἐκηρύκευε τῷ Πάλλαντι. ὡς οὖν βοηθῶν τῷ Πάλλαντι τοὺς παῖδας αὐτοῦ καταλύοντας ἀνεῖλεν ὁ Θησεύς. ἐπειδὴ δὲ νόμος ἦν τοὺς ἐμφύλιον καὶ συγγενικὸν φόνον ποιήσαντας ἐκεῖσε φυγῇ ζημιοῦσθαι τὸ μίασμα, ἔξορον αὐτὸν

1. οὕτω om. A. De M. non constat quum plura in hoc scholio obliterata sint.
ib. Πάλλαντος] πάλλαντα A.
ib. ἐπιθέσθαι Fl. 6. 15. ἐπιθεῦναι est in A.B.I. fuitque haud dubie in M.
2. Σφηττίαν in A. a m. sec.
ib. διαπορευομένου] πορευομένου M.
4. Γαργηττοῖ vel Γαργηττὸν (Γαργηττῷ Barnes.) Matthiae collato Plut. V. Thesei c. 13. βαρβίτου A.I. βαρβίττων B. Fl. 6. 15. In M. legi non potest.
ib. ἡλικιωτῶν] ἡλικιατῶν A.
5. συμβάλῃ] συμβάλλῃ M.
6. ἐκηρύκευε A. ἐκηρύκευσε ceteri.
7. Πάλλαντι et ἀπαγγέλλει simplici λ in A.
ib. γενόμενον] γινόμενον I.
8. εὐθὺς om. I.
9. Νῖσος] νίσος libri hic et infra.
ib. Πάλλας] πάλας A.
ib. γεγόνασι (ἐγεγόνασι, quasi ἐγεγόνεσαν voluerit, A.) addidi ex A.B. Fl. 6. 15.
10. Νῖσος] νεῖσος M.
16. ὁ δὲ—ἀνεῖλεν ὁ Θησεύς] ὁ δὲ θησεὺς ἀνεῖλεν αὐτοὺς τὴν ἐφιδὼν αὐτῶν νόησας M.
ib. Θησεῖ] θησεὺς A.
ib. αὐτῶν] αὐτὸν A.
ib. ἐκηρύκευε τῷ Πάλλαντι A. πάλλαντι ἐκηρύκευε (ἐκηρύκευσε I.) B.I.
17. βοηθῶν A.B. Fl. 6. 15. βοὴν I.
18. ἐπειδὴ M. Fl. 6. 15. ἐπεὶ A. B.I.
ib. δὲ om. A.
ib. τοὺς—ποιήσαντας] τοῖς—ποιήσασιν A.
19. αὐτὸν Matth. pro αὐτόν.

ἐποίησε καὶ τὴν γυναῖκα εἰς Τροιζῆνα πλησιάζουσαν ὡς τους συγγενεῖς μετήνεγκεν εἰς ἑαυτὸν ἐκ ταύτης, καὶ πάσης τῆς Πελοποννήσου ἀφώρισεν. ἔθος γὰρ τοῖς ἐφ' αἵματι φεύγουσιν ἐνιαυτὸν ποιεῖν ἔξωθεν τῆς πατρίδος.

Παλλαντιδῶν: Πάλλας πολύπαις ὢν ὡς ἄπαιδα τὸν Αἰγέα κατέπόνει ἕως ἠβήσας ὁ Θησεὺς ἠμύνατο τοὺς Παλλαντίδας. βαλὼν γὰρ ἐν κυνηγίῳ κατὰ συὸς τινὰ τῶν Πάλλαντος παίδων ἀνεῖλεν. A.B.I.

36. καὶ τήνδε σὺν δάμαρτι: εἰς τὴν Ἀττικὴν ἦλθε πλεύσας· οἱ γὰρ ἐφ' αἵματι φεύγοντες ἐνιαυτὸν ποιοῦσιν ἔξωθεν τῆς πατρίδος.

ναυστολεῖ: μεθίσταται τῆς γῆς.

37. αἰνέσας: εὐαρεστήσας καὶ συγκατατιθέμενος. A.B.I.

41. δεῖ πεσεῖν: ἀνενέργητον γενέσθαι. B. rec. I.

42. πρᾶγμα: ἀντὶ τοῦ τὸν ἔρωτα. B.I. κἀκφανήσεται: τὸ πρᾶγμα δηλονότι. B. rec. Fl. 15.

45. ἄναξ Ποσειδᾶν: Αἴθρα γὰρ συνελθὼν Ποσειδῶν ἐποίησε τὸν Θησέα. τοὺς δὲ εἰς ἀπαλλαγὴν τῶν κακῶν γενομένους ἀνθρώπους θεῶν παῖδας ὠνόμαζον, ὧν καὶ ὁ Θησεὺς εἷς ἐστίν. A.B.M. Fl. 6.

1. εἰς Τροιζῆνα (τροίζηνα M.) add. A.B.M.

ib. ὡς om. A.

2. εἰς om. A.M. "Ultima mutila esse videntur. καὶ πάσης τῆς Π. ἀφ. spectare puto ad columnam illam, Ioniam a Peloponneso disterminantem. vid. Plut. Thes. c. 25." MATTH.

3. ἔξωθεν A.M. ἐκτὸς B.I.

5. Παλλαντιδῶν—παίδων ἀνεῖλεν] Hoc scholion in B.I. legitur ad v. 49. post verba ἐν ὑστέρῳ θήσομαι, omisso quod ego praefixi lemmate: in A. ad v. 30. post κατὰ τὸ ἀντικειμένον, cum lemmate Πάλαδος (pro Παλλάδος) et Παλὰς pro Πάλλας scripto. Qui error eo explicandus quod illic legitur πέτραν Παλλάδος. Deest scholion in M. ad v. 49. neque alio loco legi in eo videtur, nisi inter obliterata est.

ib. Πάλλας] καὶ πάλλας I.

6. Παλλαντίδας] παλαντίδας A.

7. Πάλλαντος] πάλαντος A.

ib. ἀνεῖλεν B. ἀνεῖλε A. ἀπέκτεινεν I.

9. καὶ τῆδε (correxi τήνδε) σὺν—τῆς γῆς] Sic M. In A.I. est ναυστολεῖ: μεθίσταται. καὶ τῆδε σὺν δάμαρτι (καὶ τ. σ. δ. om. I.) εἰς (ἐς I.) τὴν ἀττικὴν ἦλθε πλεύσας (διὰ τὸν φόνον add. Fl. 15.) ὅπως ἐνιαυτὸν ποιήσῃ (ὅπως ἐ. π. om. Fl. 15.) In B. μεθίσταται (τῆς γῆς a. m. rec.) εἰς τὴν ἀττικὴν ἦλθε πλεύσας ὅπως ἐνιαυτὸν ποιήσῃ.

12. καὶ om. B.I.

14. ἀντὶ τοῦ om. I.

16. συνελθὼν M. ἐπεισελθὼν A.B. Fl. 6.

17. τοὺς δὲ—εἷς ἐστίν M. τούς γε παραυτίκα τοῦ (τοῦ om. Fl. 6. in lacuna) ἀπαλλαγῆναι τῶν κακῶν (τοὺς add. A.) ἀνθρώπους θεῶν παῖδας ἐδόξαζον ὧν ἐστι καὶ ὁ (ὁ om. B.) θησεύς A.B. Fl. 6.

ὥπασεν: παρέσχεν ἢ ἐδωρήσατο. M. παρεῖχεν, ἐχαρίσατο. B.

46. μάταιον: ἀντιστροφή. B.

ἐς τρίς: μίαν μὲν ᾐτήσατο ἀνελθεῖν ἐξ Ἅιδου, δευτέραν ἐκ λαβυρίνθου, τρίτην τοῦ Ἱππολύτου. A.B.M. Fl. 6. 15.

47. ἡ δ' εὐκλεὴς μέν: ἐγὼ μὲν φιλῶ αὐτήν. B. Μίνωος γάρ ἐστι θυγάτηρ, Θησέως δὲ γυνή. ἢ ὅτι ἐρῶσα καρτερεῖ. διὰ τὸ Θησέως μὲν εἶναι γυνή, Μίνωος δὲ θυγάτηρ, εὐκλεής ἐστι. τὸ δὲ ἀπόλλυται ἀντὶ τοῦ ἀπολεῖται, καίπερ οὖσα εὐκλεής. τὸ δὲ αἴτιον, ὅτι πάσαις ταῖς ἀφ' Ἡλίου γενομέναις ἐμήνισεν Ἀφροδίτη διὰ τὴν μηνυθεῖσαν αὐτῆς ὑφ' Ἡλίου μοιχείαν. τὴν γοῦν Πασιφάην οὐ μόνον τοῦ ταύρου, ἀλλὰ καὶ τοῦ Μίνωος ἐρασθῆναί φασιν, ὡς ἱστορεῖ Σωσικράτης. εἰκότως δὲ ἡ Ἀφροδίτη τὴν παρ' ἀμφοῖν εἰσπράττεται τιμωρίαν, παρὰ μὲν Φαίδρας, ὅτι ἀφ' Ἡλίου, παρ' Ἱππολύτου δέ, ὅτι τὰ περὶ αὐτὴν οὐκ εἶχεν ἐν τιμῇ ἀπαξιῶν τὴν πρὸς τὰς γυναῖκας ὁμιλίαν.

48. τὸ γὰρ τῆσδ' οὐ πρητιμήσω: οὐ τὸ ταύτης κακὸν ἔμπροσθεν θήσομαι, τὸ μὴ τιμωρήσασθαι τοὺς ἐχθροὺς, ἀντὶ τοῦ οὐ φροντίσασα τῆς ἀπωλείας αὐτῆς τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ δίκην ὕστερον θήσομαι. Ἄλλως. οὐκ ἂν προτιμήσαιμι τὴν ταύτης ἀπώλειαν, καὶ τὸ μὴ τιμωρήσασθαι τοὺς ἐμοὺς ἐχθροὺς ἐν ὑστέρῳ θήσομαι.

3. ἀνελθεῖν] τὸ ἀνελθεῖν I.

4 τρίτην] καὶ τρίτην B.I.

ib. τοῦ Ἱππολύτου] τῷ ἱππολύτῳ M. Fl. 15.

5. Μίνωος] μίνω B. Fl. 6. μίν A. μίνος M.

6. Θησέως δὲ] καὶ θησέως I.

ib. ὅτι om. Fl. 6.

ib. καρτερεῖ A.B.M. Fl. 6. καρτερᾷ I.

7. μὲν om. A.

ib. μίνωος A.B.M. Fl. 6. μίνω I.

ib. εὐκλεὴς] εὐκλεὴς δέ M.

9. ἐμήνισεν] Conf. p. 73, 4.

10. αὐτῆς A.B. αὐτοῖς I. om. M.

ib. γοῦν] οὖν Fl. 6. I.

12. Σωσικράτης] σωκράτης libri. "Correxit Barnes.: v. Vossium de histor. Gr. 3. p. 349. Valck. ad schol. Phoeniss. 45." MATTH.

13. παρ' ἱππολύτου δὲ A.M. παρὰ δὲ ἱππολύτου B.I. Fl. 6.

14. ὅτι τὰ περὶ αὐτὴν οὐκ εἶχεν A. B.M. Fl. 6. ὅτι οὐκ εἶχε τὰ κατ' αὐτὴν I.

ib. ἀπαξιῶν—πρὸς] ἀπαξ. τῶν δὲ τὴν I.

16. γὰρ om. I.

ib. ταύτης κακὸν] κακὸν ταύτης A.

17. τὸ μὴ A.B.M. Fl. 6. 15. τὸ om. I.

ib. οὐ φροντίσασα A.B.M. μὴ φροντίσασα Fl. 6. 15. μὴ φροντίσω I. Gl. φροντίσω est in B. rec. Post αὐτῆς interpungit I. verbis proximis τὸ μὴ οὐ παρασχεῖν in lemmate novi scholii positis: quo factum est ut φροντίσασα in φροντίσω mutaretur.

20. ἐχθροὺς] ἐμοὶ add. M. Post θήσομαι in I. sequitur scholion καὶ Πάλλας—παῖδων ἀπέκτεινεν: de quo dictum ad p. 81, 5.

53. *βήσομαι δόμων*: *γράφεται τόπων*. B.I.

54. *ὀπισθόπους*: *ὁ ἑπόμενος χορός*.

55. *κῶμος*: *χορὸς ἢ ὕμνος*. B.M.I.

λέλακεν: *βοᾷ, ὑμνεῖ*. B.I.

56. *οὐ γὰρ οἶδ' ἀνεψγμένας πύλας*: *οὐκ ἐπίσταται, φησὶν, ὅτι ἕτοιμος αὐτῷ ὁ θάνατός ἐστιν*.

58. *ἔπεσθ' ἄδοντες*: *τὸ ἄγαλμα τῆς Ἀρτέμιδος οἱ μὲν δικτάμνῳ, οἱ δὲ σελίνῳ, οἱ δὲ λωτῷ στέφεσθαί φασι*. A.B.M.I. *δικταμνόν φασιν ἐν Κρήτῃ μόνῃ· τοῦτο δὲ καὶ ὠκυτόκιον εἶναι, διὸ καὶ ταῖς δυστοκούσαις δίδοσθαι χάριν τοῦ ταχέως τίκτειν*. B.I.

ἔπεσθ' ἄδοντες: *τοῦτο ἔνιοι μὲν τὸν Ἱππόλυτόν φασιν ἄδειν. ἄμεινον δὲ τοὺς ἑπομένους τῷ Ἱππολύτῳ ἀπὸ τῶν κυνηγεσίων ταῦτα λέγειν. ἕτεροι δέ εἰσι τοῦ χοροῦ, καθάπερ ἐν τῷ Ἀλεξάνδρῳ ποιμένες. ἐνταῦθα μὲν οὖν δύναται προαποχρήσασθαι τοῖς ἀπὸ τοῦ χοροῦ, ἐκεῖ δὲ συνεστῶτος τοῦ χοροῦ ἐπεισάγει τοῦτο τὸ ἄθρισμα, ὡς καὶ ἐν τῇ Ἀντιόπῃ δύο χοροὺς εἰσάγει, τόν τε Θηβαίων γερόντων διόλου καὶ τὸν μετὰ Θήβης ἢ Δίρκης. ὥστε βέλτιστον ἐπιγράφειν "Χορὸς νεανιῶν τῶν συγκυνηγῶν Ἱππολύτου," ὅπου γε καὶ αὐτὸς προστάττει*

2. *ὁ ἑπόμενος*] *ὁ* om. M.
3. *ἢ ὕμνος*] *ἢ* om. B.
4. *λέλακεν*] *λέλακε δὲ* B.
5. *οὐκ*] *οὐ γὰρ* Fl. 6.
ib. *ἐπίσταται*] *ἐπίσταμαι* A.
6. *ἐστιν* addidi ex M. et qui post *αὐτῷ* habent A.B.
7. *ἔπεσθ' ἄδοντες*] In A.M. lemma *τὰν δεὸς οὐρανίαν ἄρτεμιν*.
ib. *δικτάμνῳ*] *δικτάμῳ* I.
8. *σελίνῳ* Valck. p. 170. pro *ἐχίνῳ*.
ib. *δίκταμνον* B. *δίκταμον* I.
11. *ἔπεσθ' ἄδοντες*] *ἄλλως* A.
ib. *μὲν* add. A. qui *φασιν* ante *τὸν ἱππόλυτον* habet.
12. *ἄμεινον—κυνηγεσίων*] *ἄμεινον δὲ ἀπὸ τῶν κυνηγεσίων τοὺς ἑπομένους* (omisso *τῷ ἱππολύτῳ*) A.
13. *δέ* (*δ'* M.) om. A.
ib. *τῷ 'Αλεξάνδρῳ* Musgr. *τῇ ἀλε* M. *τῇ ἀλεξαν*^{δο} A. *τῇ ἀλεξάν*^{δ} B. *τῇ ἀλεξανδρείᾳ* I.
14. *προαπο–*A.M. Fl. 6. *προσαπο–* B.I.
15. *τοῦτο* om. M.
ib. *ὡς καὶ ἐν—ἔπεσθ' ἀείδοντες* addidi ex A.M.
16. *δύο χοροὺς*] *β̄ χ̊* M. *δὲ δύο χορούς* A.
ib. *τόν τε*] *τῶν τε* A.
17. *Θήβης ἢ* om. M.
ib. *Χορὸς*] *χορὸν* A. *χ̊* M.
18. *νεανιῶν* Cobetus. *νεανίδων* A. *νεανί*^{δδ} M.
ib. *τῶν συγκυνηγῶν ἱππολύτου* A. *τῶν κυνηγῶν ἱππολῦ* M. Post *ἱππολύτου* ex A. annotatum *θυχτλ᾽ τιν̓* (i. e. *τινές*), quod corruptum est ex verbis *ἄλλοι δέ εἰσι τινες*, quae in scholio proximo leguntur.

αὐτεῖς ἄδειν τὴν Ἄρτεμιν λέγων "ἔπεσθ' ἀείδοντες." Ἄλλως. ὁ Ἱππόλυτος ὑμνεῖν παρακελεύεται, ἢ ἀλλήλους προτρέπονται οἱ ἀπὸ τοῦ χοροῦ, ἦγουν οἱ συνεπόμενοι τῷ Ἱππολύτῳ κυνηγέται. ἄλλοι δέ εἰσι τινὲς περὶ τὸν χορόν. ὁ γὰρ χορὸς, ὡς εἴρηται, ἐκ Τροιζηνίων γυναικῶν ἐστιν.

60. ᾇ μελόμεσθα: ᾗ μέλομεν κυνηγετικὴν ἀσκοῦντες. A.B.M.

66. καλλίστα: καλλίστη οὖσα ὑπὲρ πάσας τὰς παρθένους. B.

68. εὐπατέρειαν: τὴν καλλίστην τοῦ πατρὸς Διὸς αὐλήν.

69. εἶκον: λέγω. B. rec.

73. σοὶ τόνδε πλεκτόν: πρὸς τὸν χειροποίητον στέφανον, ὃν ἔφερε τῷ ξοάνῳ. τινὲς μέντοι καὶ τοῦτο ἐπὶ τῆς αὐτῆς ἀλληγορίας ἀκούουσι, λέγοντες τὸν ὅμιον κόσμον εἰρῆσθαι αὐτῆς. τοῦτον ἂν λέγει τὸν ὅμιον δεικτικῶς πρὸς τὸ εἰρημένον "πότνια." Ἄλλως. διαβεβόηται τοῦτο τὸ ζήτημα. καὶ οἱ μὲν ὑπέλαβον τὸν Ἱππόλυτον στέφειν τὴν Ἄρτεμιν ἀνθίνῳ στεφάνῳ· ὁ δὲ Φιλόχορος τὴν ἐν Ἄγραις Ἄρτεμιν τῷ μὲν λόγῳ στέφεσθαί φησιν, ἐφ' ἑαυτοῦ δὲ τὸν Ἱππόλυτον ταῦτα λέγειν, ὅτι ἐμαυτὸν σοὶ ἀνατίθημι, ὦ θεὰ, στέφανον, τουτέστι κόσμον ἀνθηρότατον· κόσμον γὰρ εἶναι τῇ παρθένῳ τὸ μετὰ τοῦ σωφρονεστάτου τῶν νέων διημερεύειν. ἄλλοι δὲ μηδὲν αἰνίττεσθαι τὸν ποιητήν

1. ἔπεσθ'] ἔπεσθαι M.
ib. Ἄλλως om. A.
ib. Ἄλλως. ὁ] ἢ ὁ M.
4. εἰσὶ τινὲς M. τινὲς εἰσι ceteri.
ib. ὡς εἴρηται om. M.
5. ἐστιν addidi ex A. Obliteratum in M.
6. μέλομεν] μέλλομεν A.B.
ib. κυνηγετικὴν βίον] κυνηγέ (cum compendio τικὴν potius significante quam τικὴν) et omisso βίον A.M.
7. καλλίστα] Hoc vocabulum est in scholio quod M. ante scholion superius (ab verbis ἢ ὁ ἱππόλυτος incipiens) habet, καλλίστα τινὰ τῶν παλλαντίδων παῖδων εὗρει (sic, ut videtur) λέγει:—
8. Διὸς om. M.
10. πρὸς τὸν—πότνια] Hoc scholion A.M. hic ponunt: in B.I. legitur ad v. 82. in B. cum lemmate κόμης, in I. χευσέαν.
ib. πρὸς τὸν M. τοῦτο πάλιν πρὸς τὸν A.B.I.
11. τῆς αὐτῆς (αὖ A.) ἀλληγορίας A.B.I. τὴν ἀλληγορίαν τῆς αὐτῆς M.
12. αὐτῆς] αὖ A. αὐτῶν B.M.I.
ib. τοῦτον ἂν—πότνια om. I.
ib. ἂν λέγοι A. οὖν λέγοις B.I.
13. Ἄλλως addidi ex A.M.
16. τῷ μὲν λόγῳ] Valck. p. 170. corrigendum censet τῷ μὲν λωτῷ στ. minus recte. Sensus est: ita loqui Hippolytum, quasi revera corona redimiret Dianae simulacrum, se autem intelligere. MATTH. Verba τῷ μὲν λόγῳ om. A. in lacuna.
ib. ἐφ' Matth. pro ἀφ'.
ib. ἐὲ om. M.
17. τουτέστι] δὲ τουτέστιν M.
19. ἄλλοι] ἄλλως praefixum in

φασι καὶ μηδὲν ἀλληγορεῖν, ἀλλὰ κυρίως λέγειν, καὶ τῷ ὄντι στέφανον φέρειν τὸν Ἱππόλυτον. τοῦτον δὲ ἐκ τοιούτου λειμῶνος, καθ' ὃν οὐκ ἔστιν ἡμῖν ὅσιον οὐδὲ δρέπεσθαι τῶν ἀνθέων· τὸ γὰρ "οὐδ' ἦλθέ πω σίδηρος" εἰς τοῦτο καταστρέφει, ὅτι οὐδὲ δρέπεται ὑπό τινος, οὐδὲ εἴργασται. ἄλλοι δέ φασι τὸν Εὐριπίδην τροπικώτερον τὸν ἐπὶ τῇ Ἀρτέμιδι ὕμνον στέφανον λέγειν. καὶ γὰρ δὴ παράλογον εἶναι καὶ πολλὴν ἀτοπίαν ἔχον, καὶ δοκεῖν ἄνθιμον λειμῶνα εἶναι, ὅθεν ἐδρέφθη τὰ ἄνθη, καὶ τοιοῦτον, εἰς ὃν οἱ εἰσιόντες ἐξετάζονται πότερον διδακτὴν ἔχουσι τὴν σωφροσύνην ἢ ἐκ φύσεως, καὶ κατάρδεσθαι αὐτόν. Φιλόχορος δέ φησι τῷ μὲν ξοάνῳ πλεκτὸν στέφανον προσφέρειν, τῇ δὲ θεῷ τὸν ὕμνον. ἐξ ἀκηράτου δὲ, τῆς ἀδόλου καὶ ἀφθάρτου διανοίας. Ἄλλως. ἐπιεικῶς οἱ ποιηταὶ τὰς μὲν ἰδίας φύσεις λειμῶσιν, ἢ ποταμοῖς, ἢ μελίσσαις εἰκάζουσι, τὴν δὲ ποίησιν στεφάνοις, διὰ μὲν τῶν ἀνθέων τὸ ποικίλον καὶ τὸ κάλλος αὐτῆς παριστῶντες, διὰ δὲ τῶν ποταμῶν τὴν πληθὺν καὶ τὴν εἰς τὸ ποιεῖν ὁρμὴν, διὰ δὲ τῶν μελισσῶν τὸ μελιχρὸν, διὰ δὲ τῶν στεφάνων τὸν κόσμον τῶν ὑμνουμένων. ταῦτα δὴ πάντα συνελὼν ὁ ποιητὴς ἐφαίδρυνε τῆς ἀλληγορίας τὸν τρόπον. τὸ δὲ "ἐξ ἀκηράτου λειμῶνος," ἐπειδὴ δεῖ πάντως τὸν μετιόντα μουσικὴν καθαράν τε καὶ ἀκήρατον ἔχειν τὴν ψυχὴν πάντοτε καὶ ἄχραντον ἀπὸ κακοῦ, καὶ μάλιστα τῆς αἰδοῦς μεμοιραμένην. διὰ γάρ τοι τὸ αἰδέσιμον καὶ παρθένους ὑποτίθενται τὰς Μούσας, γονιμωτάτας οὔσας.

A. male: nam respondet hoc ἄλλοι δέ praecedenti καὶ οἱ μέν.

1. φασι hoc loco A.M., post ἄλλοι δέ B.I.

ib. καὶ μηδὲν A.M. μὴ δὲ (non μηδέ) sine καὶ I.

3. οὐδ' ἦλθε B.M. οὐ διῆλθε A. οὐκ ἦλθε I.

4. σίδηρος] σίδαρος A.B.

ib. δρέπεται A. δρέπεσθαι ceteri.

5. εἴργασται A. εἰργᾶσθαι B. εἰργάσθαι I. εἴργεσθαι M.

ib. ἄλλοι] Iterum hic ἄλλως praefixum in A.

7. ἄνθιμον] ἄνθινον B.

8. ἐδρέφθη A.B.M. Fl.6. ἐκλήφθη I.

ib. εἰσιόντες] εἰπόντες I.

ib. πότερον A.M. καὶ πότερον ceteri.

10. φ σι om. M.

11. ὕμνον] ὑμέναιον M.

ib. Post ἀφθάρτου in M. vocabulum obliteratum.

12. Ἄλλως om. A.

14. παριστῶντες M. παριστάντες ceteri, ut est in schol. v. 78. quo caret M.

15. ποταμῶν A.B.M. Fl. 6. et schol. ad v. 78. ubi eadem fere leguntur. ἀνθῶν I.

19. ἐπειδὴ A.B.M. ὅτι I.

ib. μουσικὴν] μουσικὸν A.

ib. τε om. I.

20. κακοῦ] κακῶν Fl. 6.

21. τοι add. A.B.M. Fl.6., om. I.

ib. ὑποτίθενται iidem libri. ὑποτίθεται I.

Ἄλλως. *καθόλου μέν ἐστι τῆς διανοίας καὶ στέφανον αὐτὸν προσφέροντα, ἅτε δὴ σοφόν· τῷ μὲν ξοάνῳ ἄρα τὸν χειροποίητον στέφανον προσφέρει, τῇ δὲ θεῷ τὸν ὕμνον. πλεκτὸν τοίνυν στέφανον λέγει τὸν ὕμνον, δίκην πλοκῆς συντεθέντας τοὺς λόγους ἀποτελεῖν τὸν ὕμνον. ἀκήρατον δὲ λειμῶνα ἀλληγορεῖ τὸν ἐξ ἀνθέων πεπλεγμένον στέφανον τῇ παρθένῳ καὶ ἄδολον ἔννοιαν, ἐν ᾧ λειμῶνι οὐδὲ ποιμὴν ἄξιον νενόμικε τὰ πρόβατα ἄγειν. τὰ γοῦν ἄνθη τούτου τοῦ λειμῶνος σοφίας εἶναι καὶ ἀρετῆς ἀποτελέσματα. ἀλλὰ μὴν οὐδὲ σίδηρος εἰς τμῆσιν ἦλθε τοῦ λειμῶνος καὶ αὐτοῦ τὰ ἄνθη περιέκειρε. σίδηρον δ' ἂν λέγοι ἤτοι τὴν πανοῦργον φιλοπραγμονίαν τε καὶ κακουργίαν, ἢ τὴν τῶν αἰσχρῶν ἡδονῶν φθοράν, ἵνα αὐτοῦ τὸ παρθένιον καὶ ἄδολον ὅλοῖ. βοτὰ δὲ λέγει τὰ ποίμνια, μέλισσαν δὲ ἀλληγορικῶς αὐτὴν τὴν ψυχήν· καθαρώτατον γάρ τι ζῷον ἡ μέλισσα· ἔνθεν τὰς ἱερείας μελίσσας καλοῦσιν οἱ ποιηταί. ἐαρινὴν δὲ αὐτὴν εἶπεν, ἤτοι ὅτι ἡ μέλισσα ἥδεται τῷ ἔαρι διὰ τὰ ἄνθη, ἢ ὅτι αἱ καθαραὶ ψυχαὶ ἀεὶ ἐν ἀνθήσει εἰσί. τὸ γὰρ ἔαρ ἀνθέων γεννητικόν.*

73. ἐξ ἀκηράτου λειμῶνος: *ἐκ καθαρᾶς καρδίας.* B. Fl. 15. *καρδίας.* M.

75. ἔνθ' οὔτε: *ἄμουσοι γὰρ καὶ αἰσχροπρεπεῖς οἱ ποιμένες.* A. B.M. Fl. 15. *ποιμήν: τὸ λογιστικόν.* B. *φέρβειν βοτά: τρέφειν τὰ ποίμνια.* B.M. Fl. 15.

1. Ἄλλως] Hoc scholion, quod recentioris est grammatici quam praecedentia, abest ab M., legitur vero in A.B.I. et Fl. 6.
2. προσφέροντα B. Fl. 6. προφέροντα A.I.
ib. ξοάνῳ ἄρα A. γὰρ ξοάνῳ B.I.
3. προσφέρει scripsi pro προφέρειν (προσφέρειν Matth.)
ib. δὲ θεῷ A. θεῷ δὲ B.I.
ib. πλεκτὸν τοίνυν—λέγει τὸν ὕμνον om. A.
4. δίκην] ἀκήρατον δίκην A.
ib. συντεθέντας] συντεθέντα A.
5. ἀλληγορεῖ A.B. Fl. 6. ἀνθοφορεῖ I.
ib. ἀνθέων] ἀκανθῶν A.
6. οὐδὲ] ὁ δὲ A.
7. πρόβατα A. ποιμνια I.
9. δ' ἂν λέγοι B. Fl. 6. δ' ἂν λέγ' A. δὲ λέγει I.
10. τὴν B. Fl. 6. τὸν I. et sic A. quoque (τ''), sed idem in gl. interlineari τὴν πανοῦργον φιλοπραγμονίαν ἢ τὴν δι' αἰσχρῶν ἡ. φ.
ib. τε B. Fl. 6., om. A.I.
11. αὐτοῦ A.B. αὐτὰς I.
ib. ἄδολον A. ἀδῆλον B.I.
13. καθαρώτατον B. καθαρώτερον A. καθαρὸν I.
ib. ἔνθεν] οὖν add. A.
14. εἶπεν A[1].B. λέγει I.
ib. ἤτοι] ἢ A.
16. ἀνθήσει A.B. ἄνθεσι I.
ib. ἔαρ om. I.
19. γὰρ om M.
ib. αἰσχροπρεπεῖς] αἰσχροπετεῖς A. αἰσχροπότεις M.

76. ἀκήρατον: παραμόνιμον. A.B.M.

77. μέλισσα: ψυχή. M. καὶ ψυχὴ ἀθάνατος καὶ ἀεὶ θάλλουσα· αἱ γὰρ ἀκήρατοι ψυχαὶ ἀνθοῦσιν ἀεί. A. ἡ ἀγνότης, καθαρότης, ψυχή. B. ἠρινόν: τὸν καθαρόν. B.

78. αἰδὼς δὲ ποταμίαισι: ἡ αἰδὼς, φησὶ, τοῦτον τὸν λειμῶνα γεωργεῖ, καὶ αὐτὸν τοῖς ὕδασι τοῖς ποταμίοις κηπεύει καὶ ποτίζει καὶ γεωργεῖ. τοῦτο δὲ λέγει, ἐπεὶ πλεῖστον μέρος τῆς σωφροσύνης ἡ αἰδὼς ἔλαχε, καὶ τοῖς ἀγαθοῖς ἀνδράσι καὶ σοφοῖς ἔνεστι τὸ αἰδημονικόν. ὅσοις οὖν μηδὲν διδακτὸν καὶ ἐκ βίας φύσεως ἔγωσται, ἀλλὰ φύσει τὴν σωφροσύνην ἐγνώκασι, τούτοις ἐκ τούτου τοῦ λειμῶνος μόνοις δρέπεσθαι καὶ καρποῦσθαι δέδοται τοιαύτης ψυχῆς καὶ σοφίας ἀπολαύειν. Ἄλλως. ταῦτα οὐκ ἔστιν ἐπινοῆσαι, εἰ κυρίως τις βούλεται ἐπὶ τῶν κηπευμάτων ἐκδέχεσθαι τὸν λόγον. ἀλληγορεῖται οὖν τὰ προκείμενα. οἱ γὰρ ποιηταὶ ἐπιεικῶς τὰς ἰδίας φύσεις μελίσσαις καὶ ποταμοῖς καὶ λειμῶσι προσεικάζουσιν, αὐτὴν δὲ τὴν ποίησιν στεφάνοις, διὰ μὲν τῶν ἀνθέων τὸ ποικίλον καὶ τὸ κάλλος αὐτῆς παριστάντες, διὰ δὲ τῶν ποταμῶν τὸ πλῆθος καὶ τὴν ἐπὶ τὸ ποιεῖν ὁρμὴν, διὰ δὲ τῶν μελισσῶν τὸ ἐπιμελὲς καὶ τὸ συντεταγμένον, ἅμα καὶ τὸ τῶν ποιημάτων μελιχρὸν, τοὺς στεφάνους ἕνεκα τοῦ λαμπρύνεσθαι δι' αὐτῶν τοὺς ἐπαινουμένους. ταῦτα δὲ πάντα συλλαβὼν ὁ Εὐριπίδης ἐφαίδρυνε τὴν ἀλληγορίαν, δι' ἧς τὸν εἰς τὴν Ἄρτεμιν ὕμνον ἐβουλήθη παραστῆσαι, τῶν ἄλλων ποιητῶν σποράδην τοῖς τρόποις χρησαμένων. τὸ δὲ ἐξ ἀκηράτου λειμῶνος δρέπεσθαι διὰ τὸ δεῖν τὴν ποιητικὴν ψυχὴν καθαράν τε καὶ ἀκή-

5. αἰδὼς δὲ—] Hoc scholion non est in M.
7. καὶ γεωργεῖ om. A.
9. αἰδημονικὸν] ἡγεμονικὸν B.
ib. ὅσοις] ὅσοι A.
ib. διδακτὸν add. A.B. Fl. 6., om. I.
ib. βίας A.B. μιᾶς I. Conf. p. 88, 7.
11. δέδοται add. A.
12. ἀπολαίειν A.B. Fl. 6. ἀπολαΐει I.
13. κυρίως τις om. A. in lacuna.
16. ἀνθέων A. ἀνθέων ὡς εἴρηται (p. 85, 14.) I.
17. αὐτῆς A. αὐτῶν I.
18. τὸ ποιεῖν A.B. τὰ ποιήματα Fl. τὰ ποίᾳ I.
19. μελιχρὸν hic A.B., ante τῶν ποιημάτων I.
ib. τοὺς στεφάνους] τοῖς στεφάνοις Matth.
22. ἐβουλήθη A. ἠβουλήθη I.
23. ἀκηράτου λειμῶνος] ἀκηράτων λιμώνων (sic) A.

ρατον εἶναι καὶ παντὸς κακοῦ ἄχραντον. δεῖ γὰρ τοὺς ποιητὰς αἰδοῦς μεμοιρᾶσθαι πάντων. διὸ καὶ τὰς Μούσας παρθένους εἶπον ἔνιοι.

κηπεύει: ποτίζει. A. ἀνατρέφει M. τρέφει. Fl. 15.

79. ὅσοις διδακτὸν μηδέν: διδακτόν ἐστι τὸ μὴ ἐκ φύσεως πλεονέκτημα, ἀλλ' ἐκ συνεχοῦς μελέτης ἀνυόμενον. καὶ οἱ φιλόσοφοι διδακτὰ μὲν τὰ πονηρὰ καλοῦσι, φυσικὰ δὲ τὰ ἀγαθά. διδακτὸν οὖν τὸ ἐκ βίας τῆς φύσεως μάθημα, ἢ συνεχεῖ ἐγνωσμένον μελέτῃ. τὰ γοῦν ἐξῆς ἐπινοίᾳ καλὰ καὶ πάλιν καλά εἰσιν.

80. εἴληχεν: ἔλαχεν M.

ὅμως: ὁμοίως. B.

81. δρέπεσθαι: γρ. ἕπεσθαι. B. Fl. 15. καρποῦσθαι. M. συνάγειν. A.

83. ἀνάδημα δέξαι: ἀντὶ τοῦ ἀπὸ καλοῦ καὶ δικαίου δέξαι στέφανον. A.B. Fl. 15.

85. σοὶ καὶ ξύνειμι: τὸ ἐξῆς, σοὶ δὲ σύνειμι καὶ λόγοις ἀμείβομαι καὶ μόνῳ βροτῶν τοῦτό ἐστιν ἐμοὶ γέρας. M.

87. τέλος δὲ κάμψαιμ': τὸ δὲ τέλος τοῦ βίου ἀναλύσαιμι, ὥσπερ καὶ ἠρξάμην, ἐν σωφροσύνῃ διατελέσας. Fl. 15. κάμψαιμι: παύσαιμι. Fl. 2.

88. ἄναξ: σῶτερ. A.B.M. ἀπὸ τοῦ ἔχειν τὴν ἄνω ἀξίαν. B.I.

1. τοὺς ποιητὰς] In A. compendiis scriptum quae τῆς ποιητικῆς legi possunt.

2. προσήκειν I. φρονοῦσιν B. clare, in A. vero φρ$^{\text{ητ}}_{\text{ο}}$. προσήκειν, quod interpolatoris est, delet Matth. et πάντων in πάντως mutat, pro quo πάντοτε conjicere poterat, quod est in fine scholii v. 73. p. 85, 23. ubi similia leguntur.

7. μὲν om. M.

ib. τὰ πονηρὰ καλοῦσιν M. λέγουσι τὰ κακὰ A.B.I.

ib. διδακτὸν A.B.M. Fl. 6. δυνατὸν I.

8. τῆς add. M.: sine τῆς eadem in scholio v. 78. p. 87, 9.

ib. συνεχεῖ ἐγνωσμένον μελέτῃ A.B. M. Fl. 6. συνεχὴς μελέτη (omisso ἐγνωσμένον) I.

9. ἐξῆς om. M.: verba τὰ γοῦν ἐξῆς—καλά εἰσιν om. B.I.

ib. καλὰ καὶ πάλιν καλά M. καὶ πάλιν πολλὰ A.

12. γρ. om. Fl. 15.

ib. Scholion ad v. 82. hic vulgo lectum τοῦτο πάλιν—πότνια vide ad v. 73. p. 84, 10.

14. ἀντὶ τοῦ om. B., στέφανον om. A.

21. τὴν ἄνω ἀξίαν] τὴν ἄνω τάξιν dixit Etym. M. p. 97, 52. ἀνωτάτην τάξιν gramm. in Crameri Anecd. Oxon. vol. 1. p. 34, 16.

ἄναξ: κυρίως ὁ σωτήρ. διὸ καὶ τοὺς θεοὺς ἄνακτας καλοῦσι, καταχρηστικῶς δὲ καὶ τοὺς δεσπότας ἄνακτας καλοῦσιν ὡς δευτέρους σωτῆρας. δηλοῖ δὲ τοῦτο μάλιστα Ὅμηρος "Ἀστυάναξ, οἷος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ," οἷον ὁ τοῦ ἄστεος σωτήρ. ὦ οὗν ἄναξ—θεοὺς γὰρ καὶ σωτῆρας τοὺς δεσπότας καλεῖν χρή. δύναται δὲ τὸ μὲν ἄναξ ἐπὶ τοῦ Ἱππολύτου, τὸ δὲ δεσπότας ἐπὶ θεῶν. εἰκὸς γὰρ καὶ αὐτὸν μέλλοντα περὶ τῆς θεοῦ συμβουλεύειν πάσης ἀνθρωπίνης φύσεως ὑπερτιθέναι τὸ κρεῖττον.

Ἄλλως. ὡς τῆς ἄναξ προσηγορίας θεοῖς ἁρμοζούσης. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι, ὡς τοῦ πρεσβύτου τὸν μὲν Ἱππόλυτον ἄνακτα λέγοντος, τοὺς δὲ θεοὺς δεσπότας, καίπερ εἰκὸς μέλλοντα συμβουλεύειν αὐτὸν περὶ τοῦ μὴ ὑπερφρονεῖν τὴν Ἀφροδίτην, οὕτω καὶ ἄρξασθαι σεμνύνοντα τὸ θεῖον καὶ ὑπερτιθέντα τῆς ἀνθρωπίνης φύσεως. B. Fl. 6.

90. καὶ κάρτα γε: καὶ λίαν. B. καὶ πάνυ. B. rec. καὶ μάλιστα. τὸ δὲ κάρτα κατ' ἐναλλαγὴν λέγεται στοιχείου κράτα, οἷον κραταιῶς, ὡς ἀπὸ τοῦ σάφα σαφῶς. B.M.I. καὶ κάρτα γ': ἢ γάρ: εἰ γὰρ μὴ ἀπὸ τῶν ἡττόνων δεχόμεθα λόγους, οὐκ ἐσμὲν σοφοί. B.I. Fl. 15. μὴ ποιήσαντες τοῦτο μηδὲ δεξάμενοι τὴν ἀγαθὴν συμβουλήν. B.

91. νόμος: τὸ γεγραμμένον διάταγμα, τὸ κρατοῦν καὶ γεγραμμένον· ἔθος δὲ τὸ μὴ γεγραμμένον. B.I.

92. μισεῖν τὸ σεμνόν: σεμνὸν τὸ ὑπερήφανον καὶ τὸ ἐπαχθές.

1. ὁ σωτὴρ A.M. ὁ om. B.I.
ib. διὸ καὶ τοὺς A.M. τοὺς οὖν B.I.
ib. ἄνακτας A.M. ἄνακτας καὶ σωτῆρας B I.
ib. καλοῦσι M. καλ᾽ A. καλοῦμεν B.I.
2. δὲ καὶ] καὶ om. M.
ib. ἄνακτας καλοῦσι om. A., καλοῦσι om. B.
ib. καλοῦσι M. καλοῦμεν I.
3. δηλοῖ δὲ τοῦτο μάλιστα om. M. Totum scholion δηλοῖ δὲ—ὑπερτιθέναι τὸ κρεῖττον om. A. Postrema εἰκὸς γὰρ—κρεῖττον om. etiam M.
ib. Ὅμηρος] Il. 7. 400.
4. οἷον M. εἴρηται γὰρ οἷον B.I.
5. καλεῖν ante τοὺς δεσπότας M.
ib. μὲν et δὲ om. M.
6. θεῶν B.M. τῶν θεῶν I.
7. περὶ τῆς θεοῦ συμβουλεύειν addidi ex B.
8. κρεῖττον I. κρυπτόν B.
12. αὐτὸν om. Fl. 6.
13. ὑπερτιθέντα] ὑπερτιθέναι Fl. 6.
15. καὶ μάλιστα. τὸ δὲ κάρτα om. M.
16. κατ' M. κατὰ B.I.
ib. λέγεται—κραταιῶς] ἐστι ἀπὸ τοῦ κάρτα οἷον κραταιῶς M.
18. δεχόμεθα] οὐ δεχόμεθα I.
ib. λόγους] λόγον Fl. 15.
23. μισεῖν τὸ σεμνόν lemma in M.,

δηλοῖ δὲ ἡ λέξις καὶ τὸ τίμιον, ὡς ὑποκατιών φησι "πῶς οὖν σὺ σεμνὴν δαίμων' οὐ προσεννέπεις ;" ἀντὶ τοῦ σεβαστήν. B.M.I. δηλοῖ δὲ καὶ τὴν πάνυ τιμίαν "σεμνή γε μέντοι." διὸ καὶ τὸ χ. B.

τὸ σεμνόν: τὸ ὑπερήφανον καὶ σφόδρα τίμιον. M. τὸ ὑπερήφανον. σεμνὸν τὸ ἐπιτηδευτόν. σεμνὸν τὸ οὐχὶ ἁπλοῦν. B. rec. τὸ σοβαρόν. Fl. 15. τὸ ἀλαζονικόν. Fl. 2.

94. σεμνός: ὑπερήφανος. Fl. 15. ἀχθεινός: ἀλαζονικὸς, οὐχὶ λυπηρός. B. λυπηρός. M. Fl. 15.

95. εὐπροσηγόρισιν: τοῖς μετρίοις. B. rec.

96. καὶ κέρδος γε: τῆς προσηγορίας ὁ μόχθος βραχύς· δι' αὐτῆς γὰρ πρᾶγμα εὑρίσκει. B.M.I. ἐστὶ πολύ. B.

97. ἢ κἂν θεοῖσι: ἆρα οὖν καὶ αὐτὸ τοῖς θεοῖς ὑπονοεῖν χάριν ἔχεις τοῖς συνηγόροις. τὸ εἶναι προσηγόρους. B.

98. εἴπερ: ἐπεί. B. εἴπερ γε θνητοί: ἐπεὶ παρὰ θεῶν ἔλεγον τοὺς νόμους ἀκηκοέναι οἱ νομοθέται, ὡς Λυκοῦργος μὲν ὑπὸ Ἀπόλλωνος, Μίνως δ' ὑπὸ Διός. Ὅμηρος "ἐννέωρος βασίλευε Διὸς μεγάλου ἀριστής." Ἄλλως. τοῦτο εἶπεν, ἐπειδὴ ἐξ ἀρχῆς Ῥαδάμανθυς καὶ Μίνως παρὰ θεῶν τὰ νόμιμα διδασκόμενοι τοῖς ἀνθρώποις φανερὰ ταῦτα ἐποίησαν.

σεμνή γε I. ubi hoc scholion ad v. 102. relatum, absurde ut verba ὑποκατιών φησι docent quae ad v. 99. spectant, qui versum 102. non sequitur, sed praecedit. In B. lemma nullum, sed scholion recte ad v. 92. relatum.

p. 89. l. 23. καὶ (καὶ om. B.) τὸ ἐπαχθές om. M.

1. ἡ λέξις om. B.I.

ib. ὑποκατιών B.M. παρακατιών I.

ib. οἶν om. M.

3. δηλοῖ δὲ καὶ—μέντοι] Haec verba sunt etiam in I. ubi pergitur (sine lemmate) τῆς προσηγορίας etc. (schol. v. 96.)

ib. σεμνή γε μέντοι] v. 102.

11. καὶ κέρδος γε] Lemma nullum in B.M.I.

12. γὰρ om. B.

13. οἶν καὶ om. M.

14. ἔχεις B.I. ἔχειν A.M.

15. Scholion utrumque ad v. 98. in A. ab alia m. scriptum. Inverso ordine habet M. ideoque ἄλλως ante ἐπεί ponit.

ib. ἔλεγον] ἔλεγον τινὲς M., omisso οἱ νομοθέται.

16. ἀκηκοέναι] ἀκοῦσαι A.

ib. ὡς Λ. μὲν] λ. γὰρ A.

17. Μίνως δ' ὑπὸ] μίνως δὲ παρὰ B. καὶ μίνως ὑπὸ A.

ib. Ὅμηρος (Od. 19, 179.)—ἐποίησαν om. A.

18. ἀριστής] ἀριστεύς M. ἀριστύς B. ὁ ἀριστύς I.

ib. ἐπειδὴ B.M. ἐπεὶ I.

19. θεῶν] τῶν θεῶν M.

ib. διδασκόμενοι ante τὰ νόμιμα M.

20. ταῦτα ἐποίησαν] ταῦτ' ἐποίουν M.

99. σεμνήν: τιμίαν. B. σεπτὴν καὶ τιμίαν. Fl. 15. οὐ προσεννέπεις: πῶς οὖν τὴν τιμίαν θεὸν οὐ προσαγορεύεις; M. ὁμιλεῖς. A. οὐ συναγορεύεις. B.I.

100. εὐλαβοῦ: ἀντὶ τοῦ σιώπα, μὴ κατά τι ἁμάρτῃς τοῖς σοῖς ῥήμασιν· ὑπενόησε γὰρ αὐτὸν τὴν Ἄρτεμιν λέγειν. A.B.M.

στόμα: διὰ τῆς Ἀφροδίτης. A.B.M.

101. Κύπρις: ἦν γὰρ ἐκεῖ ἄγαλμα τῆς Ἀφροδίτης. B.

102. πρόσωθεν: πόρρωθεν. B. οὕτως καὶ Ἀριστοφάνης "μὰ τοὺς πρόσωθεν." M. ἀγνὸς ὢν αὐτὴν μακρόθεν ἀσπάζομαι. A. B.M.

103. σεμνή: τιμία. M.

κἀπίσημος: σεβασμία. M. ἔνδοξος. B.M.

104. ἄλλοισιν ἄλλος: ὃ λέγει, τοιοῦτόν ἐστιν· οὐ πάντες τοὺς αὐτοὺς θεοὺς σέβομεν, οὐδὲ τοὺς αὐτοὺς ἀνθρώπους ἀγαπῶμεν, ἀλλ' ἄλλοι μὲν τόνδε, ἄλλοι δὲ τόνδε. ὁμοίως δὲ κἀγὼ τὴν Ἄρτεμιν σέβω, ἄλλοι δὲ τὴν Ἀφροδίτην. A.B.M.I. διαφόροις, φησίν, ἀνθρώποις ἄλλος θεῶν καὶ ἄλλος ἀνθρώπων ἐν φρονεῖν δι ἐστίν. "ἄλλος δ' ἄλλῳ ἔρεζε θεῶν ἀειγενετάων." A.M.

105. εὐδαιμονοίης: εἴθε. B. οὔτω φρονῶν περὶ τῶν θεῶν. B.I. μήτε ὑπὲρ τὸ καθῆκον φρονῶν μήτε ὑπὲρ ἄνθρωπον, ὅ ἐστιν, εἴη σε τῆς ἀρετῆς ἔχειν τὸ ἄκρον, μὴ ὑπὲρ ἄνθρωπον φρονεῖντα. Ἄλλως. εἴης εὐδαίμων τὰ καθήκοντα φρονῶν. λυποῦμαι γὰρ νῦν ὁρῶν σε ἀφρονοῦντα.

νοῦν: ὑπόληψιν ἔχων περὶ τῶν θεῶν. B.

106. οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεός: οἷον ἔστι θεὸς μυούμενος ἐν νυκτὶ ἐμοὶ οὐκ ἀρέσκει διὰ τὸ νυκτὸς ἀφροδισιάζειν.

4. ἀντὶ τοῦ om. A.B.
ib. τοῖς σοῖς] σοῖς om. A.B.
5. αὐτὸν M. αὐτὴν A.B.
8. Ἀριστοφάνης] Si apud Aristophanem μὰ τοὺς πρόσωθεν lectum fuit, in versu tragico fuit. Nam comici πόρρωθεν dicunt.
9. αὐτὴν μακρόθεν] μακρόθεν αὐτὴν A.B.
14. ἀλλ' ἄλλοι A. ἀλλ' οἱ B.M.I.
15. ἄλλοι δὲ τόνδε A.M. οἱ δὲ τόνδε Fl. 6., omittit I.
ib. κἀγὼ om. I.
17. ἄλλος δ' ἄλλῳ—] Hom. Il. 2, 400.
22. εὐδαίμων] εὐδαιμονῶν A.M.
25. οἷον ἔστι] Scribendum videtur οἷονεί; aut delendum ἔστι.
26. νυκτὸς A.M. τῆς νυκτὸς B.I.
ib. ἀφροδισιάζειν M. θαυμάζεσθαι ceteri.

107. *τιμαῖσιν, ὦ παῖ*: *ταῖς νομίμοις τιμαῖς τῶν θεῶν προσήκει σοι χρῆσθαι. χρὴ γὰρ ταῖς τιμαῖς τῶν θεῶν προσέρχεσθαι, τουτέστι τιμᾶν τοὺς θεούς.*

108. *ὀπαδοί*: *ἀκόλουθοι.* M.

109. *σίτων μέλεσθε, τερπνόν*: *τερπνὸν γὰρ ἐκ κόπου κυνηγίας εὑρεῖν τράπεζαν γέμουσαν καὶ κορεσθῆναι. Ἄλλως. τράπεζα πλήρης προτεθεῖσα δηλονότι. καὶ καθολικόν ἐστι, τοῦ καμάτου εὐεκτότερα ποιοῦντος τὰ σώματα τῇ κινήσει τοῦ θερμοῦ.*

110. *καταψήχειν*: *ψηκτρίζειν.* M.

112. *τὰ πρόσφορα*: *τὰ συνήθη, τὰ ἐπιτήδεια.* A. *τὰ συνήθη καὶ ἕτοιμα, τὰ ἁρμόζοντα, τὰ καθήκοντα, ἤτοι τὰ σύμφορα.* B.M.I.

113. *χαίρειν*: *ἀντὶ τοῦ σώζεσθαι.* M.

115. *ὡς πρέπει δούλοις λέγειν*: *οἷον, ὡς πρέπει δούλοις, τὴν εὐχὴν ποιησόμεθα. οἷον οὐ μετὰ πολυτελείας θυσιῶν, ἀλλὰ ψιλὴν τὴν προσφώνησιν ποιησόμεθα.* A.B.M.I. *ἀντὶ τοῦ ἁπαρρησιάστως λαλῶ.* Fl. 15.

117. *χρὴ δὲ συγγνώμην ἔχειν*: *ἀπὸ ἄλλης ἀρχῆς.* A. *εἰς τὸ ἔχειν τελείαν στιγμήν, τὸ δὲ ἑξῆς ἐξ ἄλλης ἀρχῆς.* M.

118. *ὑφ' ἥβης*: *ὑπὸ ... καὶ προπετείας νεότητος θρασὺ καὶ ἰταμὸν καὶ ἀναιδὲς καὶ ἄτιμον ἔχων τὸ σπλάγχνον.* M. *ὑπὸ προπετείας.* B.I. *ἔντονον*: *θρασὺν, ὀργίλον.* Fl. 15. *ἢ σκληρόν.* B.

119. *μὴ δόκει τούτου κλύειν*: *μὴ νόμιζε μηδὲ ἀκούειν τοῦ τοιούτου λόγου.* M.

120. *σοφωτέρους*: *φιλανθρωποτέρους.* A.B.I.

121. *Ὠκεανοῦ τις*: *ὁ χορὸς συνέστηκεν ἐκ Τροιζηνίων γυναικῶν, συναχθεὶς εἰς ἐπίσκεψιν τῆς Φαίδρας. καὶ πρῶτα μὲν διηγεῖται,*

1. Edidi hoc scholion ut legitur in A.M. In B.I. est *χρὴ ταῖς τιμαῖς—τιμᾶν τοὺς θεοὺς ταῖς νομιζομέναις τιμαῖς τῶν θεῶν, αἷς προσήκει χρῆσθαι.*

5. *κόπου*] *καμάτου τῆς* M.

6. *Ἄλλως* om. A.M.

10. *τὰ συνήθη καὶ ἕτοιμα* M. *τὰ συνήθη ἤτοι τὰ ἕτοιμα* B. et, omisso *τὰ συνήθη*, I.

11. *τὰ ἁρμόζοντα, τὰ καθήκοντα* om. M.

ib. *ἤτοι* om. M.I. Post *σύμφορα* M. addit *τὰ ἐπιτήδεια, τὰ δέοντα.*

13. *οἷον* om. I.

14. *οἷον οὐ*] *ἀντὶ τοῦ οὐ* B.I.

ib. *πολυτελείας θυσιῶν—ψιλὴν τὴν* M. *πολυτελοῦς θυσίας—ψιλὴν* ceteri.

15. *ἁπαρρησιάστως λέγω* B.

19. *ὑπὸ ... καὶ προπετείας*] *ὑπακουος* (sic fere) *καὶ προπετείας* M. corrupte.

25. *συνέστηκεν* Matth. pro *ἧκεν.*

πόθεν αὐτῇ ἡ φήμη τῆς νόσου τῆς βασιλίσσης εἰσῆλθεν. ἔπειτα δὲ καὶ ζητεῖ τίς ἂν εἴη ἡ πρόφασις τῆς νόσου. Ἄλλως. ὁ νοῦς· πέτρα τις ἐστὶν ὕδωρ Ὠκεάνειον στάζουσα, οὐ διίπετὲς, οὐδὲ ὑέτιον, ἀλλ' αὐτομάτως βλύζον. πᾶν δὲ ὕδωρ ὠκεανὸς λέγεται. Ἄλλως. πέτρα τις λέγεται τοσοῦτον ὕδωρ ἔχουσα πηγαῖον ὥστε βάπτειν ὑδρίαν. 5
Ὠκεανοῦ δὲ, καθὸ γλυκὺ καὶ πότιμον.

Ὠκεανοῦ: Ὠκεανὸς λέγεται εἶναι πατὴρ τῶν ὑδάτων. B.

123. *βαπτὰν κάλπισι*: οἷον ὥστε βαπτίζειν ἐν τῇ εὐύδρῳ πηγῇ τὴν ὑδρίαν, ἢ ὅσον δύναταί τις χαλᾶν τὴν ὑδρίαν γεμίζειν, ἢ τὴν περιρρεομένην ὑπὸ τοῦ ὕδατος πηγήν. Ἄλλως. ὡς "κοτυλήρυτον αἷμα," τὸ τὴν κοτύλην ἀναβάλλαν. ἢ ὅτι περὶ τὴν Τροιζηνίαν τοιαύτη τίς ἐστι πέτρα, ἐξ ἧς τὸ καταφερόμενον ὕδωρ βάπτει τὰς ὑδρίας, ὡς Διονυσόδωρος ἐν τῷ περὶ ποταμῶν φησί. 10

βαπτὰν κάλπισι: ἀντὶ τοῦ δυναμένην βάψαι κάλπιν, καὶ οὐ περαιτέρω. A.B.I. 15

124. *προϊεῖσα κρημνῶν*: πέμπουσα τὸ ὕδωρ διὰ τῶν κρημνῶν. M. ἐκ τοῦ ὕψους αὐτῆς. B. τὸ ὕδωρ κατὰ τῶν κρημνῶν ἐξ ὕψους καταχέουσα.

126. *φάρεα*: ἱμάτια, περιβόλαια. B.

128. *τέγγουσα*: *βρέχουσα, πλύνουσα ἐπὶ τὰ νῶτα τῆς θερμαινομένης τοῦ ἡλίου βολαῖς πέτρας.* 20

1. *τῆς νόσου* add. A.B.M. Fl. 6. 15., om. I.
ib. *εἰσῆλθεν* A.M. *ἦλθεν* B. Fl. 6. 15. 1.
ib. *ἔπειτα*] *ἐπεὶ* Fl. 6. 15.
2. *πρόφασις*] *αὐτῆ* add. Fl. 6. 15.
ib. *Ἄλλως* (*καὶ ἄλλως* M.) *ὁ* A.M. *ὁ δὲ*, omisso *ἄλλως*, B.I.
3. *ὠκεάνειον* A.M. *ὠκεάνιον* B.I. frequenti in libris vitio, de quo dixi in Thesaur. s. h. v.
4. *βλύζον*] *ἀναβλύζον* Fl. 6. 15.
ib. *ὠκεανὸς*] *ὠκεανοῦ* Fl. 6. 15.
ib. *Ἄλλως* addidi ex B. Pro eo lemma *στάζουσα πέτρα* est in A.M.
ib. *πέτρα τις λέγεται* addidi ex A.B.M.
5. *ὑδρίαν*] *ὑδρείαν* M.
6. *Ὠκεανοῦ*] *ὠκεανὸς* M.
8. *ἐν τῇ εὐύδρῳ πηγῇ* B. *ἐν αὐτῇ ἐνύδρῳ πηγῇ* A. Fl. 6. 15. *ἐν τῇ πηγῇ* M. *ἐν τῇ ἀνδρωπηγῇ* I.
9. *τὴν ὑδρίαν*] *τὴν* om. M. *τὰς ὑδρίας* Fl. 15. *ἢ ὅσον—ὑδρίαν* om. I.
10. *περιρρεομένην*] *περιρεομένην* libri.
ib. *Ἄλλως*] *καὶ ἄλλως* M.
ib. *κοτυλήρυτον* (*κοτυλήρρυτον* A.) *αἷμα*] ll. 23, 34.
11. *τὸ τὴν*] *τὴν* om. M.
ib. *περὶ τὴν Τρ.*] *παρὰ τρ.* M.
13. *φησί* A. *ἱστορεῖ* B. *λέγει* I., om. M.
14. *βαπτὰν κάλπισι* lemma est in A., *βυτάν* in I., nullum in B.
ib. *ἀντὶ τοῦ* om. B.I.
ib. *οὐ* add. A. Fl. 15., om. B.I.
20. *τέγγουσα*] *τέγγουσα δὲ ἀντὶ τοῦ* B.
ib. *βρέχουσα—βολαῖς πέτρας* in fine

ὅθι μοι τις ἦν φίλα: ὅπου μοί τις φίλη ἐνέτυχε, ἐνέκειτο. ἀπιθάνως δὲ κεῖται τὸ ἦν. ἔδει γὰρ λέγειν, ἔνθα μοί τις συνέτυχε φίλη. Ἄλλως. ἐνταῦθα μοί τις γυνὴ ἐπελθοῦσα πλῦναι τὰ ἱμάτια, καὶ ταῦτα ἐπὶ τῆς εὐηλίου πέτρας ἐπὶ ξηρασίαν καταβαλοῦσα, ἀκούσασα τῆς βασιλείας τὴν νόσον πρῶτον ἤγγειλεν ἐλθοῦσα. φιλοῦσι γὰρ ἐν ταῖς τοιαύταις συνόδοις ὁμιλίαι περὶ βασιλέων προσεμπίπτειν πρὸς παραμυθίαν τῶν καμάτων. ὥστε οὐκ ἀπεικότως πρὸς πλύνουσαν φίλην πυθέσθαι καὶ εἰπεῖν.

129. εὐαλίου: ἀντὶ τοῦ εὐηλίου πέτρας. M. κατέβαλ': κατα- βαλοῦσα. B. rec. ὅθεν: ἀφ' ἧς. B. φάτις: φήμη. M.

ὅθεν μοι πρώτα φάτις: ὅθεν, ἐκ τῆς φίλης δηλονότι. ὅπου πρῶτον ἔμαθον τὴν Φαίδραν κακουμένην ἔσω τῶν οἴκων ἐπὶ τῆς κλίνης εἶναι, τουτέστι κλινήρη.

131. τειρομέναν: καταπονουμένην ὑπὸ τῆς νόσου. B. Fl. 15.

132. δέμας ἐντὸς ἔχειν: ἐντὸς ἀντὶ τοῦ ἐν τοῖς μυχοῖς τοῦ οἴκου. τοῦτο δὲ, ἐπεὶ καὶ σωφροσύνης ἕνεκα πολλάκις ἀπροϊσία γίνεται. λεπτὰ δὲ φάρεα, λεπτοῖς δὲ φάρεσι κατακαλύπτεται τὴν κεφαλήν. οὐ γὰρ ἀνέχεται βαρύτερα διὰ τὴν προσοῦσαν καῦσιν τῆς νόσου.

135. τριτάταν δέ νιν κλύω: τὸ ἑξῆς· τριτάταν δέ νιν κλύω τάνδε

scholii proximi habet M. cum δέ post νῦτα (quod est etiam in A.) Idem habet gl. βρέχουσα, πλύνουσα.

p. 93. l. 21. τοῦ ἡλίου] ἐν ταῖς τοῦ ἡλίου M.

ib. πέτρας om. A.M.

1. ὅθι μοί τις ἦν φίλα addidi ex A.B.M.

ib. ὅπου μοι τις φίλη iidem. ὅθι μοι φίλη τις I.

3. ἐπελθοῦσα] ἀπελθοῦσα B.M. ἀπελθούσῃ A. Fl.6.15.

4. καταβαλοῦσα Heathius. καταβαλούσῃ A.B.M. καταβαλούσης I.

5. βασιλείας A. βασιλίσσης ceteri.

ib. πρῶτον] α M.

6. βασιλέων προσεμπίπτειν A.B.M. Fl. 6. 15. βασιλεῖς προσπίπτειν I.

11. ὅπου om. I.

13. τουτέστι κλινήρη addidi ex M.

15. δέμας A. δέμας δὲ ceteri.

ib. ἔχειν] ἔχει I.

ib. ἐντὸς ἀντὶ] ἐντὸς om. B.I.

ib. ἀντὶ τοῦ A.B.M. ἀντὶ τοῦ ἔσω τῆς κλίνης I.

16. τοῦτο δὲ A.M. τοῦτο δέ φησιν B.I.

ib. ἀπροϊσία factum, ut ἀπροΐτος apud Suidam, e προΐέναι. MATTH.

17. φάρεα om. A. Novum scholion incipit in B. cum lemmate λεπτὰ δὲ φάρεα.

ib. κατακαλύπτεται] κατακαλύπτεσθαι M.

18. οὐ γὰρ] οὐκ I.

ib. ἀνέχεται] ἐνέχεται I.

ib. προσοῦσαν] παροῦσαν Fl. 15.

ib. καῦσιν om. I.

ib. τῆς νόσου addidi ex B. Fl. 6. 15.

19. δέ νιν] δὲ αὐτὴν M.

ib. τάνδε] ταύτην τὴν Fl. 6. 15.

ἡμέραν κατέχειν ἀγνὸν τὸ στόμα τῆς Δήμητρος ἀκτῆς. εἶεν λειπὸν τρεῖς ἡμέρας ἔχω ἀκούων περὶ αὐτῆς ὅτι ἀσθενεῖ καὶ οὐ μεταλαμβάνει βράσεως ἐν τῷ στόματι αὐτῆς. τὸ δὲ "κρυπτῷ πέσει" ἀντὶ τοῦ ἐπὶ ἀδήλῳ συμφορᾷ καὶ μὴ ἐκφαινομένῃ πρὸς τὸ τέλος τοῦ θανάτου φέρεται, ἀντὶ τοῦ ὑπὸ τῆς ἀλγηδόνος καὶ τῆς νόσου τῆς κρυπτῆς μέλλει ἀποθνήσκειν. θαυμασίως δὲ ὁ Εὐριπίδης περὶ Ὀρέστου νοσοῦντός φησιν "εὖτε σῖτα διὰ δέρης ἐδέξατο," ὡς βουλομένου μὲν φαγεῖν, μὴ δυναμένου δὲ καταπιεῖν ὑπ' ἀσθενείας, περὶ δὲ Φαίδρας, ἀσιτεῖν βουλομένης εἰς θάνατον, τὸ σύνολον αὐτὴν μὴ δέχεσθαι εἰς τὸ στόμα τροφήν.

138. δέμας ἀγνὸν ἴσχειν: περιφραστικῶς τὸ στόμα, ἥγουν μὴ ἐσθίειν. A. Δάματρος ἀκτᾶς: τροφῆς τῆς γῆς. A. ἐκ τοῦ καταθλᾶσθαι ἀκτῆς τῆς τροφῆς τοῦ σίτου, ὅ ἐστι ὦρον τῆς Δήμητρος, ἥγουν τῆς γῆς. B. λέγει δὲ τὴν οἰονεὶ ἀγὴν καὶ κλάσιν τοῦ σίτου διὰ τὸ κατάγνυσθαι ἐν τῇ ἅλωνι, τῷ μύλωνι θραύεσθαι. B.I. στόματος δέμας: κατὰ περίφρασιν, τὸ στόμα, ὡς δέμας πυρὸς, ἥγουν τὸ πῦρ. Fl. 15. ἁγνόν: ἀμέτοχον. B. ἄθικτον. "ἁγνὴ γάρ εἰμι" Μένανδρος. Fl. 15. ἴσχειν: ἔχειν. B. κωλύειν. Fl. 15.

140. κέλσαι ποτὶ τέρμα: ἐπὶ ἀδήλῳ συμφορᾷ καὶ μὴ ἐμφαινομένῃ, πρὸς τὸ τέρμα τοῦ θανάτου κέλσαι καὶ προσπελάσαι θέλει. εἶεν ἀκούω αὐτὴν ἀσιτεῖν καὶ ἀποθανεῖν σπουδάζουσαν διὰ μετάστασιν βίου. B.I.

ποτὶ τέρμα: ἤτοι δύστηνον τέρμα, ἢ αὐτὴν τὴν δύστηνον. A.B.I. Fl. 15.

1. ἁγνὸν om. M.
ib. ἀκτῆς (a m. rec. suppletum in A.) A.B.M. αὐτῆς I.
4. ἐκφαινομένῃ] εἰφραινομένῃ A.M. Fort. ἐμφαινομένῃ ex schol. v. 140.
5. φέρεται om. A.M.
6. περὶ (sic M.: ἐπὶ ceteri) Ὀρέστου νοσοῦντος addita ex A.B.M.
7. φησιν] Or. 41.
ib. βουλομένου om. M.
8. μὴ δυναμένου δὲ καταπιεῖν] καταπιεῖν δὲ μὴ δυναμένου M.
9. ἀσιτεῖν A.B.M. αὐτῆς I.
ib. εἰς om. I.
11. Verba περιφραστικῶς μὴ ἐσθίειν τροφῆς τῆς γῆς sunt in B.I., in B. sine lemmate.
14. οἰονεὶ Barnes. οἳ B. οἷον I.
15. ἐν τῇ ἅλωνι (debebat ἅλωνι) B. ἐν ἅλονι I.
ib. ἢ τῷ B. ἐν τῷ I.
ib. μύλωνι] μιλῶνι B. μίλωνι I.
16. κατὰ περίφρασιν] Inepte in hoc scholio, ut in superiore, στόματος cum δέμας conjunctum esse dicitur.
17. Μένανδρος] Fragmentum aliunde non cognitum.
20. καὶ om. I.
23. ἤτοι] πρὸς praemittit B., glossema ad ποτί.
ib. δύστηνον B. et (qui ἢ τὸ δύστηνον) Fl. 15. δύστανον A.I.
ib. αὐτὴν τὴν] τὴν om. I.

141. *σὺ γὰρ ἔνθεος ὦ κούρα*: *ἀπέτεινε λοιπὸν τὸν λόγον πρὸς τὴν Φαίδραν, τῆς νόσου αὐτῆς τὴν πρόφασιν ζητοῦσα, αἰτίους τοὺς δαίμονας προθεμένη. ἐνίοτε γὰρ ἐδόκει μαίνεσθαι ἐκ τῆς ὑπερβολῆς τοῦ ἔρωτος.* B.M.I. *μὴ καθεστάναι δοκοῦντα ῥήματα φθεγγομένη, οἵανπερ αὐτὴν εἰσάγει καὶ κυνηγεσίων ἐρῶσαν, καὶ δι' αἰνιγμάτων τὰ τοῦ ἔρωτος φράζειν, δοκοῦσαν μαίνεσθαι. Ἄλλως. ἐμάνης ἐν σεαυτῇ μανιῶδές τι ἔχουσα. τὸ δὲ ἐξῆς, ἔνθεος φοιτᾷς, ὥστε εἶναι τὸ ἐξῆς τῆς διανοίας οὕτως· σὺ γάρ, ὦ κόρη Φαίδρα, ἔνθεος καὶ ἐμμανὴς φοιτᾷς καὶ ἐνθουσιᾷς, ἔκ τινος θεῶν τοῦτο παθοῦσα. καὶ ἀπορούσῃ εἰπέ μοι, ἐκ Πανὸς σὺ ἐμάνης, εἴτε ἐκ τῆς Ἥρας, ἢ Κορυβάντων τοῦτο νοσεῖς; λέγειν οὐκ ἔχω καὶ εἴ τι τούτων ἁμαρτήσασα τὴν ὀρείαν καὶ μανίας αἰτίαν.* B.I. Fl. 6.

ἔνθεος: ἔνθεοι λέγονται οἱ ὑπὸ φάσματός τινος ἀφαιρεθέντες τὸν νοῦν, καὶ ὑπ' ἐκείνου τοῦ θεοῦ τοῦ φασματοποιοῦ κατεχόμενοι καὶ τὰ δοκοῦντα ἐκείνῳ ποιοῦντες. B.I. *ἔνθεος: μανική.* Fl. 15. *ὦ κούρα: γρ. φοιτᾶς. ὦ νέα Φαίδρα. τὸ δὲ ἔνθεος ἀντὶ τοῦ ἐμμανὴς ἐκ τῆς Ἑκάτης. σὺ γάρ νιν ἔνθεος φοιτᾷς.* M. Fl. 15.

142. *εἴτ' ἐκ Πανός: πόθεν λέγειν οὐκ ἂν δυναίμην. ὁ ει ἀντὶ τοῦ ἢ καὶ ὁ τε παρέλκει. τὸ δὲ φοιτᾷς ἀντὶ τοῦ μαίνῃ.* A.B.M.

Ἑκάτας: Ἑκάτην λέγουσι καὶ ἰδικήν τινα θεὸν καὶ τὴν Ἄρτεμιν καὶ τὴν Σελήνην. B.

143. *σεμνῶν Κορυβάντων: ἀντὶ τοῦ τιμίων.* M. *Κορύβαντες μανίας αἴτιοι· ἔνθεν καὶ κορυβαντιᾶν.* A.B.M. *τιμίων. τῇ Ῥέᾳ ἑπακολουθοῦντες μετὰ ἤχου καὶ μανίας.* B.

144. *ματρός: τῆς Ῥέας τῆς ἐν τοῖς ὄρεσι διατριβούσης.* A.B. M. Fl. 15.

1. *ἀπέτεινε—Φαίδραν* habet A., reliqua scholii parte omissa. *τὸν* om. I.
2. *αὐτῆς* add. B.M. Fl. 6., om. I.
ib. *ζητοῦσα—τοῦ ἔρωτος* M. *ἐπιζητῶν ἐκ τοῦ τῆς μανίας αἴτιον* (*αἰτίου* B. Fl. 6.) *προσθέμενος δαίμονα* etc. *δοκεῖ γὰρ καὶ μαίνεσθαι ἐνίοτε τῇ ὑπερβολῇ τοῦ ἔρωτος* B.I.
7. *τὸ δὲ*] *δὲ* om. I.
10. *εἴτε*] *ἢ καὶ* I.
ib. *Ἥρας*] Immo *Ἑκάτης*. MATTH.
11. *λέγειν οὐκ ἔχω* om. I.
14. *φασματοποιοῦ* B. *φάσματος* I.
16. *ἀντὶ τοῦ* et *ἐκ τῆς Ἑκάτης* om. M. postrema *σὺ γάρ νιν ἔνθεος φοιτᾷς*, om. Fl. 15.
18. *πόθεν*] *πόθεν δὲ* M. Lemma om. B.M.
19. *τὸ δὲ φοιτᾷς* B.M. *καὶ τὸ φοιτᾷς* A.
23. *ἔνθεν καὶ*] *ἔνθεν* om. B. *ἐξ οὗ καὶ* A.
25. *τῆς Ῥ.*] *ἤγουν τῆς ῥ.* Fl. 15.
ib. *τοῖς ὄρεσι* M. *τοῖς ὄρεσε* A.B. *τῷ ὄρει* Fl. 15.

146. Δίκτυναν ἀμπλακίαις: τὴν Δίκτυναν νῦν διέκρινε τῆς Ἑκάτης ἐνίων τὴν αὐτὴν εἶναι φασκόντων. τινὲς δὲ Δίκτυναν τὴν Ἄρτεμιν ἀπὸ τῆς κυνηγοῦ νύμφης. τῆς ἐμπεσούσης εἰς δίκτυα. Βριτομάρτιδος φευγούσης τὸν Μίνωα. παρὰ δὲ Καλλιμάχῳ ἐν Ἀρτέμιδος ὕμνῳ ἡ ἱστορία. τινὲς δὲ τὴν αὐτὴν εἶναι τῇ Ἑκάτῃ, περὶ ἧς φησιν Ἡσίοδος "μοῖραν ἔχει γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης."

σὺ δ' ἀμφὶ τὰν πολύθηρον Δίκτυναν: σὺ δὲ μὴ θύσασα τῇ Ἀρτέμιδι τρίχχ, ἢ τῇ Ἑκάτῃ, ὅτι οὐκ ἐτέλεσας θυσίαν. πέλανοι δὲ τὰ εἰς θυσίαν πέμματα. Ἄλλως. τὸ ἑξῆς· σὺ δὲ ἀμπλακίαις τρίχχ, ἀμεταθετος οὖσα ἀθύτων πελάνων περὶ τὴν Δίκτυναν (λείπει γὰρ τὸ οὖσα), τουτέστι τῶν μὴ τεθυμένων πελάνων ἐκτὸς μείνασα, καὶ μὴ ἀνιερώσασα ἑαυτὴν διὰ τῶν θυμάτων τῇ θεᾷ καταπονῇ. πελάνων δὲ τῶν πλακούντων καὶ πεμμάτων τῶν ἐπιθυμιένων.

ἀμπλακίαις: ἀποτυχίαις, ἁμαρτίαις. B. rec.

148. φοιτᾷ: φοιτῶσι γὰρ οἱ θεοὶ πανταχοῦ τοὺς ἀτιμάζοντας τιμωρούμενοι. B.M.

150. νοτίαις: διύγροις. A. ταῖς ὑγραῖς. Fl. 15. ἅλμας: θαλάσσης. Id.

151. ἢ πόσιν τὸν Ἐρεχθειδᾶν: στοχαστικὸν τὸ ἦθος. ἢ, φησὶν,

1. τὴν (τὴν om. A.) Δίκτυναν (δικτυναν M. hic et infra) νῦν διέκρινε τῆς ἑκάτης add. A.B.M. Fl. 6. 15., om. I. Comparandum cum his scholion ad v. 1130.

2. εἶναι] γῆν A.

3. ἀπὸ] ἢ τὸ A.

ib. νύμφης τῆς] τῆς om. I.

4. Βριτομάρτιδος (βροτ—A.) φευγούσης τὸν Μίνωα] κριτομάρτιδος φαγούσης τὸν μίνωα (sic) I.

ib. ἐν Ἀρτέμιδος (Ἀρτέμιδος om. A.M.) ὕμνῳ] V. 190.

5. δὲ om. M.

6. Ἡσίοδος] Theog. 413. τε om. I.

7. σὺ δ' ἀμφὶ τὸν πολύθηρον lemma est in A.M. In B.I. ὁ δὲ νοῦς.

8. ἢ τῇ Ἑκάτῃ ὅτι A.M. ἢ διότι τῇ ἑκάτῃ B.I.

ib. Post θυσίαν A. et Flor. 6. 15. Addunt: σὺ μὲν δὴ, φησὶ, διὰ τοῦτο τρίχχ, διότι τῇ ἑκάτῃ οὐκ ἐτέλεσας θυσίαν.

ib. πέλανοι (πέλανοὶ B. et mox πελανῶν)—πέμματα om. A.M.

9. Ἄλλως om. A.M. qui habent τὸ δὲ ἑξῆς. τὸ ἑξῆς (sic. Fl. 15.)—ταυτέστι om. B.I.

12. Post μείνασα Fl. 15. pergit ἑαυτὴν διὰ τῶν θυμάτων καταπορεῖ. Praeterea in Flor. 15. et 6. eadem leguntur quae hic, nisi quod in fine habent: πελάνων δὲ τῶν πλακουντωδῶν πεμμάτων τῶν ἐπιθυμιένων. πέμματα δὲ τὰ πλακούντια ἀπὸ τοῦ πέττω τὸ ζυμῶ. MAITH.

ib. καὶ μὴ om. M., μὴ om. A.

ib. ἀνιερώσασα] ἀνιερῶσα A.

ib. τῇ θεᾷ om. A.M.

καταπονῇ A.M. τρίχχ B I. Reliqua om. A.M.

13. πεμμάτων B. πελάνων I.

15. φοιτῶσι γὰρ οἱ] φοιτῶσιν οἱ M.

19. στ. τὸ ἦθος om. M.

εἰς οὐδένα τῶν θεῶν ἥμαρτες, ἀλλὰ ἔρωτα νοσεῖς τινός σε μειχευομένου, καὶ τὸν ἄνδρα σου τὸν Ἀθηναίων βασιλέα βουκολεῖς καὶ ἀπατᾷς ἐπὶ τῶν σῶν λεχέων κρυπτῇ χρωμένη κοίτῃ. δύναται δὲ καὶ ἀντεστραμμένος ὁ λόγος εἶναι· ἢ τὶς γυνὴ ἀπατᾷ σου τὸν ἄνδρα τῷ ἔρωτι τῷ αὐτῆς λάθρα χρώμενον, καὶ ἐκ τῆς ζηλοτυπίας εἰς νόσον καὶ μανίαν κατήχθης. Ἄλλως. ἢ, φησὶν, εἰς οὐδένα τῶν θεῶν ἥμαρτες, ἀλλὰ τάχα τὸ δεινὸν ἔρως ἐστὶ καὶ μειχεία ἑτέρου, φόβῳ δὲ τοῦ ἀνδρὸς καὶ ἔρωτι τοῦ μειχοῦ κατεχομένη ἀγωνιᾷς. δύναται δὲ καὶ ὡς τοῦ Θησέως ἔχοντος ἑτέραν γυναῖκα ὁ λόγος τάττεσθαι· ἢ τις γυνὴ ἀπατᾷ σου τὸν ἄνδρα τῇ ἑαυτῆς λαθραίᾳ συνουσίᾳ, σὺ δὲ ἐκ τῆς ζηλοτυπίας εἰς νόσον καὶ μανίαν κατέστης. ἀγνοεῖ γὰρ ὁ χορὸς ἔκδημον ὄντα τὸν Θησέα, ὅπου γε καὶ ἐν τοῖς ἑξῆς φησιν "ὁ δ' εἰς πρόσωπον οὐ τεκμαίρεται βλέπων." εἶτα ἡ τροφὸς "ἔκδημος ὢν γὰρ τῇδε τυγχάνει χθονός." ἀγνοῶν γὰρ καὶ αὐτὸν ἐνόμιζε παρόντα συνορᾶν τὰ γινόμενα.

153. ποιμαίνει: ἀποβουκολεῖ. B. ὡς πρόβατον ἀποβουκολεῖ. Fl. 15. τις: γυνή. οὖσα αὐτοῦ. B.

154. λεχέων σῶν: διὰ τῶν. Fl. 2. ἀπό. B.

155. ἢ ναυβάτας: ἕτερος λογισμὸς νόσου. ἢ τάχα τις ναύτης ἐκ Κρήτης ὁρμήσας εἰς Τροιζῆνα φήμην πένθους τῶν οἰκείων ἀπήγγειλεν αὐτῇ. Ἄλλως. τάχα τις ἦλθεν ἐκ τῆς πατρίδος αὐτῆς λυπηρὰν φήμην κομίζων, καὶ ἐκ τούτων τῶν παθῶν τῶν ἠγγελμένων, καὶ τῇ ὑπὲρ τῶν παθῶν εὐναίᾳ λύπῃ δέδεται τὴν ψυχήν, ὡς καὶ εἰς τηλικαύτην νόσον ἀποσκῆψαι τῆς λύπης. εὐναίᾳ δὲ λύπῃ τῇ εἰς εὐνὴν κατακλινούσῃ διὰ τῆς νόσου. τουτέστιν, οὕτω συνδέδεται ἡ Φαίδρα τῇ εὐναίᾳ λύπῃ, ὡς ὑπερβαλεῖν ἅπαν πάθος. γράφεται δὲ καὶ πρὸς εὐθεῖαν, ὑπὸ τῆς λύπης εὐναία ἡ Φαίδρα δέδεται τὴν ψυχήν.

1. ἥμαρτες] οὐκ ἥμαρτες I. et mox σου καὶ τόν.
1.—7. ἀλλὰ ἔρωτα—θεῶν ἥμαρτες om. A.M.: habent B.I. Fl. 6. 15.
2. ἀπατᾷς B. Fl. 6. 15. ἐξαπατᾷς I.
3. χρωμένη] χρωμένους I.
5. λάθρα om. I.
ib. χρώμενον] χρωμένην I.
7. ἑτέρου] ἑταίρου A.
8. δύναται δὲ] δὲ om. I.
9. ὁ λόγος] ἑτέρως I.
11. καὶ μανίαν om. M.
12. φησιν] V. 280.
13. ὢν γὰρ] ἄν γε M. ὁ δὲ A. ὄγε I.
14. γὰρ καὶ] οὖν M. γὰρ om. A.
20. Τροιζῆνα] Τραίζηνα B.M. ut supra saepe in M.
22 τούτων M. τούτων δὲ A.B.I.
23. τῶν παθῶν] τῶν om. I.
ib. ὡς καὶ—τὴν ψυχήν om. A.M: sed habent similia ad v. 159.
24. τῆς λύπης] τῇ λύπῃ Matth.

156. Κρήτας: ἐπί. B.

157. λιμένα: τὸν Τροιζήνιον. Fl. 15. Μουνύχιον. B. εὐξεινότατον: τὸν καλῶς ὑποδεχόμενον τοὺς ναύτας λιμένα. A.B. Fl. 15.

158. φήμαν: τὴν περὶ τῶν γονέων. Fl. 15.

159. ὑπὲρ παθέων: ὅ ἐστι διὰ τὰ πάθη συνδέδεται αὐτῆς ἡ ψυχὴ τῇ εὐναίᾳ λύπῃ, ἀντὶ τοῦ εἰς εὐνὴν αὐτῇ κατακλινούσῃ· ἢ αὐτὴ Φαίδρα εὐναία δέδεται τὴν ψυχήν, τουτέστιν, οὕτως συνδέδεται ἡ ψυχὴ τῇ εὐναίᾳ λύπῃ ὑπερβαλλούσῃ πᾶν πάθος. A.M.

160. ψυχά: ἡ δὲ ψυχὴ αὐτῆς ἢ διὰ τὰ πάθη, ἢ διὰ τὴν λύπην δεδεμένη ἐστίν. A.B. Fl. 15.

161. φιλεῖ δὲ τᾷ δυστρόπῳ: ἀντὶ τοῦ κακοτρόπῳ. καθολικῶς δὲ τοῦτο λέγει. εἰώθασιν αἱ γυναῖκες, ὅταν ἐγγὺς τῶν ὠδίνων γένωνται, δυσχερεῖ τροφῇ χρῆσθαι, καθὸ καὶ δύστροπον αὐτῶν τὸ πνεῦμα τῶν ὠδίνων. A.B.M.I. Ἄλλως. πρὸς ἀνακεφαλαίωσιν τῶν εἰρημένων στοχασμῶν ἐπάγει τὸ γνωμικὸν, τῆς γυναικείας φύσεως διαφόρους αἰτίας βεβαιοῦν. τὸ δὲ φιλεῖ τέτακται ἀντὶ τοῦ εἴωθε, πέφυκεν. πέφυκε τὸ δυστυχὲς τῆς γυναικείας φύσεως διαφόρους ἀμηχανιῶν ἐπάγειν αἰτίας, ποτὲ μὲν δι' ὠδίνων πόνους, ποτὲ δὲ διὰ πορνείαν, ἤτοι αὐτῶν μοιχευομένων, καὶ ἐπὶ τῇ ἁλώσει ἀπορουσῶν, ἢ τῶν ἀνδρῶν πρὸς ἄλλας ἐχόντων καὶ ἐπὶ τούτων ἀπορουσῶν τῇ ζηλοτυπίᾳ. B.I.

Ἄλλως. μὴ ἆρα ἐν γαστρὶ ἔχει ἡ Φαίδρα, καὶ διὰ τοῦτο ἄσιτός ἐστι. φιλεῖ γὰρ ὁ τοῦ ἐγκυμονεῖν καιρὸς δυστροπίαν ταῖς γυναιξὶν

3. τοὺς ναύτας] τὰς ναῦς, omisso λιμένα, Fl. 15.
9. ἡ δὲ] δὲ om. Fl. 15.
ib. τὰ πάθη—λύπην] τὸ πάθος—δίκην Fl. 15.
10. ἐστίν] ἦν Fl. 15.
11. τᾷ δυστρόπῳ—κακοτρόπῳ addidi ex A. In M. et Fl. 15. est φιλεῖ δὲ τὰ (τὰ etiam A.) δύστροπα ἀντὶ τοῦ κακότροπα (κακοτρόπῳ Fl. 15.)
12. δὲ add. A.M. Fl. 15.
ib. λέγει] λέγειν I.
ib. εἰώθασιν αἱ γυναῖκες] τῇ τῶν γυναικῶν ἁρμογῇ πρὸς ἄνδρα (ἄνδρας A.) κακῶς συνοικεῖν A.M. Fl. 15.
ib. ὅτε γὰρ M. ὅτε, omisso γάρ, B.I. ὅταν, omisso γάρ, A. Fl. 15.
ib. ἐγγὺς] ἐγὼ Fl. 15.
ib. τῶν ὠδίνων A.M. Fl. 15. τοῦ τεκεῖν B.I.
13. γένωνται] γένηται A.M. Fl. 15.
ib. χρῆσθαι] κεχρῆσθαι A.M. Fl. 15. Post κεχρῆσθαι M. addit εἴωθεν. Sequentia καθὸ—ὠδίνων om. A.M.
15. στοχασμῶν B. στοχασμὸν I.
16. αἰτίας βεβαιοῦν usque ad διαφόρους e Flor. 6. addidi MATTH. Habet etiam B.
18. δι' ὠδίνων πόνους, ποτὲ δὲ B. Fl. 6. δι' ὠδίνων πόνων, ποτὲ μὲν I.

ἐργάζεσθαι καὶ ἀποτριπὴν τῶν σιτίων. ἀφροσύνας δὲ παραφρισύνας, ἀνοίας, ἐξ οὗ πορνείας. ἄλλει δὲ γράφουσι δυσφροσύνας, ὅ ἐστι κακοχυμίας τῶν τοκετῶν. θέλει δὲ λέγειν τὴν κατὰ τὰς ἀλγηδόνας γινομένην ἔκπληξιν ἐκ τῶν ὠδίνων. λείπει δὲ τὸ ἔνεκεν. B.I.

Οἶον, ἆρά γε ἐν γαστρὶ ἔχει ἡ Φαίδρα. καὶ διὰ τοῦτο ἄσιτός ἐστι; φιλεῖ γὰρ ταῖς γυναιξὶν ἡ τοιαύτη κατάστασις, ὅτε ἐγκυμονοῦσι, δυστροπίαν ἐργάζεσθαι καὶ ἀποτριπὴν τῶν σιτίων καὶ ἐκ τούτου συμβαίνειν κάκωσιν. λιπὼν δὲ πρὸς ἀνακεφαλαίωσιν τῶν εἰρημένων στοχασμῶν γνωμικὸν ἐπιφέρει λέγων οὕτως· τὸ δυστυχὲς γὰρ τῶν γυναικῶν τῆς φύσεως εἴωθε διαφόρους ἀμηχανιῶν ἐπάγειν αἰτίας, ποτὲ μὲν δι' ὠδίνων πόνους, ποτὲ δὲ διὰ πορνείας, ἤτοι αὐτῶν μοιχευομένων καὶ ἐπὶ τῇ ἁλώσει ἀπορουσῶν, ἢ τῶν ἀνδρῶν ἄλλας περιπτυσσομένων, καὶ ἐπὶ τοῦτο ζηλοτυπουσῶν. A.M. τοῦτό ἐστι πρὸς τὸ "ἢ πόσιν τὸν Ἐρεχθειδᾶν ἀρχηγόν." εἶπε γὰρ ἐκεῖ ὅτι ἡ διὰ τοῦτο νοσεῖ ὡς μοιχευομένη καὶ τῷ φίλτρῳ στενοχωρουμένη μὴ φωραθῇ. ὡς οὖν πρὸς τοῦτο ἐπάγει ὅτι τῇ κακοτρόπῳ καὶ δολερᾷ τῶν γυναικῶν ἁρμογῇ κακῇ, ὅ ἐστι τῇ κρυφαίᾳ μίξει, εἴωθε συνεῖναι ἀμηχανία τις δυστυχεστάτη ἕνεκα τῶν ὠδίνων καὶ τῆς ἀφροσύνης. αἱ γὰρ κεκρυμμένως ἁρμοζόμεναι καὶ μοιχευόμεναι, ὅταν ἐγκυμονήσωσι, τὰς ὠδῖνας ἐννοήσασαι καὶ τὰς ἀφροσύνας αὐτῶν ἀμηχανοῦσι καὶ οὐκ ἔχουσι τί ὀρᾶσαι. εἶτα ἐπεὶ ὠδίνων ἐμνημόνευσε πρὸς αὐτό φησιν ὅτι καὶ ἐγώ ποτε ὠδινήσασα κακῶς εἶχον καὶ παρεκάλουν τὴν Ἄρτεμιν. A.

161. δυστρόπῳ: δυσχερεῖ. A. δυσκόλῳ, κακοτρόπῳ. B.

162. ἁρμονίᾳ: τῇ κρυφαίᾳ μίξει. A. φύσει. Fl. 15. κάκωσις. τῇ πρὸς ἄνδρας ἁρμογῇ καὶ συνουσίᾳ. A.B.M. Fl. 15.

163. συνοικεῖν: συνεῖναι. B. Fl. 15.

1. ἀφροσύνας B. εὐφροσύνας I.

4. λείπει] λεῖ B.

ib. ἔνεκεν] ἕνεκ-ει Fl. 6. Pars hujus scholii est in A. sic scripta, λείπει τὸ ἕνεκ' ἀφροσύνης ἢ τῆς αὐτῶν πορνείας, ἢ τῆς τῶν ἀνδρῶν ἀκρασίας. τινὲς γράφουσι—τοκετῶν.

5. ἆρά γε] μὴ ἆρα A.

6. φιλεῖ—ἐργάζεσθαι] φιλεῖ γὰρ τῶν γυναικῶν τοιαύτη κατάστασις τὸ ἐγκυμονεῖν δυστροπίαν ἐργάζεσθαι A.

8. κάκωσιν] ἡ κάκωσις A.

11. πορνείας] πορνείαν A.

13. καὶ ἐπὶ τοῦτο (corrige ταύτῃ) ζηλοτυποῦσῶν M. ἢ ἐπὶ τοῦτο ἀπορῶσι τὴν ζητοτυπίαν A. Conf. p. 99, 20.

24. κάκωσις] Separatum gl. in Fl. 15. ad κακά. In B. κάκωσις γὰρ τῇ—.

25. ἄνδρας] τοὺς ἄνδρας Fl. 15.

ib. ἁρμογῇ ante πρὸς M.

ib. συνουσίᾳ] συζυγίᾳ Fl. 15.

165. ἦξέν ποτε νηδύος: τὸ πνεῦμα, φησὶ, τῶν ὠδίνων καὶ ἡ αὔρα αὕτη ὥρμησεν ποτὲ διὰ τῆς ἐμῆς γαστρὸς, τουτέστι, καὶ αὐτή ποτε ὠδίνων πεῖραν ἔσχεν, καὶ ἔπαθον τοῦτο. ἐγενόμην, φησὶ, κἀγώ ποτε ἐν ἀμηχανίᾳ. B.I. ἄδ' αὔρα: ἡ διάθεσις τοῦ σώματος. Fl. 2.

172. τήνδε κομίζουσ': τοῦτο σεσημείωται τῷ Ἀριστοφάνει, ὅτι καίτοι τῷ ἐκκυκλήματι χρώμενος τὸ ἐκκομίζουσα προσέθηκε περισσῶς. A.M. τοῦτο σεσημείωκεν Ἀριστοφάνης, ὅτι κατὰ τὸ ἀκριβὲς τὸ ἔγκλημα τοιοῦτόν ἐστι τῇ ὑποθέσει. ἐπὶ γὰρ τῆς σκηνῆς δείκνυται τὰ ἔνδον πραττόμενα, ὁ δὲ ἔξω προϊεῖσαν αὐτὴν ὑποτίθεται. B.I.

174. τί ποτ' ἔστι μαθεῖν: τί ποτ' ἐστὶ τὸ συμβὰν ἡ ψυχή μου μαθεῖν ἐρᾷ καὶ τί ἔβλαψε τὸ σῶμα τῆς βασιλείας τὸ ὑπὸ τῆς νόσου ἀλλόχροον γενόμενον. A.M.

178. τί σ' ἐγὼ δράσω: τὸ ἦθος ἀπειρηκυίας τῆς θεραπείας, ὥστε κοινῇ τὸν βίον βλασφημεῖν προάγεσθαι. διὸ καὶ τὸ γνωμικὸν ἐπεισάγεται, ὅπερ σύνηθες τοῖς δυστυχοῦσιν. A.B.M.I. ἐκκομίσασα δὲ αὐτὴν πρὸ τῆς σκηνῆς, καὶ πάλιν ὁρῶσα αὐτὴν ἀχθομένην ἐπὶ τῇ ἐξόδῳ, τὰ τοιαῦτα λέγει. B.I. Fl. 6.

179. τόδε σοι φέγγος: δεικτικὸν ἅμα καὶ ἀναφορικόν. ἰδοὺ γὰρ, ὥρα, φησὶν, ἅπερ ἐκ πολλοῦ ἐπεθύμεις ἰδεῖν· ἤδη δέ σοι καὶ τὰ στρώματα τῆς κοίτης ἔξω τῶν οἴκων ἐστὶ, καὶ, καθὼς ἐπεθύμεις, ἡ ἀνάκλισις ὑπαίθριός σοι παρεσκεύασται. καὶ γὰρ ἐνταῦθα ἐλθεῖν πᾶς

1. τὸ πνεῦμα—] Simile scholion in A. διὰ ἐμῆς γαστρὸς ὥρμησέ ποτε ἡ αὔρα αὐτὴ καὶ τὸ πνεῦμα τῶν ὠδίνων καὶ τὴν λοχείαν ἄρτεμις ἐκάλουν, ἢ ἀεί μοι ἐπὶ τῶν τόκων ζῇτ' (sic fere) σὺν τοῖς ἄλλοις θεοῖς ἐπεύχεται. In B. ad αὐτευν hoc scholion est defectum, ἐφώνουν. λέγουσι τὴν ἄρτεμιν εἶναι ἐπὶ τῶν λοχείων. διὸ καὶ ὅταν ἀ. . . . γυναῖκά τινα τοξευθῆναι ὑπ' αὐτῆς σημαινόμε ... ὅτι ταύτης ὀργισθείσης ἐν τῷ τόκῳ ἀπέθανεν.

6. ἐκκυκλήματι Cobetus. ἐγκυκλήματι A.M.

13. τῆς θεραπείας] τῆς θεραπαίνης Cobetus. θεραπ M. et fortasse A. τῇ θεραπείᾳ Matth.

ib. ὥστε] ὡς τὸ A. om. M.

14. προάγεσθαι] προαγαγέσθαι A.

ib. τὸ γ.] τὸ om. I.

ib. ἐπεισάγεται] κατεπάγεται A.

15. σύνηθες] ἐστι add. A.

ib. δυστυχοῦσιν] ἐπί τισιν add. B.I.

16. πάλιν] πάλειν I.

18. δεικτικὸν—ἀναφορικόν M. δεικτικῶς—ἀναφορικῶς ceteri. Post ἀναφορικῶς I. pergit λέγει. ἤδη σοι τὰ δέμνια τῆς κοίτης ἔξω τῶν οἴκων εἰσίν. εἰ δὲ καὶ καθὼς etc.

ib. γὰρ add. A.M., om. B.

19. ὥρα M. ὅρα A.B.

ib. ἅπερ] ἃ A.

ib. ἰδεῖν add. A.M., om. B.

ib. ἤδη] ἴδε M.

20. ἡ ἀ. A.M. ἡ om. B.I.

21. ὑ. σοι A.M. et (qui ὕπαιθρος) Fl. 6. 15. σοι ὑ. B.I.

ib. παρεσκεύασται] κατεσκεύασται

λόγος ἦν σοι, καὶ οὐ διέλιπες λέγουσα προελθεῖν ἔξω τοῦ οἴκου. οἶδα μέντοι τοῦτο, ὅτι ταχέως σπεύσεις πάλιν εἰς τοὺς οἴκους γενέσθαι, καὶ δίδωσί μοι τοῦτο ἐντεῦθεν στοχάζεσθαι τὸ παλίμβολον σου καὶ δυσάρεστον τῆς νόσου.

183. τάχα δ' ἐς θαλάμους: ταχέως δὲ πάλιν εἰς τὸν θάλαμον ἐπέλθῃς. A.

188. τὸ μέν ἐστιν ἁπλοῦν: ἤγουν τὸ νοσεῖν, βέλτιον δὲ τὸ συντόμως κακοῦσθαι ἢ κακουμένης ἀνέχεσθαι· τὸ γὰρ νοσεῖν ἁπλοῦν ἐστι, τὸ δὲ θεραπεύειν τινὰ διπλοῦν. ἐν ταὐτῷ γάρ τις καὶ τῇ λύπῃ ἀνιᾶται διὰ τὸν κακούμενον, καὶ κάμνει περὶ αὐτὸν ἀτυχῶν καὶ ἐνεργῶν ἐν τῷ ὑπηρετεῖν.

συνάπτει: τῷ νοσοκομοῦντι συνάπτεται καὶ συγγίνεται. A.B. Fl. 15.

192. ἀλλ' ὅτι τοῦ ζῆν: ὁ νοῦς, ἐγὼ, φησὶ, προκρίνω μᾶλλον τὰ καθ' Ἅιδου, καὶ πᾶς ἄνθρωπος ἔκρινεν ἂν οὕτως, εἰ κἀκεῖα ὁρῶν συνέκρινε τοῖς ἐνθάδε. νυνὶ δ' ἐπεὶ τόδε μὲν τῷ ἰδίῳ φωτὶ θέλγει τὴν θέαν, ἐκεῖνα δὲ κεκαλυμμένον ταῖς μυθοποιΐαις φοβερὸν εἶναι μυθεύεται, τούτου χάριν δυσέρωτες μὲν αὐτοῦ ὑπάρχομεν, σφοδρῶς δὲ ἐρῶντες τούτου, ὅπερ ἐστὶν ἄρα τοῦτο τὸ λαμπρόν. τοῦτο δέ φησι, παρόσον διάφορος δόξα κρατεῖ παρὰ φιλοσόφοις περὶ τῆς τοῦ ἡλίου

A. Fl. 6. 15. Proximis in A.M. praefixum δεῖρο γὰρ ἐλθεῖν πᾶν ἔπος.

1. προελθεῖν A.M. ἐθέλειν προελθεῖν B.I.

ib. τοῦ οἴκου om. B.I. τῶν οἴκων Fl. 6. 15.

2. σπεύσεις] σπεύδεις I.

3. δίδωσι] δίδως Heathius.

ib. τοῦτο om. I.

ib. παλίμβολον A. Fl. 6. 15. παλίμβουλον B.M.I.

7. βέλτιον—ἀνέχεσθαι] Haec verba hoc loco habent A.M.: infra post ὑπηρετεῖν B.I. sic scripta, βέλτιον οὖν συντόμως—κακουμένου ἀνέχεσθαι.

ib. δὲ] δέ ἐστιν M.

ib. τὸ συντόμως M. τὸ om. A.

8. τὸ—ἁπλοῦν ἐστι om. B.I.

9. ταὐτῷ] αὐτῷ I.

10. ἀτυχῶν καὶ ἐνεργῶν] ἐνεργῶν καὶ ἀτυχῶν M.

12. καὶ συγγίνεται om. B. Fl. 15.

14. ὁ νοῦς, ἐγὼ] ὁ νοῦς δὲ οὕτως τοῦ ἀλλ' ὅτι τοῦ ζῆν φίλτερον ἡγῇ, ἐγὼ etc. M. qui haec usque ad ἐρῶντες τούτου infra ponit post p. 103, 7.

15. ἔκρινεν ἂν οὕτως M. προέκρινεν ἄν ceteri.

16. νυνὶ δὲ τόδε μὲν ἐπὶ τῷ ἰ. φ. θέλγει M. νυνὶ δὲ (δ' A.) ἐπεὶ (ἐπειδὴ I.) τοῦτο μὲν θέλγει τῷ ἰδίῳ φωτὶ ceteri.

17. μυθεύεται A.B.M. Fl. 6. 15. νομίζεται I.

18. αὐτοῦ ὑπάρχομεν] ἐσμὲν αὐτῆς Fl. 6. 15. ὑπάρχομεν om. A.M., sed M.addit φαινόμεθα post ἐρῶντες τούτου.

ib. σφοδρῶς δὲ] καὶ σφοδρῶς A. Fl. 6. 15. δὲ om. A.

19. ὅπερ—τὸ λαμπρόν addidi ex A.

20. κρατεῖ add. M.

ib. φιλοσόφοις] τοῖς φιλοσόφοις I.

δυνάμεως. οἱ μὲν γὰρ ἐδόξασαν σῶμα εἶναι τὴν φωτιστικὴν αὐτοῦ δύναμιν, ἣν ἐστι καὶ Ἀριστοτέλης, διὰ τὰς γινομένας ἀνανακλάσεις τῶν ἀκτίνων. τὰ γὰρ ἀσώματα ἀνεμποδίστως πρϊόντα ἀνακλᾶσθαι οὐ πέφυκεν. ἔτι δὲ καὶ ἐν κατεσκεπασμένοις οἴκοις μὴ εἰσδῦνον τὸ φῶς δεικνύει ὅτι οὐκ ἔστιν ἀσώματον. οἱ δὲ ἀσώματον αὐτὸ φάσκοντες ἐκ τῶν χρονικῶν ἐλλάμψεων τῶν γινομένων ἐξ ἡλίου πιθανῶς κατασκευάζουσιν.

Ἄλλως. ἐκ τοῦ ὀδυνηροῦ βίου στοχάζεται βελτίονα εἶναι τὰ ἐν Ἅιδου τῆς γῆς, ὡς καὶ αὐτὸς ἐν Πολυίδῳ "τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν." τὸ ἑξῆς, ἀλλ' ὅ τι βέλτιον κέκρυφεν ὁ σκότος ὑπὸ γῆν, καὶ βέλτιόν τι ἄλλο τοῦ ἐνταῦθα εἶναι ὑπὸ γῆν σκότῳ κρυπτόμενον, κἂν δυσέρωτες φαινώμεθα καὶ σφόδρα φιλοῦντες τοῦτον τὸν βίον, διὰ τὸ ἀπείρως ἔχειν τοῦ ἄλλου βίου καὶ μὴ εἰδέναι βελτίονα εἶναι τὰ ὑπὸ γῆν, μάτην τοῖς μύθοις πιστεύοντες φαινόμεθα τοῖς πιοῦσιν αὐτὰ φοβερά. B.I. Fl. 6. 15.

193. σκότος ἀμπίσχων: οὐκ ἔστι, φησὶ, τῷ βιοῦντι πόνων ἀπαλλαγὴ, καὶ ἔστι μὲν ἄλλη τις ζωὴ, φησὶ, κρείττων τῆς παρούσης καὶ ἀπονωτέρα, ἀλλὰ διότι ἀδηλία τις κατέχει ταύτην καὶ ἀγνοεῖται ἡμῖν, διὰ τοῦτο μανικῶς διακείμεθα περὶ τὴν παροῦσαν ζωὴν καὶ πάνυ ἐρῶμεν ταύτης, ὅτι στίλβει καὶ φανερά ἐστιν· ἀπειρίαν γὰρ ἔχομεν ἄλλου βιότου καὶ οὐκ ἀπόδειξιν τῶν ὑπὸ γῆν, ἀλλὰ μύθοις μορμολυττόμεθα, Πυριφλεγέθοντας καὶ Κωκυτοὺς ἀκούοντες ἐν Ἅιδου καὶ τοιαῦτά τινα· διὸ καὶ τῆς ὑπὸ γῆν ζωῆς καταφρονοῦντες πάνυ ταύτης τῆς ὑπὲρ γὴν ἐρῶμεν. A.

194. δυσέρωτες: καὶ δυσάρεστοι ὄντες καὶ μανικοὶ περὶ τὸν ἔρωτα φαινόμεθα. Fl. 15.

198. μύθοις δ' ἄλλως: ὁ δὲ ἀντὶ τοῦ γάρ. τοῖς γὰρ μύθοις ἀπατώμεθα, καὶ ταῖς τούτων σκηνοποιίαις φοβεριζόμεθα, ἀναπλατ-

2. γινομένας] γενομένας M.
3. πρϊόντα] προϊέντα Fl. 6. 15.
4. πέφυκεν] δύνανται I.
ib. ἐν κατεσκεπασμένοις A.B.M. ἐγκατεσκεπασμένοις I. ἐν κατεσκευασμένοις Fl. 6. 15.
5. αὐτὸ] αὐτὸν I.
9. τῆς γῆς B. Fl. 6. 15. τῶν ἐν τῇ γῇ I.
11. ὑπὸ] ἐπὶ I.
15. φαινόμεθα] φοβούμεθα Fl.6. 15.
25. Verba μανικῶς περὶ τὸν ἔρωτα habet A.
27. γὰρ μύθοις] γὰρ λόγοις A.M.
28. καὶ ταῖς] καὶ om. A.M.
ib. σκηνοποιίαις] σκηνοποιαῖς I.
ib. φοβεριζόμεθα M. φοβεριζόμενοι A. δεδισσόμεθα B.I.
ib. ἀναπλαττόντων] ἀναπλάττοντες A.M.

τόντων τὸν Πυριφλεγέθοντα καὶ Κωκυτὸν καὶ Ἀχέροντα, ποταμοὺς Ἅιδου, καὶ κύνα Κέρβερον καὶ Χάρωνα πορθμέα, καὶ τῷ φοβερῷ τῶν ὀνομάτων καταπληττόντων ἡμᾶς.

199. αἴρετέ μου: λάβεσθέ μου τοῦ σώματος. B. ἐφύλαξε τὸ ἔθος πάντη πρὸς τὴν τοῦ σώματος κηδεμονίαν καταγινόμενον μονονουχὶ αὐτὴν ἡμῖν ὑποστήσας τὴν Φαίδραν προκομιζομένην καὶ τοῖς λόγοις καὶ τοῖς σχήμασιν. ὁ δὲ νοῦς, ἐπιθεῖσαι τοῖς ἑαυτῶν ὤμοις τοὺς ἐμοὺς βραχίονας, καὶ ταῖς χερσὶν ἀντερειδόμεναι μου τοῦ αὐχένος, οὕτως με ἐπαίρετε. κομματικαὶ δὲ αἱ διάνοιαι καὶ τῇ τῶν πόνων ὀλιγορίᾳ τὸ σπουδαζόμενον συντόμως ἐξαιτούμεναι.

201. βαρύ μοι κεφαλῆς: βαρύ μοι τὸ κεφαλόδεσμον. A. βαρύ μοί ἐστι τῆς κεφαλῆς τὸ κεφαλοδέσμιον. B.M. τὴν ἐρωτικὴν ἄκρως ἔφηνε πίρωσιν, οὐδὲ τοῦ συνήθους ἀνεχομένη στολίσματος. ἄφελε τοίνυν αὐτό, καὶ γύμνωσόν μου τὸν πλόκαμον. A.B.M.I. ἔχειν: ὑπάρχειν. Fl. 15.

202. ὤμοι: γρ. φεῦ φεῦ. A.

204. μετάβαλλε δέμας: μὴ ἐπὶ χαλεπότητι καὶ κακοῖς διάρριπτε τὸ σῶμά σου. ῥᾷον γὰρ μᾶλλον οἴσεις τὴν νόσον γενναιάζουσα. Ἄλλως. μὴ ἐπὶ τὰ ἀσύμφορα διάρριπτέ σου τὸ σῶμα. μᾶλλον γὰρ εὖ οἴσεις τὴν νόσον μετὰ γενναιότητος.

208. πῶς ἂν δροσερᾶς ἀπὸ κρηνίδος: ὁ νοῦς, πῶς ἂν δροσερᾶς

1. τὸν (τὸν om. A.) π. καὶ (καὶ τὸν A.) τὸν κωκυτὸν καὶ ἀ. A.M. αὐτὸν κωκυτὸν καὶ π. καὶ ἀ. B.I.

ib. ποταμοὺς] ποταμὸν A. ποταμοὺς—κ. ἡμᾶς om. M. ἅιδου—κ. ἡμᾶς om. A.

2. πορθμέα Matth. καὶ πορθμέα B.I.

5. πάντη add. A. Fl. 6. ὑπ' αὐτῇ M.

ib. καταγινόμενον B. καταγινόμενος Fl. 6. καταγινομένην I. In A. terminatio compendio expressa.

6. ὑποστήσας] ὑπέστησε A., om. M.

ib. προκομιζομένην A.M. Fl. 6. προσκομιζομένην B.I.

7. ἐπιθεῖσαι] ἐπιθεῖναι I.

10. ἐξαιτούμεναι] ἐξαιρούμεναι B.I.

11. βαρύ—κεφαλοδέσμιον] In I. est βαρὺ μέν (βαρύ μοι Fl. 6. 15.) ἐστὶ φησὶ τὸ ἔχειν τὸ κεφαλόδεσμον. Om. M.

12. τὴν—ἔφηνε (ἔφανε A.) A.M. ἄκρως οὖν τὴν ἐρωτικὴν ἐνέφηνε B.I.

14. ἄφελε] ἀφέλητε I.

ib. γύμνωσον A.M. ἀναπέτασον B. ἀναπέτασσον I.

ib. μου] μοι I.

16. ὤμοι. γρ. φεῦ φεῦ] Ex M. annotatum ὤμοις γὰρ φεῦ φεῦ.

17. μὴ] ἡ δὲ τροφὸς μὴ A.

18. γὰρ μᾶλλον οἴσεις] μὲν γὰρ οἴσεις μᾶλλον M.

19. Ἄλλως] καὶ ἄλλως B.

ib. διάρριπτε] ῥίπτε M.

21. πῶς—τυχεῖν A.M. ἐπαναβέβηκε λοιπὸν ὁ λόγος ὡσπερεί τι ναιξέμενος τῷ πάθει καὶ λοιπὸν ἐσχηματισμένη τὰ

ἀπὸ κρηνίδος πῶμα καθαρῶν ὑδάτων ἀπαντλησαίμην; ἠβουλόμην, φησὶ, τυχεῖν ψυχρῶν ὑδάτων, ἵνα τὴν ἐν ἐμοὶ τοῦ ἔρωτος φλόγα σβέσω, ἀνέπαυσα δὲ ἐμαυτὴν ὑπὸ αἰγείρεις καὶ λειμῶνι κομῶντι τοῖς ἄνθεσιν ἀνακλιθεῖσα. ταῦτα δὲ ἔξωθεν ἐσχημάτισται πρὸς τὸ ἦθος τῶν νεοτέρων.

213. οὐ μὴ παρ' ὄχλῳ: ἀντὶ τοῦ, οὐ μὴ φθέγξῃ ταῦτα μεταξὺ πλήθους μανιώδεις λόγους ῥίπτουσα. ἔδοξε γὰρ αὐτῇ τὰ ῥηθέντα ἀσχήμονα εἶναι, καὶ οὐκ αὐτῆς ἄξια. τί γὰρ ἦν ὕδατος ψυχροῦ ἐρῶσαν καὶ κομῶντος λειμῶνος ἄνθη ποθεῖν τὴν βασιλείαν ἐχούσης, εἰ μήτοι ἔλεγε, πῶς μοι γένοιτο τοῦ ἔρωτος σβέσαι τὸ πῦρ; ἢ τίς τοσαύτη τέρψις ἀνθέων, ὡς ἀναπαῦσαι τὸν πόθον; B.M.I.

214. μανίας ἔπος ῥίπτουσα λόγων: ὑπὸ μανίας ὀχεύμενον, ἐμμανῆ, κατεχόμενον ὑπὸ μανίας. ἔδοκει γὰρ αὐτὴν ταῖς ἀληθείαις ἐρᾶν ὧν προεῖπεν. παρ' ὄχλῳ δὲ ἀντὶ τοῦ ἐπὶ τοῦ χορεῦ.

παρ' ὄχλῳ: τῷ ἐλθόντι εἰς ἐπίσκεψιν. M. γνρύσῃ: βοήσῃ. Fl. 15.

215. πέμπετέ μ' εἰς ὄρος: ἐπαναβέβηκεν ὁ λόγος ἐπὶ τὸ μανικώτερον ἅμα τῷ πάθει, ὡς λοιπὸν σαφέστερον ὀκλεῖσθαι τὸν ἔρωτα. εἰς ὄρος γὰρ βούλεται προπέμπεσθαι πρὸς θέαν τοῦ ἐρωμένου, κυνηγετεῖν τε ἐπιθυμεῖ πρὸς συνομιλίαν τοῦ ποθουμένου. ἐνταῦθα δὲ δεῖ τὸν ὑποκρινόμενον κινῆσαι ἑαυτὸν καὶ σχήματι καὶ φωνῇ, καὶ ἐν τῷ "εἶμι πρὸς ὕλην" ἀναπηδᾶν, ὡς αὐτὴ πορευομένη. τὸ δὲ ἑξῆς οὕτως, πέμ-

τοῦ ἔρωτος αἰνίττεται. λέγει οὖν ὅτι ἠβουλόμην (ἐβουλόμην B.) ψυχρῶν ὑδάτων τυχεῖν B.I. φησὶ om. M.

1. πῶμα M. πόμα A.
3. ἀνέπαυσα A. ἀναπαύσασα B.M.I.
ib. δὲ om. B.I.
ib. ἐμαυτὴν A. ἑαυτὴν B.M.I.
ib. λειμῶνι κομῶντι A. λειμῶσι κομῶσι ceteri.
4. ταῦτα—νεοτέρων om. M.
6. ἀντὶ τοῦ om. M.
7. αὐτῇ] αὐτὴ I.
8. ψ. ἐρῶσαν M. ἐρῶσαν ψ. B.I.
9. κομῶντος om. M.
ib. λειμῶνος ἄνθη] ἄνθη λειμῶνος M.
ib. εἰ μήτοι—πόθον om. M.
10. γένοιτο τοῦ ἔρωτος B. ἔρωτος γένοιντο (sic) I.
12. μανίας—ὑπὸ μανίας] μανίας δὲ ἔπος ἤτοι ὑπὸ B.I.
ib. ὀχεύμενον] ὀχλεύμενον A.
ib. ἐμμανῆ] ἐκμανῆ I.
13. ἔδοκει—πρεεῖπεν addidi ex A.M.
17. ἐπαναβέβηκεν] ἀναβέβηκεν Fl.6.
18. σαφέστερον — βούλεται A.M. σαφέστερον τὸν αἰνιγμὸν τοῦ ἔρωτος ἔξωθεν εἶναι σχηματισμοῦ. καὶ εἰς τὸ ὄρος βούλεται B.I.
19. κυνηγετεῖν τε (δὲ M.) ἐπιθυμεῖ A.M. καὶ εἰς κυνηγίαν B.I.
20. πρὸς συνομιλίαν τοῦ ποθουμένου] πρὸς τὴν ἐκείνου τοῦ ποθουμένου θέαν A.
22. ὕλην A.M. ὕλας B.I.
ib. αὐτὴ B. αὐτῇ A. αὕτη M.I.
ib. τὸ δὲ ἑξῆς οὕτως om. M., οὕτως om. A.

πετέ μ' εἰς ὄρος πρὸς θεῶν· μᾶλλον δὲ δι' ἐμαυτῆς πάρειμι καὶ κυνηγεσίων ἐπιθυμῶ, ὥστε κυσὶ μὲν συρίσαι, ἐπὶ θῆρας δὲ ὁρμῆσαι, καὶ τὸ ἀκόντιον ἀνατείνασα ῥῖψαι, τὸ δὲ σίδηρον αὐτοῦ ταῖς χερσὶ κατέχουσα οὕτως ἀκοντίζειν.

οἱ μὲν ἀκοντίζοντες τὴν χεῖρα ἄνω πρὸς τὴν κεφαλὴν ἀνατείνουσι, τὸ δὲ σίδηρον τοῦ ἀκοντίου πρὸς τὸν κρίκον τοῖς δυσὶ δακτύλοις τοῖς μέσοις κατέχοντες οὕτω ῥίπτουσιν. ἄριστα δὲ τῷ λεπτομερεῖ τῆς φράσεως μιμεῖται τὸ τῶν ἐρώντων ἦθος, ὅτε τινὲς ἐρῶντες τέχνῃ ὑπογράφουσιν, ὥσπερ ζωγράφοι τῇ λεπτολογίᾳ, ἐκείνην τὴν τέχνην καὶ τὰ αὐτῆς ὄργανα, καὶ ὥσπερ οἱ εἰς ἐπίδειξιν αὐτῆς ἐρχόμενοι ἐρεθίζουσι τῷ λεπτομερεῖ τῆς φράσεως τὸν ἐρᾶντα. καθόλου δὲ τοῦτο ἐπὶ τῶν ἐρώντων συμβαίνει. B.I. Fl. 6. πέμπετε: τῷ χορῷ λέγει ταῦτα τῷ ἐλθόντι εἰς ἐπίσκεψιν αὐτῆς. B. Fl. 6. 15.

217. στείβουσι: περιπατοῦσιν. A. τρέχουσι, πατοῦσιν, ἀνιχνεύουσιν οἱ κύνες τὰ θηρία φωνεύοντες. Fl. 15.

218. βαλιαῖς: ταῖς ταχείαις, ταῖς καταστίκτοις, ἢ ποικίλαις τὴν ὁρᾶν. A. ταῖς ποικίλαις τὴν ὁρᾶν, ἢ ταχείαις. ἢ καταστίκτοις. B. ταῖς ποικίλαις τὴν ὁρᾶν καὶ καταστίκτοις. ἢ ταχείαις, παρὰ τὸ βαίνειν ἅλις. Fl. 15. ἐγχριμπτόμεναι: πλησιάζουσαι, ἐπιπηδῶσαι. B.M.

219. πρὸς θεῶν ἔραμαι: ἀντὶ τοῦ ἐρῶ. παθητικὸν ἀντὶ ἐνεργητικοῦ. καὶ οἰκείως τῇ μεσότητι ἐχρήσατο. A.B.I. ἄκρως δὲ ἐρωτικὸν ἦθος ἀπεμάξατο τῇ λεπτομερεῖ τῆς ἐκφράσεως περιεργίᾳ· εἰς ὑπόμνησιν γὰρ ἐρχόμενοι τῶν ἐπιθυμουμένων, καὶ μονονουχὶ ζωγραφοῦντες αὐτὰ τοῖς λόγοις, ἔτι μᾶλλον τὴν ἐπιθυμίαν ἐξεγείρουσι. B.I. Fl. 6.

220. χαίταν: τῶν θηρίων δηλονότι. B.

1. δι' om. M.
ib. πάρειμι (πορεύομαι A.) καὶ κυνηγεσίων (γὰρ add. A.) ἐπιθυμῶ, ὥστε κυσὶ—ῥῖψαι A.M. ἄπειμι εἰς ὕλην (sic B. Fl. 6.: πρὸς ὕλαν I.) καὶ πρὸς τὰς πεῖκας, ὅπου εἰσὶ τὰ κυνηγέσια καὶ ὅπου αἱ κύνες τρέχουσι ταῖς ἐλάφοις πρὸς τὸ ἐπιπηδᾶν προσπελάζουσαι· (πλησιάζουσαι B. Fl. 6.) ἐπιθυμῶ κυνηγετικὴν τέχνην ἀναδέξασθαι, καὶ κυσὶ μὲν συρίζειν, ἐπὶ θῆρας δὲ ὁρμᾶν, καὶ τὸ ἀκόντιον πρὸς τὴν κεφαλὴν ἀνατεῖναι B.I.
2. δὲ et καὶ om. A.
3. τὸ δὲ—οὕτως ἀκοντίζειν om. A.M.
4. οὕτως B. Fl. καὶ οὕτως I.
10. αὐτῆς] αὐτοῖς I.
21. καὶ οἰκείως] καὶ om. A.
23. ἐκφράσεως] φράσεως Fl. 6.
ib. περιεργίᾳ B. περιεργείᾳ I.
24. ἐπιθυμουμένων B. Fl. 6. ποθουμένων I.
25. ἐξεγείρουσι B. Fl. 6. ἐγείρουσι I.

221. Θεσσαλὸν ὅρπακα: Θεσσαλῶν γὰρ εὕρεμα τὸ δόρυ. ἐπίλογχον δὲ βέλος αὐτὸ τὸ τιτρῶσκον σιδήριον, ᾧπερ ὁ κρίκος ἐμβεβλημένος ἐν τῷ ξύλῳ συνέχεται, διὰ τὸ ἐπὶ τῇ λόγχῃ κεῖσθαι, ὅ ἐστι τῷ ξύλῳ. οἱ γὰρ ἀκοντίζοντες τὸ σιδήριον τοῦ ἀκοντίου πρὸς τὸν κρίκον ἐν δυσὶ δακτύλοις κατέχοντες ῥίπτουσιν οὕτως Ἄλλως. ἐπίλογχον ἔχουσ': ἐπεὶ βέλος πᾶν τὸ βαλλόμενον, διέστειλεν εἰποῦσα ἐπίλογχον, ὅ ἐστι βέλος ἔχουσα ἐν τῇ χειρὶ τὴν λόγχην ἔχον, ἵνα σημάνῃ τὸ ἀκόντιον.

223. κηραίνεις: μεριμνᾷς, φροντίζεις, ἐν τῷ κέαρι ἔχεις, ἢ ἐπὶ βλάβῃ ἔχεις. κὴρ γὰρ ἡ θανατηφόρος μοῖρα. A.B. Fl. 15. μοραίνεις. Fl. 2.

224. τί κυνηγεσίων καὶ σοὶ μελέτης: ἀντὶ τοῦ ἐπιμελείας. τουτέστι, τί σοι περὶ κυνηγίας μέλει; τί, φησὶν, ὦ τέκνον, καὶ σοὶ, καθάπερ τοῖς ἀνδράσι, μελετᾶται τὰ κυνηγέσια; τί δὲ καὶ τὸ τυχεῖν κρηναίων ἐν ἔρωτι μεγάλῳ τίθεσαι; εἰ μὲν γὰρ ἀληθῶς ἐπιθυμεῖς, πάρεστιν ἐπὶ τῶν οἴκων δροσώδης καὶ ψυχρὰ ἀνάκλισις πέτρας, ὅθεν σοι ποτὸν ἂν γένοιτο καὶ τὸν πόθον ἐκπληρώσαις. εἰ δ' οὐ βούλει, τί καὶ τοῦτο ἐν ἔρωτος τάξει λέγεις;

226. πύργοις συνεχής: ἄφθονος τοῖς ὕδασι. ὁ δὲ νοῦς, εἴπερ ὅλως ὕδατος ἐπιθυμεῖς, πάρεστιν ἐπὶ τῶν οἴκων δροσώδης καὶ ὑψηλὴ πέτρα, κλιτὺς, ὅ ἐστιν ἀνακεκλιμένη καὶ ὑψηλὴ πέτρα, συνεχὲς ὕδωρ στάζουσα.

228. δεσποιν' ἁλίας: Λίμνη γυμνάσιον ἐν Τροιζῆνι, ὡς καὶ ἐν

1. ὅρπακα] ὅρπηκα A.
ib. εὕρεμα A.B. (M ?) εὕρημα I.
2. σιδήριον] σίδηρον A. σιδήρειον I. hic et lin. 4.
ᾧπερ—συνέχεται M. ὅπερ—συνέχει ceteri.
3. ἐν τῷ ξύλῳ] τῷ om. A.
5. ῥίπτουσιν οὕτως A.M. οὕτω ῥίπτουσι B.I.
ib. Ἄλλως om. M.
6. ἔχουσ' om. B.I.
9. κέαρι B. κέαρ A. κὰρ Fl. 15.
10. βλάβῃ A. βλάβην B. Fl. 15.
ib. κὴρ] ὁ κῆρ Fl. 15.
12. καὶ σοὶ μελέτης om. M. καὶ σοὶ om. A.
13. κυνηγίας A.B. κυνηγεσίας I. κυνηγεσίων M.
14. μελετᾶται τὰ κυνηγέσια] δεῖ μελετᾶν κυνηγεσίων M.
ib. τὸ τυχεῖν] τοῦ τυχεῖν M.
15. ἐν om. A.
ib. τίθεσαι] τίθεσθαι I.
ib. ἀληθῶς M. ἀληθῆ A.B.I.
16. τῶν οἴκων] τὸν οἶκον A.
ib. καὶ ψυχρὰ ἀνάκλισις πέτρας A. B.M. καὶ ὑψηλὴ πέτρα συνεχὲς ὕδωρ στάζουσα I. quae illata ex lin. 20.
17. ἐκπληρώσαις] ἐκπληρώσῃς B. ἐκπληρῷ A.
20 ὕδατος ἐπιθυμεῖς M. ἐπιθυμεῖς ὑδάτων ceteri.
ib. τῶν οἴκων] τὸν οἶκον A.

τοῖς ἑξῆς φησι "τὸν ἀμφὶ Λίμνης τροχόν." ὁ δὲ νοῦς, ᾧ δέσποινα τῆς ἰσοπέδου Λίμνης, καὶ τῶν ἐν αὐτῇ γυμνασίων τῶν ἱπποκρότων. ἐπεύχεται δὲ λοιπὸν τῇ εἰκείᾳ θεᾷ τῶν κυνηγεσίων, ὥστε τοῖς τοῦ ἐρωμένου ἐπιτηδεύμασι χρήσασθαι πρὸς τὸ αὐτῷ συναναστρέφεσθαι καὶ συνδιαιτᾶσθαι. τῆς δὲ θαλάσσης καὶ τῆς γῆς φησιν αὐτὴν δεσπόζειν, ὡς καὶ Ἡσίοδος "μοῖραν ἔχει γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης." ἢ ἐπεὶ λιμνᾶτις ἡ Ἄρτεμις τιμᾶται.

229. ἱπποκρότων: τῶν ὑπὸ τῶν ἵππων κροτουμένων, τῶν ἱπποδρόμων. γυμνασίων δὲ εἶπε τῶν τόπων. B. Fl. 15.

231. πώλους Ἐνέτας: ταῦτα ἀνακεχρόνισται· οὐδέπω γὰρ Ἕλληνες Ἐνέταις ἐχρῶντο ἵπποις. οἱ γὰρ Ἐνέται Παφλαγονίαν πρότερον οἰκοῦντες ὕστερον ἐπὶ τὸν Ἀδρίαν διέβησαν. Λέων δὲ πρῶτος Λακεδαιμόνιος πέ' ὀλυμπιάδι ἐνίκησεν Ἐνέταις ἵπποις, ὡς Πολέμων ἱστορεῖ, καὶ ἐπέγραψε τῇ εἰκόνι "Λέων Λακεδαιμόνιος ἵπποισι νικῶν Ἐνέταις Ἀντικλείδα πατήρ."

δαμαλιζομένα: δαμάζουσα, ἡνιοχοῦσα. B.M. Ἐνέτη δὲ πόλις Παφλαγονίας. B.

232. τί τόδ' αὖ: τί τοῦτο, φησὶ, τὸ ῥῆμα μωραίνουσα πάλιν εἶπας; B. Fl. 15.

233. νῦν δὴ μὲν ὄρος βᾶς': ἀρτίως μὲν εἶχες ἔρωτα εἰς ὄρος ἀπελθεῖν, καὶ ἐπὶ θήρας πόθον ὥρμας καὶ κυνηγεσίων, πάλιν δὲ νῦν ἐν

3. τοῖς—ἐπιτηδεύμασι A.B.M. Fl.
6. 15. τὰ—ἐπιτηδεύματα I.
5. θαλάσσης] θαλάττης B.
ib. καὶ τῆς γῆς add. M.
6. ὡς καὶ] καὶ om. M.
ib. Ἡσίοδος] Theog. 413.
ib. τε om. A. Conf. p. 97, 6.
7. θαλάσσης] θαλάττης A.
ib. ἐπεὶ λιμνᾶτις] ἐπιλιμνᾶτις M. ἐπεὶ λιμνᾶτις A.B.I. Fl. 6. 15: λιμνῆτις est in scholio v. 1133.
ib. ἡ (ἡ om. M.) Ἄρτεμις] ἡ ἄμπελος I.
ib. τιμᾶται addidi ex M.
8. Prima verba τῶν ὑπὸ (omisso τῶν) ἵππων κ. τ. λ. habet A. Gl. ἱπποδρομίων est in M.
11. Ἐνέταις add. A.B.M., om. I.
ib. οἱ γὰρ Ἐνέται—διέβησαν] οἱ γὰρ παφλαγόνες ἐνέται πρῶτον ἐκαλοῦντο, εἰς τὸν ἀδρίαν δὲ ὕστερον διέβησαν M.
ib. πρότερον om. A.
12. πρῶτος om. M.
13. πέ M. ὀγδοηκοστῇ πέμπτῃ A. consentiente Eustathio ad Hom. p. 361, 18. πθ' B. Fl. 6. πέ' ὀλυμπιάδι om. I.
ib. ὀλυμπιάδι] ὀλυμπιάδος M.
14. ἐπέγραψε τῇ εἰκόνι] ἐπέγραψεν ἐν εἰκόνι I.
15. Ἀντικλείδα] ἀντικλεῖ^{δ} M.
ib. πατήρ] πατρὸς Prellerus.
18. Brevius in A. τί πάλιν τοῦτο εἶπας.
ib. φησὶ om. B.
20. δὴ μὲν] μὲν δὴ A.
ib. εἶχες] εἶχεν A.
21. θῆρας πόθον] θῆρας π^{θ}ον M. θήρος

σταδίοις πάλων δρόμου ἐπιθυμεῖς, καὶ ἐπὶ ταύταις ὀχεῖσθαι γυμναστικῶς. τινὲς δὲ γράφουσι καὶ πέθον, δηλοῦντες ὅτι τὸν πόθον εἰς ὥρας καὶ κυνήγεσια ἡφίεις. ἐπ' ἀκυμάντοις πώλοις: ταῖς μὴ θαλασσίαις, ἀλλ' ἠπειρωτικαῖς, τουτέστιν ἐν σταδίοις, ἢ ἐν ἀνηέμοις αἰγιαλοῖς, ἔνθα καὶ στάδια πολλά εἰσιν.

237. *ἀνασειράζει: τοῦ καλῶς ἔχοντος ἀνθέλκει, ἀπὸ μεταφορᾶς τῶν ταῖς σειραῖς ἀνακρουομένων ἵππων, καὶ τοῦ εὐθέος δρόμου παρεκβαλλομένων.* A.B.M.I. *Ἄλλως. ἀνασειράζει: ἀνορούειν ποιεῖ καὶ ἀνερεθίζει. μεταφέρει δὲ τοῦτο ἀπὸ τῶν ἵππων, οἳ, ὅταν ἐπισπάσωνται τὰς ἡνίας, ἀναπηδῶσι καὶ κωλύονται τοῦ κατ' εὐθὺ δρόμου.* A.B.M. *μετακινεῖ ἐκ τοῦ καθεστηκότος.* B. *εἰστρουμένην ὑπὸ ἔρωτος οἷον πῶλον ἐπέχει καὶ οὐ δίδωσι προχωρεῖν εἰς ἐκπλήρωσιν.* B.

238. *καὶ παρακόπτει φρένας: ἀντὶ τοῦ ἐλαττοῖ. ἀπὸ μεταφορᾶς τῶν περικοπτομένων τὰ πτερὰ ὀρνέων, ἅπερ ἅμα τῇ τῶν πτερῶν τμήσει τὴν ἰσχὺν ἀποβάλλει, καὶ παντελῶς ἀσθενῆ γίνεται.* A.B.M.I. *ἐκκόπτει τὰς φρένας τῶν δεόντων.* A. *ἐκκόπτει τοῦ φρονεῖν τὰ δέοντα.* Fl. 15.

246. *ποῖ παρεπλάγχθην γνώμης: πάλιν καταστᾶσα τῆς μανίας καὶ ἔμφρων γενομένη αἰσθάνεται ἑαυτὴν παραπαίσασάν τι καὶ μανιώδη φθεγγομένην. τὸ γὰρ τοῦ ἔρωτος ἐνδιδόμενον τῇ ἡδονῇ τῶν λόγων καὶ ἐρεθιζόμενον ὥσπερ εἰς θέαν τῶν ἐπιθυμουμένων τῇ λεπτο-*

πεθὲν ὥρμας καὶ κυνηγέσια Valcken. p. 189. frustra.

1. πάλων] πώλου I.

ib. ταύταις] ταύτας A.I.

2. τινὲς] τὸν A.

ib. δὲ om. M.

ib. γράφουσι om. A. in lacuna.

ib. καὶ om. M.

ib. θῆρας] θήρας M.

3. πώλοις M. δὲ ceteri.

4. ἠπειρωτικοῖς] ὑπηρωτικοῖς A. Reliqua τουτέστιν—εἰσίν om. A.

ib. ἢ ἐν] ἢ τοῖς M.

5. πολλά M. πολλάκις B.I.

6. τοῦ A.M. δὲ ἤτοι τοῦ B.I.

ib. ἀνθέλκει A.M. ἀνθέλκει καὶ ἀνακρούει B.I.

7. ἀνακρουομένων A.M. παρακρουμένων B.I.

ib. παρεκβαλλομένων] παραβαλλομένων A.M.

8. Ἄλλως om. A.B.

ib. καὶ ἀνερεθίζει] καὶ om. A.B.

9. τοῦτο om. A.M.

10. τὰς ἡνίας] τὴν ἡνίαν A.B.

ib. κατ' εὐθὺ B. καθ' εὐθές A. κατ' εὐθεῖαν M.

13. καὶ παρακόπτει φρένας A.M. καὶ τὸ παρακόπτει δὲ B.I.

ib. ἐλαττοῖ] In Fl. 15. addita verba (lin. 16.) ἐκκόπτει—δέοντα.

ib. περικ—] παρακ— I.

14. ἀποβάλλει A.M. Fl. 15. ἀποβάλλουσι B.I.

18. γενομένη] γινομένη I.

ib. παραπαίσαντά τι (scripsi παραπαίσασάν τι) M. παρατρέψασαν ceteri.

λογίᾳ πρὸς ἐκφροσύνην ἐξήρχετο, καὶ πάλιν εἰς ἔννοιαν καθισταμένη τῶν ῥηθέντων ἐσωφρόνει, καὶ ἐπὶ τοῖς ῥηθεῖσιν ὠδυνᾶτο.

245. κατ' ὄσσων δάκρυα: διὰ τὰ λελεγμένα πρώην ὑπ' ἐμοῦ δάκρυα προσέρχεται τοῖς ὀφθαλμοῖς μου. A.B.M.

247. τὸ γὰρ ὀρθοῦσθαι: τὸ γὰρ μετὰ τὴν μανίαν ὀρθοῦσθαι τὴν γνώμην ὀδυνᾷ λυπουμένην ἐπὶ τοῖς ἐν τῇ μανίᾳ ῥηθεῖσιν, ὡς ἐν τῷ καθεστῶτι δίκας πρὸ αἰσθήσεως διδόναι.

248. τὸ δὲ μαινόμενον: αὐτὸ τὸ μανιῶδες κακὸν μέν, ὅτι ἃ μὴ βούλεται φθέγγεται, κρατεῖ δὲ καὶ ὑπερέχει τοῦ μετὰ συνειδήσεως ἀπολέσθαι. οὔτε γὰρ τῶν ἁμαρτημάτων ἐν τῇ μανίᾳ αἰσθάνεται οὔτε τοῦ θανάτου τὴν ἀλγηδόνα λογίζεται τῶν τοῦ βίου τερπνῶν ἀποστάς. Ἄλλως. τὸ δὲ μαινόμενον ἀντὶ τοῦ, κακὸν μὲν τὸ μαίνεσθαι, ἀλλὰ κρατεῖ, τουτέστι, κρεῖσσόν ἐστι καὶ ὑπερέχει τοῦ μετὰ συνειδήσεως ἀποθανεῖν, ὡς εἴ τις λέγοι, λυσιτελές ἐστι μὴ γινώσκοντα ἀπολέσθαι, ὡς κρείσσονος ὄντος τοῦ τοιούτου βίου.

250. κρύπτω, τὸ δ' ἐμόν: ἐγὼ μέν, φησί, τὴν σὴν κεφαλὴν αἰδουμένη ἐπὶ τοῖς εἰρημένοις σκεπάζω· πότε δὲ καὶ τὸ ἐμὸν σῶμα, ὀδυνηρῶς ἔχον πρὸς βίον, ὁ θάνατος κρύψει;

252. πολλὰ διδάσκει: οὐ γὰρ μόνη ἡ σοφία διδάσκει, ἀλλὰ καὶ ὁ πολὺς καὶ ὁ μακρὸς χρόνος καὶ ἡ πολυπειρία τῶν πραγμάτων.

253. χρῆν γὰρ μετρίας: ἔδει, φησί, τοὺς ἀνθρώπους μεμετρημένως φιλεῖν καὶ μὴ εἰς ἄκρον ἐξέρχεσθαι τοῦ στέργειν, ἀλλ' ὥστε

1. πρὸς ἐκφροσύνην] πρὸς ἐκ..... μανίας A. ἐκ ταυτομανίας M. Recte, si εἰς ταυτὸ μανίας scribatur.
ib. ἔννοιαν] εὔνοιαν A.
2. ἐσωφρόνει—ὠδυνᾶτο om. M.
2—6. ὠδυνᾶτο—ὀδυνᾷ] ὠδινᾶτο—ὠδινᾷ I.
6. ὡς—διδόναι om. M.
7. καθεστῶτι] καθεστηκότι A.B.
8. αὐτὸ A. αὐτὸ δὲ B.I. Totum scholion om. M.
9. τοῦ μετὰ συνειδήσεως] τὸ μὴ αἰσθανόμενον, ἀλλ' ἐν τῇ μανίᾳ A. In M. gl. interlin. (ad κρατεῖ) ἀντὶ τοῦ κρεῖσσόν ἐστι καὶ ὑπερέχει τὸ μετὰ συνειδήσεως ἀποθανεῖν.
10. μανίᾳ] κακίᾳ A.
11. οὔτε] οὐδὲ A.
15. κρείσσονος A. κρείττονος B.I.
17. κρύπτω καὶ σκεπάζω B.I.
ib. ποτὲ δὲ] ποτὲ δὴ A.M.
18. ἔχον] ἔχει I.
ib. πρὸς τὸν βίον B.M. πρὸς βίον I. πρὸς τὴν βίον A.
19. οὐ γὰρ μόνη ἡ] καὶ ἡ A.
20. ὁ πολὺς—χρόνος καὶ om. M.
ib. ὁ μακρὸς A. ὁ om. B.I.
ib. καὶ ἡ πολυπειρία om. A.
ib. τῶν πραγμάτων add. M.
22. καὶ μὴ A.B. ὡς μὴ M.I.
ib. τοῦ στέργειν om. M.B.
ib. ἀλλ' ὥστε (ἄλλωστε)] ἄλλως. τὸ I.

εὐκόλως ἐκβάλλειν τὸ τῆς ὀρέξεως φίλτρον καὶ πάλιν ἐπαυξῆσαι, ὥστε ποτὲ μὲν ἐλαττοῦν, ποτὲ δὲ αὔξειν τὰ τῆς ψυχῆς φίλτρα. οἱ γὰρ ἄγαν στέργοντες διπλασίως κάμνουσιν, ὑπέρ τε τῆς ἑαυτῶν σωτηρίας καὶ τῆς τῶν φίλων φροντίζοντες. A.B.M.I. ἐρχῆν οὖν, φησὶ, τοὺς ἀνθρώπους συμμέτρως ἀλλήλους φιλεῖν καὶ μὴ ἄγαν. ὥστε καὶ τὸ σῶμα κατατήκειν, καὶ μὴ δυνατὸν λύεσθαι τὴν φιλίαν. B.I. Fl. 6.

255. μυελὸν ψυχῆς: τὸν ἐσώτατον τόπον. τροπικῶς δὲ εἶπεν, ὡς ἐπὶ σώματος καὶ ὀστέου, τὸ βάθος τῆς ψυχῆς. παραινεῖ δὲ μὴ πρὸς ἄκρον ποιεῖσθαι τὰς φιλίας, ἵνα καὶ πρὸς ἀπόστασιν εὐλύτως ἔχωμεν. στέργηθρα δὲ τὰς φιλίας, τὰς ἀγάπας.

257. ἀπό τ' ἄσασθαι: τὴν ἀπὸ πρὸς τὸ ἄσασθαι. A. δυνασθαι. B.

258. τὸ δ' ὑπὲρ δισσῶν: χαλεπόν ἐστι, φησὶ, τὸ μίαν ψυχὴν λυπεῖσθαι ὑπὲρ δύο. A.B.

261. βιότου: τὸ δὲ τῶν κατὰ τὸν βίον τι πραγμάτων ἀκριβῶς καὶ πρὸς ἀκρίβειαν ἐπιτηδεύειν οὐκ ἀσφαλές, ἀντὶ τοῦ εἰ ἐπιτηδείει τις πρᾶγμα ποιεῖν ὑπεράγαν, πάντως ἐπιλήψιμόν τι ἐν αὐτῷ εὑρίσκεται. ἐπιτηδεύσεις δέ φησι τὰς μελέτας τὰς τῇ ὑπερβολῇ τῆς συνηθείας ἀνενδεεῖς. καθόλου δὲ τὰς ἀληθεῖς καὶ εἰς ἄκρον ἐκβαινούσας τῆς ἀληθείας μελέτας ἐπιτηδεύσεις φασὶν οἱ σοφοὶ μὴ μόνον σφάλλειν, ἀλλὰ καὶ πρὸς ὑγίειαν ἐμποδίζειν. A.B.M.I. ὡς εἴ τις ἐπιμελείᾳ διηνεκεῖ χρῷτο τῷ λόγῳ, ὡς κατὰ μηδὲν ὑπείκειν, οὗτος εἰς ἄλλο τι ἐκπίπτει τῷ λόγῳ καὶ εἴς τι μανιῶδες, καὶ τὸ σῶμα εἰς νόσον κατακλίνεσθαι φέρει. B.I. ἀντὶ τοῦ λίαν βλαβερὰς εἶναι. καὶ καθόλου δὲ τὰς ἀληθεῖς καὶ εἰς ἄκρον ἐκβαινούσας τῆς ἀληθείας ἐπιτηδεύσεις φασὶν οἱ σοφοὶ σφάλλειν, ὡς εἴ τις ἐπιμελείᾳ καὶ διη-

1. ἐκβάλλειν] ἐσβάλλειν A.
ib. ἐπαυξῆσαι] αὐξῆναι (sic) I.
2 ἐλαττοῦν] ἐλασσοῦσθαι A.
ib. τῆς ψ. φίλτρα] φίλτρα τῆς ψ. M.
5. ἄγαν B. Fl. 6. ἐς ἄκρον I.
6. τὸ σῶμα] τὸ om. I.
10. εὐλύτως] ἀλύτως I.
16. βίον τι] βίοτον A.
17. καὶ πρὸς ἀκρίβειαν add. A.M.
ib. εἰ add. A.
18. τις om. A.M.
ib. εὑρίσκεται] εὑρίσκεσθαι M. qui proxima usque ad ἀνενδεεῖς om.
19. ἐπιτηδεύσεις A. ἐπιτηδεύει ὡς I.
ib. τὰς μελέτας om. A.
ib. ὑπερβολῇ] ὑποβολῇ I.
21. μὴ A.M. ἆς μὴ B.I.
22. ὑγίειαν] ὑγείαν A.
ib. ἐμποδίζειν A.M. ἐμποδίζειν εἰρήκασι B.I.

νεκεῖ κτήσει χρῶτο λόγῳ ὡς κατὰ μηδὲν ὑπείκειν, ἀλλὰ καὶ τῷ σώματι οὕτως εἰς ἄλλο τι ἐμπίπτει ἐν τῷ λόγῳ καὶ εἴς τι μανῶδες καὶ τὸ σῶμα εἰς νόσον κατακλίνεσθαι φέρει τὸ αὐτὸ τῆς ἀσκήσεως χάριν τὰ αὐτὰ ποιεῖν. Ἄλλως. φασὶ δὲ πᾶν τὸ ἐν τῷ βίῳ πρᾶγμα ἀληθῶς καὶ ἀκριβῶς ἐπιτηδεύειν βλάπτειν μᾶλλον ἢ ὠφελεῖν. δεῖ γάρ τι καὶ καθυποκρίνασθαι. A.

264. οὔτω τὸ λίαν ἧσσον: ἀντὶ τοῦ οὐδὲ ὅλως οὕτω τὸ λίαν ἐπιτηδεύειν ἐπαινῶ, ὡς τὸ μηδὲν ἄγαν, τουτέστι τὸ μὴ λίαν ἐπιτηδεύειν· καὶ συγκαταθήσονταί μοι πάντες οἱ σοφοί. Ἄλλως. οὕτω τὸ λίαν ἔλαττον ἐπαινῶ τοῦ μηδὲν ἄγαν καὶ μεμετρημένου, καὶ μάρτυρες ἔσονται οἱ σοφοὶ, εἴπερ ἑνὸς τῶν ἑπτὰ σοφῶν ἐστιν ἀπόφθεγμα τὸ μηδὲν ἄγαν, ὅπερ Χίλωνι ἀνατιθέασιν, ὡς Κριτίας. καὶ Πίνδαρος "σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος ἤνησαν περισσῶς." Ἄλλως. τὸ μηδὲν ἄγαν οἱ μὲν Χίλωνι τῷ Λακεδαιμονίῳ ἀνατιθέασιν, ὡς Κριτίας, οἱ δὲ Σωδάμῳ, ὡς τὸ ἐν Τεγέᾳ ἐπίγραμμα δηλοῖ

Ταῦτ' ἔλεγεν Σώδαμος Ἐπηράτου, ὃς μ' ἀνέθηκεν·
μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεστι καλά.

ὁ δὲ Θεόφραστος, ὡς τὰ Σισύφου λεγόμενα καὶ Πιτθέως, οἷον "μηδὲν ἄγαν," "μηδὲ δίκην δικάσῃς." A.B.M.I. Ἄλλως. πρωτιμῶ τὸ μηδὲν ἄγαν, ἢ ἀντὶ τοῦ ἔλαττον, οἷον, πλεῖον ἐπαινῶ τὸ μηδὲν ἄγων παρὰ τὸ ἄγαν. A.

266. ξυμφήσουσι: συμμαρτυρήσουσι. M. Fl. 15.

267. γύναι γεραιά: διὰ τούτου δείκνυσιν ὅτι ὤφειλε θαρρηθῆναι τὰ κατὰ τὴν Φαίδραν, γυναῖκα αὐτὴν ἀποκαλέσασα, (γυναιξὶ γὰρ μᾶλλον αἱ γυναῖκες θαρροῦσι τὰ καθ' ἑαυτὰς) ἄλλως τε καὶ γεραιὰν καὶ πιστὴν τροφόν. B.I.

269. ἄσημα δέ: οἷον ἄγνωστα. οὕτω δ' εἰώθασι χρῆσθαι Ἀττι-

8. τὸ μὴ] καὶ μὴ A.B.
11. εἴπερ A.B. εἶπον I.
ib. ἐστιν] εἶναι A.
12. Κριτίας] κρητίας A.B.
ib. Πίνδαρος] Fragm. 235.
13. σοφοὶ—ὡς Κριτίας add. A.M., om. B.I.
ib. μηδὲν] μηδ' M.
ib. Ἄλλως. τὸ scripsi pro τὸ δέ.
15. Σωδάμῳ] Corrupte Στρατοδήμῳ apud Clem. Al. Strom. 1. p. 351. ut monuit Menagius ad Diog. L. 1, 41.
17. καιρῷ] ἐν καιρῷ A.
ib. πρόσεστι καλά om. A.
18. οἷον] οἳ A.
23. δείκνυσιν B. ἔδειξεν I.
27. οἷον B.M. ἀντὶ τοῦ A.I.
ib. ἄγνωστα] ἄσημον καὶ ἄγνωστον A.
ib. οὕτω δ'] οὐδ' M. οὕτως A.
ib. εἰώθασιν M. εἴωθε ceteri.
ib. χρῆσθαι A. κεχρῆσθαι B.M.I.

καὶ πληθυντικοῖς, ὡς καὶ Θουκυδίδης "ἀδύνατα ἦν" ἀντὶ τοῦ ἀδύνατον. A.B.M.I. *ἀντὶ τοῦ ταύτης τῆς τύχης ἀνεπίγνωστα, ἀσαφῆ.* M. *ἀφανῆ.* A. *ἀγνώριστα, ἀφανῆ, ἀνεπίγνωστα.* Fl. 15.

271. *οὐκ εἶδ' ἐλέγχουσα: ὑπερβολὴν σπουδῆς ἐνέφηνε τὸ ἐλέγχουσα· τὴν γὰρ ἐπίμονον ἐρώτησιν ἔλεγχον ὠνόμασεν.* A.M. *ἐλέγχουσ': ἐρωτῶσα, ἐρευνῶσα, ἀνακρίνουσα, ὅπερ ἐστὶν ὑπερβολὴ ἐρωτήσεως.* A.M. *Ἄλλως. ἔλεγχον ὠνόμασε τὴν μετὰ πολυπραγμοσύνης ἐρώτησιν.* A.

273. *εἰς ταυτόν: ἐὰν μὲν ἥκει γράφηται, πρὸς τὴν ἀρχήν ἐστιν ὁ λόγος, ὅ ἐστιν εἰς ταυτὸν ἥκει ἡ ἀρχὴ τῷ τέλει. ὥσπερ γὰρ τὸ τέλος οὐχ ὁμιλεγεῖ, οὕτως οὐδὲ ἡ ἀρχή. εἰ δὲ ἥκεις, πρὸς τὸν χρόνον, ἐμοὶ εἰς ταυτὸ τῆς ἀγνοίας ἥκεις. πάντα γὰρ σιγᾷ, ἀντὶ τοῦ οὐκ ἀποκρίνεται. οὔτε πρὸς ἀρχὴν οὔτε πρὸς τέλος.*

274. *ἀσθενεῖ τε καὶ κατέξανται δέμας: ἀντὶ τοῦ κατετάκη τὸ σῶμα. οὐκ ὀφείλει γὰρ κατατακῆναι τρίτην οὖσα ἡμέραν ἄγευστος. διὰ τοῦτο οὐκ ἐσθίει, ἵνα ἀποθάνῃ.*

275. *πῶς δ' οὔ, τριταία: ἆρά γε ἰσχύουσα φαγεῖν οὐ τράγει διὰ τὸ θέλειν ἀποθανεῖν. ἢ κἂν βούληται, οὐ δύναται ὑπὸ τῆς νόσου; A. ἄσιτος: ἄπαστος.* Fl. 15.

276. *πότερον ὑπ' ἄτης: βλάβης παραφρούνης καὶ τῆς ὀδύνης τῆς κακώσεως.* A.M.

278. *ἐξαρκεῖ: ἀντὶ τοῦ εὐδοκεῖ, ἀρέσκει. ὁ δὲ λόγος, εἰ ταῦτα ἀρέσκει τῷ ἀνδρὶ αὐτῆς.* A.M.

1. Ἀττικοὶ scripsi pro Ἀττικῶς et addidi *πληθυντικοῖς* ex A. qui *ὡς* om. Thucydidis locus est 1, 125.

4. *ἐλέγχουσα*] *ἐνέπουσα* M. De scholiis ad h. v. haec tantum sunt in B.I. *ἐρωτῶσα — ἐστὶν ὑπερβολή. τὴν γὰρ ἐ. ἐρώτησιν ἔλεγχον ὠνόμασεν.*

6. *ἐρευνῶσα, ἀ.*] *ἀ. ἐρευνῶσα* A.

9. Ante *ἐὰν* in A. *εἰς ταυτό μοι ἀγνοίας ἥκει ὅτι οὐκ ἀποκρίνεται οὔτε πρὸς ἀρχὴν οὔτε πρὸς τέλος.* quae infra reduntur. *ἥκει γρ'* (literis *γρ* uno ductu scriptis) B. quod est *ἥκει γράφηται.* In A. *γὰρ ἥκει*, in I. *ἥκει γάρ.*, in M. solum *ἥκει.*

10. *γὰρ* add. A. De M. non constat, quum scholion legi non possit.

ib. *τὸ τέλος* om. I.

11. *ἡ ἀρχή* Matth. pro *τὴν ἀρχήν.*

12. *ταυτὸν τῆς* A. *ταυτὸν τῆς* B.I.

ib. *ἥκεις*] *ἥκει* A. Addebatur *ἢ εἰς ταυτό μοι ἀγνοίας ἥκει*, quod om. A.M.

ib. *πάντα—τέλος* om. M.

ib. *ἀντὶ τοῦ* A. *ὅ ἐστιν* B.I.

14 *ἀσθενεῖ*] *τὸ δὲ* praefixum in B.I.

15. *οὐκ ὀφείλει γὰρ* M. *πῶς δὲ οὐκ ὤφειλε* (*ὀφείλει* A.) A.B.I.

ib. *τρίτην οὖσα ἡμέραν* A. *τριταία* (*τριταῖα* I.) *οὖσα ἤτοι τρίτην ἡμέραν ἔχουσα* B.I. Omissa haec in M. Contra ex eo addidi *διὰ—ἀποθάνῃ.*

280. *ὁ δ'* : *ὁ ἀνὴρ ταύτης*. B. rec. *τεκμαίρεται* : *στοχάζεται*. Fl. 15.

281. *ἔκδημος* : *εἰς Πυθίαν ἦν θεωρός*. A.B.M. Fl. 15.

283. *πλάνην* : *ἀντὶ τοῦ ἔκστασιν*. A.M. Fl. 15.

284. *ἀφῖγμαι* : *παρεγενόμην*. Fl. 15. *πολλοὺς ἐμηχανησάμην τρόπους, καὶ οὐδὲν ἠδυνήθην μαθεῖν*. A.B.M. Fl. 15.

288. *ἄγ', ὦ φίλη παῖ* : *ἀπέτεινε τὸν λόγον πάλιν πρὸς τὴν Φαίδραν, ἄλλο δῆθεν εἶδος μετιοῦσα νουθεσίας. τὸ γὰρ παραινέσει πείθειν βέλτιον ἢ ἐπαχθέσι ῥήμασιν εἰπεῖν τὴν πρόφασιν. Ἄλλως. ἄγε, ὦ φίλη παῖ, ἀμφότεραι ὅπως ἐπιλαθώμεθα τῶν προειρημένων, καὶ σύ γε ἡδίων καὶ πραοτέρα γενήσῃ, εἰ δέξῃ τὴν παραίνεσιν, ἐγώ τε, ὅπου ἔδοξα τὸ πρὶν ἐπαχθής τις εἶναι ἕως τούτου τοῦ μέρους, ἀποστᾶσα ἐπ' ἄλλην πορείσομαι κρείττονα νουθεσίαν*. A.B.I.

290. *στυγνὴν ὀφρύν* : *τὴν συνηγμένην καὶ σκυθρωπάζουσαν*. A.B. *τὴν στυγνὴν τῆς ἀφροσύνης, ὅπου οὐ καλῶς ἠκολούθουν σου τῇ παραινέσει, ἀποστᾶσα ἀπὸ τούτου ἐπὶ νουθεσίαν πρηεῖαν μετέρχομαι, τουτέστι τὴν στυγνότητα τοῦ προσώπου ἄφελε, καὶ τῆς χαλεπῆς γνώμης ἐκείνης παῦσαι*. A.B.M.I. *γνώμης ἰδόν* : *ἀντὶ τοῦ λόγων βάσιν*. Fl. 15.

291. *ἐγώ θ' ὅπη* : *εἴ τι, φησὶ, τὸ πρότερον ἐλύπουν σε τῷ συνεχεῖ τῆς ἐρωτήσεως, ταυτὸν ἐπὶ τὸ κολακεύειν σε τραπήσομαι*.

294. *γυναῖκες αἵδε* : *συνδιοικήσουσιν, ἀποκαταστήσουσι, θεραπεύσουσι τὴν μοιχείαν. συμπράξουσι, συνεργήσουσι. γυναῖκες γὰρ οὖσαι ἐν ταῖς τοιαύταις συμβάλλονται νόσοις, αἱ μὲν πειραθεῖσαι, αἱ δὲ πρισδικῶσαι πείσεσθαι. καὶ γὰρ εὐεπίβατον ἄγαν εἰς τὰ*

6. καὶ οὐδὲν A. καὶ οὐκ B. ὃ οὐκ Fl. 15.
8. εἶδος] ἦθος I. omisso δῆθεν.
ib. παραινέσει] ἀνίσει A.
9. Ἄλλως add. A.
11. γενήσῃ, εἰ δέξῃ τὴν] γένῃ καὶ δέξῃ καὶ A.
12. ἀποστᾶσα—κρείττονα νουθεσίαν habet M. ex quo πορεύσομαι κρείττονα recepi pro πορεύομαι κρείττω. In B. hoc quoque scholion est, τῷ λόγῳ οὐκ ἠκολούθουν, ἀλλ' ἀντέλεγον ἀποστᾶσα ἐπ' ἄλλην πορεύομαι κρείττονα νουθεσίαν.
15. τὴν στυγνὴν—μετέρχομαι hic om. A., sed verba ὅπου οὐ καλῶς ἠκολούθουν σοι (sic etiam M.)—μετέρχομαι habet in initio proximi scholii ante εἴ τι.
17. τουτέστι—παῦσαι] Separatum scholion in M.in alia parte paginae.
20. Ἄλλως ante lemma B.I. Totum schol. om. M.
ib. τὸ πρότερον A. τὸ om. B.I.
22. συνδιοικήσουσι (συνδιοικήσουσιν οὖν B.M.I.)—τὴν μοιχείαν hic habet A., infra post ἢ τοιοῦτον B.I. Separatum in margine scholion efficiunt in M.
25. εἰς] πρὸς Fl. 6. 15.

τοιαῦτα τὸ τῶν γυναικῶν γένος. ἔοικε δὲ λέγειν ἔρωτας, ἢ τοιοῦτον ἀπόρρητον.

295. εἰ δ' ἔκφορός σοι: ἐκβληθῆναι δυναμένη. A. ἀντὶ τοῦ ἀνακοινωτέα εἴη ἡ νόσος. σώματος ἦν ἢ ἐνόσει. M. ἀντὶ τοῦ ἐξελεγχθῆναι καὶ ῥηθῆναι δυναμένη, τουτέστιν, εἰ δὲ δύνανται καὶ ἄρσενες ἀκοῦσαι τὰς συμφοράς. B.I.

298. ἀλλ' ἤ μ' ἐλέγχειν: ἀλλ' ἀντίλεξιν, εἰ μὴ καλῶς λέγω. A.B. Fl. 15.

299. συγχωρεῖν: συναινεῖν, πείθεσθαι. Fl. 15. πείθεσθαι, συντρέχειν. B.

300. δεῦρ' ἄθρησον: δεῦρο εἰς ἐμὲ βλέψον, ἵνα κἂν διὰ τῆς ὄψεως αἰδεσθῇς με· εἶτα ὡς ἐκείνης μὴ ἐνατενιζούσης, μηδὲ πραϋνομένης τῇ παραινέσει, φησὶ πρὸς τὸν χορὸν, μάτην, ὦ γυναῖκες, μοχθοῦμεν, πείθειν ταύτην πειρώμενοι. ἢ οὕτως· εἰς δὲ τὸ πείθειν· ὁμοίως ἄπεσμεν τοῖς πρὶν ῥήμασιν· ὥσπερ γὰρ δι' ἐκείνων οὐδὲν ἠύσαμεν, οὕτως οὐδὲ διὰ τούτων.

303. λόγοις ἐθέλγεθ' ἥδε: ἐχαυνοῦτο, ἐμαλάσσετο. τὰ γὰρ βρεχόμενα μαλάσσεται. ἡ μεταφορὰ ἐκ τούτου. γράφεται δὲ διὰ τριῶν, λόγοις ἐπείθετο, λόγοις ἐθέλγετο, λόγοις ἐτέγγετο. A.

304. ἀλλ' ἴσθι μέντοι: λοιπὸν ἀπεγνωκυῖα τὴν κολακείαν κνηστικῆς αὐτὴν λόγοις ἐρεθίζει, φάσκουσα, ἴσθι ὅτι, ἐὰν θανῇ, μὴ ἀξιώσασα λόγου τὸν σὸν ἄνδρα, προδώσεις τοὺς σοὺς παῖδας. ἐκβληθήσονται γὰρ τῶν οἴκων. λοιπὸν πρὶν ἀποπληρῶσαι τὸν λόγον διὰ μέσου φησὶ "πρὸς ταῦ' αἰθαδεστέρα γενοῦ θαλάσσης." Ἄλλως.

1. ἢ τοιοῦτον ἀπόρρητον A.M. ἢ τοιοῦτον, omisso ἀπόρρητον, B.I. ἢ τοιαῦτα ἀπόρρητα Fl. 6. 15. Post quae Fl. 6. 15. et A. addunt ἢ οὐ (οὕτως A.) μὴ ἐᾷς τινος καὶ οὐ θέλεις εἰδέναι τινά.

6. τὰς συμφορὰς] τὴν συμφορὰν M. qui haec habet inde ab verbis εἰ δὲ δύνανται. τῆς συμφορᾶς B.

7. ἀλλ' om. A.

ib. εἰ μὴ] εἰ οὐ A.

11. κἂν] καὶ A. In M. major scholii pars legi nequit.

12. ἐνατενιζούσης, μηδὲ] ἀτενιζούσης μήτε A.

14. ἢ οὕτως] ἴσον δ' ἄπεσμεν A.

15. ἐκείνων] ἐκείνου I.

19. λόγοις ἐπείθετο—ἐτέγγετο] Haec etiam in M. et separato scholio ἐχαυνοῦτο—μαλάσσεται. μεταφορὰ ἐκ τούτου. In B. est (ad ἐτέγγεθ') γρ. τοιχῶς λόγοις ἐπείθετο, λόγοις ἐθέλγετο, λόγοις ἐτέγγετο, ἀντὶ τοῦ ἐχαυνοῦτο, ἐμαλάσσετο μεταφορικῶς ἐκ τούτου.

21. ἴσθι om. I.

ib. μὴ om. A.

22. λόγου] λόγων A.

24. γενοῦ] γίνου A.

ib. Ἄλλως non hic, sed lin. 23. ante λοιπόν habet A., om M. qui

γίνωσκε προδιδοῦσα τοὺς σοὺς παῖδας, εἰ θανῇ, μὴ κατέχοντας καὶ δεσπόζοντας τῶν πατρῴων οἴκων.

307. μὰ τὴν ἄνασσαν : ἔσθ' ὅτε ἠθικῶς ὀμνύομεν κατὰ τῶν ἐχθρῶν, οὐ σεμνῦναι αὐτοὺς βουλόμενοι, ἀλλ' εἰρωνευόμενοι. ἢ πρὸς πλείονα ἐρεθισμὸν κατ' ἐκείνης ὄμνυσιν, ἢ ἐπεὶ εἰώθασιν οἱ εἰρωνευόμενοι κατὰ τῶν ἐχθρῶν ὀμνύναι, ὡς καὶ Σοφοκλῆς, ἐν Μυκηναίαις

μὰ τὴν ἐκείνου δειλίαν, ᾗ βάσκεται,
θῆλυς μὲν αὐτός, ἄρρενας δ' ἐχθροὺς ἔχων.

νόθον δὲ φρενοῦντα, καθὸ φιλοσοφίαν ἤσκει, ὅπερ ἐστὶν ἐλευθέρων.

10 Ἀμαζόνα : τὴν Ἀντιόπην λέγει. A.M. Fl. 15.

309. τὸ εἰσθά νιν καλῶς προσέθηκε. πρὸς πλείονα γὰρ οὐδύνην αὐτὴν ἐκίνησεν, οὐκ ἀμφίβολον αὐτῇ τὴν γνῶσιν τούτων εἶναι λέγουσα.

310. Ἱππόλυτον. οἶμοι : ἀκούσασα ἡ Φαίδρα τοῦ ἐρωμένου τὸ 15 ὄνομα θρηνητικὸν ἐπίφθεγμα εἶπεν. A.B.M. θιγγάνει δὲ σέθεν τόδε : εἶον καθήψατό σου, φησὶ, τῆς ψυχῆς καὶ λόγῳ μόνον εἰρημένον τὸ περὶ τῆς ὀρφανίας τῶν παίδων. οἶμαι ὅτι τοῦτον οὐκ ἐφόνευσας, διὰ τὸ εἰρηκέναι "ἄλλῃ δ' ἐν τύχῃ χειμάζομαι." A.B.I.

311. καί σε πρὸς θεῶν : τὸ ἑξῆς· καί σε πρὸς θεῶν λίσσομαι τὸ 20 αὖθις, ὅ ἐστι τὸ μετὰ ταῦτα, περὶ τοῦ ἀνδρὸς μηδὲν φθέγγεσθαι. A.B.I.

313. ὁρᾷς : διὰ τὸ μηδὲ λόγῳ ἀνέχεσθαι ἀκούειν ἀδικουμένους ὑπὸ τοῦ νόθου τοὺς παῖδας. οὕτως ἤκουσεν ἡ τροφός. A.B. Fl. 15.

ante γίνωσκε habet εἰ ἀποθάνοις μὴ κατέχοντας καὶ δεσπόζοντας τῶν οἴκων.
1. εἰ θανῇ] εἰ θανεῖ M. Verba μὴ—οἴκων hic addidi ex A. Habet ea etiam B. (omisso πατρῴων), sed separato scholio.
3. τῶν om. A.
4. εἰρωνεύόμενοι] εἰρωνεύομεν A.
5. κατ' ἐκείνης (ἐκεῖνο A.) ὄμνυσιν om. M.
ib. οἱ om. A.
6. καὶ om. A.
ib. μυκηναίαις M. μικήναις A.B.I.
8. ἄρρενας] Immo ἄρσενας.
9. δὲ om. A.
ib. καθὸ—ἐλευθέρων om. M.
11. τὸ add. M.
ib. προσέθηκε M. τοῦτο προσέθηκε B.I. προσέταξε A.
12. τούτων] ταύτης A.
14. ἡ Φαίδρα] φὴ (i.e. φησὶν) B.
15. δὲ et εἶον om. A., totum scholion om. M.
16. καὶ λόγῳ] καὶ om. A.
17. τὸ A.B. τοῦτο τὸ I.
ib. τῆς om. I.
ib. εἶμαι—χειμάζομαι om. A.
20. τὸ μετὰ] τὸ om. A.
ib. περὶ om. B.
22. διὰ τὸ A.B. διὰ τοῦτο Fl. 15.
ib. λόγῳ] λόγου A.B.
ib. ἀδικουμένους post παῖδας Fl. 15.

314. παῖδας: Ἀκάμας καὶ Δημοφῶν παῖδε Φαίδρας καὶ Θησέως. B.M. Fl. 15.

316. ἀγνὰς μέν, ὦ παῖ: οἶμαι ὅτι τοῦτον οὐκ ἐφόνευσεν. διὰ τὸ εἰρηκέναι "ἄλλῃ δ' ἐν τύχῃ χειμάζομαι." A.

318. μῶν ἐξ ἐπακτοῦ: διὰ φαρμακείας γεγενημένης. ἐπακτὴ γὰρ πημονὴ ἡ ἔξωθεν ἐπαγομένη καὶ ἐγγινομένη γοητεία παρὰ τῶν ἐχθρῶν. A.B.M.I. μή τίς σοι, φησὶ, τῶν ἐχθρῶν, ἐπάγει τι λύπης ἄξιον, ἆρά τινος ἔχθραν ἐπαγωγὸν μηχανησαμένης σου· εἰώθασι γὰρ οἱ ἐχθροὶ ἐπαγωγάς τινων δαιμονίων ποιεῖσθαι ἐπὶ τὰς οἰκίας. ἢ οὕτως, μή τίς σε τῶν ἐχθρῶν ἐφάρμαξε; διὰ τὸ εἰρηκέναι "φρὴν δ' ἔχει μίασμά τι." A.B.I. πημονῆς: ἐπεὶ ἀσεβής ἐστιν αὐτῆς ὁ ἔρως. A. Fl. 15.

319. φίλος μ' ἀπόλλυσ': ἐπειδὴ εἶπεν φίλος, λέγει ἡ τροφὸς, μή τι ἄρα ὁ Θησεὺς εἷς σε ἄκων ἡμάρτηκεν; A.B.M.I. τὸ μὲν οὖν φίλος πρὸς ἀντιδιαστολὴν ἐχθροῦ τινος· τὸ δὲ οὐχ ἑκών, ἐπεὶ οὐκ ἐκ προνοίας αὐτοῦ ἦν ὁ ἔρως. A.B.I.

321. μὴ δρῶσ' ἔγωγε: εἶθε, φησὶν, ἐγὼ μὴ ὀφθείην ἀδικοῦσα αὐτὸν, ὡς ἐκεῖνος ἐμὲ οὐδὲν ἀδικεῖ. A.B. Fl. 6. 15.

324. ἐν δὲ σοὶ λελείψομαι: ὅ ἐστιν ἐνιζανοῦμαί σοι, ἢ ὅτι ἐν σοὶ καταλειφθήσομαι, ἢ ἐξαρτῶμαί σου τῇ ἱκεσίᾳ, ἢ ἐν σοὶ τὸν βίον

1. Φ. καὶ Θ.] θ. καὶ φ. Fl. 15.
5. γεγενημένης Matth. γεγενημένη A.B. Fl. 6. γεγενημένην I.
ib. ἐπακτὴ] ἐπακτὸς Monk.
6. ἡ om. I.
ib. καὶ ἐγγινομένη addidi et A.
7. φησὶ post τῶν ἐχθρῶν A.
8. ἆρά τινος] ἄρα τινὸς I.
ib. ἐπαγωγόν add. A. Fl. 6.
9. τινῶν δαιμονίων A.B. τινῶν δαιμόνων I. τινὰς δαιμονίων Fl. 6.
10. τίς σε] οὖν add. A.
ib. διὰ A.B. λέγει δὲ διὰ I.
11. αὐτῆς ὁ A. ὁ ταύτης Fl. 15.
13. ἐπειδὴ] ἐπεὶ B. ἐπεὶ δὲ A. in quo verbo ἐπεὶ δὲ—ἡμάρτηκεν post ὁ ἔρως leguntur, omisso ὁ.
ib. ἡ τροφὸς add A.
14. εἷς σε A. Fl. 6. 15. εἴς σέ τι B.I.
ib. ἄκων ἡμάρτηκεν A. ἥμαρτεν, omisso ἄκων, B.I.
ib. οἶν et l. 16. ἦν om. A.
15. φίλος] ἥμαρτεν I.
17. ἐγὼ μὴ A. μὴ ἐγὼ B. ἐγὼ μὲν Fl. 6. 15.
19. ὅ ἐστιν ἐνιζανοῦμαί σοι, ἢ ὅτι ἐν —ἐξαρτῶμαι ex A. dedi. In B.M.I. hoc scholion ab ἐξαρτηθήσομαι (non ἐξαρτῶμαι) incipit. In B. tamen separatum scholion est λελείψομαι: ἐνιζανοῦμαί σοι. ἢ ὅτι ἐν σοὶ καταλειφθήσομαι. ὁρᾶς δὲ τὸ βούλει (sic) :—
ib. ἐξαρτηθήσομαι — ἀπολύσομαι] Vulgo [in B.I.] haec ad ἐξαρτωμένη v. 325. referuntur, sic scripta: ἐξαρτηθήσομαί σου τῇ ἱκ. Ad v. 324. retuli et verba ἀντὶ τοῦ ἐν σοὶ καταλ. ἢ ὅτι addidi e Flor. 15. qui praeterea habet ἢ ὅτι ἐξαρτοῦμαί σοι τῇ ἱκ.—ἢ μὴ ἄρα φ. μετά τινος αὐτὸν οὐ συγχ. οὐδὲ ἀπολύσω. εἰ μὴ ἄρα μετά τινος ἀν.

λείψω. εἰ μὴ ἄρα, φησὶ, μετά τινος ἀνάγκης, οὐ συγχωρήσω. οὐδ' ἀπολύσομαι.

325. ἐξαρτωμένη: ἀντωμένη, λαμβανομένη. A. Fl. 15.

327. κάκ', ὦ τάλαινα: ἤτοι πρὸς ἀνατροπὴν τοῦ πυθέσθαι ἐπάγει δεύτερον τὸ κακά. κακόν ἐστί σοι, εἰ πεύσῃ τὰ σιωπάμενα κακά. A.B.I.

329. ὀλῇ: ἀπολῇ ἀκούσασα τὸ πάθος· οὕτω γὰρ δεινόν ἐστιν ὡς καὶ τοὺς ἀκούοντας φίλους διαφθείρειν. A. Fl. 15. ἀπολῇ, φησὶν, εἰ ἀναγκάσεις με λέγειν. ἐμοὶ δὲ τὸ σιωπᾶν τιμὴν ἀπονέμει, καθὸ οὐκ ἔκφορος ἡ νόσος εἰς πολλοὺς γίνεται, ἀλλὰ συγκαταθάλψω μαυτῇ τὸ τῆς σωφροσύνης ὄνειμα, μέλλουσα ἐν σωφροσύνῃ τελευτᾶν. A.B.M.I. ἢ οὕτως· ἐὰν μή μοι εἴπῃς, ἀπεθανῇ, τοῦ δὲ στερηθῆναί σου μεῖζον οὐκ ἔστι μοι κακόν. εἶτα, φησὶν, ἀπολοῦμαι. τὸ δὲ ἀπολέσθαι με τιμήν μοι φέρει. ἡ δὲ γραῦς μὴ νοήσασα τὸ πρᾶγμά φησιν, εἰ τιμήν σοι φέρει τὸ πρᾶγμα, διὰ τί μὴ λέγεις, κρύπτεις χρηστά. B.I.

330. κἄπειτα κρύπτεις: ἐὰν μὴ ᾖ στιγμὴ εἰς τὸ χρηστά, ἐστὶν ὁ λόγος, κρύπτεις τὰ καλὰ, ἐμοῦ παρακαλούσης σε λέγειν αὐτὰ, ὅ ἐστιν ἐμοὶ τὰ τιμῆς σοι αἴτια ἐσόμενα οὐκ ἀξιοῖς ἀνακοινώσασθαι. ἢ οὕτως· κρύπτεις με, ἐμοῦ χρηστὰ ἱκετευούσης καὶ χρησίμως ἀξιούσης ἀνακοινοῦσθαί μοι καὶ ἐπὶ χρηστῷ. A.B.I.

331. ἐκ τῶν γὰρ ἐσθλῶν: ἐὰν εἴπω τὸ ἀγαθὸν, εἰς αἰσχρόν μοι καθίσταται. εἰκότως, φησὶ, κρύπτω ἃ ἀπαιτεῖς με λέγειν. μέλλω

ad verba οὐ δῆθ' ἑκοῦσά γε explicanda valent. MATTH.

3. ἀντωμένη] ἀντὶ τοῦ A.
4. ἤτοι om. A.
ib. ἐπάγει δεύτερον τὸ] εἶπε δεύτερον τὰ A.
5. κακόν ἐστί σοι A. κακὰ οἷν ἐστιν B.I.
6. τὸ πάθος A. τοῦ πόθου Fl. 6. 15.
7. ὡς καὶ] ὡς ὁ A.
ib. ἀκούοντας A. ἄκοντας Fl. 6. 15.
ib. ἀπολῇ] τὸ μέντοι ἀπολῇ M.
8. φησὶν εἰ] εἰ δ' A. ut videtur.
ib. ἀναγκάσεις] ἀναγκάσοις Fl. 6. 15.
ib. με om. A.
ib. τὸ] τοσοῦτο A. τοῦτο B. Fl. 6. 15.
ib. ἀπονέμει A.M. φέρει B.I.
9. ἡ νόσος εἰς πολλοὺς γίνεται A. εἰς πολλοὺς ἡ νόσος, omisso γίνεται, ceteri.
16. κἄπειτα κρύπτεις add. A.
ib. ἐὰν A. ἂν B.I.
ib. μὴ] μὲν Heath.
ib. χρηστά] κρυπτά A.
17. ὅ ἐστιν] τοῦτ' ἐστὶν A.
18. ἐσόμενα] γινόμενα A.
19. ἢ οὕτως om. I.
ib. με A. Fl. 6. 15. μοι B.I.
20. καὶ ἐπὶ χρηστῷ add. A., om. B.I. In Fl. 6. 15. est καὶ ἀξιούσης ἀνακοινοῦσθαί μοι καὶ ἐπὶ χρηστοῖς.
21. ἐὰν—μοι καθίσταται addidi ex A. Habet etiam Fl. 6. qui ᾧ pro μοι.
22. φησὶ add. A.
ib. μέλλω γὰρ] γὰρ om. A.

γὰρ ἐκ τούτων τῶν ἐσθλῶν, δηλαδὴ τῆς ἐγκρατείας, εἰς αἰσχρὰ μεταλαμβάνειν, ὅ ἐστι φανέντι ἐμαυτήν. ἐὰν μέντοι ἡ λέγουσα ἡ γραῦς, χρηστά μου ἀναγκαζούσης σε λέγειν κρύπτει με, ἀκλεὴς ἐπιφέρει ὅτι ἐκ γὰρ τῶν ἀγαθῶν τούτων ἃν λέγεις, ὅ ἐστι τοῦ φανερῶσαι τὸ πάθος, ἐγὼ εἰς αἰσχρὰν ἐμπεσοῦμαι φήμην, ἣ καὶ πιρνεῖον ἀναγκασθήσομαι. γράφεται δὲ καὶ "ἐκ τῶν γὰρ αἰσχρῶν ἐσθλά." ὅ ἐστι, πειρῶμαι μὲν ἀπὸ πορνείας ἐξελθεῖν, εἰς σωφρονισμὴν δὲ πηδῆσαι. διὸ ἐν σιωπῇ βούλομαι ἀπιθανεῖν. καὶ ἔστιν αὕτη ἡ γραφὴ ἁρμοζομένη τῷ ἑξῆς· εἰ γὰρ κρύφα, φησίν, ἐξ αἰσχρῶν ἐσθλὰ μηχανήσασθαι βουλεύῃ, πόσῳ μᾶλλον θαυμασθήσῃ αὐτὴν διεξελθοῦσα σαφῶς τὴν βουλήν. καθόλου γὰρ ἡ σαφὴς ἐπίδειξίς ἐστιν ἰσχυροτέρα. διὸ καὶ ἀπορήσασα αὐτειπεῖν φησιν, ἄπελθε πρὸς θεῶν δεξιᾶς τ' ἐμῆς μέθες. ὅμως γε μὴν ἡ προτέρα γραφὴ βελτίων.

332. τιμιωτέρα φανῇ: σεβασμιωτέρα ἐμοὶ φανῇ τὰ ἀπόρρητά μοι βαρρεῖσα, ἢ σφωτέρα. ὡς φίλους θαρρεῖσα τὴν συμφοράν, καὶ μὴ κρυπτῷ πάθει πολιορκουμένη. κατὰ γὰρ Μένανδρον τὸ τοῖς φίλοις λέγειν τὰ ἀναγκαῖα σοφῶν ἀνδρῶν ἐστιν, ἐν οἷς φησι "λανθάνει τὰ πράγματα τοὺς λέγειν ἡμῶν ὀκνοῦντας τὰς ἀληθείας ἀεὶ τοῖς ἀναγκαίοις" καὶ τὰ ἑξῆς. A.B.I.

1. μεταλαμθάνειν A.M. Fl. 6. μεταβαίνειν B.I.
2. ἐμαυτήν] ἑαυτήν A.
3. σε om. A.
ib. ἐπιφέρει] ἐπιφήσει I.
4. γὰρ om. A. ἂν λέγεις om. M.
ib. τοῦ] τὸ A.
5. τὸ πάθος] τὰ πάθη M.
ib. ἐμπεσοῦμαι] πεσοῦμαι B.I.
6. γράφεται δὲ καὶ addidi ex B.
ib. ἐκ τῶν γὰρ αἰσχρῶν] ἄλλως ἐκ γὰρ τῶν ἐσθλῶν A. In M. scholion hoc (γράφεται—γραφὴ βελτίων) deest.
ib. ἐσθλά addidi.
7. μὲν A. γὰρ B.I.
ib. ἐξελθεῖν A. ἐκφυγεῖν B.I.
9. γὰρ κρύφα A. δὲ κρύφα B.I.
ib. ἐσθλὰ addidit Matth.
10. θαυμασθήσῃ] θαυμάσῃ A.
ib. διεξελθοῦσα B. Fl. 6. διελθοῦσα A.I.
ib. τὴν βουλήν hic A.; post αὐτὴν B.I.
11. ἡ σαφὴς] ἡ ἀφ' ἧς A.
12. ἀπορήσασα] ἀπορρήσασα B. Fl. 6.
ib. δεξιᾶς τ' ἐμῆς μέθες om. A.
13. γε μὴν add. A.
ib. προτέρα A. πρώτη B.I.
ib. βελτίων] βέλτιον A.
14. σεβασμιωτέρα—θαρρεῖσα ἢ addidi ex A.
16. κατὰ γὰρ Μένανδρον] καὶ γὰρ μένανδρος A.
17. σοφῶν ἀνδρῶν ἐστιν hic A., post Μένανδρον B.I. Menandri verba ex tetrametris trochaicis sumta sunt.
ib. λανθάνει] λανθάνειν B.I.
19. ἑξῆς] Addunt B.I. λέγει οὖν ὅτι σεβασμιωτέρα ἐμοὶ φανῇ τὰ οὕτως ἀπόρρητά μοι θαρρεῖσα. Quae in initio scholii posui cum A.

337. ὦ τλῆμον, οἷον, μῆτερ ἠράσθης ἔρον: αἰνιγματικῶς θέλει φράσαι τὸν ἔρωτα. πιθανώτατα δὲ ἅμα τῷ αἰνιγμῷ καὶ τὴν συγγνώμην ἠτήσατο, ὡς προγονικὸν κεκτημένη τὸ πάθος καὶ οὐκ ἰδίας φύσεως ἁμάρτημα.

339. σύ τ', ὦ τάλαινα: ἀντὶ τοῦ ὃν εἰς τὸν ταῦρον ἔσχεν. Θησέως γὰρ ἠράσθη Ἀριάδνη, ἡ ἀδελφὴ Φαίδρας. B.M. Fl. 15.

340. κακορροθεῖς: κακολογεῖς. M. Fl. 15. λοιδορεῖς. A.M. Fl. 15. ὑβρίζεις. B. ὠνείδιζε γὰρ αὐταῖς τὰς νόσους. M.

343. ἐκεῖθεν ἡμεῖς: ἐκ τῆς καταγωγῆς τοῦ γένους δυστυχοῦμεν τὴν νόσον τοῦ ἔρωτος, ἀντὶ τοῦ προγονικήν τινα δυστυχίαν δυστυχοῦντες τοῦτο πάσχομεν. A.B.M.I. γρ. καὶ νεωστὶ, ἵν' ᾖ καὶ ἐκεῖθεν καὶ νεωστὶ δυστυχοῦμεν. A.B.M.

344. οὐδέν τι μᾶλλον: οὐ μᾶλλον οἶδα. τὸ δὲ οὐδέν παρέλκει. B. οὐδὲν πλέον σου ἐπεξεργαζομένης ἔχω γνῶναι, ὃ βούλομαι ἀκοῦσαι, τουτέστι προφάσει τῆς νόσου οὐδὲν μᾶλλον οἶδα ἀκούειν ὃ βούλομαι.

345. πῶς ἂν σύ μοι λέξειας: ἐπεὶ παχυτέρα τὸν νοῦν οὖσα ἡ γραῦς τοῖς τοιούτοις αἰνιγμοῖς οὐ συνῆκε τὸ λεγόμενον ὑπὸ τῆς Φαίδρας, ἀγανακτοῦσα ἡ Φαίδρα φησὶ, πῶς ἂν δυνηθείης εἰπεῖν μοι ταῦτα ἃ ἔδει ἐμὲ ἀποκρίνασθαι, καὶ πῶς μοι λέγοις ἃ μέλλω λέγειν; ἐπεὶ οὖν, ὡς εἴρηται, πολυμερῶς αἰνιξαμένη τὸ παχύτερον τοῦ λογισμοῦ τῆς γραὸς οὐκ ἐξυνήκη συμβαλεῖν, ἀπερυθριῶσα τὸ πάθος ἐξειπεῖν, εἰς τοῦτο ἀπορίας ἦλθε ὥστε ἐρωτᾶν αὐτὴν ἅπερ αὐτὴν ἔδει λέγειν. τοῦτο δὲ καὶ τὸ αἰδεστικὸν τοῦ γυναίου τεκμαίρει

1. αἰνιγματικῶς] αἰνιγματωδῶς I.
ib. θέλει φράσαι] φράσαι θέλει B.I.
2. τῷ αἰνιγμᾷ] τῶν αἰνιγμᾶν Fl. 6.
3. κεκτημένη] κεκτημένην I. κεκτημένος M.
5. ἀντὶ τοῦ—ἔσχεν addidi ex B.
6. Ἀριάδνη, ἡ] ἡ ἀριάδνη Fl.
14. ἐπεξεργαζομένης A.M. ἐπεργαζομένης B.I.
15. προφάσει] πρόφασιν A.M.
17. ἐπεὶ—ἐξειπεῖν] πῶς ἂν δυνηθείης—λέγοις ἃ μέλλω λέγειν. ἐπεὶ παχυτέρα τὸν νοῦν οὖσα ἡ γραῦς τοῖς τοιούτοις αἰνιγμοῖς οὐ συνῆκε—ἡ φαίδρα φησὶ πῶς ἂν σὺ μὲν τὸ πάθος ἐρυθριῶσα ἐξειπεῖν M.
18. τοῖς τοιούτοις (τοσούτοις Fl. 6.) αἰνιγμοῖς om. A.I.
20. λέγοις] λέξεις A.
ib. μέλλω λέγειν A.M. λέγειν μέλλω B.I.
21. οὖν] γὰρ A.
ib. ὡς εἴρηται om. A.
22. τοῦ λογισμοῦ add. A.
23. εἰς τοῦτο ἀπορίας] εἰς ἀπορίαν A.
24. αὐτὴν ἔδει] καὶ δεῖ A.
ib. αἰδεστικὸν] αἰδετικὸν Fl. 6. αἰσχυντικὸν M.
ib. τεκμαίρει] δηλοῖ M.

καὶ τὸ κομματικὸν τῶν νοσούντων. κεκωμῴδηται δὲ ὁ στίχος οὗτος ὑπὸ Ἀριστοφάνους διὰ τὴν κοινότητα καὶ εἰς παροιμίαν μετῆκται.

347. τί τοῦθ' ὃ δή: ἀγνοούσῃ δ' αἰνιγμῶν αὐτῇ συμβάλλειν αὐτὴ λοιπὸν ἐρωτᾷ τὴν τοῦ ἔρωτος φύσιν, δηλοῦσα ὅτι ἔκ τινος θείας ὀργῆς τοῦτο νοσεῖ, οὐκοῦν ἐκ μελέτης καὶ κακῆς φύσεως, ὅπου γε καὶ τὴν ἰδίαν ἀγνοεῖ τοῦ πάθους φύσιν. A.B.I.

349. ἡμεῖς ἂν ἦμεν: τῷ ἑτέρῳ εἴδει τοῦ ἔρωτος, δηλαδὴ τῷ ἀλγεινῷ, ὡς δηλοῖ ἡ νόσου. A.B.

351. ὅστις ποθ' οὗτος: πιθανώτατα παρέδραμε τὸ ὄνομα, ἤτοι αἰδουμένη, ἢ διὰ τούτου σημᾶναι θέλουσα ὡς οὐκ ἐξ εἰδήσεως οὐδὲ ἀπὸ τρυφῆς καὶ συνεχείᾳ θέας αὐτοῦ ἐρᾷ, ἀλλὰ χρόᾳ τῆς Ἀφροδίτης, οὐ τῷ κάλλει τοῦ νέου. οἱ σώφρονες γὰρ οὐχὶ θέλοντες κακῶν ἐρῶσιν, ἀλλ' ἀναγκαζόμενοι.

352. σοῦ ταῦ', οὐκ ἐμοῦ: σαυτῆς ταῦτα κλύεις, οὐκ ἐμοῦ, ἀντὶ τοῦ, σὺ εἶπας, οὐκ ἐγώ. ἄριστα δὲ καὶ ἡ ἄρνησις μετὰ τὴν ὁμολογίαν τὴν σαφῆ.

353. οἴμοι, τί λέξεις: σαφῶς ἀκούσασα τὸν ἔρωτα λοιπὸν σχετλιάζει τὴν ὑπερβολὴν τοῦ πάθους. κομματικὴ δὲ ἡ διάνοια ὡσὰν ἐκπεπληγμένης τῷ θαύματι.

357. χαίρετ': σώζοισθε. B.

358. οἱ σώφρονες: ἡ σωφρονοῦσα αὐτή. B.

359. οὐκ ἄρ' ἦν θεός: θεὸν γὰρ κυρίως λέγουσι τὸν μετὰ τοῦ προνοητικοῦ καὶ τὸ δυνατὸν ἔχοντα τῶν δυναστευομένων. μείζονα οὖν φησιν αὐτὴν θεοῦ, καθὸ μόνον ἐνδείξασθαι δύναμιν γίνεται, οὐ τοῦ προνοεῖσθαι.

2. Ἀριστοφάνης] Eq. 16.
ib. διὰ τὴν κοινότητα add. B. Fl. 6.
3. ἀγνούσῃ A. ἀγνοοῦσι B.I. ἀγνοοῦσα Fl. 6.
4. αὐτὴ] αὐτοῦ A.
ib. ἐρωτᾷ om. A.
ib. τοῦ add. A.
5. ὀργῆς] ὁρμῆς A.
ib. οὐκοῦν—φύσιν addidi ex A.
9. πιθανώτατα] πιθανώτερος A.
12. οἱ σώφρονες—ἀναγκαζόμενοι hic om. A., sed habet separatim (cum lemmate οἱ σώφρονες γάρ) οὐχὶ θ.—ἀναγκαζόμενοι.
14. σαυτῆς—οὐκ ἐγὼ add. A. Fl. 6. 15., om. I. Priora tantum σαυτῆς—οὐκ ἐμοῦ sunt in B.
17. τὸν ἔρωτα] τοῦ ἔρωτος I.
22. λέ' (i. e. λέγουσι) A. φασὶ B. Fl. 6. 15. φησὶ I.
ib. μετὰ—δυνατὸν A. μετὰ τοῦ δυνατοῦ καὶ τὸ προνοητικὸν B.I.
23. τῶν δυναστευομένων om. A.
24. φησιν addidi ex A.
ib. γίνεται A.B. Fl. 6. 15. δύναται I.
ib. οὐ τοῦ A.B. τοῦ om. I. οὕτω ex Fl. 6. 15. affert Matth.

362. ἄϊες ὦ: ἐκπλαγεὶς ὁ χορὸς τὴν ὑπερβολὴν τοῦ πάθους, σχετλιάζει οἰκτείρων ἅμα καὶ θρηνῶν τὸ συμβάν. καὶ τὸ σχετλιαστικὸν ὦ διὰ μέσου κείμενον οἰκεῖον ἐν λυπουμένοις. οὐκ εὐαπάρτιστον ἀποτελεῖ τὸ σχῆμα τοῦ λόγου, διαφόρως τε ῥήμασιν αὐτὸ κατεπάγει, τὸ τῶν λυπουμένων ἦθος μιμούμενος, ὅσοι τὰ αὐτὰ κατεπάγουσι πρὸς πλείονα ἐνθύμησιν τῶν ἑαυτῶν κακῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἤκουσας, φησὶ, τῆς τυράννου τὰ ἀνήκουστα καὶ δυστυχῆ πάθη θρούσης καὶ λεγούσης. πρὸς ἀλλήλας δέ φασιν, οὐχ ὡς ἀγνοοῦσαι τὰ λεχθέντα, ἀλλὰ πρὸς πλείονα σύστασιν καὶ ἐνθύμησιν τοῦ πάθους. οἰκειότατα δὲ μέσον κατεπάγει τὸ σχετλιαστικὸν, ὡς ἂν τῇ λύπῃ κωλυομένη ἀπαρτίσαι τὴν διάνοιαν. ἀνήκουστα δὲ τὰ μὴ ἀκοῆς ἄξια, τὰ ἀπόρρητα.

363. θρεομένας: λαλούσης. B.

364. ὀλοίμαν ἔγωγε: ἀπολοίμην πρίν σε ἀποθανοῦσαν ἰδεῖν καὶ πληρῶσαι τὴν σὴν φιλίαν. A.B.

σὰν φιλίαν: ἢ πρὶν σὲ τὴν φιλτάτην καταλῦσαι τὴν σωφροσύνην· ταύτην γὰρ φρένας ὠνόμασεν. A.

365. κατανύσαι: πληρῶσαι παρὰ τὴν νύσσαν, ὅ ἐστι πρὶν λῆξιν λαβεῖν σου τὰς προσφιλεῖς φρένας. A.B. καταλῦσαι φρενῶν: στερηθῆναι. M.

367. ὦ πόνοι: ἐν οἷς τρέφονται οἱ βροτοὶ, ἐπεὶ ἐν πόνῳ διαντλοῦμεν. A.B.M. οἱ σύντροφοι ὄντες τοῖς βροτοῖς. B.

369. τίς σε παναμέριος: τίς ἄρα σε χρόνος καὶ ποῖος ἐκ πασῶν

1. ἐκπλαγεὶς] ἐκπλαγεὶς δὲ A. in quo praecedunt verba nunc in fine scholii posita οἰκειότατα μέσον—διάνοιαν.
3. οἰκεῖον (οἰκείως B.) ἐν λυπευμένοις A.B. Fl. 6. 15. οἰκείως ὡς λυπημένης I.
4. ἀποτελεῖ] ἀποτελεῖται A.
ib. διαφόρως τε ῥήμασιν] διαφο (cum compendio) τὲ ῥήματα A.
5. ἦθος] ἔθος A.
7. τῆς τυράννου ante τὰ ἀνήκουστα A.B., post πάθη I.
10. οἰκειότατα A.B. οἰκειότητα I.
ib. δὲ om. A.
ib. μέσον] μέσου I.
ib. κατεπάγει] ἐπάγει A.
ib. τὸ] τὸ σχῆμα A.
11. ἀπαρτίσαι Matth. pro ἀναρτῆσαι.
12. μὴ A. μήτε B.I.
ib. ἀπόρρητα A.B. Fl. 6. 15. ἄρρητα I.
18. Lemma καταύσαι addidi. In A. haec cum scholio superiore cohaerent—τὴν σὴν φιλίαν. τὸ γὰρ καταλύσαι ὅ ἐστιν π.—νύσσαν πρὶν λῆξιν—φρένας.
21. ἐν πόνῳ A.M. ἐπιπόνως B.
ib. διαντλοῦμεν] διατελοῦσι M.
23. τίς σε—ποῖος om. M.
ib. καὶ ποῖος add. A.B. Fl. 6. 15., om. I.

τῶν ἡμερῶν οὗτος ἐξεδέχετο, ἐν ᾧ τὰ τοῦ ἔρωτος νοήσασα ἐξέφηνας. παναμέριος δὲ ὁ ἐκ πασῶν τῶν ἡμερῶν εἰς ταύτην συναφθείς. ἢ οὕτως, ἐκ τίνος ἄρα χρόνου καὶ ποίας αἰτίας αὕτη ἡ δυστυχὴς ἡμέρα ἐξεδέχετό σε.

370. τελευτήσεται: πληρωθήσεται. Fl. 2.

371. ἄσημα: ἄδηλα. M.

εἴ φθίνει: ὅπου ἀποβήσεται. M. διεφθάρης ἐρωτικῷ πάθει. ἀποφαντικῶς. ὃ μέλλει τελειοῦν ἡ τύχη τῆς Κύπριδος. τὸ γὰρ εἰ φθίνει ὅπου χωρεῖ καὶ τέλος ἴσχει, ἀποβαίνει. B.

372. Κρησία: Κρητικὴ οὖσα καθ' ὁ θυγάτηρ Μίνως τοῦ Κρητός. B. Fl. 15.

373. Τροιζῆναι γυναῖκες: ἔσχατον γάρ ἐστι μέρος τῆς Πελοποννήσου ἡ Τροιζὴν παρὰ θάλατταν καταντικρὺ τῆς Ἀττικῆς κειμένη. ἤδη δὲ λοιπὸν ἐγνωσμένου τοῦ πάθους ἀφεμένη τῶν ὑπ' αἰδοῦς αἰνιγματωδῶν διανοιῶν ἀπολογεῖσθαι διαρρήδην ἄρχεται, ὡς κατὰ φύσιν νοήσασα τὸν ἔρωτα καὶ βουλομένη ἐγκρατῶς ἑαυτὴν ἀνελεῖν. εἰκείως δὲ τοῖς ἀπολογουμένοις πολλῷ τῷ γνωμικῷ χρῆται. A.B.I.

374. πρωνόπιον: τὸ κατὰ πρόσωπον κείμενον. M. πρόθυρον. κατὰ γὰρ τῆς Πελοποννήσου ἐστὶν ἡ Τροιζὴν πρὸς ἀνατολάς.

375. ἤδη ποτ' ἄλλως: πολλάκις, φησὶ, διαγρυπνήσασα ἐν νυκτὶ ἐσκόπησα πῶς διέφθαρται ὁ ἀνθρώπινος βίος, ἆρα ἐκ φύσεως ἐχόντων τῶν ἀνθρώπων τὸ ἁμαρτάνειν, ἢ ἐκ ῥᾳθυμίας. καὶ κρίνασα ἔγνων

1. οὗτος om. M. In A. etiam gl. interl. πῶς σε χρόνος ἐκ πασῶν ἡμερῶν οὗτος διεδέχετο.
ib. ἐν om. I.
ib. νοήσασα] Conf. lin. 16.
ib. ἐξέφηνας] ἐξέφηνεν M.
2. εἰς ταύτην om. M.
ib. ἢ οὕτως—ἐξεδέχετό σε om. A.
3. αἰτίας B.M. Fl. 6. 15. ἡμέρας I.
8. ὃ—ἀποβαίνει] Haec etiam in A.
10. Κρητικὴ] δὲ add. B., omisso lemmate Κρησία.
12. ἐστι add. A.
ib. Πηλοποννήσου] πελοποννήσου I. ut p. 81, 2. et infra lin. 19.
13. τροιζὴν κατὰ (scripsi παρὰ) A. τριζηνία περὶ B.I.
ib. θάλατταν] θάλασσαν B.
ib. τῆς Ἀττικῆς] ταῖς ἀττικαῖς I.
14. ἤδη A.B. ἤδε I.
ib. Inter literas ἔγνω et ἀφιεμένη (nam sic codex) in A. decem fere literarum spatium.
ib. ὑπ'] ἐπ' I.
18. πρωνόπιον] δὲ add. B.I.
ib. κατὰ] ἐντὸς Fl. 15.
19. γὰρ om. M.
ib. τῆς πελοποννήσου (vel –νήσου) A.M. Fl. 15. τὴν πελοπόννησον B.I.
ib. Τροιζὴν] τροίζην Fl. 15. τροίζηνα B.I. τριζηνία M.
20. ἐν] τῇ A.
21. ἆρα] ἄρα B.I. ut p. 117, 8.
ib. ἐχόντων] ἔχων A.
22. τῶν add. B.
ib. ἀνθρώπων om. A.

ὅτι οὐκ ἐκ φύσεως πρόσεστιν ἡμῖν ἡ κακία. καὶ ἐκ τούτου δῆλον ὅτι τὰ φυσικὰ πάντα καθόλου πᾶσι παρίπεται, οἷον τὸ γελαστικὸν, τὸ ὑπνοῦν καὶ τὰ ὅμοια, πτύειν, τὸ διαχωρίζειν, καὶ οὐκ ἄν τινα εὕρεις χωρὶς τούτων. εἰ δὲ εὑρίσκεις παρὰ πολλοῖς ἀνθρώποις τὸ εὖ φρονεῖν καὶ δικαιοπραγεῖν, δῆλον ὅτι οὐ φύσει πρόσεστιν ἡμῖν τὸ φαῦλον· οὐ γὰρ ἂν ηὑρίσκοντο πολλοὶ καὶ ἀγαθοί. Ἄλλως. χωρὶς νόσου τυγχάνουσα δηλονότι. πιθανῶς δὲ ἐν νυκτί φησιν ἐνθυμηθῆναι, ὁπότε πάσης τῆς τῶν αἰσθήσεων ἀπηλλαγμένη ὀχλήσεως ἡ ψυχὴ φιλοσοφωτέρως ἐγκαταγίνεται ζητήμασι. πιθανῶς δὲ καὶ τὸ ῥῆμα νοσηλευμένην αὐτὴν ἐνθυμεῖσθαι τοιαῦτα. παρὰ γὰρ τὰς συμφορὰς γνωμικώτεροι γινόμεθα, τῆς φύσεως ἡμᾶς διὰ τοῦ πάθους ἐκπαιδευούσης.

377. καί μοι δοκοῦσιν: οὐκ ἀγνοίᾳ μοι δοκοῦσιν οἱ ἄνθρωποι ἐκπίπτειν εἰς τὰ ἁμαρτήματα, ὅπου γε πολλοὶ καὶ εὖ φρονοῦντες καὶ αἰσθανόμενοι κακῶν τε καὶ ἀγαθῶν ἐκπίπτουσιν εἰς τὸ κακόν. ἐπειδὴ τοίνυν οὐκ ἀγνοίᾳ, ἀλλὰ γινώσκοντες ἁμαρτάνομεν, ταύτῃ σκοπητέον τοῦ βίου τὴν λύμην τίς ἐστιν. γνώμης: τῆς γνώσεως. οὐχ ἁμαρτίᾳ δὲ τῆς γνωμικῆς φύσεως ἁμαρτάνουσιν, ὅπου γε πολλοὶ αἰσθανόμενοι τὸ ἀγαθὸν προκρίνουσιν αὐτοῦ τὸ κακόν.

οὐ κατὰ γνώμης φύσιν: ἀντὶ τοῦ οὐ κατὰ τρόπον φύσεως. Α. οὐκ ἀπὸ ἰδίου νοός. Β. ἤγουν ἀπὸ φύσεως τὸ πράσσειν. Fl. 2.

378. τό γ' εὖ φρονεῖν: τὸ σωφρονεῖν. Fl. 15.

380. τὰ χρήστ' ἐπιστάμεσθα: δεῖξαι βούλεται τοῦτο, ὅτι οὐκ

2. τὰ om. A.
ib. καθόλου add. A.B. Fl. 6. 15.
3. ὑπνοῦν καὶ τὰ ὅμοια om. A.
ib. πτύειν add. A.
ib. τὸ διαχωρίζειν add. A. Fl. 6, 15.
4. παρὰ A.B. Fl. 6. 15. περὶ I.
5. δῆλον ὅτι] δηλονότι I.
ib. οὐ om. A.
6. ηὑρίσκοντο A.B. εὑρίσκοντο I.
ib. Ἄλλως A. ἤδη ποτ' ἄλλως B. et praefixo Ἄλλως I.
7. δηλονότι om. A.
8. πάσης] πάσχει I.
ib. ἀπηλλαγμένη ὀχλήσεως] ἀπηλλαγμένης αἰσθήσεως I.
9. καὶ τὸ] τὸ καὶ A.
10. παρὰ A. τότε B.I. In Fl. 6. 15. est παρὰ γὰρ ἀμφοτέρων γνωμικώτεροι γινόμεθα παρὰ φύσεως ἡμᾶς διὰ τὸ πάθος ἐκπ.
ib. τὰς συμφορὰς add. A.
11. τοῦ om. A.
13. ἀγνοίᾳ] ἀνοίᾳ A.
14. ἐκπίπτειν] ἐμπίπτειν M.
15. εἰς τὸ] ἔχοντες M. Quae post κακόν sequuntur om. M.
16. ἀλλὰ om. A.
17. τίς] τί I.
18. ἁμαρτάνουσιν add. A.
23. τοῦτο add. A. Fl. 6. 15., om. B.I.

ἀγυιᾶ τοῦ καλοῦ τὸ κακὸν πράττομεν. ἅτινα μὲν οὖν χρηστὰ καὶ χρήσιμα τῷ βίῳ καθέστηκεν ἴσμεν, ἐκπονεῖν δὲ αὐτὰ οὐ θέλομεν, διαφόρους ἡδοναῖς ἡττώμενοι. ἀπό τινος γὰρ ἀργίας καὶ ὄκνου τοῦ ἐκπονεῖν τὰ καλὰ τὰ κακὰ μετέρχονται. ὅσῳ γὰρ δυσάλωτός ἐστιν ἡ ἀρετή, τοσούτῳ ἡ κακία εὐάλωτος. καὶ Ἡσίοδος "τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι, τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν."

381. οὐκ ἐκπονοῦμεν: οὐ τελειοῦμεν. M.

382. οἱ δ' ἡδονὴν προθέντες: καλῶς τὰς αἰσχρὰς ἡδονὰς ἀπεσιώπησεν, ὡς ἤδη διὰ τούτων κἀκείνας σημάνασα· αὗται γὰρ ἐκείνων εἰσὶ τικτικαί. σχολὴ γὰρ καὶ ὁμιλία περισσὴ πεφύκασιν εἰς ἀπορρήτους ἡδονὰς προκαλεῖσθαι τὴν φύσιν. οὐ γὰρ δὴ μία, ἀλλὰ διάφοροι ἡδοναί εἰσιν. εἶτα μεταξὺ διηγεῖται τὰς ἀρχὰς τῶν κακῶν. A.B.I.

προθέντες: ἀντὶ τοῦ προτιμήσαντες. A.B.M. Fl. 15. οὐ γὰρ μία ἡ ἡδονή, ἀλλὰ διάφοροι. M.

384. λέσχαι: πολυλογίαι. M. ὁμιλίαι, ἀπραγία, ῥαθυμία. A. ὁμιλίαι. καὶ σχολὴ ῥαθυμία, ἀεργία. ἡ σχολή, φησίν, ἡδεῖα μὲν τῇ ἀναπαύσει, ἐπιβλαβὴς δὲ τῷ ἐπιζημίῳ καὶ ἀργῷ τοῦ σώματος, διὸ καὶ τερπνὸν κακὸν αὐτὴν εἶπεν. A.B.I. ματαιοπονῶν ἀνθρώπων. B.

385. αἰδώς: ταῖς αἰσχραῖς ἡδοναῖς συγκατηρίθμησε τὴν αἰσχρὰν αἰδώ· διαφθείρει γὰρ τοὺς κεκτημένους, ὥσπερ κἀκεῖναι τοὺς ἐμπιστεύσαντας αὐταῖς ἑαυτοὺς ἀπολλύουσιν.

386. ἡ δ' ἄχθος οἴκων: τί φῂς, Εὐριπίδη, κακὴ ἡ αἰδώς; ναί,

1. καλοῦ] κακοῦ I.
3. ἀπό τινος γὰρ ἀ.] οἱ μὲν ἀπό τινος ἀ. A.
4. μετέρχονται A. μετέρχεται Fl. 6.
5. μετερχόμεθα B.I.
5. τοσούτῳ] τοσοῦτον I.
ib. Ἡσίοδος] Op. 285.
ib. μὲν γὰρ] μέντοι A.
6. τῆς δ'—ἔθηκαν om. A.
11. τικτικαὶ] τικτηκαὶ A. τεκτικαὶ Fl. 6. In M. scholion totum obliteratum.
12. γὰρ A.B. Fl. 6. δὲ I.
13. εἶτα] καὶ σχολὴ τερπνόν lemma praefixum in A.
15. ἀντὶ τοῦ om. A.B.M.
17. ὁμιλία—ἀεργία om. A.
18. ἡ σχολή, φησίν, ἡδεῖα] ἡδονῶν. ἄλλως. σχολὴ ἢ ἡδεῖα A.
20. αὐτὴν add. A.
24. αὐταῖς ἑαυτοὺς (αὐτοὺς I.)] αὐτὴν A.
ib. ἀπολλύουσιν] ἀπολίσιν I. ὀλίουσιν A.
25. ἡ αἰδώς] ἡ om. A.

φησὶν, ἔσθ' ὅτε κακὴ· δισσαὶ γὰρ αἱ αἰδοί. εἰ δὲ ἤδειμεν εὐκαίρως αἰδεῖσθαι, οὐκ ἂν δύο ἦσαν ἐνὶ ὀνόματι καλούμεναι. ἴσως δὲ τὸ Ὁμηρικὸν ἀνέγνω Εὐριπίδης "ἦτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι." Ἄλλως. ἐπεί φησιν ὁ Ὅμηρος μίαν μὲν εἶναι τὴν αἰδῶ, δισσὴν δὲ δύναμιν ἔχειν, "Αἰδὼς, ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι," τὴν διαφωνίαν ἰώμενός φησιν ὅτι τῆς αἰδοῦς ἡ ἄγνοια παρὰ τὴν ἡμετέραν γίνεται ἄνοιαν· ἡμεῖς γὰρ οὐ κατὰ καιρὸν αὐτῇ χρώμενοι διπλῆν ἡγούμεθα τὴν μίαν. ἔδει γὰρ τὴν εὐκαίρως γινομένην μόνην ὀνομάζειν αἰδώ. τὸ δὲ "ταῦτ' ἔχοντε γράμματα" οἷον ἐνὶ ὀνόματι καὶ τόνῳ καὶ φθόγγῳ προσαγορευομένας. A.B.I. *τὴν αὐτὴν ὁμωνυμίαν.* M.

σαφής: *ἀκριβὴς, φανερός.* M. *ἐὰν δὲ ἐγινώσκομεν τὴν διαφοράν.* B.

388. *φρενοῦσ' ἐγώ*: *τὴν ἀσχημοσύνην φρενοῦσα.* M.

ταῦτ' οὖν ἐπειδή: *ἐπειδὴ τοίνυν τὴν φύσιν ἑκάστου πράγματος ἐτύγχανον γινώσκουσα, καὶ πόθεν εἰ ἄνθρωποι τὸν βίον ἑαυτῶν διαφθείρουσιν, ἐνόμιζον τοῦτο, ὅτι οὐκ ἔστι μοι οὐδεμία πρόφασις οὕτως ἰσχυρὰ, οὐδὲ δέλεαρ τοιοῦτον, ὅπερ ἐκ τῶν φρενῶν καὶ τῆς τοσαύτης σωφροσύνης μεταστήσειέ με εἰς πορνείαν. οὐκ ἀπεικότως δὲ τοῦτό φησιν, ἀλλὰ πρὸς πλείονα δεῖξιν τοῦ μὴ μόνον κατὰ φύσιν, ἀλλὰ καὶ παρ' ἐλπίδα νοσεῖν ἔρωτα.*

389. *οὐκ ἔσθ' ὁποίῳ φαρμάκῳ*: *οὐκ ἔστι φάρμακον δηλονότι ὁποίῳ φθαρῆναι ἐδόκουν. οὐκοῦν ἰσχυρὸν δέλεαρ, ὅπερ ἔμελλε μεταβάλλειν τὴν σωφροσύνην.* Fl. 6. 15.

φαρμάκῳ: *τρόπῳ.* B. *προφάσει.* B. rec.

διαφθερεῖν: *τὴν σωφροσύνην.* B. rec.

390. *ἔμελλον*: *ἤλπιζον.* B. *τοὔμπαλιν*: *τὸ ἐναντίον.* M.

391. *ὁδόν*: *σκοπόν.* B.

1. γὰρ αἱ A. γάρ εἰσιν B.I.
ib. αἰδοί A. Fl. 6. 15. αἰδοῦ B. ἕδοί I.
ib. εἰ δ'] Lemma εἰ δ' ὁ καιρὸς praefixum in A.
3. Ὁμηρικὸν] Il. 24, 45. Hesiod. Op. 318.
ib. ἦτ'—σίνεται om. A.
ib. ἠδ'] ἦδ' A. hic et infra.
4. Ἄλλως A. ἄλλως. εἰ δ' ὁ καιρὸς ἦν σαφής B.I.
8. ἔδει] ἤδη I.
9. μόνην om. I.
ib. τὸ] τῷ I.
ib. ταῦτ' (ταῦτ' I.)—γράμματα] ταῦτ'—πράγματα A. In B. ad v. 387. πράγματα: γρ. γράμματα.
ib. ὀνόματι καὶ om. I.
16. διαφθείρουσιν] διαφθείρονται A.
ib. ὅτι οὐκ ἔστι μοι om. I.
19. πρὸς om. A.
ib. κατὰ A. οὐ κατὰ B.I.

392. ἐπεί μ' ἔρως ἔτρωσεν: ὅτι λοιπὸν καταστατικώτερον αὐτὴν τὴν διοίκησιν τῆς νόσου διηγεῖται. ἠρξάμην μὲν οὖν, φησίν, ἐκ τοῦδε σιγᾶν, ἵνα διὰ τῆς ἡσυχίας λήθη μοι γένηται. B.I.

395. γλώσσῃ γάρ: ἔοικε τὸ συμβαῖνον ἐκ τῆς γλώσσης δι' ἄλλων πρωτεθεικέναι, καθὸ πολλῶν τοῖς ἀκούουσιν ἀπίστων γινομένων αὖτη τῆς προδοσίας αἰτία νομίζεται. ἄμεινον, φησίν, ἡγησάμην τὸ σιωπᾶν, εὐλαβουμένη μὴ γλῶσσαν κτήσωμαι σύμβολον, λόγῳ μὲν ἐπαινοῦσαν τὰς ἀρετάς, ἔργῳ δὲ ἀκόλαστον. δάκνει γὰρ τὸ παραινούμενον σύμβολον, ὅταν τις ἕτερον μὲν κεύθῃ ἐνὶ φρενί, ἄλλο δ' εἴπῃ. ἄνοιαν δὲ τὴν πορνείαν καλεῖ, ἐπεὶ καὶ τὸ ἐναντίον σωφροσύνη καλεῖται, ἐν ᾗ σῴζομεν τὰς φρένας.

396. νουθετεῖν: ὑβρίζειν. B.

398. τὴν ἄνοιαν: τὸν ἔρωτα. M.

399. τῷ σωφρονεῖν: προενοησάμην τὴν ἔκκρυσιν τοῦ νοὸς νικῶσα διὰ τῆς σωφροσύνης. B. νικῶσα: αὐτήν. B.

400. τρίτον δ' ἐπειδή: ἐπειδὴ τοῖς δυσὶ τρόποις οὐδὲν ἦνυον πρὸς ἐγκράτειαν τοῦ ἔρωτος, οὔτε τῇ σιωπῇ, οὔτε τῇ σωφροσύνῃ, ἔδοξέ μοι ἀποθανεῖν.

402. οὐδεὶς ἀντερεῖ: ὡς οὐ καλῶς βουλευθεῖσιν ἐν οἷς ἐσκεψάμην ἢ σιωπᾶν καὶ σωφρονεῖν, ἢ ἀποθανεῖν.

405. τὴν νόσον: τὸν ἔρωτα. M.

406. γυνή: τὸ ἑξῆς, τοῖσδε δὲ οὖσα γυνὴ προσῄδειν τὴν νόσον ταύτην δυσκλεᾶ, καὶ τὸ ἔργον τῆς πορνείας μίσημα ὂν παρὰ πᾶσι.

2. ἐκ τοῦδε B. Fl. 6. 15. ἐντεῦθεν I.

4. Scholion in M. obliteratum ita ut ultima tantum verba σῴζομεν τὰς φρένας legi possint.

ib. γλώσσης A.B. γλώττης I. ἐκ τῆς γ. post συμβαῖνον in A.

5. πολλῶν τοῖς ἀκούουσιν] πολλὰ τῶν ἀκουόντων A.

6. αἰτία] αἰτίων (sic) A.

7. τὸ σιωπᾶν] τοῦ πᾶν A.

ib. γλῶσσαν κτήσωμαι] γλῶτταν κτήσεται A.

ib. σύμβολον B.I. σύμβοιλον A. hic et mox iterum.

8. ἐπαινοῦσαν A. ἐπιοῦσαν B. ἐπινοοῦσα I.

9. ὅταν τις—φρένας om. A.

ib. μὲν add. A. Alludit ad verba Homeri Il. 9, 313.

16. δυσὶ] δύο A. β I.

18. μοι] τὸ A.

19. οὐδεὶς ἀντερεῖ—ἐσκεψάμην A. In B.I. haec scholio praecedenti sunt adjuncta hunc in modum, καὶ οὐδεὶς ἀντιλέξει τοῖς βουλευθεῖσιν ὡς οὐ καλῶς ἐσκεψάμην—.

20. ἢ σιωπᾶν] ἡ om. A.

22. τοῖσδε] πρὸς τοῖσδε Barnesius.

ib. δὲ add. A.

ib. προσῄδειν] προῄδειν Barnesius.

23. δυσκλεᾶ] δισκλεῆ A.

ib. τῆς] ὡς A.

τὸ δὲ γυνὴ οὖσα, ἐπειδὴ μάλιστα αἱ γυναῖκες μισεῖν ὀφείλουσι τὴν πορνείαν, αἱ μὲν δι' αὐτὴν μεμισημέναι ἀνδράσι τε καὶ γυναιξίν, αἱ δὲ φεύγουσαι τὴν ἐξ αὐτῆς αἰσχύνην. Ἄλλως. καὶ τοῦτο οὐχ ἁπλῶ γνώσει ἔξωθεν ἠπιστάμην, ἀλλὰ καὶ γυνὴ πεφυκυῖα ἀκριβῶς εἶχον τοῦ μίσους τούτου τὴν γνῶσιν, ὥστε καὶ μέχρι τοῦ νῦν, ἤτοι μέχρι τοῦ νοσῆσαι καὶ νικηθῆναι τῷ πάθει, ῥᾳδίως ἂν κατηρασάμην τῇ πρώτῃ πορνευσάσῃ. Ἄλλως. μίσημα πᾶσι: ἀκριβῶς ἔγνω ὁ Εὐριπίδης τὴν ῥίζαν τῆς πορνείας ἄνωθεν ἐξ εὐγενίδων συστᾶσαν τὸ ἐξαπλοῦσθαι εἰς πολλὰς τὸ κακόν. εἰ γὰρ ἐβεβλαστήκει ἐξ εὐτελῶν, ταχέως ἂν ἐξεκέκοπτο, καὶ οὐκ ἐζηλοῦτο.

408. ἤτις πρὸς ἄνδρα: Ἡρωδιανὸς ἐν τῷ μονοβίβλῳ τῷ περὶ κυρίων καὶ ἐπιθέτων καὶ προσηγορικῶν λέγει εἶναι τὰς πρώτην πορνευσάσας θυγατέρας τοῦ Εὐρυπύλου, οὐ τοῦ Κῴου, ἀλλὰ ἄλλου τινός. ἔστι δὲ τὰ ὀνόματα αὐτῶν Μορφὴ καὶ Κλυτή. ὡς φιλόσοφος δὲ συμβάλλει τοῦτο, ὅτι εὐγενεῖς καὶ πλούσιαι κατήρξαντο τῆς πορνείας, οὐ μόνον ἐκ τοῦ ὑπερτρυφᾶν, ὅπερ τὸν ἔρωτα προκαλεῖται, ἀλλὰ καὶ ἐκ τοῦ ἐπιζηλωθῆναι τὸ ἁμάρτημα ἐξ εὐγενοῦς τινος γενόμενον.

409. θυραίους: ξένους. B.

γενναίων: εὐγενῶν. B.

411. ὅταν γὰρ αἰσχρά: ἐστοχάσατο τὸ τοιοῦτον οὐ μόνον ἀπὸ τῆς κολακείας. ἀλλὰ καὶ ἐκ τῆς τῶν ἁμαρτανόντων ἀξιοπιστίας. ὅταν γάρ, φησὶν, αἰσχρὰ ποιῶσιν αἱ βέλτισται, πάντως αἱ εὐτελεῖς μιμεῖνται καὶ ἀκολουθοῦσιν ἐκείναις. εἰ γὰρ τοῖς ἀγαθοῖς τὰ αἰσχρὰ

3. Ἄλλως] ἐγίγνωσκον A.
5. μίσους] πάθους A.
ib. ἤτοι—πάθει] εἴ τινος οὖσα νικωμένη τῷ μίσει A.
6. ἂν om. A.
ib. κατηρασάμην] καταρασαίμην A.
8. εὐγενίδων] εὐγενιδῶν A. ἐρίδων B.I.
ib. συστᾶσαν A.B. συστῶσαν Fl. 6. 15. I.
9. πολλὰς] πολὺν I.
ib. ἐξ εὐτελῶν] ἐκ κακῶν A.
12. τὰς—πορνευσάσας] τοῦ—πορνευούσας A.
13. τοῦ ante E. addidi ex A.
ib. οὐ τοῦ] τοῦ οὐ A.
17. ἐπιζηλωθῆναι] μὴ ἐπιζηλωθῆναι Heathius: recte, si εὐτελοῦς servetur cum B.I. pro quo εὐγενοῦς restitui ex A.
ib. τινὸς γενόμενον] τινὸς γινόμενον B.I. προσγενόμενον A.
19. Hoc scholion proximumque fuerunt in M., sed legi nunc non possunt.
23. φησὶν add. A.
24. μιμοῦνται] μιμῶνται A.
ib. ἐκείναις] ἐκείνας A.

νομίζεται καλὰ, πολλῷ μᾶλλον τοῖς κακοῖς. A.B.M.I. ἐσθλοῖς τοῖς εὐγενέσι καὶ λαμπροῖς, κακοῖς δὲ τοῖς εὐτελέσι. B.

412. κάρτα: ἰσχυρά. B. κακοῖς: ἀγενέσιν. B.

413. μισῶ δὲ καὶ τὰς σώφρονας: μισῶ δὲ καὶ τὰς λόγῳ μὲν τὴν σωφροσύνην μετιούσας, ἔργῳ δὲ τὰ κακὰ πραττούσας. A.B.

415. αἳ πῶς ποτ': πῶς οὐχὶ καὶ αὐτῶν τῶν ἀναισθήτων τὸν παρὰ φύσιν ἔλεγχον δεδοίκασι; αἵτινες ἄρα πῶς τολμῶσιν ὁρᾶν τοὺς ἄνδρας; μονονουχὶ καὶ αὐτῶν τῶν ἀναισθήτων παρὰ φύσιν ἔχειν δεδικυίας τὴν νύκτα· θεὸς γὰρ οὖσα θεοῖς ἀνάκειται.

418. τέρεμνα: τὰ στέγη τῶν οἴκων. M. στέγη, τείχη. B.

419. τοῦτ': τὸ σωφρονεῖν. B.

424. δουλοῖ: ταπεινοῖ, ἀπαρρησίαστον ποιεῖ. B. τὰ κακὰ τῆς μητρός. B.

426. μόνον δὲ τοῦτο: ἀλλ' ὁ βίος ἥδεται τοῖς πονηροῖς. ὡς Μένανδρος "πράττει δ' ὁ κόλαξ ἄριστα πάντων, δεύτερος συκοφάντης, ὁ κακοήθης τρίτος λέγεται." παλαίει οὖν τῷ βίῳ καὶ ἀμιλλᾶται, ὅστις βούλοιτο δικαιοπραγεῖν, τῷ διαφωνεῖν πρὸς τὴν κοινὴν πολιτείαν. ἢ ἐπειδὴ οἱ φαῦλοι, ὅταν περὶ δικαιοπραγοῦς τινος ἀκούσωσι, ζητοῦσι παντὶ τρόπῳ ὑποσκελίσαι αὐτόν. παλαίει οὖν τοῖς φαύλοις ὁ ἀγαθός. Ἄλλως. μόνον τοῦτο νικᾷ, φησὶ, τὸν βίον, καὶ οὐ καλύπτεται ὑπ' αὐτοῦ, ἀλλὰ καὶ μετὰ θάνατον λάμπει τὸ τῆς σωφροσύνης. τοὺς γὰρ ἀκολάστους ἐλέγχει καὶ δειγματίζει ὁ χρόνος, ὡς καὶ παρθένον κάτοπτρον, ὥστε δεῖ με μὴ τοῦ παρόντος μόνον ἀντιποιήσασθαι, ἀλλὰ

6. πῶς οὐχὶ—δεδοίκασι om. A.B.: habet M. etsi in hoc pauca tantum totius scholii verba legi possunt. Lemma in I. αἵτινες ἄρα.

7. αἵτινες ἄρα (ἆρα A.) add. A.B.

8. δεδοικυίας A. δεδωκυίας B.I. Fl. 15. Heathius conjecit παρὰ φύσιν ἔλεγχον δεδοικεῖται τὴν νύκτα.

9. τὴν νύκτα] τέκνα Fl. 15.

14. ἀλλ' add. A.

16. τρίτος λέγεται A. τρίτατος, sine λέγεται, B.I. Recte ap. Stob. Flor. 106, 8. δεύτερα | ὁ συκοφάντης, ὁ κακοήθης τρίτα λέγει.

ib. ὅστις] ὅσα A.

17. πολιτείαν] σωτηρίαν, superscripto πολιτείαν, A.

18. ἐπειδὴ] ἐπεὶ A.

ib. δικαιοπραγοῦς τινος] δικαιοπραγίας Fl. 15.

ib. ἀκούσωσι A. ἀκούσωσι B.I.

ib. ζητοῦσι] ζητοῦσιν ὑπ' αὐτῷ A., omisso proximo αὐτόν.

20. νικᾷ, φησὶ] φησὶ νικᾷ A.

ib. καὶ (καὶ om. I.) οὐ καλύπτεται ὑπ' αὐτοῦ] καὶ οὐκ ἀποκαλύπτεται τῷ βίῳ A.

21. καὶ add. A.

22. χρόνος—παρθένον] χορὸς—παρθένων A.

23. μὴ τοῦ] μήτε A.

ib. παρόντος] παρελθόντος Fl. 15.

καὶ τοῦ μετ' αὐτόν. Ἄλλως. μόνον δὲ τοῦτό φασι συγκαταστρέφειν καὶ συναπόλλυσθαι τῷ βίῳ, τὸ κεκτῆσθαι διάνοιαν ἀγαθήν, ὡς εἰ ἔλεγεν ὅτι ἀθάνατόν τέ ἐστι καὶ εἰς ὅλον τὸν βίον μνημονεύεται. δεῖ με οὖν μὴ τοῦ παρόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος προνοήσασθαι, εἰδυῖαν ὅτι ὥσπερ τοὺς ἀγαθοὺς ἐπιβεβαιῖ, οὕτω καὶ τοὺς πονηροὺς ἐλέγχει ὁ χρόνος. κατόπτρῳ δὲ παρείκασε τὰ ἐν τῷ προϊόντι χρόνῳ φαινόμενα τεκμήρια τῶν πρὶν ἁμαρτηθέντων, καθὸ παρελθόντων τῶν ἔργων αὐτῶν, ὥσπερ ἐν κατόπτρῳ τεκμήρια καὶ σκιὰς τῶν παλαιῶν αἰτῶν ὁρῶμεν ἁμαρτημάτων. Λ.Β.Ι. ἁμιλλᾶσθαι: ὑπερνικᾶν. Α. ἀγωνίζεσθαι. Β. μὴ νικᾶσθαι ὑπὸ τοῦ χρόνου. Β. ἐξισοῦσθαι. Fl. 2.

427. γνώμην δικαίαν: θαυμασίως ἄγαν ἀπολύτως ἐχρήσατο. ὅτῳ παρῇ: οὐ διαστολὴν ἐπιδεχομένου πλουσίου καὶ πένητος, ἢ εὐγενοῦς καὶ εὐτελοῦς, ἀλλὰ καθολικωτέρου ὑπάρχοντος ἐπὶ πάντων.

428. κακοὺς δὲ θνητῶν: τινὲς οὕτως τὸ ἑξῆς, τοὺς κακοὺς τῶν θνητῶν ἐλέγχει ὁ χρόνος, ὅταν τύχῃ προθεὶς τὸ κάτοπτρον ὡς παρθένῳ νέᾳ, τουτέστιν ὅταν τύχῃ ἐλέγχων καὶ φανεροποιῶν αὐτούς.

ἐξέφην': ὁ χρόνος εἰς φῶς ἐξῆξεν. Β. ὅ ἐστιν ἐν τῷ ζῇν ὑπὸ τοῦ χρόνου φανεροῦται. Β.

431. ἁπανταχοῦ: καὶ εἰς τοὺς εὐγενεῖς καὶ τοὺς ἀγεννεῖς. Β.

432. καρπίζεται: καρπὸν φέρει. Β.

433. συμφορά: τὸ σύμβαμα. Β.

δέσποιν', ἐμοί τοι συμφορά: ἐμοὶ, φησὶν, ἀρτίως ἡ σὴ συμφορὰ ἀγγελθεῖσα θεινὸν φόβον ἐνέβαλεν. Ἄλλως. καλῶς ἐμιμήσατο τῶν

1. συναπόλυσθαι (sic codex) τῷ βίῳ addidi ex A. Verba μόνον δὲ τοῦτο in lemmate habet I., omisso Ἄλλως.
3. ὅτι om. A.
ib. εἰ;] ὡς I.
ib. μνημονεύεται] ἀναμνημονεύεται Fl. 15.
4. με (μὲν I.) οὖν] οὖν με A.
5. εἰδυῖαν] εἰδῖτα I.
ib. οὕτω καὶ] τοσοῦτο A.
6. ὁ χρόνος om. A.
7. τεκμήρια — κατόπτρῳ om. A., sed habet scholion separatum, προθεὶς κάτοπτρον: εἰκάζει τὰ ἐν τῷ χρόνῳ παριόντι φαινόμενα τεκμήρια τῶν πρὶν ἁμαρτημάτων, ὥσπερ ἐν κατόπτρῳ τεκμήρια ὁρῶμεν τῆς ἀληθείας.
9. ὁρῶμεν post ἁμαρτημάτων A.
12. Ἄλλως praefixum in B.I.
15. οὕτως om. A.
16. χρόνος] χορὸς A.
ib. προθεὶς] προσθεὶς A.
ib. παρθένῳ νέᾳ A. τῇ νέᾳ παρθένῳ B.M.I.
17. αὐτούς hic A., post τύχῃ B.I. In M. haec legi non possunt.
18. ἐξῆξεν] ἐξήλξεν (sic) B.
23. σὴ om. A.
24. τῶν γραιῶν (sic codex) τὸ A. τὸ τῶν γραῶν B.I.

γραῶν τὸ παλίμβολον· ὑπερφοβοῦνται γὰρ καὶ θρασύνονται ταῖς συμφοραῖς. A.B.I.

παρέσχε: ἐνέβαλλεν ἐμέ. B.

435. νῦν δ' ἐννοοῦμαι φαῦλος οὖσα: ἀντὶ τοῦ μωρὰ οὖσα. νῦν δὲ δεύτερον εἰ καὶ εὐτελής τίς εἰμι, ἐνεθυμήθην, καὶ καλῶς γάρ, ὅτι ἀνθρώποις αἱ δεύτεραι τῶν ἄλλων τῶν πρώτων εἰσὶ χρησιμώτεραι. A. νῦν δ' ἐννοοῦμαι: εἰ καὶ εὐτελής, φησὶ, τυγχάνω τὴν γνώμην, καὶ οὐκ ἀπ' ἐμαυτῆς ὀφείλουσα στοχάζεσθαι, ὅμως εἶρον ὅτι παρὰ πᾶσιν ἀνθρώποις ἀκριβέστεραί εἰσιν αἱ ἐπισκέψεις καὶ αἱ δεύτεραι γνῶμαι.

437. οὐ γὰρ περισσόν: παράλογον, παράδοξον. A.B. οὐδὲν, φησὶν, ἔπαθες περισσὸν ὧν πάσχουσι πάντες. τοῦτο δὲ πρὸς παραμυθίαν, ὡς μὴ νοσούσης αὐτῆς ἐξ ἰδίας φύσεως τὸν ἔρωτα. μὴ οὖν, φησὶ, διεργάσῃ σαυτὴν, ἀλλὰ συγγίνωσκε τῷ πάθει βιαζομένη παρὰ τοῦ κρείσσονος, ἄλλως τε καὶ τῶν πολλῶν ἐκ φύσεως αὐτὸ νοσούντων.

438. ὀργαί: ἀγανακτήσεις. M. ἀπέσκηψαν: ἐπῆλθον. B.

439. θαῦμα: παράξενον. B.

441. οὔ τἄρα γ' οὐ δεῖ τοῖς ἐρῶσι: τοῦτο ἐκ τοῦ καθολικωτέρου, ὄντως οὐ λυσιτελεῖ, οὐ χρὴ, οὐ συμφέρει, φησὶ, τοῖς τῶν πλησίον ἐρῶσι, καὶ ὅσοι μέλλουσιν ἐρᾶν, εἰ χρεὼν αὐτοῖς ἐστι τοῦ θανεῖν. A.B.I. λείπει τὸ ἐρᾶν. ὁ δὲ λόγος, οὔτε τοῖς νῦν ἐρῶσιν οὔτε τοῖς μέλλουσιν ἐρᾶν λυσιτελεῖ τὸ ἐρᾶν, εἴπερ ἀντὶ τῶν ἐρωμένων ἀπολαύουσι θανάτου, οὐκ ἐπ' ἀνύσει τοῦ ἔρωτος, ἀλλ' ἐπὶ θανάτῳ ἐρῶντες. ἐκ τοῦ καθολικοῦ δὲ πάθους τὸ ἴδιον δυσχερὲς θεραπεύεται καὶ τῷ ἁπλουστέρῳ ὀνόματι τοῦ ἔρωτος καλύπτει τὸ αἰσχρόν. A.

1. παλίμβολον] παλίμβουλον A.
ib. ὑπερφοβοῦνται A. ὑποφοβοῦνται B.I.
4. ἐννοοῦμαι] εὐνοοῦμαι A.
5. καὶ καλῶς γὰρ] Verba ab hoc loco aliena.
7. ἐννοοῦμαι] Hic quoque libri εὐνοοῦμαι.
ib. εἰ καὶ] εἰ καί τις A.
ib. φησὶ om. A.
ib. καὶ om. A.I., habent B.Fl.6.15.
9. ἐπισκέψεις καὶ αἱ om. A.
12. φησὶν om. A.
ib. πάσχουσι] πάσχομεν A.
ib. δὲ om. A.
13. ὡς μὴ νοσούσης A. ὡς μιτούσης B.I.
14. τῷ πάθει om. A.
15. κρείσσονος] κρείττονος A.
ib. πολλῶν om. A.
ib. αὐτὸ A. αὐτὸν B. αὐτῶν I.
19. οὔ τἄρα] οὐκ ἄρα A. οὔτ' ἄρα I. Lemma om. B. τοῖς ἐρῶσι om. A.
20. ὄντως A.B. Fl. 6. οὕτως I.

442. θανεῖν αὐτούς: ἐὰν πρὸς θάνατον ἀφορῶσι. M.

443. Κύπρις γὰρ οὐ φορητός: ἐπεξηγεῖται πῶς δεῖ φέρειν πολλὴν ῥεύσασαν τὴν θεὸν ὑπείκοντα μᾶλλον· οὐδὲ γὰρ ἀνθοπλιζόμενον. οἶδε γὰρ ἄρα ὑποχωροῦσιν ὑπείκειν ἡ θεός. Ἄλλως. οὐκ ἔστι δυνατὸν βαστάσαι τὴν Κύπριν μεγάλως ἐπερχομένην, ἀλλὰ χρὴ ὑπείκειν μᾶλλον τῇ Ἀφροδίτῃ ἢ ἀντιμάχεσθαι αὐτῇ. A.B.I. πολλὴ ῥυῇ: ἐπιγένηται ῥεύσει. M. ἐπενεχθῇ. B.

444. ἡσυχῆ μετέρχεται: οὐ γὰρ θανάτῳ κολάζειν τὰς ἐπιθυμίας εἰκός. B.

446. πῶς δοκεῖς καθίβρισεν: ὅσῳ γὰρ ἀρνεῖταί τις τῆς θεοῦ τὴν δύναμιν, τοσούτῳ μᾶλλον εἰς αὐτὸν ἐπιδείκνυται τὴν ἀνδραγαθίαν. καὶ στοχάζου μοι τῆς τιμωρίας τὴν ὑπερβολήν· κρείσσων γάρ ἐστι τῆς τοῦ λόγου διηγήσεως. τοῦτο γὰρ δηλοῖ τὸ πῶς δοκεῖς.

447. φειτῇ δ' ἀν' αἰθέρα: ἐντεῦθεν ἄρχεται τὸ τῆς Ἀφροδίτης αὐξάνειν μέγεθος. ἐν θαλάσσῃ δὲ αὐτήν φησιν ἤτοι ἐπεὶ ὅτι ἀφρογενής ἐστιν, ἢ ἐπεὶ καὶ τὰ ἐν θαλάσσῃ ἀφροδισιάζει. καὶ ἔοικεν ἐκ τοῦ παραδόξου σεσημειωκέναι τὸ ὁμολογούμενον, φημὶ δὲ τὸ ἐπὶ γῆς εἶναι τὴν θεόν.

449. ἔρον: ἔρωτα, Αἰολικῶς. B.

451. γραφάς: ἱστορίας, ποιήματα. B.

452. ἐν μούσαις: ἐν τοῖς λόγοις τῶν γραφῶν. M. ἐν ἀναγνώσεσι. B. ἀντὶ τοῦ μέμνηνται. B.

455. ἡ καλλιφεγγής: Κέφαλος εἷς ἐστι τῶν ἐξ Ἐνδυμίωνος ἔκγονος. γαμεῖ δὲ Πρόκριν τὴν Ἀθηναίαν. ὅτι δὲ Κέφαλον ἡ Ἠὼς

2. ἐπεξηγεῖται πῶς om. I.
ib. δεῖ] μέλλει τινὰ A.
3. οὐδὲ A. οὐ B.I.
ib. γὰρ] γὰρ ἂν Fl. 6. 15.
5. ἀλλὰ] ὅτι A.
6. ὑπείκειν A. εἴκειν B.I.
ib. τῇ Ἀφροδίτῃ et αὐτῇ om. A.
10. ἀρνεῖται A.B.M. ἀνεῖται I.
ib. τῆς] τοῦ A., om. M.
11. δύναμιν M. δυναστείαν ceteri.
ib. εἰς αὐτὸν ἐπιδείκνυται A.B.M. ἐπιδείκνυται εἰς αὐτὸν I.
12. τιμωρίας] ἀνδραγαθίας Fl. 6. 15.
ib. κρείσσων] κρεῖσσον A.
13. τῆς τοῦ] τοῦ om. I. τῆς διὰ Matth.
ib. διηγήσεως] δυνάμεως A.
ib. δηλοῖ] ἐστι A.
15. δὲ om. A.
ib. ἤτοι ἐπεὶ A. ἤτοι ὅτι B. Fl. 6. 15. ἢ ὅτι I.
ib. ἀφρογενής] ἀφρογενῆ I.
16. ἢ ἐπεὶ A. ἢ ὅτι ἐπειδή ceteri.
17. σεσημειωκέναι A. σεσιωπηκέναι ceteri.
ib. τὸ ὁμολογούμενον om. I.
24. ἔγγονος addit A. quod recepi in ἔκγονος mutatum.
ib. γαμεῖ δὲ A. οὗτος γαμεῖ B.I.
ib. Πρόκριν Barnes. pro Πρόκνην.

ἥρπασε διὰ κάλλος καὶ Ὅμηρος εἴρηκεν. ἦν δὲ ὁ Κέφαλος Δηϊονέως παῖς.

456. ἔρωτος οὕνεκα: ταῦτα δυσωπητικῶς λέγει. ἤδη μὲν γὰρ ἐκ τοῦ μείζονος προκατεσκεύασεν, εἰποῦσα καὶ θεοὺς ἐρᾶν. λοιπὸν δὲ καὶ τὸ δύσφορον καὶ τὸ μωρὸν αὐτῆς ἐλέγχει.

457. ναίουσι κοὐ φεύγουσι: οὐκ ἀφίστανται πρὸς τοὺς οἰκείους, καὶ παραγίνονται, ἀλλὰ σὺν τοῖς θεοῖς διατρίβουσιν· ἢ ἐπὶ τῶν ἐρώντων θεῶν, καὶ οὐ φεύγουσι τὴν δίαιταν τὴν μετὰ τῶν ἄλλων θεῶν, αἰδούμενοι ὅτι ἐρῶσι. κοινὸν γὰρ κατὰ πάντων συμβαίνει τὸ τοῦ ἔρωτος πάθος. A.B.I. ἐκπεδών: πορρωτάτω. M.

459. χρῆν σ' ἐπὶ ῥητοῖς: ἐπὶ συνθήκαις ἐχρῆν τὸν πατέρα σου γεννῆσαί σε, ἐπὶ ὡρισμένοις, ἢ ἐπ' ἄλλοις δεσπόταις θεοῖς, εἰ μὴ στέργεις τούσδε τοὺς νόμους τῆς Ἀφροδίτης, φησὶ, καὶ τοῦ ἔρωτος. A.B.I. ἐπὶ συνθήκαις. B. ὁμολογίαις. M.

461. εἰ μὴ τούσδε γε στέρξεις νόμους: εἰ μὴ ἔμελλες καὶ αὐτὴ κατὰ τὸ λοιπὸν ἅπαντας ἀνθρώπους ὑποκεῖσθαι καὶ βουλεύειν τοῖς θεοῖς πᾶσιν ἐπ' ἴσης δηλαδὴ πᾶσιν ἀνθρώποις, ἐχρῆν τὸν γεννῶντά σε πατέρα ἐπὶ ὡρισμένοις τισί σε παραγαγεῖν καὶ μὴ κατὰ τὸ κοινὸν τῶν ἀνθράπων, οἷον οὕτω σε γεννῆσαι ὥστε ὡρίσθαι σε τοῖσδε μὲν ὑποκειμένην θεοῖς ἢ καὶ πάθεσιν ἀνθρωπίνοις, τοῖσδε δὲ μή. A.

462. πόσους δοκεῖς δή: ἕως τοῦ εὖ φρονεῖν, καὶ οὐχ ὑπ' ἀγνοίας ἀνεξικακοῦντας, ἵνα μὴ τοῦτο ἀντιθῇς.

463. νοσοῦνθ' ἑρῶντας: μὴ δοκεῖν ἐρᾶν τὰ πταίσματα, τῇ κοινῇ δυναστείᾳ καὶ τῇ τοῦ ἔρωτος συγγινώσκοντας. A.B.I. κακῶς ἔχοντα. B.

464. πόσους δὲ παισὶ πατέρας: πόσους δὲ οἷει πατέρας τοῖς παισὶν ἡμαρτηκόσι δι' ἔρωτα συμβαστάζειν αὐτοῖς τὴν παρὰ τῆς Ἀφροδίτης νόσον, καὶ τοσοῦτον ἀπέχειν τοῦ μέμφεσθαι ὥστε καὶ

1. ὁ Κέφαλος om. A.
ib. Δηϊονέως] διονέως A.
3. λέγει] λέγεται A.
4. τοῦ μείζονος A. τῶν μειζόνων B.I.
8. τῶν ἄλλων] τῶν om. A.
12. δεσπότας om. A.
ib. εἰ μὴ—ἔρωτος om. A.
13. τούσδε Valcken. pro δέ. Recepi addito τούς.
21. ἕως τοῦ A. ἕως τὸ B.I.
ib. ἀγνοίας] ἀνοίας A.
22. ἀντιθῇς] ἀνατιθῇς A.
24. καὶ τῇ add. A.
25. πατέρας post ἡμαρτηκόσι A.
26. ἡμαρτηκόσι] ἡμαρτηκότας I.
ib. τὴν παρὰ τῆς 'A. Matthiæ pro παρὰ τῆς 'A. τήν.

συγκάμνειν εἰς τοὺς ἔρωτας αὐτοῖς. τὸ γὰρ ἐλέγχειν τὰ τοιαῦτα οὐδέν ἐστιν ἄλλο ἀλλ' ἢ συμφορὰν ὀνειδίζειν.

465. κομίζειν: καλύπτειν. B.

466. λανθάνειν: λείπει τὸ ὥστε. B. κρύπτειν. B.

467. οὐδ' ἐκπονεῖν τι χρῆν: οὐκ ἐξακριβάζεσθαι, οὐδὲ καταπονεῖσθαι δεῖ πάνυ τοὺς ἀνθρώπους, ἀντέχοντας πρὸς τὸν ἔρωτα. Λ.Β.Ι. Ἄλλως. ἐνταῦθα τὸ ἐκπονεῖν λίαν τὸν βίον τοιοῦτόν ἐστιν, ὡς οὐ χρὴ τὸν ἄνθρωπον βιάζειν ἑαυτὸν ὥστε ὑπερανέχειν τὴν τε ἀναγκάζουσαν φύσιν καὶ τὰ συμπίπτοντα. A. τὸ γὰρ ἐκπονεῖν τοιαύτην ἔχει τὴν σημασίαν, τὸ λίαν σπεύδειν κερδαίνειν. δεῖ γὰρ ποτὲ μὲν ἐκτείνειν πόνους τὸ σῶμα, ποτὲ δὲ ἀνιέναι. τὸ δὲ ἐκπονεῖν ἤτοι ἀεὶ ἐθέλειν πονεῖν οὐ ..... τοῖς ἀνθρώποις. A. οὐδὲ στέγην γάρ, ὑφ' ἧς οἱ δόμοι κατηρεφεῖς γίνονται, καλῶς ἀκριβώσειαν. οἱ τέκτονες δηλονότι, καὶ τὸ μέτρον τοῦ διαστήματος τῶν δόμων φυλάξειαν, ὡς μήτε ἐκείνην πολὺ ἀπέχειν μήτε τὴν ἄλλην πλησιάζειν. εἶτα πρὸς μὲν ξύλων συνθέσεις καὶ κανόνας εὐσυνθέτους οὐκ ἐφίκετο τῆς ἀκριβείας ἡ τέχνη· σὺ δὲ τηλικαύτην συμφορὰν ἀπταίστως βούλει παραδραμεῖν.

468. κατηρεφεῖς: ἐσκεπασμένοι. B. δόμοι: δοκοί. B.

469. ἀκριβώσειαν: οἱ ἐργαζόμενοι. B. εἰς δὲ τὴν τύχην: εἰς δὲ πέλαγος ἄδηλον τῆς τύχης ἐκκολυμβῆσαι. οἰκειότατα δὲ τῇ λέξει κέχρηται ὡς ἐπὶ πελάγους καὶ χειμῶνος. ἀκολεύθως δὲ καὶ τῷ πεσοῦσα πρὸς τὴν συμφορὰν ἐχρήσατο. Λ.Β.Ι. ἐν γὰρ τοῖς σοφοῖς τῶν ἀνθρώπων τοῦτο ὑπάρχει, τὸ λανθάνειν ἑαυτὸν, καὶ προσποιεῖσθαι τῶν πλησίον τὰ μὴ καλὰ ἁμαρτήματα. B.I.

1. τὸ γὰρ] τὸ μὲν γὰρ A.

4. Addidi λείπει.

5. οὐκ (οὐδ' I.) ἐξακριβάζεσθαι om. A.

ib. οὐδὲ A. οὐ B.I.

9. 10. Ante τὸ γὰρ trium et post τὸ λίαν sex septemve literarum spatium in A.

12. Post πονεῖν in A. obscurum legitur υ vocabulum simile literis ὸ λ πρκα).

13. καλῶς om. I.

ib. οἱ τέκτονες δηλονότι, καὶ] τέκτονες, ἀντὶ τοῦ A.

16. εἰσυνθέτους B. εὖ συνθέτους I. et fortasse A.

21. οἰκειότατα] οἰκειότητα I. "Proxima mutila esse videntur, sic fortasse restituenda: εἰς δὲ πέλ. ἄδ. τῆς τ. πεσοῦσα, ἤγουν εἰσπλεύσασα, πῶς ἂν ἐκνεῦσαι ἤγουν ἐκκολυμβῆσαι. εἰσπλεύσασα et ἐκκολ. glossas habet Flor. 2." MATTH.

22. ἀκολούθως—ἐχρήσατο] ἀκολεύθως καὶ τὸ μεταπεσοῦσα πρὸς τὴν μεταφορὰν ἐκτήσατο A.

471. ἀλλ' εἰ τὰ πλείω: ἀλλ' ἐὰν ἔχῃς περισσότερα καλὰ καὶ ὀλιγώτερα κακὰ ἄνθρωπος εἶσα, καλῶς πράξειας ἄν. A. ἀλλ' ἐὰν πλείονα ἔχῃς πλείονα καλά, βραχύτερα δὲ κακά, καλῶς πράξειας ἄν. B.I.

473. ἀλλ', ὦ φίλη παῖ, λῆγε: τῶν ὑπὲρ φύσιν φθεγγομένων φρενῶν καὶ ἐπ' ἔρωτι θάνατον μηχανωμένων. τὸ γὰρ ἀρχόμενόν τινα δυσφορεῖν οὐδὲν ἕτερόν ἐστιν ἢ κρείσσονα ἑαυτὸν νοεῖν τοῦ κρατοῦντος, καὶ τὴν δεσποτείαν ἄδικον εἶναι, καὶ λέγειν κρείσσω δαιμόνων. A.B.I.

474. ὑβρίζουσ': βλασφημοῦσα. B. τὴν θεὸν διὰ τὸ μὴ τηρεῖν τοὺς νόμους. B.

475. τάδ' ἐστὶ κρείσσω: ἢ καθὸ μὴ βούλεται ὑποκεῖσθαι τῇ Ἀφροδίτῃ. ἢ ἐπεὶ καὶ οἱ θεοὶ πολλάκις ἐρῶσιν, ὡς καὶ ἡ γραῦς ἔφη. διὰ τοῦτον δὲ θεραπεύει τὴν ὑποψίαν τῆς αἰσχρότητος, εἰς θειοτέραν ἀνάγκην τὸ ἀκούσιον τῆς γνώμης ἀναφέρουσα.

δαιμόνων: ποῖον τοῦτο. B.

476. τόλμα: ἐκπλήρωσαι τὸν ἔρωτα. B. ὑπόμενε, καρτέρει, σκόπει. B.

477. νοσοῦσα δ' εὖ πως: καλῶς σαυτὴν διάθες, καὶ γενναίως φέρε αὐτήν, εἶον μὴ ἥττῃ τῇ νόσῳ, ἀλλὰ γενναίαζε. A.B.I. Ἄλλως. καλῶς πως διατίθει τὴν νόσον, καὶ ὑπόταττε σαυτήν, εἶον μὴ ἥττῃ τῆς νόσου, ἀλλὰ γενναίως φέρε καὶ ἐπὶ πέρας ἄγε αὐτήν. A.B. Fl. 6. 15. καταστρέφου: κατατιθέναι. B.

478. ἐπῳδαί: φαρμακεῖαι. θελκτήριοι δὲ θελκτικοί. B. ἐπάσματα. M.

480. ἦ τἄρα γ' ὑμέ: βραδέως ἂν οἱ ἄνδρες νοηθεῖεν παρά τινος.

3. πλείονα ἔχῃς B. ἔχῃς πλείονα I.
ib. πράξειας ἄν B. ἂν πράξειας I.
5. λῆγε om. A.B.
ib. τῶν ὑπὲρ] τῶν συμφορῶν αἰσῶν καὶ ὑπὲρ A.
6. φρενῶν om. A.
ib. τὸ γὰρ A. λῆγε: τὸ γὰρ B.I.
7. κρείσσονα] κρεῖσσον A.
8. εἶναι] λέ' addit A., omissis καὶ λέγειν κρείσσω δαιμόνων.
12. Lemma τάδ' ἐστὶ κρείσσω addidi et A. Scholio praecedenti haec adjuncta in I. Novum scholion incipit in B.
13. ἐπεὶ καὶ] καὶ om. A.
14. τοῦτου] τοῦτο A.
ib. θεραπεύει A.B. θεραπεύειν I.
ib. εἰς] διὰ A.
20. γενναίαζε A.B. Fl. 6. 15. γενναίως φέρε καὶ ἐπὶ πέρας ἄγε I.
21. διατίθει] αὐτὴν διατίθει A.
22. ἄγε αὐτήν A. αὐτήν om. ceteri.
26. νοηθεῖεν παρά A. διαμυηθεῖεν περί B.I.

εἰ μὴ ἡμεῖς αἱ γυναῖκες μηχανὰς εὑρήσομεν. εἰ γὰρ αἱ γυναῖκες ἀπορήσομεν πανουργιῶν, πόσῳ μᾶλλον οὐκ εἰς ἔσχατον ἀμηχανίας περιπεσοῦνται οἱ ἄνδρες. ὥσπερ γὰρ τὸ νοῦν ἔχειν δέδοται τοῖς ἀνδράσιν, οὕτως τὸ πανουργεῖν καὶ μηχανὰς ἐξευρίσκειν ταῖς γυναιξί.

482. Φαίδρα, λέγει: πρὸς μὲν τὴν παρεῖσαν, φησί, συμφορὰν τοῦ ἔρωτος χρησιμώτερά σου λέγει ἡ τροφὸς ἢ σὺ μὲν ἐκβάλλεις σαυτὴν ζωῆς, ἡ δὲ τὸ ζῆν σοι προξενεῖ. σὲ δὲ, φησὶν, ὅμως ἐπαινῶ τῆς σωφροσύνης. συγκριτικῶς δὲ εἶπε τὸ δυστυχέστερος, ὡς ἂν ἀμφοτέρων τῶν λόγων τὸ δυστυχὲς κεκτημένων, τοῦ μὲν διὰ τὴν αἰσχύνην, τοῦ δὲ διὰ τὸν θάνατον. ἐμφαντικώτερον δὲ καὶ ἀλγίονα εἶπεν ἔπαινον τὸν οὐχ ἡδονὴν προξενοῦντα κατὰ τοὺς ἄλλους ἐπαίνους τοῖς ἀκούουσιν, ἀλλὰ θάνατον.

483. αἰνῶ: τὴν μὲν αἴνεσιν διὰ τὸ χρήσιμον καὶ πιθανὸν τῆς γνώμης, τὴν δὲ θαυμάζει διὰ τὸ βέβαιον τῆς σωφροσύνης. B.

484. ὁ δ' αἶνος οὗτος: ἴσθι μέντοι τοῦτο, ὅτι ὁ ἔπαινος τῆς σωφροσύνης ὁ παρ' ἐμοῦ λεγόμενος, εἰ καὶ καλλίων ἐστὶ τῶν ταύτης λόγων, ἀλλ' οὖν γε δυστυχέστερος αὐτῶν, καθὸ θανάτου σοι προξενεῖ. διὰ τοῦτο εἰκότως εἴη σοι λυπηρὸς ἀκούειν, εἰς ἀπώλειάν σε προτρεπόμενος. ἀλγίονα δὲ ἔφη τὸν ἔπαινον, ὡς ἂν μηδὲ ἐπαίνου, φησὶν, εἰληχότα. οἱ γὰρ ἔπαινοι ἥδουσι τοὺς ἐπαινουμένους.

486. τοῦτ' ἔσθ' ὃ θνητῶν: μάλιστα τὰς πολιτείας τοῦτο ἀπόλλυσι, τὸ τὰ κεχαρισμένα τῷ δήμῳ λέγειν πρὸς τὴν ἰδίαν σύστασιν. ὅταν γὰρ ἁμαρτάνοντί τινι μὴ πρὸς σωτηρίαν, ἀλλὰ πρὸς αὔξησιν τῆς ἁμαρτίας συμβουλεύῃ τις, οὗτος διὰ τῶν ἡδέων λόγων ἀπόλλυσι τὸν ἁμαρτάνοντα. οἱ ἡδεῖς γὰρ λόγοι καὶ πλανητικοὶ ἀπολλύουσι τὰς καλῶς οἰκουμένας πόλεις καὶ τοὺς δόμους.

1. εἰ μὴ A.B. Fl. 6. 15. μὴ om. I.
ib. ἡμεῖς om. A.
ib. εὑρήσομεν A. ἀνευρήσομεν B. εὕρομεν περί τινος I.
2. πόσῳ μᾶλλον] πῶς ἂν A.
3. ἄνδρες] ἄνοι (i.e. ἄνθρωποι) A.
5. φησὶ om. A.
6. ἢ B. ἡ A. εἰ Fl. 6. 15. εἰ ᾗ I.
7. προξενεῖ] προσφωνεῖ I.
8. et 17. δυστυχέστερος A.B. Fl. 6. 15. δυσχερέστεος I.
9. τοῦ μὲν—τοῦ δὲ] τὸν μὲν—τὸν δὲ A.
11. Verba προξενοῦντα τοῖς ἀκούουσιν post ἀλλὰ θάνατον collocat A.
15. τοῦτο ὅτι om. A., ὅτι om. B.
17. αὐτῶν A.B. ἐστι I.
19. μηδὲ] μήτε libri.
ib. ἐπαίνου, φησὶν, εἰληχότα A. ἔπαινον καθαρῶς ἔχοντα B.I.
23. τινι add. A.
24. ἁμαρτίας] σωτηρίας A.
ib. οὗτος] οὕτως A.
25. ἁμαρτάνοντα A. ἁμαρτήσαντα B.I.
ib. ἀπολλύουσι] ἀπόλλυσι A.
26. καλῶς om. A.
ib. δόμους] οἴκους A.

487. *οἱ καλοὶ λίαν λόγοι : οἱ πρὸς ἡδονὴν λεγόμενοι. διαβάλλει δὲ τὴν φύσιν τῶν ἡδέων ὡς ἄχρι τῆς ἀκοῆς τὸ χρήσιμον ἐχόντων. οὐ γὰρ τὰ πρὸς ἡδονὴν δεῖ λέγειν, ἀλλὰ τὰ πρὸς δόξαν.* B.

488. *τι : κατά τι.* B. *τερπνά : τὰ πράγματα.* B.

490. *τί σεμνομυθεῖς : ἀλαζονεύεις.* M. *ἀντὶ τοῦ τί φαίνῃ σώφρων.* B.

491. *ὁμιστέον : διαγνωστέον, πειρατέον. ὁ δὲ νοῦς, ἀλλὰ πειρατέον τῆς γνώμης τοῦ Ἱππολύτου, ποῖος ἔσται πρὸς τὰ λεγόμενα.*

492. *τὸν εὐθύν : ἐκ γὰρ τῆς συντόμου ὁμιλίας ὀλέσειε τὸ τῆς φύσεως αἰφνίδιον νόσημα. καὶ οὐκ ἂν ἐκ τοῦ ποικίλου τῆς ἐπαγγελίας, ὡς ἐθάδας τῆς νόσου, μισήσειεν.* A.B.I. *τὸν ἀληθῆ, τὸν σύντομον, τὸν ἁπλοῦν.* B.

497. *οὐκ ἐπίφθονον τόδε : οὐ νεμεσητὸν οὐδὲ μεμπτὸν τὸ σῶσαι τὸν βίον διὰ τῆς ἐκπληρώσεως τοῦ ἔρωτος, εἴ γε δεύτερα πάντα τῆς σωτηρίας ἡγούμεθα.* B.

490. *καὶ μή μεθήσεις αὖθις : ἀπειρηκυῖα τοῖς σοφίσμασι τῆς γραὸς παρακαλεῖ μηκέτι περὶ τοιούτων γυμνάζειν, μηδὲ λέγειν ὅτι καλῶς καὶ μετρίως ὑπείργασται αὐτὴν ὁ ἔρως, οὐ παράλογος, οὐδὲ ἄξιος θανάτου.*

500. *αἰσχρ', ἀλλ' ἀμείνω : παρὰ μὲν ἑτέρῳ τινὶ μὴ ἐρῶντι αἰσχρὰ νομισθείη, παρὰ σοὶ δὲ βελτίω εἰσὶ τῶν παρὰ σοῦ καλῶς λεγομένων, καθ' τὰ μὲν θάνατον, τὰ δὲ σωτηρίαν σοι περιποιεῖ. πρὸς πλείονα δὲ πειθὼ τὸ μὲν ἔργον, τὸ δὲ ὄνομα ἐκάλεσεν, ὡς τούτου μὲν τῇ ἀληθείᾳ σωτηρίαν ἔχοντος, τοῦ δὲ τὸ ἐπάγγελμα ἐν φήμῃ καὶ ἀμφιβολίᾳ τοῖς ἔξωθεν. Ἄλλως. τὰ δεκοῦντά σοι αἰσχρὰ εἶναι τῶν καλῶν λόγων κρείσσονα ἐστίν· ἢ αἰσχρὰ μὲν τὰ λεχθέντα τῷ προστυχόντι, σοὶ μέντοι νοσούσῃ τὸν ἔρωτα βελτίονα.*

501. *τοὔργον : τὸ τῆς σωτηρίας, τοὔνομα δὲ τὸ τῆς σωφροσύνης.* B.

502. *γαυρουμένη : σεμυνομένη.* B. *ἀλαζονευομένη.* M.

503. *εὖ λέγεις γάρ : καλῶς μὲν γὰρ λέγεις καὶ πιθανῶς, αἰσχρὰ*

7. περατέον prius add. A.B.
8. τοῦ et ποῖος—λεγόμενα om. A.
10. ἐπαγγελίας A. ἀπαγγελίας B.I.
11. ἐθάδας A.B. Fl. 6. ἐθάδης I. ἐθάδες Heathius.
13. οὐδὲ μεμπτὸν] οὐ μεμπτὸν B. qui om. οὐ νεμεσητόν.
18. ὁ om. B.
ib. ὑπείργασται] εἴργασται B.I.
21. παρὰ σοὶ] τὰ παρὰ σοὶ A.
22. σωτηρίαν] σωτηρίας I.
26. κρείσσονα] κρείττονα A.
30. καλῶς—τὰ λεγόμενα] Haec etiam in M.

δέ ἐστι τῇ φύσει τὰ λεγόμενα, καὶ μή γε πρὸς θεῶν πέρα πριβῆς τι τῶν λόγων τούτων, μηδὲ σοφιζομένη λέγε ὅτι καλὸν ὑπείργασμαι καὶ ὑπισθάπομαι τὴν ψυχήν, καὶ καρτερῶ τῷ ἔρωτι, καὶ οὐδὲν ἡμᾶς ἔβλαψεν ἄξιον θανάτου.

504. ὑπείργασμαι: ὑπισθάπομαι καὶ καρτερῶ. B.

505. αἰσχρὰ δ' ἦν λέγῃς: ὅταν δὲ τὰ αἰσχρὰ πιθανῶς λέγῃς καλὰ τῇ δεινότητι, διαφθαήσομαι ἐγώ, καὶ ἐμπέσω εἰς ὃ φεύγω, τουτέστι τὴν ὁμιλίαν καὶ συνουσίαν τοῦ ἐρωμένου. δέδοικε γὰρ ἡ Φαίδρα μὴ λαθοῦσα ἁλῷ τῇ πιθανότητι.

507. εἴ τι δοκεῖ σοι: μὴ δυνηθεῖσα τοῖς σοφισμοῖς περιγενέσθαι, δευτέραν εἰσηγεῖται γνώμην ἡ γραῦς, καὶ ὑπισχνεῖται ἀντιτρώσειν κἀκεῖνον φαρμάκοις τισίν, ὅπως ἂν θαρσαλεώτερον αὐτῷ τὸν ἔρωτα μηύσωσιν, ὡς πάντως πείσουσαι. εἰ τοίνυν, φησί, δοκεῖ σοι τὸ μὴ συνελθεῖν τῷ ἐρωμένῳ, ἔδει σε μηδὲ τὴν ἀρχὴν ἁμαρτάνειν ἐρασθεῖσαν, καὶ εἰ τὸ σωφρονεῖν σοι δέδοκται, ἔδει μηδ' ὅλως ἁλῶναι τῷ ἔρωτι. κἂν γοῦν, φησί, δευτέραν χάριν μοι δός, δευτέρῳ τρόπῳ πεισθεῖσα τῷ τῶν φαρμάκων. ἔστι δέ μοι, φησίν, ἐν τῇ οἰκίᾳ φάρμακα ἐρωτικά, ἃ δύναταί σου παῦσαι τὴν νόσον καὶ τελέσαι τὸν ἔρωτα, ἀντιτρώσαντα δηλονότι τὸν ἐρώμενον. εἰ δὲ πάλιν σὺ ἀπειθήσασα οὐκ ἐάσεις με τοῦτο ποιῆσαι, βλάβη σοι γενήσεται. Ἄλλως. τινὲς οὕτως· εἰ δοκεῖ σοι σωφρονεῖν, ἄφειλες μηδέν μοι λέγειν· εἰ δέδοκταί σοι τὸ μὴ πεισθῆναι, κἂν δευτέραν καὶ ἥσσονά μοι χάριν δός. πάντως γὰρ κἀκείνου οὕτως ἐρῶντος οὐκ ἂν ἀποτυχοῦσα τῆς κοινωνίας ἡττηθείης.

ἄρτι μοι: ἄρτι ὑπεμνήσθην ὅτι ἔχω φάρμακα. B.

512. παύσει νόσου: τὸν ἐρῶντα προσληπτέον. ἄτινα φίλτρα,

6. π. λέγῃς A.B. λέγῃς π. I.
7. καλὰ om. A.
8. ἐραμένου] ἔρωτος I.
ib. δέδοικε—πιθανότητι om. A.
12. κἀκεῖνον] ἐκεῖνον A.
ib. ὅπως A. Fl. 6. 15. ὡς B.I.
13. πείσουσαι] πείσασαι A.
15. καὶ εἰ] καὶ οὐ I.
16. γοῦν, φησὶ om. A.
ib. χάριν μοι] μοι χάριν A.
18. σου om. A.
ib. τὴν νόσον] τῆς νόσου A.
19. ἀντιτρώσαντα A. τρώσαντα B.I.
20. ποιῆσαι B. ποιήσειν I. γίνεσθαι A. omisso με ante τοῦτο.
ib. γενήσεται] τὸ γινόμενον A.
21. εἰ δοκεῖ — ἡττηθείης] Haec etiam in M., sed sic scripta, εἰ δοκεῖ —μηδὲ τὴν ἀρχὴν ἁμαρτάνειν ἐρασθεῖσα, ὅμως κἂν ταύτην ἥσσονά μοι χάριν δός. τινὲς οὕτως οὐ δεῖ σοι μ...πείθεσθαι εἰς ...ἐχρῆν...οὖν...reliquis obliteratis.
23. κἀκείνου—ἡττηθείης om. A. in spatio vacuo.
26. ἐρῶντα] ἔρωτα B. Fl. 6.

ἤτοι φάρμακα τὰ θέλγοντα εἰς φιλίαν, οὔτε δύσκλειαν πορνείας σοι θέντα οὔτε ἀπατήσαντά σε παύσει τῆς νόσου, ἐὰν σὺ μὴ γένῃ κακὴ, ἀντὶ τοῦ εἰ μὴ ἀπειθήσασα κωλύσεις με. B.I.

514. σημεῖον ἢ λόγον: δεῖ, φησὶν, ἐν τῇ φαρμάξει ἐκ τοῦ Ἱππολύτου σημεῖόν τι λαβεῖν, ἢ λόγου μνημόνευμα, ἢ κρασπέδου ἀπόσπασμα. καὶ τὸν μὲν λόγον αὐτοῦ τῷ λόγῳ τῆς Φαίδρας συνάψαντας ἐπᾴδειν, τὸ δὲ ἀπόσπασμα τῆς ἐσθῆτος πάλιν ἐπαοιδῆς ἀποσπάσματι τῆς ἐσθῆτος Φαίδρας συνάπτειν, ἵν', ἐὰν τοῦ διὰ λόγου ἀποτύχωμεν, τῷ δι' ἐσθῆτος χρησώμεθα. συνάψαντες γὰρ ἄμφω τοὺς λόγους, ἢ τὰ ἀποσπάσματα τῶν ἱματίων οὕτως ἐπᾴδουσιν, οἷον Ἱππόλυτος ὁ τόδε εἰπὼν ἐρασθείη Φαίδρας τῆς τόδε εἰπούσης. μερικῶς δὲ καὶ τὸ φυσιολογικὸν μᾶλλον διήγημα εἰπὼν "συνάψαι τ' ἐκ δυοῖν μίαν χάριν." διὰ γὰρ φυσιολογιῶν τινῶν ἄμφω τὰς φύσεις εἰς ἕνα ξυνάγουσιν ἔρωτα. ἄριστα δὲ καὶ ἐνταῦθα ἡ διοίκησις. τὴν μὲν ἕλκη φάρμαξιν οὐκ ἐπὶ σκηνῆς, ἀλλ' ἔνδον πιεῖσαι μέλλουσα, πιθανῶς ἦδη τὸ κεφάλαιον ὑπέθετο τῆς φαρμάξεως. ἔδοξε γὰρ ἂν ἐνοχλεῖν διηγουμένη φανερῶς.

516. χριστόν: ἆρα δὲ χριόμενόν ἐστι τὰ φάρμακον ἢ πινόμενον. B.

517. ἔνασθαι, μὴ μαθεῖν: διδάσκων πῶς δεῖ τοῖς ἀναγκαίοις κεχρῆσθαι εἰς τὴν παραυτίκα μόνον ἀπαλλαγὴν τῶν κακῶν καὶ ἀπόλαυσιν· οὐ γὰρ εἰς τὴν διηνεκῆ γνῶσιν. τὸ γὰρ τοιοῦτον πονηρίας ἐστὶν

2. οὔτε scripsi pro οὐδέ.
4. ἐν τῇ A.B. Fl. 6. 15. αὐτῇ I.
5. σημεῖον hic A., ante ἐκ τοῦ ceteri.
ib. λόγου] λόγων A. hic et in lemmate.
ib. ἀπόσπασμα om. A.
6. τὸν μὲν λόγον αὐτοῦ τῷ (τῷ om. A.) λόγῳ A.B. Fl. 6. 15. τῷ μὲν λόγῳ αὐτοῦ τὸν λόγον I.
7. τῆς add. A.
ib. ἐπαοιδῆς A.B.I. ἐπ' ἀοιδῆς Fl. 6. 15. ἐπᾴδοντας Matthiae. μτ
ib. ἀποσπάσματι Barnesius. σπασ' A. quod nihil aliud esse videtur quam ἐπάσματος, quod est in B.I., ἐπ' ἄσματος scriptum in Fl. 6. 15.
8. Φαίδρας] φαίδραν I.
ib. συνάπτειν] ἐπᾴδειν ἢ συνάπτειν Fl. 6. 15.
ib. ἐὰν τοῦ A. εἰ αὐτοῦ ceteri.
9. τῷ — χρησάμεθα] τὸ — χρησόμεθα A.
12. μᾶλλον om. A.
ib. εἰπὼν] εἶπ᾽ A.
13. φυσιολογιῶν A.B. Fl. 6. 15. φυσιολογικῶν I.
15. μέλλουσα] θέλουσα A.
16. ὑπέθετο] ὑπετίθετο Fl. 6. 15.
20. διδάσκων B. Fl. 6. 15. διδάσκουσα I. διδάσκει A.
ib. δεῖ] δὴ I.
21. μόνον] μόνην A.
ib. καὶ ἀπόλαυσιν add. A.
22. καὶ] ἡ I.

ἐπιθυμία καὶ διηνεκὴς τῆς κακουργίας ἀπόλαυσις. δεῖ οὖν πρὸς τὸ λυσιτελοῦν ἀπολαύοντας τῶν τοιούτων καταρραθυμεῖν τῶν διηνεκῶν εἰδήσεων. ὠφεληθῆναι, φησὶ, μόνον βούλου, ἀλλὰ μὴ μαθεῖν τῆς ὠφελείας τὴν φύσιν. τὸ δὲ ὕασθαι ὡς ἵστασθαι. τὸ θέμα ὄνημι.

518. δέδοικ᾽ ὅπως: ἐπειδὴ μεσότης ἐστὶ καὶ ὑπερβολὴ καὶ ἔλλειψις, καὶ ἡ μὲν μεσότης ἐστὶ φρόνησις, ἡ δὲ ἔλλειψις ἀφροσύνη, ἡ δὲ διαβολὴ πονηρία, διὰ τοῦτο εἶπε "δέδοικα μὴ λίαν φανῇ σοφή." ἤτοι πονηρά. τὸ λίαν γὰρ ἐπαυξητικόν ἐστι τοῦ...καὶ λοιπὸν ἐκ τῆς πονηρίας βλάψει μᾶλλον ἢ ὠφελήσει. τῆς γὰρ φρονήσεως, ἤτοι τῆς μεσότητος, λειπούσης ἐξ ἀνάγκης ἄμφω αἱ κακίαι, ἤτοι ἡ πονηρία καὶ ἡ ἀφροσύνη, βλάπτουσι. Λ. δέδοικα. φησὶ, μὴ μετιοῦσα τὴν φάρμακον ἔργῳ δηλώσῃς τὴν νόσον. τὸ δὲ "πάντ᾽ ἂν φοβηθεῖσ᾽ ἴσθι" ἀντὶ τοῦ, εἰ τὸ μηδὲν ἄξιον φόβου φοβῇ, πάντα ἂν φοβηθεῖσαν γνῶθι σαυτήν. A.B.I. σοφή: πανοῦργος. B. μωρὰ, ἀνόητος. Fl. 2.

520. μή μοί τι: φοβοῦμαι μὴ ἐπ᾽ ἐμοὶ σφόδρα τις πανοῦργος ἀποδειχθῇς μηνύσασα τῷ Ἱππολύτῳ τὸν πρὸς αὐτὸν ἀπ᾽ ἐμοῦ ἔρωτα.

521. ἔασον, ὦ παῖ: οἰκονομικώτατα οὐδὲν πρὸς τὴν ἐρώτησιν ἀντέθηκε, καίτοι αὐτὴ ἐρωτήσασα τὴν Φαίδραν, διὰ τί φοβεῖτο, ἀλλὰ μόνον φησὶν, ἐγὼ ταῦτα θήσω καλῶς, οὐ βουλομένη κατήγορος ὕστερον ἑαυτῆς φωρᾶσθαι. τὴν Ἀφροδίτην δὲ ἐπικαλεῖται ὡς παραστατοῦσαν ταῖς τοιαύταις περιεργίαις.

524. τοῖς ἔνδον ἡμῖν: φίλον ὀνομάζει τὸν Ἱππόλυτον καθ᾽ ἡδονὴν ἡ γραῦς, προλαμβάνουσα ταῖς ἐλπίσιν. ὁ δὲ νοῦς· τὰ δὲ ἄλλα, ἃ φρονῶ, ἀρκέσει ἄρα ἔνδον διηγήσασθαι φίλοις, ὁποῖά ἐστι, καὶ μὴ ἐπὶ πάντων καὶ ἐπὶ τοῦ θεάτρου ταῦτα ἐκφέρειν. Ἄλλως. οὐ βούλομαι παρρησιάζεσθαι τὰ τῆς γνησίας· ἀρκεσθήσομαι γὰρ τοῖς ἔνδον.

2. καταρραθυμεῖν] καταραθυμεῖν A. καταριθμεῖν Fl. 6. 15.
3. μόνον βούλου A. βούλου μόνον I.
8. Post ἐστι τοῦ extra versum signum est + et in initio sequentis versus trium literarum spatium.
12. τὸ δὲ et ἀντὶ τοῦ om. A.
16. ἀποδειχθῇς μηνύσασα A. ἀποδειχθεῖσα μηνύσῃς B.I.
20. ἀλλὰ—καλῶς om. A.
21. ἵστερον ἑ. A. ἑ. ἵστερον B.I.
22. περιεργίαις A. περιεργασίαις B.I.
24. ὁ δὲ νοῦς add. B. Fl. 6. 15., om. A.I. Pro eo ἄλλως in A.
25. φίλοις A.B. τοῖς ἔνδον φίλοις I.
26. Ἄλλως om. A. in quo sequentia supra versum scripta sunt.
ib. οὐ] ὃ A.
27. τὰ om. A.
ib. ἀρκεσθήσομαι] ἀρκεσθήσεται A.
ib. γὰρ add. B. Fl. 6. 15., om. A.I.
ib. ἔνδον] ἔνδον εἶναι A.

525. Ἔρως Ἔρως: λοιπὸν ὁ χορὸς ἐκτείνεται πρὸς τὸν Ἔρωτα λέγων, ὦ Ἔρως, ὅστις διὰ τῶν ὀμμάτων τῶν ἀνθρώπων στάζεις τὸν πόθον, διὰ τούτου εἰσάγων ταῖς ψυχαῖς καὶ τὴν γλυκεῖαν ἡδονὴν, καθ' ὧν ἂν ψυχῶν ἐπιστρατεύσῃ τῷ ἐρωτικῷ τόξῳ καὶ ἐρᾶν ποιήσῃς. τὸ δὲ ἑξῆς οὕτως· ὦ Ἔρως, ὃς κατὰ τῶν ὀμμάτων τῶν ἐρωμένων ἡδονὴν καὶ ἐπιθυμίαν ἐπιχέεις, διὰ τούτου γλυκεῖάν τινα ἡδονὴν εἰσάγων ταῖς ψυχαῖς ἐκείνων, καθ' ὧν ἂν ἐπιστρατεύσῃ τοῖς ἐρωτικοῖς βέλεσιν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτε ἐπαναγκάσεις τινὰ ἐρᾶν, τῷ ἐρωμένῳ γλυκεῖαν ἐπιτιθεὶς ταῖς ὄψεσιν ἡδονὴν, ὅπως τοὺς ἐρῶντας αὐτοπροαιρέτῳ καθυποτάξῃς ἀνάγκῃ διὰ τῆς ἡδονῆς. τὸ δὲ ἑξῆς· ὦ Ἔρως, Ἔρως, ὃς κατ' ὀμμάτων στάζεις πόθον, μή μοι ποτὲ σὺν κακῷ φανείῃς. οὐ πάντη δὲ ἀπεύχεται τὸν ἔρωτα, ἀλλὰ τὸν ἐπὶ κακῷ. εἰσὶ γὰρ καὶ ἀρετῶν ἔρωτες. A.B.I.

ὅ: τὸ ὅ προτακτικὸν ἀντὶ τοῦ ὅς ὑποτακτικοῦ ἄρθρου. A.B.

527. ψυχᾷ χάριν οἷς: ἀπὸ ἐνικοῦ εἰς πληθυντικὸν μετέβη. ἔδει γὰρ εἰσάγων ψυχῇ χάριν ἢ ἐπιστρατεύσῃ, ἀλλὰ τὸ μὲν ἐνικὸν παρέλαβε πρὸς τὸ ὁμιλοῦν τῆς ἀνθρωπίνης φύσεως, εἰς δὲ τὸ πληθυντικὸν ἐξέπεσε πρὸς ἐξήγησιν τοῦ κατὰ τὸν ἐνικὸν ἀριθμὸν δεδηλωμένου πληθυντικοῦ. εἰσὶ δὲ τὰ ὀνόματα οἰκεῖα ἔρωτι. A.

528. μή μοί ποτε σὺν κακῷ: οὐ πάντη ἀπεύχεται τὸν ἔρωτα, ἀλλὰ τὸν ἐθελόκακον, ἐπεὶ καὶ ἀρετῶν εἰσιν ἔρωτες. A.M.

529. μηδ' ἄρρυθμος: μηδὲ ἄμετρός τις καὶ ἄτακτος ἔλθοις. ῥυθμὸς γάρ ἐστιν ἡ μουσικὴ τάξις. πᾶς δέ τις ἔρως μεμετρημένος ἔχει μετὰ τῆς ἱάσεως τὸ χάριεν ἅμα καὶ ἀβλαβές.

530. οὔτε γὰρ πυρός: οὔτε γὰρ τὸ βέλος τοῦ πυρὸς οὔτε τὸ ὑψηλότατον βέλος τῶν ἄστρων τοιοῦτόν ἐστιν, οἷον ἵησιν ἐκ χειρὸς ὁ

3. διὰ τούτου] διατ A.
ib. καὶ τὴν γ. ἡ.] γ. τὴν ἡ. sine καὶ A.
4. ψυχῶν] τῶν ψυχῶν Fl. 6. 15.
ib. ποιήσῃς Barnesius. ποιήσας I. ποιήσειας B. Fl. 6. 15. ποιήσειε A.
6. γλυκεῖαν—ἐκείνων] ταῖς ψ. ἐκείνων εἰσάγων γλυκεῖάν τινα ἡδονὴν A.
8. ἐπαναγκάσεις B. Fl. 6. 15. ἐπαναγκάσῃς I. ἀναγκ^{ῆς}, A.
ib. τῷ ἐρωμένῳ—ἐπιτιθεὶς] τῶν ἐρωμένων—ὑποτιθεὶς Fl. 6. 15.
9. αὐτοπροαιρέτῳ] αὐτοπροαιρέτως Fl. 6. 15. αὐτοπροαιρέως (sic) I.
10 ὦ om. A.
12. φανείῃς] μηδ' ἄριθμος ἔλθῃς add. A. reliqua scholii parte omissa. Sed habet infra lin. 20.
ib. κακῷ B. τῷ κακῷ I.
14. ἄρθρου om. A.
22. ἔλθοις] ἔλθῃς Fl. 6.
24. ἀβλαβές] εὐλαβές A.
26. χειρὸς] χειρῶν A.
ib. ὁ om. A.

Ἔρως ὁ Διὸς παῖς. εἶτα ἵνα μὴ δόξῃ τὸ κοινὸν βέλος λέγειν, φησὶ τὸ τῆς Ἀφροδίτης. ἀπὸ κοινοῦ δὲ τὸ βέλος τοῦ πυρὸς καὶ τὸ βέλος τῶν ἄστρων. Ἄλλως. ἡ μὲν τοῦ πυρὸς βολὴ τὸ δυνατὸν, ἡ δὲ τῶν ἄστρων πρὸς τὸ ἐπιτευκτικόν. τὸ μὲν γὰρ ἀναλωτικὸν τῶν ἐμπιπτόντων, τὸ δὲ ὀξείας καὶ ἐξόχους ἔχον τὰς ἀφὰς, ὥστε τὸ μὲν πρὸς τὴν ἰσχὺν, τὸ δὲ πρὸς τὴν εὐστοχίαν. οὔτε γὰρ τοῦ πυρὸς οὔτε τῶν ἄστρων τῶν τὰς χειμασίας ἐμποιούντων τὸ βέλος χεῖρόν ἐστι τοῦ σοῦ βέλους.

535. ἄλλως: μάτην θύομεν Διὶ Ὀλυμπίῳ καὶ Ἀπόλλωνι Πυθίῳ, μὴ τιμῶντες τὸν Ἔρωτα τὸν ὄντα τύραννον μὲν ἀνθρώπων, φύλακα δὲ τῶν ἀφροδισίων θαλάμων, τὸν πορθοῦντα καὶ ὀλοθρεύοντα τὸν τῶν ἀνθρώπων βίον, καὶ διὰ πάσης συμφορᾶς πόνους καὶ λύπας παρέχοντα, καὶ παντὸς κακοῦ πειραθῆναι ποιοῦντα, ὅταν πρὸς αὐτοὺς ἔλθῃ.

538. τὸν τύραννον: καλῶς οὐ βασιλέα, ἀλλὰ τύραννον αὐτόν φησιν, ἐπεὶ μὴ προνοεῖται τῆς τῶν ἀρχομένων ὠφελείας, πόνον δὲ λυσιτελοῦντα τῇ ἑαυτοῦ προαιρέσει κατεργάζεται, ἐπίδειξιν τῆς δυναστείας ποιούμενος.

541. κληδοῦχον οὐ σεβίζομεν: τὸν φύλακα τῶν οἴκων οὐ τιμῶμεν. φύλακα δὲ τῶν ἀφροδισίων αὐτὸν ἔφη θαλάμων. δι' ἔρωτος γὰρ ἀφροδισιάζομεν, καὶ τότε καθ' αὐτῶν ὁρμῶμεν, ὁπόταν ἐκεῖνος τὴν ἐπιθυμίαν εἰς ἡμᾶς ἐπιπέμψῃ.

543. ἰόντα συμφορᾶς: ἰέναι ποιοῦντα καὶ διὰ παντὸς κακοῦ ποιοῦντα πειραθῆναι τοῖς ἀνθρώποις, ὅταν ἔλθῃ. A.

545. τὰν μὲν Οἰχαλίᾳ: περὶ τῆς Ἰόλης ὁ λόγος, ὅτι ὁ ταύτης ἔρως τὴν Οἰχαλίαν ἐπόρθησεν. ἔνιοι μὲν οὖν φασιν ἀτιμασθέντα τὸν Ἡρακλέα ὑπὸ Εὐρύτου καὶ τῶν ἀδελφῶν αὐτοῦ, (οὐ γὰρ δεδώκασιν αὐτῷ τὴν κόρην,) πορθῆσαι τὴν Οἰχαλίαν. Ἡρόδωρος δέ φησιν ὅτι τοῦ τῆς Ἰόλης γάμου προκειμένου τοξείας ἐπάθλου Ἡρακλέα νική-

3. ἡ—βολὴ] ὁ—περίβολος A.
9. Ἀπόλλωνι] ἡλίῳ A.
10. τύραννον A.B. Fl. 6. 15. φύλακα I. ὄντα om. A.
16. ἐπεὶ A.B. ἐπειδὴ I.
20. δὲ om. A.
21. αὐτῶν—ὁπόταν om. A. in lacuna.
25. τὰν μὲν—ἔρως τὴν om. A. in lacuna.
26. τὸν om. A.
28. κόρην] πόλιν A.
ib. ἡρόδωρος B. Fl. 6. 15. ἡρόδοτος A.I.
29. ἐπάθλου Heathius pro ἔπαθλον.

σαντα ἀπαξιοῦσθαι τοῦ γάμου. διὸ καὶ κατὰ κράτος ἐλεῖν τὴν Οἰχαλίαν καὶ τοὺς ἀδελφοὺς αὐτῆς ἀνελεῖν, Εὔρυτον δὲ φυγεῖν εἰς Εὔβοιαν. Λυσίμαχος δέ φησιν ἐν τοῖς Θηβαϊκοῖς παραδόξοις τριάκοντα ἀργυρίου τάλαντα ἀπαιτούντων ποινὴν ἐπὶ Ἰφίτῳ οὕτως ἐπ' αὐτοὺς Ἡρακλέα στρατεῦσαι.

546. πῶλον ἄζυγα: παρθένον ἄπειρον γάμου, καθαράν. πῶλον δὲ τὸ ἀκμαῖον αὐτῆς εἴκασεν. λέγει δὲ τὴν Ἰόλην τὴν παῖδα τοῦ Εὐρύτου, ἣν ἔλεγε διδόναι τῷ νικῶντι αὐτὸν κατὰ τὴν τοξικήν. ἐλθὼν γὰρ ὁ Ἡρακλῆς ἐνίκησε τοῦτον. ὁ δὲ Εὔρυτος παρητήσατο δοῦναι αὐτήν, καὶ ἕνεκα τῆς παραβασίας ὁ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν, καὶ αὐτὴν ἔλαβε πρὸς γάμιν. A.B.I. τὴν Ἰόλην λέγει τὴν Εὐρύτου θυγατέρα, ἣν ἆθλον ἐπὶ τοξείᾳ θεὶς ὁ Εὔρυτος νικηθεὶς ὑφ' Ἡρακλέους καὶ μὴ ἀποδιδοὺς παρεσκεύασεν Ἡρακλέα καὶ τὴν πόλιν πορθῆσαι καὶ ταύτην λαβεῖν. A.

549. ζείξασ' ἀπειρεσίαν: ἀποζείξασα δὲ καὶ ἀποχωρίσασα τῶν οἴκων. ὁ δὲ νεῦς, τὴν μὲν δὴ ἐν Οἰχαλίᾳ παρθένον, ἄνανδρον, ἄνυμφον οὖσαν τὸ πρότερον, τῶν νυμφικῶν οἴκων ἀποχωρίσασα ἡ Ἀφροδίτη τῷ Ἡρακλεῖ ἐπὶ φόνοις καὶ πορθήσεσι τῆς πατρίδος ἐπέδωκεν.

550. ναΐδα: νύμφην. ἀντὶ τοῦ ταχεῖαν ὁρμάδα νύμφην περὶ τὰ νάματα σκιρτῶσαν. A.B. τὸ ἑξῆς, νηΐδα Ἀλκμήνας τόκῳ Κύπρις ἔδωκεν, ὅ ἐστι νύμφην. δηλοῖ ἐξ ἐπιθέτου τὸ προσηγορικόν. A.B.I.

551. σὺν αἵματι: παρόσον σὺν αἵματι καὶ καύσει τῆς πατρίδος αἰτία γέγονεν. ἤτοι παρόσον ὁ γάμος αὐτῆς πρίξενος τούτων ὅλων ἐγένετο, ὡς καὶ Σοφοκλῆς ἐν Τραχινίαις, "ὡς τῆς κόρης ταύτης ἕκατι κεῖνος Εὐρυτόν θ' ἕλοι."

1. ἀπαξιοῦσθαι τοῦ γάμου] ἀπαξιώσασθαι τὴν χάλον (sic) A.
4. ποινὴν] τιμὴν A.
6. παρθένον—καθαράν] ἄπειρον, καθαράν. πῶλον δὲ παρθένον A.
8. αὐτὸν κατὰ τὴν τ.] αὐτῷ περὶ τ. A.
15. δὲ καὶ om. A.
15. 17. ἀποχωρίσασα] ἀποχωρήσασα A.
18. ἐπὶ φόνοις margo B. a m. prima. φόνοις Fl. 6. συμφῶ A. συμφόνοις B.I.
ib. πορθήσεσι] πορθήσει B.
19. νύμφην περὶ] βάκχην τὴν περὶ B.
20. σκιρτῶσαν] βάκχην addit B.
ib. τὸ ἑξῆς—] Haec in libris leguntur post scholion proximum cum lemmate Ἀλκμήνας τόκῳ.
ib. ναΐδα A. νηΐδα B. ἤδη I.
ib. ἀλκμήνας A. ἀλκμήνης B.I.
21. ὅ ἐστι A. ἀντὶ τοῦ B.I.
ib. δηλοῖ ἐξ ἐπιθέτου] ἀπὸ τοῦ ἐπωνύμου A.
24. ἤτοι om. A.
25. ὡς καὶ (καὶ om. B.)—ἕλοι om. A.
ib. Τραχινίαις] V. 352. Sopho-

554. ὦ τλᾶμον ὑμεναίων: διὰ μέσου τοῦτο ἐσχετλίασται. εἶτα τὸ τῆς ἑτέρας ἱστορίας ἐπισυνῆπται. A.B.

555. δεύτερον διήγημα τῆς δυνάμεως τῆς Ἀφροδίτης, δηλαδὴ τὸ κατὰ τὴν Σεμέλην καὶ τὴν ταύτης κύησιν. B.

558. συνείποιτ' ἄν: συμμαρτυρήσεται. ἕρπει δὲ οἷον ἐπέρχεται σοβαρῶς. B.

559. βροντᾷ γάρ: τῇ Ἀφροδίτῃ ἀνατίθησι τὴν Σεμέλης κεραύνωσιν, ἤτοι καθὸ ὁ Ζεὺς ἀπρονόητος γενόμενος τῷ ἔρωτι ἐπείσθη τῇ Σεμέλῃ, τὸ τῶν ἐραστῶν ἀναδεξάμενος πάθος, ἢ καθὸ ἐν τῇ μίξει καὶ τῷ ἀφροδισιασμῷ ἀπόλετο. διαπέπλασται δὲ τὰ τοῦ μύθου, καθὸ ῥιζοβολεῖν ἀρχόμεναι πολλάκις ἄμπελοι τῇ καύσει τῶν νότων ἐκκόπτονται. ἀμφιπύρῳ δὲ τῇ πεπυρωμένῃ, ὡς εἰ ἔλεγε τῇ μετὰ ἀστραπῆς βροντῇ. τὴν γὰρ μητέρα τοῦ Βάκχου Σεμέλην συγκοιμηθεῖσαν οὐ τῷ Διΐ, ἀλλὰ βροντῇ ἀμφιπύρῳ, πότμῳ φονίῳ κατεύνασεν, ὅ ἐστι κατέπαυσεν, κατεκοίμισεν, εὐφήμως ἀντὶ τοῦ ἀνεῖλεν, ἡ Ἀφροδίτη δηλονότι. A.B.I. τοκάδα: μητέρα. B. τοῦ Διονύσου γεννήτριαν. M.

560. Διογόνοιο Βάκχου: τοῦ Διονύσου. B. γρ. καὶ διγόνοιο, καθὸ καὶ διθύραμβος λέγεται τῷ δισσῶς τεχθῆναι. B.

561. νυμφευσαμέναν: συγκεκοιμημένην. M. νυμφευθείσαν. B. πότμῳ: ἐπί. B. rec.

562. κατεκοίμασε: κατενασθῆναι καὶ συμμιγῆναι τῷ Διὶ πεποίηκε. B.

563. δεινὰ γὰρ πάντα: ἀπὸ θαυμαστικοῦ ἀρξάμενος καὶ εἰς θαυμαστικὸν κατέκλεισεν, ὥστε θαυμάζων ἄρχεται καὶ θαυμάζων παύεται. δεινὴ γὰρ ἡ Ἀφροδίτη καὶ πανταχόθεν δίκην μελίσσης περιίπταται, τὰ κάλλιστα τῶν σωμάτων μαραίνουσα.

564. πεπότηται: προσυπακουστέον τὸ κεντοῦσα. A.

565. σιγήσατ', ὦ γυναῖκες: πρὸς τὰς τοῦ χοροῦ, ἵνα μὴ ἀκούσῃ

clis verba om. I., habent B. Fl. 6. 15. P. 143. l. 26. ἕλοι] ἕλῃ B.
8. ὁ add. A.
10. ἀπόλετο] ὄλετο A.
11. πολλάκις om. A. πολλάκις ἄμπελοι πολλάκις I.
12. δὲ om. A.
13. βροντῇ] πυρὶ I.
15. κατέπαυσεν om. A.B.
ib. κατεκοίμισεν] κατεκοίμησεν A.
ib. ἀντὶ τοῦ om. A.
24. ἀρξάμενος] ἀρξαμένη I.
27. περιίπταται Barnesius. περίσταται A.B. Fl. 6. 15. παρίσταται I.

ὁ Ἱππόλυτος ἔσωθεν. Α. ἔξεισι ταραχώδης ἡ Φαίδρα, τὴν ἀπάτην τῆς γραὸς αἰσθηθεῖσα. σιγὴν δὲ αἰτεῖ, πρὸς ἀκρίβειαν πυθέσθαι βουλομένη, καὶ αὐτὰς ἀκοῦσαι προτρεπομένη τὰ λεγόμενα περὶ Ἱππολύτου.

566. τί δ' ἔστι, Φαίδρα: περὶ τὴν τῆς Φαίδρας ἀγωνίαν καταγινόμενος ὁ χορὸς οὐκ ἐπαισθάνεται τῶν τοῦ Ἱππολύτου λόγων, καὶ ταῦτα εἰκότως φυλάξαντος τοῦ τραγικοῦ· περιπαθέστερον γάρ ἐστιν ὑπὸ Φαίδρας λεγόμενον.

569. ἰώ μοί μοι, αἲ αἲ: πρὸς ὀλίγον ἐν τῇ σκηνῇ σιωπῆς γενομένης ἀκούσασα τὰ λεγόμενα ἡ Φαίδρα καὶ μὴ ἐνεγκοῦσα τὸ πάθος ἀνέκραγεν. εἰκονομικῶς γὰρ οὐκ ἐξέβαλεν Ἱππόλυτον, ἀλλὰ προτεταραγμένην τῆς Φαίδρας τὴν ἀγωνίαν.

574. ἔννεπε: εἰπὲ, ὦ γύναι, ποῖος οὗτος λόγος εἰσελθὼν εἰς τὰ ὦτά σου ἐπτόησέ σε. ἢ οὕτως. εἰπέ μοι, ποία φήμη καὶ βοὴ ἐφορμήσασα ἐκφοβεῖ σου τὰς φρένας. στικτέον δὲ ἢ εἰς τὸ φρένας, ἢ συναπτέον αὐτῷ τὸ ἐπίσσυτος. ἑκατέρως γὰρ δύναται ὑποστίζεσθαι.

579. σὺ παρὰ κλῆθρα: παρὰ ταῖς πύλαις. παραιτεῖται τὴν ἀκοὴν, ἐπεὶ πολλάκις ἔμελλε διαδιδόναι αὐτῇ ἃ ἤκουσεν, καὶ ἐκ τούτου πρόξενος αὐτῇ τῆς λύπης γίνεσθαι. ὁ δὲ νοῦς· σὺ παρὰ κλῆθρα ἵστασο· σοὶ γὰρ μέλει ἡ ἐκ τῶν οἴκων πεμπομένη βοή. ἐπειδὴ γὰρ καὶ σόν ἐστι τὸ πάθος, σοὶ ἐν φροντίδι ἔσται ἡ πεμπομένη φήμη ἐκ τῶν οἴκων. A.B.I.

581. ὁ τῆς φιλίππου: ὁ Ἱππόλυτος ὁ τῆς Ἀμαζόνος Ἀντιόπης

1. τ. ἡ Φ.] ἢ φ. τ. A.
3. τὰ λεγόμενα] τί δὲ λεγ΄ A.
7. περιπαθέστερον—λεγόμενον A. περιπαθέστερα—λεγόμενα B.I.
9. Alterum μοι om. A. Scholion totum obliteratum in M.
10. ἢ] τῇ A.
11. γὰρ addidi ex A. deleto quod ante οἰκονομικῶς legebatur ἤ. Matthiæ conjecit ἀνέκραγεν αἲ αἲ.
ib. ἱππόλυτον A.B. Fl. 6. ἱππόλυτες Fl. 15. ἱπολύτῳ I.
13. ὦ add. A.
15. ἐφορμήσασα] ἀφορμήσασα I.
ib. ἢ εἰς A.B. ἢ om. I.
18. παρὰ ταῖς πίλαις om. A.
19. διαδιδόναι] διδόναι A.B.
20. αὐτῇ] αὐτῆς A.
ib. κλῆθρα] κλεῖθρα A. hic et in lemmate: B. utrobique κλῆ.θρα.
21. μέλλει (scripsi μέλει) A. ἐν φροντίδι ἐστὶν B.I.
ib. βοή A. φωνὴ B.I.
ib. ἐπειδὴ—τῶν οἴκων addidi ex A.
24. ὁ ἰ. ὁ τῆς ἀ. A.B. ὁ τῆς ἀ. ἰ. I.
ib. Ἀντιόπης om. A.

παῖς τῆς φιλούσης τοὺς ἵππους, βᾷ ὑβρίζων τὴν δούλην, ἤτοι τὴν τροφόν.

585. ἰαχὰν μέν: φωνὴν μὲν ἀκούω, αὐτὰ δὲ τὰ λεγόμενα οὐκ ἔχω σαφῶς εἰπεῖν. τὸ δὲ ὅπα ἀντὶ τοῦ ὁπόθεν καὶ ἐκ τίνος εἴη. διὰ τὸ μὴ ἀκούειν οὖν τῶν λόγων οὐδὲ εἰπεῖν δύναται τίς ἡ βοή. παραιτεῖται δὲ πάλιν οὐ θέλουσα μαρτυρεῖν τῇ δυστυχίᾳ διὰ τῆς αἰσθήσεως τῶν λεγομένων. A.B.I. ἰαχάν: γρ. ἰωάν, ἀντὶ τοῦ φωνὴν παρὰ τὸ ἰέναι καὶ ἀναπέμπεσθαι. B.

ὅπα: γρ. καὶ χωρὶς τοῦ ι καί φασι συναίρεσιν εἶναι τοῦ ὁπόθεν. B.

589. προμνήστριαν: ἑρμηνεύτριαν, μαυλίστριαν, πρόξενήτριαν.

592. τί σοι μητίσομαι: γρ. καὶ μήσομαι. A. βουλεύσομαι, μηχανήσομαι. κομματικὴ δὲ ἡ διάνοια ὡς ἐν σχετλιάζοντι προσώπῳ λεγομένη. A.B.

593. τὸ ἑξῆς, διὰ δ' ὄλλυσαι πρόδοτος ἐκ φίλων. B. ἀλλεπάλληλον τοῦτο τὸ σχῆμά ἐστιν. B.

597. φίλως μέν, καλῶς δ' οὔ: προσφιλῶς μὲν ἐμοὶ πρᾶξαι βουλομένη, καὶ παντὶ τρόπῳ τοῦτο σκοποῦσα, οὐ μέντοι καλῶς, ἐπεὶ οὐκ ἐστοχάσατο τοῦ μέλλοντος τὸ τέλος. μετ' εὐνοίας μέν, φησί, καὶ οὐκ ἐξ ἐπιβουλῆς, ἀσκόπως δὲ καὶ ἀστόχως. καὶ ἔστιν ὁμοία τῇ παροιμίᾳ, εὔνοια ἄκαιρος οὐδὲν διαλλάσσει ἔχθρας.

599. οὐκ οἶδα πλὴν ἓν: τὸ ἑξῆς, οὐκ οἶδα τῶν νῦν παρόντων

1. ἤτοι B. Fl. 6. 15. ἤγουν A. ἢ I.
3. ἀκούω A. κλύω B.I.
4. ὅπα] ὅθεν A.
ib. καὶ] ὅθεν iterum A.
5. ἀκούειν οὖν τῶν λόγων] ἀκούσμενοι τὸν λόγον τὸ πῶς A.
ib. τίς ἡ βοή—οὐ] τίς ἐστιν ἡ αἰτία cum tredecim literarum lacuna A.
6. δυστυχίᾳ] δυναστείᾳ A.
11. προμνήστριαν] δὲ add. B. ex quo corruptum καὶ, quod est in I.
ib. καὶ ἑρμηνεύτριαν om. A. Gl. ἑρμηνεύτριαν est in M.
ib. μαυλίστριαν addidi ex A. Est vocabulum Graecitatis inferioris, de quo v. Ducang.
17. μὲν add. A.B. Prima tantum verba usque ad σκοπῦσα legi possunt in M.
19. μετ' εὐνοίας A.B. Fl. 6. 15. κατ' εὐνοίας I.
20. ἐπιβουλῆς] ἐπιβολῆς A.
ib. ἀσκόπως δὲ καὶ ἀστόχως om. I.
ib. ἀστόχως] ἀτιχῶς A.B.
ib. καὶ ἔστιν—ἔχθρας om. A.
21. εὔνοια — ἔχθρας] Zenobius Prov. 1, 50. ἄκαιρος εὔνοι' οὐδὲν ἔχθρας διαφέρει: ταύτην φασὶν Ἱππόλυτον εἰπεῖν πρὸς Φαίδραν φάσκουσαν φιλεῖν τε καὶ στέργειν αὐτὸν μάλιστα ὑπὲρ πάντας ἀνθρώπους. ubi v. Schneidew
22. νῦν om. A. in lacuna totidem literarum.
ib. παρόντων] παρόσον τῶν A.

πημάτων ἄκος, πλὴν ἐν μόνοι, τὸ κατθανεῖν ὅσον τάχος. οὐκ οἶδα, φησὶ, τί πρακτέον μοι ἐν τοῖς νῦν κακοῖς, πλὴν ἕν μοι ἴαμα, τὸ ἀποθανεῖν διὰ τάχους.

601. ὦ γαῖα μῆτερ: ὡς φιλόσοφος τὸν ἥλιον καὶ τὴν γῆν ἐπικαλεῖται, πρισμαρτυρῶν τὰς χάριν τῶν εἰρημένων. ἤδη δὲ προτραγῳδήσας ἱκανῶς ἐπὶ τὴν ὀργὴν Ἱππολύτου καὶ τὴν ἱκεσίαν τῆς γραὸς ἐπεξέρχεται, πρότερον ἀρξάμενος ἀπὸ τοῦ τραγικοῦ. δηλαδὴ τῆς ὀργῆς Ἱππολύτου, τὴν ἐξ ἀρχῆς ἀδολεσχίαν τῆς γραὸς καὶ τὸν ὅρκον ἀποκρυψάμενος. ὡς φιλόσοφος δὲ γῆν καὶ ἥλιον ἐπιβοᾷ, ἐπεὶ ἀρχὴ πάντων εἰσὶ, γῆ μὲν πάντων μήτηρ κατὰ Ἡσίοδον, ἥλιος δ', ἐπεὶ πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει. Ἀναξαγόρας οὖν τὸν ἥλιον μύρον ἔφησε, καὶ ἐξ αὐτοῦ πάντα γίνεσθαι. ᾧ ἀκολουθήσας ὁ Εὐριπίδης χρυσέαν βῶλον αὐτὸν εἴρηκεν. ἡλίου δὲ ἀναπτυχαὶ αἱ ἀκτῖνες, καθὸ τὸ σκότος ἀναπτύσσουσι, καὶ ἡμῖν τὰ πάντα δηλοῦσι διὰ τοῦ φωτός.

602. ἄρρητον: οὐκ ἀξίαν τοῦ ῥηθῆναι καὶ ὀνομασθῆναι, ἣν οὐδὲ λόγῳ διεξιέναι καλόν.

605. ναὶ πρός σε: ναὶ, σίγησον, λίσσομαί σε πρὸς τῆς σῆς δεξιᾶς τῆς καλὸν βραχίονα ἐχούσης. ἐνομίζετο γὰρ κατὰ τῆς δεξιᾶς ἱκετεύειν, ὡς κατὰ τῶν γονάτων.

606. μὴ προσοίσῃ χεῖρα: ὡς μυσαττόμενος καὶ τὴν δεξιὰν αὐτῆς τοῦτό φησιν, ἢ μᾶλλον φοβούμενος ἁλῶναι ταῖς ἱκεσίαις.

608. τί δ', εἴπερ, ὡς φῄς: τί δὲ ἐκ τῆς διανοίας σιωπῆσαί με θέλεις, εἴπερ οὐδὲν εἴρηκας κακόν; Ἄλλως. ὁρᾷς, φησὶν, ὅτι σκέπεις τῶν εἰρημένων τὴν κακίαν τῇ σιωπῇ, ἐπεὶ εἰ καλά ἐστι, τί με

1. μόνον om. I.
ib. οὐκ οἶδα—τάχους om. A.
4. τὸν ἥλιον καὶ τὴν γῆν] τὴν γῆν καὶ τὸν ἥλιον A.
7. ἐπεξέρχεται] ὑπεξέρχεται I.
ib. πρότερον] πότερον A.
ib. ἀπὸ] ὑπὸ I.
8. ἱππολύτου] τοῦ ἱππολύτου I.
ib. τὴν] τὴν δ' A.
9. δὲ om. A.
11. ἐπεὶ (ἐπὶ A.)—ἐπακούει] Ex Hom. Od. 11, 109. 12, 323.
12. ἔφησε A. ἔφη B.I.
ib. ᾧ A B. ᾗ I.
ib. ὁ add. A.
13. χρυσέαν A.B. χρυσέην I.
ib. αὐτὸν—αἱ] αὐτὴν—ᾗ A.
14. ἀναπτύσσουσι] ἀναπτύουσι ὡς A.
ib. τὰ πάντα δ.A. δ. τὰ πάντα B.I.
19. ἐνομίζετο—γονάτων om. A.
21. προσοίσῃ] προσοῖς A.
24. Ἄλλως A.B. Εως (sic) I.
25. ἐπεὶ εἰ A. ἐπεὶ δὲ B.I.
ib. καλά] καλόν A.
ib. ἐστι] εἰσι B.

κωλύεις βοᾶν; ἔστι δὲ ὁ λόγος ἐν ἤθει ἐκ τοῦ ἀντικειμένου, εἰ δὲ μηδὲν εἴρηκας κακὸν, οὐδέν σε ποιῶ κακὸν, κἂν εἴπω.

609. ὁ μῦθος, ὦ παῖ: παραλογίζεται τὸν νεανίσκον τῇ μεταθέσει τῶν ὀνομάτων, κλέπτουσα τὴν ἀκρόασιν. δέον γὰρ εἰπεῖν οὐ κακός, φησὶν οὐ κοινός, οὐ πᾶσιν ὀφείλων ἀνακοινωθῆναι. εἶναι γάρ φησι μέχρι τινὸς καὶ καλὰ σιωπώμενα. Ἄλλως. ὁ περὶ γάμων μῦθος οὐκ ὀφείλει λεχθῆναι πᾶσι.

610. τά τοι κάλ': δεινότερον αὐτῆς ἀνεῖλε τὴν ἐκ τῶν ὀνομάτων ἀπάτην. εἰ γὰρ οὐ κοινὰ, δῆλον ὡς οὐδὲ καλά. τῷ γὰρ δημοτελεῖ τῆς ἐπιδείξεως πλέον δοξάζεται τὸ χρηστόν.

612. ἡ γλῶσσ' ὀμόμοχ': οἷον οὐκ εἰδὼς ὤμοσα. οὐ γὰρ γνοὺς περί τινος ὀμνύω ὤμοσα. τὰ δὲ κατὰ ἄγνοιαν τῶν ὅρκων γινόμενα συγγνώμης τυγχάνει παρὰ θεοῖ. οὐ καθολικῶς δὲ τὸ τοιοῦτον, ἀλλὰ νῦν. ἐπείπερ ἡ γραῦς, πρὶν εἰπεῖν τὸ πάθος αὐτῷ καὶ πρὶν εἰς ἔννοιαν ἐλθεῖν αὐτὸν τοῦ ῥηθησομένου, ὅρκον ἤτησε τῆς σιωπῆς καὶ τῆς διανοίας. ὁ δὲ μὴ προειδὼς ἐφ' ᾧ ὤμοσεν ὤμοσε, φησὶν, ἡ γλῶσσα προπετέστερον καὶ παρὰ γνώμην τῆς φρενὸς ὁμώμοκεν. Ἀριστοφάνης καθολικώτερον νοήσας φησὶ τὸν Εὐριπίδην ὑβρίζειν τῆς γλώσσης τὴν διάνοιαν, ὡς ἂν μὴ τὰ δόξαντα τῇ διανοίᾳ φθεγγομένης καὶ μὴ κρίσει τῆς διανοίας. ἄλλως τε φαίνεται διὰ τῶν ἑξῆς τὸ εὐσεβὲς αὐτῶν φυλάττων· φησὶ γὰρ "εἰ μὴ λόγοις θεῶν ἄφραικτος ἠύρεθην," ὥστε μηδὲ δόκησιν αὐτῷ ἐπιορκίας πλάττειν.

615. σύγγνωθ': ἁμαρτεῖν: σύγγνωθι, φησὶν, ἐπὶ τῇ ἀνομίᾳ τοῦ

1. βοᾶν A. βοῶντα B.I.
ib. εἰ δὲ] δὲ om. A.
2. οὐδέν] οὐδὲ A.
ib. σὲ A. σοι B.I.
ib. κἂν] ἂν A.
3. νεανίσκον I. νέον A.B.
5. ἀνακοινωθῆναι] ἀνακοινοῦσθαι A.
6. φησι add. A.
7. λεχθῆναι] λέγεσθαι A.
9. καλά A. τὰ καλά B.I.
12. ὀμνύω om. A.
13. θεοῦ] τῷ θεῷ A.
14. αὐτῷ] αὐτ' A.
15. αὐτὸν om. A.
16. ὁ δὲ om. A.
ib. ᾧ A. ἃ B.I.
ib. ὤμοσε, φησὶν, ἡ] ὤμοσεν ἡ A.
17. ὁμώμοκεν A.
18. γλώσσης A. γλώττης B.
19. τῇ διανοίᾳ A. τῇ κρίσει τῆς διανοίας B.I.
20. καὶ—διανοίας add. A.
ib. τε om. A.
ib. φαίνεται A.B. φαίνει I.
21. αὐτῶν] αὐτῷ A.
ib. γὰρ om. I.
ib. εἰ μὴ] εἰ μὴ γὰρ A.
22. ηὑρέθην A. εὑρέθην B.I.
ib. μήτε (correxi μηδὲ) δόκησιν αὐτῷ om. A. in lacuna.
ib. πλάττειν] πράττειν A.
23. ἀνομίᾳ] ἁμαρτίᾳ I.

λόγου. εἰκὸς γὰρ ἀνθρώπους ὄντας ἁμαρτάνειν, καὶ πέφυκε τοῦτο τῆς θνητῆς φύσεως, ἁλίσκεσθαι τοῖς ἁμαρτήμασιν. Ἄλλως. διὰ τῆς κοινῆς προστατίας ἀπολίεται τῶν ἰδίων πλημμελημάτων τὴν ἀκολασίαν.

616. ὦ Ζεῦ, τί δή: λοιπὸν καταστατικώτερον τὴν γυναικείαν διαβάλλει φύσιν, ἀναφέρων τὸ προοίμιον ἐπὶ τὴν τοῦ κρείσσονος νόσον. φιλοσοφώτερον δὲ τὴν ἀντίθεσιν λύει, τὴν ἀρχὴν ἀξιῶν μὴ ὑπὸ ἀφροδισιασμῶν παῖδας γίνεσθαι. ὁ δὲ νοῦς, διὰ τί, φησὶν, εἰς τὸ φῶς τοῦ ἡλίου τὰς γυναῖκας ἀδόκιμον κακὸν τοῖς ἀνθρώποις κατῴκισας. κίβδηλον δὲ τὸ μηδὲ δοκιμασίας δεόμενον, ἀλλὰ προφανὲς δεινόν.

617. οἰκειότατα τῷ προσώπῳ ἡ γυμνασία. πῶς γὰρ ἂν ἀφροδισιασμῶν χωρὶς ἡ φύσις συνίσταιτο; A.B.

618. εἰ γὰρ βρότειον: εἰ γὰρ ἤθελες εἶναι γένος τὸ ἀνθρώπων, ὤφειλες ποιῆσαι μὴ ἀπὸ γυναικῶν αὐτὸ εἶναι, ἀλλ' ἕκαστον διδόναι ἢ χρυσοῦ, ἢ χαλκὸν ἐν τοῖς ναοῖς, καὶ οὕτως ἀγοράζειν. τὸ δὲ ἀντιθέντας ἤτοι ἀνατιθέντας, ἢ ἀντὶ τῶν παίδων τιθέντας, εἰς σημεῖον τοῦ γενέσθαι τὴν αἴτησιν. ἀτόπως δὲ ταῦτα· οἱ γὰρ πένητες οὐκ ἂν ἐκτήσαντο παῖδας.

623. τῆς ἀξίας ἕκαστον: ἄμεινον τὴν ἀξίαν ἐπὶ τῆς φύσεως ἀκούειν, ὅπως χρηστός τις ὢν χρηστοῦ τύχῃ καὶ πάλιν τοὐναντίον, ἵνα τὸ μὲν ἀνάθημα τῆς αἰτήσεως ἕνεκα διδῷτο, τὸ δὲ βρέφος πρὸς τὴν φύσιν τοῦ αἰτοῦντος. τινὲς δὲ ἐπὶ τῆς ἀξίας τοῦ ἀναθήματος καὶ τιμήματος. βέλτιον δὲ τὸ πρῶτον, οἷον ἐάν τις ᾖ ἀγαθὸς τοῖς τρόποις καὶ τοῖς ἐπιτηδεύμασιν, ἵνα καὶ τοῦ υἱοῦ ἀξίου τὸ ἔργον καὶ ὁμοίως μεταλάβοι, καὶ πάλιν τοὐναντίον. ἐὰν ὑπάρχῃ χείρων, ἀξίου καὶ τοῦ παιδὸς τύχῃ.

1. ὄντας B. Fl. 6. οὕτως I., om. A.
ib. τοῦτο] τὸ A.
2. ἁλίσκεσθαι om. A. in lacuna.
5. καταστατικώτερον A.B. Fl. 6.
15. παραστατικώτερον I.
7. ἀντίθεσιν] αὐτὴν A.
ib. λύει (λέγει I.) om. A. in lacuna.
ib. μὴ om. A.
8. ἀφροδισιασμῶν A. ἀφροδισιασμου B.I.
9. τοῦ ἡλίου] τοῦτο A.
ib. τὰς γυναῖκας add. A.
10. δὲ om. A.
ib. προφανὲς] προφανῶς A.
14. τὸ ἀνθρώπων A. τοῖς ἀνθρώποις B.I.
16. καὶ om. I.
ib. τὸ δὲ] ἀλλ' A.
17. ἢ—τιθέντας om. A.
18. ἀτόπως] ἀτόμως A.
21. ὅπως—τύχῃ add. A.
24. καὶ τιμήματος—πρῶτον om. A.
25. ἀξίου A. ἀξίως B.I.

624. ναίειν ἐλευθέρωσι: χαριέστατον εὐτυχοῦντα τῆς ἀπουσίας τῶν γυναικῶν οἶκον ἐλεύθερον ἔχειν. A.B.

625. νῦν δ' ἐς δόμους: ἕδνα παρέχοντες δαπάνην ἀγοράζομεν. ἕδνα ὑπὲρ τῆς μνηστείας καὶ πρὸ τῆς πείρας τοῦ κακοῦ κατατιθέμεθα, ὥσπερ αὐθαίρετον τὸ κακὸν ἐπισπώμενοι. δύναται δὲ τὸ πρῶτον καὶ ὡς ἐν τάξει διηγήσεως λαμβάνεσθαι, πρῶτον μὲν τὴν οὐσίαν ὑπὲρ κακοῦ δίδομεν, καὶ τὰ ἑξῆς. προκατασκευάσας οὖν λογισμὸν οἰκειότατον τῷ προσώπῳ λοιπὸν κατατρέχει καὶ ἐπὶ τὴν διαβολὴν τῆς γυναικείας φύσεως. ἔδει γὰρ πρῶτον λογισμῷ τινι ἀναιρῆσαι τὸ εἶναι αὐτὰς, εἶθ' οὕτως ἄρξασθαι τῶν διαβολῶν. τὸ δὲ ἑξῆς ἄριστα ὡς ἐκ συγκρίσεως ἐπιφέρεται. A.B.I. ἄξεσθαι: ἀγαγεῖν. A.

626. ἐκτείνομεν: ἀποδίδομεν, παρέχομεν. M. ἐκτίνομεν: παρέχομεν. Fl. 2.

628. προσθεὶς γάρ: ὁ δὲ τεκὼν αὐτὴν καὶ ἀναθρέψας προσδίδωσι πρᾶγμα, ὥστε ἀπαλλαγῆναι αὐτὸν τοῦ κακοῦ, καὶ οὕτως τὴν φύσιν τῆς παιδοποιίας εἰς αὐτὴν σώζει ὁ πατὴρ τὴν ἀπαλλαγὴν, ἀντὶ τοῦ τῆς φιλοστοργίας τῆς παιδὸς ἀντικαταλλασσόμενος. ἄγαλμα δὲ πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. ἀγάλλεται δὲ καὶ ὁ ἀνὴρ ἐπὶ τῷ γάμῳ, ὡς ἀνδριάντι ἀναισθήτῳ τιμὰς περιάπτων. λείπει δὲ τὸ ὡς, ὡς ἀγάλματι.

630. ἀτηρόν: ἐπιζήμιον, ἐπιβλαβές. ἄτης ἡ βλάβης παρεκτικόν. B. λαβεῖν εἰς δόμους ἀτηρὸν φυτόν: γρ. ἀτηρὸν ἐν δόμοις κακόν. M.

632. καλὸν κακίστῳ: τουτέστι τὸν χρυσὸν τῷ κακίστῳ γυναικείῳ φυτῷ προστιθεὶς, ὡς ἀγάλματι, χαίρει.

ἐκπονεῖ: καινοτομεῖται, κοπιᾷ. M. ἐξασκεῖ. Fl. 2.

633. ὄλβον δωμάτων ὑπεξελών: καινοτομῶν τὸν οἶκον αὐτεῖ. M.

634. ἔχει δ' ἀνάγκην: ταῦτα διεξέρχεται, πάντη τὸ πρὸς τὴν γυναῖκα μοχθηρὸν ἀποδεικνὺς, ὡς μὴ μόνον τὸ πρὸς ταύτην σκοπεῖν, ἀλλὰ καὶ τοὺς γάμους εἰ καλῶς σχοίη. διπλῆ δέ ἐστι πρὸς τὴν

2. ἐλεύθερον ἔχειν B. χαριέστατον εἰπεῖν A.
6. οὐσίαν Heathius pro θυσίαν.]
7. καὶ τὰ ἑξῆς om. A.
ib. προκατασκευάσας οὖν λογισμὸν] προκατασκευὰς δὲ λογισμῶν A.
8. οἰκειότατον] οἰκειότατα I.
14. προσδίδωσι] προδίδωσι A.
15. οὕτως A. οὔτε B.I.
16. εἰς αὐτὴν post παιδοποιίας A., post πατὴρ B.I. In Fl. 15. est σώζει αὐτὴν ὁ πατὴρ τὴν ἀ.
ib. τοῦ add. A.
17. τῆς π.] τοῦ π. Fl. 6. 15.
ib. ἄγαλμα δὲ] ἀγάλματι (lemma) A.
ib. πᾶν om. I. δὲ om. A.
18. ἀνὴρ A. πατὴρ B.I.
ib. δὲ om. A. Alterum ὡς om. I.
28. γάμους] γαμβρὺς A.
ib. καλῶς σχοίη] ταὐτὸ χρὴ (sic) A.

στιγμὴν ἡ ἀνάγνωσις. τινὲς γὰρ οὕτως· εἰ δὲ κακὸν λάβοι τὸ λέχος, γαμβροὺς δὲ χρηστοὺς, ἀναγκάζεται στέργειν, εἰ τὰ κεχαρισμένα ἐκείνων πράττειν θέλοι. τινὲς δὲ οὕτως στίζουσιν εἰς τὸ ἔχει δ' ἀνάγκην, ἵν' ᾖ, ὅτι πάντη τε καὶ πάντως ὁ γαμήσας ἐλεύθερος εἶναι οὐ δύναται, ἀλλὰ τὸ ἀναγκάζον καὶ καταδουλοῦν αὐτὸν ἔχει. εἰ μὲν γὰρ κακῆς τύχῃ γυναικὸς, ἀναγκάζεται στέργειν αὐτὴν τῶν γαμβρῶν ἕνεκα καλῶν ὄντων, ἢ δι' ἐκείνην ἀναγκάζεται ἀπολαύειν γαμβρῶν ἀχρήστων. τὸ σώζεται δὲ πικρὸν λέχος ἀντὶ τοῦ σώζει. γαμβροῖς δὲ τοῖς πενθερικῆς λέγει, συγχέων τῆς ὀνομασίας τὸ ἀκριβές. ἐν μέντοι τῷ πενθεροὺς δ' ἀνωφελεῖς ὑγιῶς κέχρηται.

638. ῥᾷστον δ' ὅτῳ: βέλτιον δὲ μήτε πενθερὸν χρηστὸν μήτε γυναῖκα χρηστὴν ἔχειν. Ἄλλως. ὠφελιμώτερόν ἐστιν ᾧτινι, φησὶ, τὸ μηδὲν οὖσα πρὸς σύνεσιν γυνὴ, ἀλλ' ἀνωφελὴς τῇ εὐηθείᾳ ἵδρυται. ὡς ἐπὶ ἀνδριάντος δὲ τὸ ἵδρυται, οὐκ ἔργοις, ἀλλὰ θέᾳ τέρποντος τὸν κεκτημένον.

642. τὸ γὰρ κακοῦργον: τὸ γὰρ κακοῦργον καὶ φιλάργυρον πρὸς πορνείαν ἐν ταῖς σοφαῖς γυναιξὶ πλέον ἡ Κύπρις ἐμφύει. αἱ γὰρ μεγαλόφρονες πολύτολμοι γενόμεναι εὐέμπτωτοι διὰ τὸ βραχὺ τῆς γνώμης καὶ ἄ ὅλον εἰσὶν εἰς τὸ ἁμαρτάνειν, ἡ δὲ ἀποροῦσα καὶ ἀνόητος τὴν πορνείαν ἀφῄρηται, τουτέστιν οὐχ ἁμαρτάνει.

644. μωρίαν ἀφῃρέθη: τουτέστι τῆς ἁμαρτίας ἀπεστερήθη, ἤτοι

1. κακὸν A. καλὸν B.I.
2. ἀναγκάζεται στέργειν εἰ] ἀναγκάζει ἄγειν αὐτοῦ ἐκεῖνα A.
ib. στέργειν, εἰ τὰ Heathius pro στέγειν τά.
3. ἐκείνων B. Fl. 6. κείνων I., om. A.
ib. θέλοι] θέλω B. Fl. 6. θέλ) A.
4. ὁ γ. ἐλεύθερος A.B. ἐλεύθερος ὁ γ. I.
7. γαμβρῶν A. γάμων B.I.
8. τὸ om. A.
9. γαμβροῖς δὲ A. καὶ γαμβροῖς B.I.
10. μέντοι] μὲν A.
ib. κέχρηται] κεχρῆσθαι A.
11. δὲ] ἐστι Fl. 6. 15.
ib. χρηστὸν om. I., sed habet lin. 12. pro χρηστήν.
12. φησὶ ante ᾧτινι A.
14. ὡς ἐπὶ—ἵδρυται om. A.
ib. τέρποντος] τέρπουσα A.
16. κακοῦργον bis A. Fl. 6. πανοῦργον B.I. In B. supra versum (ad κακοῦργον) γρ. καὶ πανοῦργον. Prima scholii verba τὸ πανοῦργον—ἐμφύει habet M.
17. πλέον] πλεῖον A. B. Fl. 6. πλειὸν M. In B. gl. πλέον ἐμβάλλει.
18. εὐέμπτωτοι] εὐέπτωτοι A.
ib. διὰ τὸ—ἄβολον post ἀνόητος transponit Matthiae.
20. ἀφῄρηται] τὴν ἁμαρτίαν ἀφῃρέθη add. A.
21. τουτέστι om. A.
ib. ἁμαρτίας] μωρίας A.
ib. ἤτοι τῆς om. A.

τῆς πορνείας. μωρίαν γὰρ τὴν πορνείαν, ὅθεν καὶ σινάμωρος ὁ πόρνος. αὕτη γὰρ σκέπειν οὐκ ἔχουσα τὸ πλημμέλημα πρόφασιν κερδαίνει τὴν σωφροσύνην.

645. χρὴ δ' εἰς γυναῖκας: ἤδη διεξελθὼν ὡς εἰσὶν αἱ γυναῖκες πάντων πρίξενοι τῶν κακῶν, λοιπὸν ἐπὶ τὴν διοίκησιν καὶ χρῆσιν αὐτῶν μεταβαίνει, πῶς ἔδει τὴν κακουργίαν αὐτῶν νικᾶν τοὺς ἄνδρας. ἔδει, φησί, τοὺς ἄνδρας ἀντὶ διακόνων θηρία αὐταῖς συνοικίζειν, ἵνα κἂν τῇ ἀπορίᾳ τῆς διακονίας νικῶσι τὴν κακίαν τῆς φύσεως. τοῦτο δὲ μάλιστα πρὸς τὸ παράφορον εἴρηκεν. δάκη δὲ περιφραστικῶς τὰ θηρία, ἢ τὰ ἔκγονα τῶν θηρίων.

649. νῦν δ' αἱ μὲν ἔνδον: αἱ μὲν δέσπιναι αὐτῶν ἔνδον μηχανῶνται τὰ κακά, αἱ δὲ δοῦλαι σημαίνουσι τοῖς φίλοις αὐτῶν.

651. ὡς καὶ σύ γ' ἡμῖν: ἀντὶ τοῦ ἐπεί. τὸ ἑξῆς, ὁπότε καὶ σὺ, κάρα κακὸν, τῶν ἀθίκτων λέκτρων τοῦ πατρὸς εἰς συναλλαγὰς ἡμῖν ἦλθες, ἅπερ, ἤτοι τὰ εἰρημένα, ἐγὼ ἀποκαθαρθήσομαι ῥευστικοῖς ὕδασι. ταῦτα γὰρ μάλιστα τῶν ἱσταμένων διαυγέστερα τυγχάνει.

654. εἰς ὦτα κλίζων: εἰσκλίζομαι τὰ ὦτα, δι' ὧν μετέλαβον τῆς ἀνομίας τῶν λόγων. πῶς οὖν μέλλω ἐξαμαρτεῖν πεισθείς σοι;

656. εὖ δ' ἴσθι τοῦτο: οὐκ ἔστι φορτικὸς ὁ λόγος, ἀλλὰ μᾶλλον τῆς ὑποψίας τοῦ ἁμαρτήματος θεραπευτικός. ἢ τάχα προτραγῳδεῖ τὸ πάθος τοιοῦτον μικρὸν ὕστερον, ἐπὶ καταγνώσει μειχείας ποιᾶν κατηγορούμενον.

1. γὰρ om. A.
ib. ὅθεν A.B. Fl. 6. ἅσπερ I.
ib. σινάμωρος] σινάμωρος I. συνάμορος Fl. 6.
2. σκέπειν] σκέπει I.
ib. πρόφασιν A. προφάσει B.I.
4. ἤδη om. I.
ib. αἱ γυναῖκες post κακῶν A.
5. διοίκησιν] διήγησιν I.
6. πῶς] τὸ πῶς A.
ib. αὐτῶν] αὐτὴν A.I.
7. ἔδει] δεῖ A.
ib. αὐταῖς] αὐτοῖς I.
9. τὸ παράφορον B. Fl. 6. 15. τὴν παραφορὰν A. τὸ παράφορον I.
ib. δάκη δὲ A.B. δάκη (lemma): ἢ I.
10. τὰ add. A.
ib. ἔκγονα A. ἔγγονα B. Fl. 6. 15. γένη I.
ib. τῶν θηρίων A. θηρῶν B.I.
13. ἀντὶ τοῦ ἐπεί add. A.
ib. τὸ ἑξῆς add. A.B.
14. ἡμῖν om. I.
15. ἅπερ, ἤτοι τὰ] ἀγὼ ῥυτοῖς νασμοῖσιν: ἅπερ τὰ A.
16. διαυγέστερα om. A. in lacuna.
ib. τυγχάνει] τυγχάνουσιν A.
18. τῶν λόγων om. A.
ib. μέλλω] μέλλων A.
ib. πεισθείς (μὴ πεισθείς Matth.) σοι] πεισθεῖσαν I.
20. τοῦ ἁμαρτήματος] τῆς ἁμαρτίας A.
ib. προτραγῳδεῖ A.B. προστραγῳδεῖ I.
22. κατηγορούμενον] κατηγορούμενος I.

657. *εἰ μὴ γὰρ ὅρκους*: *ἀντὶ τοῦ εἰ ἐλήφθην καὶ εὑρέθην ἀπαραφύλακτος εἰς τὴν κατὰ σοῦ κόλασιν.* *τὸ δὲ μή καὶ οὐ μίαν κατάθεσιν ποιοῦσιν, ὥστε τὸ ἓν ἐξήρκει εἰπεῖν, ἵν' ᾖ οὐκ ἄν ποτε ἀπεσχόμην τοῦ εἰπεῖν.*

659. *κἄν δ' ἐκ δόμων μέν*: *ἤτοι διὰ τὸ μὴ μετασχεῖν τοῦ μίσους αὐτῆς, ἢ διὰ τὸ βεβουκέναι τινὰ ἐξ αὐτῶν ἐπιβουλήν. ἄλλως τε καὶ ὁ ποιητὴς οἰκονομικώτατα τοῦτο ἐξεργάζεται, διὰ τῆς τοῦ Ἱππολύτου ἀπουσίας ἐξουσίαν διδοὺς τῇ Φαίδρᾳ ἐργάσασθαι τὴν ἀγχόνην, καὶ τὴν διαβολὴν αὐτοῦ τὴν διὰ τῶν γραμμάτων, ἵνα ἡ δέλτος καὶ ἡ τοῦ Ἱππολύτου ἐρημία πιστώσηται τὴν κατηγορίαν τῆς μοιχείας.*

661. *θεάσομαι δέ*: *συνεπιστὰς δὲ τῷ πατρὶ θεάσομαι ποίοις ὄμμασιν αὐτὸν προσβλέψετε, ὑπὸ τῆς συνειδήσεως μὴ καταπλητόμενοι.*

663. *τῆς σῆς δέ*: *καὶ πάντως τότε τὸ ἀναιδές σου καὶ τολμηρὸν διαγνώσομαι, πεπειραμένος αὐτῆς ἤδη καὶ διὰ τῶν παρόντων.* B.I.

664. *μισῶν δ' εὖπιτ' ἐμπλησθήσομαι*: *οὐθαμῶς χορτασθήσομαι κακῶς λέγων τὰς γυναῖκας. ταῦτα δὲ λοιπὸν ὡς τεχνίτης ῥήτωρ.* B.I.

665. *οὐδ' εἴ φησι*: *οὐδ' ἄν μοι εἴπῃ τις τοῦτ' ἐπὶ ὀνείδισιν διὰ τὸ ἀεὶ αὐτὰς λέγειν κακάς.* M. *οὐδ' εἰ λέγοι μέ τις εἶναι κατὰ φύσιν φιλαπεχθήμονα πρὸς αὐτάς. οὐ γὰρ ἐκ παρέργου φησὶ τὰς κατηγορίας, τῷ συνεχεῖ δὲ τῶν πλημμελημάτων ὑπόθεσις γινόμεθα τοῖς κατηγόροις.*

668. *τάλανες*: *ἀπὸ κοινοῦ πάλιν ἀτυχήματος πειρᾶται παραμυθεῖσθαι τὸ πταῖσμα. ὁ δὲ λόγος, τίνα νῦν ἢ τέχνην, ἢ λόγον*

1. τοῦ εἰ A. εἰ om. B.I.
ib. ἀπαραφύλακτος] ἀπερυφύλακτος A.
2. τὸ μὴ καὶ οὐχὶ μ. κ. ποιεῖ est in M. Et (ad ἐξειπεῖν κακά) γρ. τῷ πατρί.
3. ἐξήρκει] ποιεῖν ἢ add. Fl. 6. 15.
ib. ἵν' ᾖ—εἰπεῖν add. A.B. Fl. 6. 15., om. I.
5. μίσους] μίσους A.B.
6. αὐτῆς Barnesius pro αὐταῖς.
ib. ἐπιβουλήν] ἐπιβουλίαν A.
ib ἄλλως τε καὶ ὁ π. om. A.
7. οἰκονομικώτατα A. οἰκονομικῶς B.I.
ib. τοῦ om. A.
9. τῶν om. A.
10. τοῦ Ἱππολύτου post ἐρημία A.
13. προσβλέψετε] προβλέψαιτο A.
22. με] μέν A.
23. αὐτάς] ἡμᾶς A.
24. γινόμεθα A. γίνονται B.I.
27. δὲ om. A.
ib. τέχνην] ἢ τύχην addit I.

ἔχρμεν περίσασθαι, δι' οὗ δυνησόμεθα σφαλεῖσαι τῆς ἐλπίδος τὸν δεσμὸν τῶν ἐγκλημάτων ἀπολύσασθαι, τὸν δεθησόμενον καθ' ἡμῶν ὑπὸ τοῦ Ἱππολύτου, ὅταν ἔλθῃ ὁ Θησεύς.

670. τίνα νῦν: τουτέστι πῶς καθ' ἕκαστον δεσμὸν κατηγορίας ἀπολυσόμεθα τὰ ἐγκλήματα τοῦ Ἱππολύτου, σφαλεῖσαι τῆς ἐλπίδος, δι' ἧς προσεδοκῶμεν πεῖσαι αὐτὸν ἐπὶ τὴν ἁμαρτίαν.

671. καθ' ἅμμα λύσειν: παρὰ τὴν παροιμίαν, ἥτις ἐστὶν, οὐχ ἅμμα λύσεις. εἴρηται δὲ ἀπὸ τοιαύτης αἰτίας· τοῖς Φρυξὶ λόγος ἐδόθη ἐκεῖνον βασιλεύσειν τῆς Ἀσίας ὃς ἂν τῆς ἀπήνης λῦσαι τὸν δεσμὸν δυνηθείη, τῆς κομισάσης Μίδαν εἰς Φρυγίαν, ὃς ἦν ἀμπέλινος, ᾧ συνεδέδετο ὁ ζυγὸς καὶ ὁ ῥυμός. λόγος δὲ Ἀλέξανδρον διαλῦσαι ἐξελόντα τὸν ἔμβολον, ᾧ κατείχετο ὁ ῥυμὸς, ἢ τῷ ἐγχειριδίῳ ἀποτεμόντα, μετὰ τὴν ἐπὶ Γρανίκῳ μάχην. γέγονε δὲ ὁ Ἀλέξανδρος κατὰ τοὺς Εὐριπίδου χρόνους. παροιμιῶδες οὖν ἐστιν ἐπὶ τῶν δύσλυτόν τι ἐπιχειρούντων λῦσαι. Μαρσύας δὲ ὁ νεώτερος ἐν τῇ πρώτῃ τῶν Μακεδόνων ἱστοριῶν φησιν οὕτως· τῆς δὲ ἁμάξης λέγεται τὸν ζυγὸν τῷ ῥυμῷ προσδεδέσθαι κλήματι ἀμπελίνῳ. ἔστι δὲ λόγιον, ὃς ἂν τὸν δεσμὸν τοῦτον λύσῃ βασιλεύσει τῆς Ἀσίας. Ἀλέξανδρον δέ φασι τὸν Μακεδόνων βασιλέα λῦσαι αὐτόν· ὃς διαβὰς τὸν Ἄμμαντιν ἐπὶ Γρανίκῳ μάχην ἐνίκησε, καὶ παρεγένετο ἐπὶ τὸν τόπον. ὡς δὲ οὐκ ἠδύνατο εὑρεῖν τὴν ἀρχὴν τοῦ δεσμοῦ, ποῦ κατέκειτο, οἱ μὲν λέγουσι τῷ ἐγχειριδίῳ διακόψαι αὐτὸν τὸν δεσμὸν, καὶ ταύτην εἶναι τὴν λύσιν, οἱ δὲ, ὡς τὸν ἔμβολον ἐξέλοι, ᾧ συνείχετο ὁ ζυγὸς πρὸς

8. λύσεις Barnesius. λύσις libri. Apud paroemiographos et Hesychium κάθαμμα λύεις.

9. βασιλεύειν A.B. unde βασιλεύσειν correxi. βασιλεῖσαι I. Scholii similis brevioris vestigia in M. relicta: ...φρυξὶ χρηστήριον...ἀσίας ὃς ἂν τῆς...δεσμὸν λῦσαι δυνηθείη...σάσης...

ib. τὸν δεσμὸν post δυνηθείη A.

13. γέγονε δὲ—] Mihi haec verba a seriore grammatico inserta esse videntur, qui, ut explicaret quomodo proverbium hoc ab Eurip. indicari potuerit, ab Alexandro vetustiore illo, qui pugnae Plataeensi interfuit, ductum esse sibi persuasisset, non cogitans hujus non esse τὴν ἐπὶ Γρανίκῳ μάχην MATTH.

14. δύσλυτον] δυσλύτων I.

15. λῦσαι A. λύσειν B. λύσιν I.

17. προσδεδέσθαι] δεδέσθαι I.

ib. κλήματι] καὶ κλήματι A.

ib. δὲ om. A.

18. λύσῃ B. λύσει A.I.

19. φασι] φησι A.

ib. τὸν] τῶν A.

ib. τὸν ἄμμαντιν A. corrupte. τινὰ μάντιν B. Fl. 6. 15. I. τὸν Ἑλλήσποντον Barnesius.

21. ποῦ κατέκειτο A.B.I. ὅπου ἔκειτο Fl. 6. 15.

22. διακόψαι] κόψαι I.

ib. τὸν δεσμὸν] τῷ δεσμῷ A.

23. ὁ ζυγὸς] ὁ δεσμὸς τὸν ζυγὸν A.

τῷ ῥυμῷ, περιειλημμένον δὲ εἶναι καὶ τοῦτο κλήματος. τούτου δὲ ἐξαιρεθέντος καὶ τοῦ δεσμοῦ χαλάσαντες, οὕτως λυθῆναι τὸν δεσμὸν τοῦ ῥυμοῦ.

672. ἐτύχομεν δίκας: μετάγεται πάλιν ἡ σκηνὴ εἰς θάτερον μέρος, τουτέστιν ἐπὶ τὴν τῆς Φαίδρας ἀγωνίαν καὶ τὴν τοῦ χοροῦ συμπάθειαν, τραγικώτατα εἰς ἄλλον οἶκτον μετιόντος πάλιν τοῦ ποιητοῦ. ἄριστα δὲ τὴν ὑπερβολὴν τῆς συμφορᾶς μιμεῖται αὐτὸ τὸ πάθος διεξιὼν, ὅπερ εἰάθασι πολλάκις ποιεῖν οἱ ἀξίων ἀπορρῦντες θρήνων. δικαίως, φησὶν, ἐτιμωρήθημεν, καὶ τῆς ἀξίας δίκης παρὰ θεοῦ ἐτύχομεν. πάλιν δὲ τὴν γῆν καὶ τὸ φῶς ἐπικαλεῖται, ὡς ἀναιτιώτατα στοιχεῖα, καθὼς καὶ ἄνω φησὶν "ὦ γαῖα μῆτερ, ἥλιός τ' ἀναπτυχαί."

673. ἐξαλίξω: πότε ἐκφύγω τὰς δυστυχίας. τὸ δὲ κομματικὸν τῆς διανοίας ἐκτόπως ὑπέγραψε τὴν ἀπορίαν τῆς συμφορᾶς. B.

675. ἀρωγός: φανείη δηλονότι. τοῦτο γὰρ ἀπὸ κοινοῦ. B.

678. παρὸν δυσεκπέρατον: ἢ ἐν ὑπερβατῷ, ἵν' ᾖ οὕτως· τὸ γὰρ παρόν μοι δυστύχημα τοῦ βίου δυσεκπέρατόν ἐστιν. ἢ οὕτως· τὸ γὰρ νῦν πάθος παρὸν παντὸς τοῦ βίου καὶ τῶν ἐν αὐτῷ δυσφοριῶν δυσεκφευκτότατον καθέστηκεν. ἢ οὕτως· τὸ γὰρ παρὸν πάθος δυσκόλως ἄν μοι περάσαι τὸν βίον, καὶ δυσχερῶς ἂν αὐτὸ φύγοιμι.

δυσεκπέρατον: δυσμεταχείριστον. Fl. 2. δύσκολον A.

680. φεῦ φεῦ: προϊούσης τῆς τροφοῦ κατηφοῦς ὁ χορός φησι. πάλιν δὲ κομματικός ἐστιν ὁ λόγος, καὶ ἐπὶ τοῦ πέπρακται δεῖ στίζειν. οὕτω γὰρ ἁρμόσει τοῖς ἑξῆς. τὸ δὲ "καὐ κατώρθωται τέχνη," ἀντὶ τοῦ οὐδὲν τοῦ πράγματος κατώρθωσαν αἱ τέχναι τῆς βούλης, ἀλλὰ καὶ κατέστρεψαν.

2. καὶ] καὶ τὸν A.
4. εἰς A.B. ἐπὶ I.
5. τὴν om. A.
6. μετιόντος A. βελτίονα I. βελτίονα τοῦ (sic) B. Fl. 6.
ib. ποιητοῦ A. ποιητοῦ τρέψαντος B.I.
8. οἱ om. A.
9. δικαίως] δικαίως δέ A. Fl. 15. I.
ib. φησὶν add. A.B. Fl. 6.
ib. παρὰ θεοῦ om. A.
11. ὦ γαῖα μῆτερ] ὦ γᾶ καὶ φῶς A.
15. τὸ γὰρ—φύγοιμι] Haec pars scholii est etiam in M.
16. δυστύχημα I. πάθος M.
ib. δυσεκπέρατον] δυσεκπέραντον A. B.M.
17. παρὸν παντὸς om. M.
ib. δυσφοριῶν scripsi pro δυσφορῶν.
18. παρὸν] παρόν μοι A.
19. περάσαι] περάσοι A.B.
ib. δυσχερῶς ἂν A.M. δυσκόλως B.I.
ib. φύγοιμι] φύγοιμι A.
22. καὶ add. A.
23. κ' οὐ A. καὶ οὐ B.I.
24. οὐδὲν] οὐδὲ A.
25. καὶ add. A.

683. Ζεύς σ' ὁ γεννήτωρ: Εὐρώπης γὰρ καὶ Διὸς ὁ Μίνως. ὁ Ζεύς σε, φησὶν, ἐκριζώσειε καὶ παντελῶς ἀπολέσειεν, οὐτάσας πυρὶ, ἀντὶ τοῦ βαλὼν τῷ κεραυνῷ. οἱ δὲ νεώτεροι οὐκ ἴσασι τὴν διαφορὰν τοῦ οὐτάσαι καὶ βαλεῖν. Ὅμηρος δὲ οὐτάσαι μὲν τὸ ἐκ χειρὸς καὶ ἐκ τοῦ σύνεγγυς τρῶσαι, βαλεῖν δὲ τὸ πόρρωθεν.

685. οὐκ εἶπον---σιγᾶν: ἐλεγκτικὸν τὸ ἦθος. τὸ δὲ ἑξῆς οὕτως· οὐκ εἶπον σιγᾶν ἐφ' οἷς κακῶς διάκειμαι, ἢ διάγω καὶ νοσηλεύομαι; τουτέστι τὸν ἔρωτα. ὁ δὲ νοῦς, οὐχὶ τὸ προπετὲς τῆς διανοίας προνοουμένη ἐκέλευον σιωπᾶν καὶ μὴ ἐκφαίνειν τὴν ἐμὴν ἐρωτικὴν κάκωσιν;

687. τοιγὰρ οὐκ ἔτ' εὐκλεεῖς: διὰ τοῦτο γὰρ οὐκ εὔδοξοι γεγόναμεν, ἐπειδὴ οὐκ ἤκουσάς μου. B.

689. συντεθηγμένος φρένας: ἀντὶ τοῦ ὀργισθείς. M. ἠκονημένος ὑπὸ τῆς ὀργῆς. M.

693. ὄλοιο καὶ σύ: γνωμικώτερόν πως ἐπάγει τὴν κατάραν. ἀπόλοιο, φησὶ, παρὰ γνώμην μου εὐεργετῆσαί με θελήσασα, καὶ πᾶς ἄλλος ταὐτά σοι δρῶν καὶ προθυμούμενος ἄκοντας τοὺς φίλους μὴ καλῶς εὐεργετεῖν. ἄντικρυς δὲ ἐλέγχων τὸ ψευδώνυμον τῆς τοιαύτης εὐεργεσίας "μὴ καλῶς προσέθηκεν." οὐ γὰρ οἵδε φύσις εὐεργετήματος ἀνάγκην ἐπιδέχεσθαι, εἴτε τὰς χρείας καταθυμίους δεῖ ποιεῖσθαι.

695. δέσποιν', ἔχεις μέν: καταδέχεται τὴν ἐξ αὐτῆς μέμψιν, ἵνα οὕτως καὶ αὕτη τὴν τοῦ σφάλματος ἀπολογίαν καταδέξηται. ἑξῆς δὲ πάλιν εἰς εὔνοιαν αὐτὴν προάγειν βούλεται, τὸν σκοπὸν τῆς μηνύσεως, καθ' ὃν γεγένηται, λέγουσα. τὸ δὲ ἑξῆς οὕτως· ἔχεις μὲν δικαίως τὰ ἐμὰ πταίσματα μέμψασθαι. παραιρεῖται γάρ σου τὸ

1. Ζεύς σ' ὁ—ἀπολέσειεν om. A.
2. ἐκριζώσειε B.Fl.6.15. ἐκτρίψειε I.
3. τῷ κεραυνῷ et δὲ om. A.
4. ἐκ χειρὸς καὶ om. A. Est observatio Aristarchi: vid. Lehrs. de Arist. p. 62.
5. σύνεγγυς] ἐγγὺς A.
ib. βαλεῖν δὲ τὸ πόρρωθεν om. A.
7. διάκειμαι, ἢ (ἤτοι B.) om. A.
9. ἐκφαίνειν] ἐμφαίνειν A.
15. θελήσασα] θέλουσα A.
16. ἄλλος] ἄλλως I.
ib. ταὐτά Barnesius pro ταῦτα.
ib. δρῶν] δ' οὖν A.
ib. ἄκοντας] ἄκων γὰρ A.
17. ἄντικρυς] ἄντικρυ A.
ib. δὲ om. I.
ib. ἐλέγχων τὸ ψ. om. A. in lacuna.
18. προσέθηκεν] ἐμοὶ δὲ καὶ ἐξ εὐεργετήματος ἂν οὐκ ἔστι addit A.
ib. οὐ γὰρ—ἀνάγκην om. A.
19. ἐπιδέχεσθαι] δέχεσθαι A.
ib. θυμίους δεῖ ποιεῖσθαι om. A. in lacuna.
21. καὶ αὕτη om. A.
22. εὔνοιαν] ἔνοιαν B.I.
23. γεγένηται] γένηται A. γεννᾶται Fl. 6. γε γίνεται Fl. 15.
ib. δὲ om. A.
24. παραιρεῖται A. παραιτεῖται B.I.

λογιστικὸν ἡ λύπη, καὶ τὴν αἰτίαν τοῦ πταίσματος γινώσκειν οὐ συγχωρεῖ σοι. αἰτία γὰρ ἐγώ εἰμι τῆς συμφορᾶς. ὁ δὲ νοῦς ἔχεις μὲν μέμψασθαι τὰ ἐμὰ κακά, ὦ δέσποινα· τὸ γὰρ λυποῦν σε κρατεῖ, ὅθεν καὶ μέμφῃ μοι. εἰ γὰρ μὴ ἐγένετο, οὐκ ἂν ἐμέμφου, ἀλλ' ἐπήνεις. ὅθεν ἐπιφέρει "πρὸς τὰς τίχας γὰρ τὰς φρένας κεκτήμεθα." ἡ μὲν κατασκευὴ τοῦ λογισμοῦ τῆς εὐνοίας ἀπόδειξις, ἡ δὲ τῆς ἀποτυχίας δυσχέρεια τῆς τύχης κατηγόρημα.

700. εἰ δ' εὖ γ' ἔπραξα: εἰ καλῶς, φησὶν, ἔπραξα καὶ μὴ ἐσφάλην τῆς ἐλπίδος, ἐθαυμάζετό μου τὸ βούλευμα. οὐκ ἄρα ἡ ἐμή σε βουλὴ ἠδίκησεν, ἀλλ' ἡ τύχη· εἰ γὰρ καλῶς ἀπέβη τὸ πρᾶγμα, ἔλεγες ἂν ὅτι οὐκ ἔστιν ἄλλη κρείττων τῆς τροφοῦ.

702. ἦ γὰρ δίκαια ταῦτα: ὀργίζεται καλῶς ἐπὶ τῷ καὶ ἀπολογίαν ἐθέλειν σοφίσασθαι. ἆρα οὖν, φησὶ, δίκαιόν ἐστι τοῦτο καὶ οὐχὶ φανερῶς ἄτοπον, τὸ καὶ ἐθέλειν σε ἀπολογεῖν μοι, καὶ ἐκ τῶν ἴσων ἀμφισβητεῖν τρώσασάν με· ἐξαρκοῦντα δέ μοί ἐστιν, ἤγουν ἱκανὰ πρὸς θεραπείαν τῆς βλάβης.

704. μακρηγορεῖμεν: ἀντὶ τοῦ μάτην φλυαροῦμεν καὶ ἐπεκτείνομεν τὸν λόγον ἐπὶ τοῖς ἤδη πραχθεῖσιν. οὐκ ἐσωφρόνουν ἐγώ. ὁμολογεῖ ἡμαρτηκέναι, ἐπεὶ εἶδεν αὐτὴν πρὸς τὴν ἀπολογίαν δυσχεραίνουσαν. ὁμολογῶ, φησὶ, τὸ πρότερον πταῖσμα οὐκ ἐκ τύχης, ἀλλ' ἐξ ἐμῆς ἀνοίας γεγενημένον.

710. ὑμεῖς δὲ, παῖδες: μεταστρέφει τὸν λόγον νῦν πρὸς τὰς γυναῖκας τοῦ χοροῦ. αἱ δὲ ὑμνοῦσιν οἰκονομικῶς καὶ σιωπᾶν ἐπαγγέλλονται. λύοιτο γὰρ ἂν τὰ τῆς ὑποθέσεως.

715. ἐν δὲ προτρέπουσα: ἀντὶ τοῦ ζητοῦσα καὶ ἐξερευνῶσα.

1. γινώσκειν] γιγνώσκειν A.
2. νοῦς A. νοῦς ἔχει οὕτως B.I.
3. μὲν] δέσποινα A., omisso proximo ὦ δέσποινα.
4. καὶ om. A.B., ἂν om. A.
5. γὰρ] καὶ A.
6. εὐνοίας] ἐνοίας B.I.
8. ἔπραξα hic et in lemmate A.B. Fl. 6. ἔπραττον utrobique I.
9. βούλευμα A. βούλημα B.I.
11. ἂν et ἄλλη et τῆς om. A. ib. κρείττων] κρεῖττον A.
12. ὀργίζεται—τῷ] ὁρίζεται—τὸ A.
13. 14. ἐθέλειν] θέλειν A.
13. 14. εἶν et τὸ om. A.
15. ἤγουν addidi ex A.
17. ἀντὶ τοῦ om. A.
19. ἡμαρτηκέναι] τὸ ἁμάρτημα A.
20. τὸ om. A.
21. γεγενημένον A. γενόμενον B.I.
22. μεταστρέφει τὸν λόγον νῦν A. μεταστρέφεται νῦν B.I.
23. αἱ δὲ ὑμνοῦσιν] Pro his lemma ὕμνωμι σεμνήν habet A. ib. καὶ σιωπᾶν ἐπαγγέλλονται] ὁ χορὸς ἐπαγγέλλεται A.
25. ἀντὶ τοῦ et καὶ ἐξερευνῶσα om. A.

μετατρέπουσα, φησὶ, καὶ πολλὰ δοκιμάζουσα, καὶ εἰς πολλὰ μεταφέρουσά μου τὴν γνώμην, ἐν μόνῳ ἅμα τῆς συμφορᾶς εὗρον.

719. οὐ γάρ ποτ' αἰσχυνῶ: ὅτι Μίνως βασιλεὺς τῶν Κρητῶν ἐγένετο, ὁ πατὴρ αὐτῆς. καὶ διὰ τοῦτο Κρησίους δόμους λέγει.

721. οὕνεκα ψυχῆς μιᾶς: ἀντὶ τοῦ διασταλτικοῦ τὸ μιᾶς εἶπε. Α. ἐγὼ γὰρ τῆς μιᾶς μου ψυχῆς καταφρονήσασα πολλὰς ἑτέρας διασώσω, τὰς τῶν οἰκείων δηλονότι, ῥυσαμένη τῆς αἰσχύνης. οὐχ ὑπερτιμήσω οὖν τὴν μίαν ψυχὴν τῆς αἰσχύνης τῶν πολλῶν.

724. καὶ σύ γ' εὖ με νουθέτει: ἀπειλητικώτερον εἴρηται ὁ λόγος, ὡς εἰ ἔλεγε, μὴ καὶ σὺ ζήλου τῆς τροφοῦ τὴν παραίνεσιν μηδὲ τὰ αὐτὰ ἐκείνῃ νουθετήσῃς με, ἃ ἐστιν ἐπιζήμια καὶ φαῦλα, ἀλλὰ πρὸς τὸ συμφέρον με νουθέτει.

728. ἀτὰρ κακόν γε: καὶ δὴ ἀποθανοῦσα κακὸν γενήσομαι καὶ ἄλλῳ, ἀντὶ τοῦ τῷ Ἱππολύτῳ, διὰ τῆς κατηγορίας, ἵν' εἰδῇ, κινῇ ταύτης μοι μετασχὼν τῆς νόσου, μετριάζειν, καὶ μὴ ὑψηλοφρονεῖν ἐπὶ ταῖς ἑτέρων δυστυχίαις.

732. ἠλίβατους: ἀντὶ τοῦ βαθυτάτους. ἠλίβατον γὰρ οὐ μόνον τὸ ὑψηλὸν, ἀλλὰ καὶ τὸ βαθὺ, οὗ ἔστιν ἁλιτεῖν τῆς βάσεως. κευθμῶσι δὲ τοῖς ἐρήμοις καὶ κεκρυμμένοις τόποις, καὶ πάσης συντυχίας ἀνθρώπων χωρίς. τὸ ἑξῆς οὖν οὕτως· πτερυῶσσά με ὄρνιν θείᾳ θεὸς, ἵνα γενείμην ἐν ἠλιβάτοις κευθμῶσι, καὶ πλεῖστον ἄπτοπτος εἴην τοῦ ἀνθρωπίνου γένους. ἀφανισμὸν δὲ καὶ μεταβολὴν τῆς φύσεως ἐπεύχεται ἑαυτῷ ὁ χορὸς ἐπὶ τῇ συμβεβηκυίᾳ τύχῃ, ἤτοι πρὸς τὸ ἄπει-

1. μεταφέρουσα] μετατρέπουσα A.
3. τῶν κ. ἐγένετο] ἐγένετο τῶν κ. P.I.
4. ὁ om. A.
8. ὑπερτιμήσω] ὑπὲρ τιμῆς I.
10. τῆς τροφοῦ τὴν παραίνεσιν A. τὴν τροφὸν τῆς παραινέσεως B.I.
11. ἐκείνῃ A.B. ἐκείνη I.
12. συμφέρον A.B. χρηστὸν εὖ I.
13. καὶ ἄλλῳ] καὶ om. A.
14. διὰ τῆς κατηγορίας om. A.
16. ἐπὶ om. I.
18. οὗ ἔστιν ἁλιτεῖν om. A.
19. τοῖς et καὶ utrumque om. A.
ib. κ. τόποις] τόποις κ. A
20. ἀνθρώπων] ἀνθρώπου A.
ib. τὸ ἑξῆς—ἀνθρωπίνου γένους om. A.
ib. πτερυῶσσαν—] Simile his scholion in A. (cum lemmate ἵνα με πτερυῶσσαν ὄρνιν) πτερυῶσαν μὲν ὄρνιν θείᾳ— ἄποπτος εἴην ἀνθρωπίνου (sine τοῦ) γένους. ὁ χορὸς ἐπὶ τῇ συμβεβηκυίᾳ τύχῃ ἀφανισμὸν καὶ μεταβολὴν τῆς φύσεως ἑαυτοῦ κατεύχεται, ἵνα ἄπειρος τῆς ἐφεξῆς μείνῃ συμφορᾶς. ἢ ἐπειδὴ μέλλει συνίστασθαι γενέσθαι τῇ φαίδρᾳ τῆς κατὰ Ἱππολύτου διαβολῆς καὶ μέλλει τελικαύτην ἁμαρτίαν εἰς ἑαυτὴν ἐπισπᾶσθαι, πρὶν οἷν ἐπιστῆναι αὐτῷ τὸν καιρὸν ἀπαλλαγῆναι τῆς φύσεως ἐπεύχεται. πρὸς τὸ ἀδρίαν δὲ καὶ τὴν κελτικὴν etc.
21. ἄποπτος] ἄπτωτος (sic) I.

ρος γενέσθαι τῶν ἐπικαταληψομένων συμφορῶν. ἢ ἐπειδὴ μέλλει συνίστωρ γενέσθαι τῇ Φαίδρᾳ, εἰς τὴν κατὰ τοῦ Ἱππολύτου διαβολήν. καὶ τηλικαύτην ἁμαρτίαν εἰς ἑαυτὸν ἐπισπᾶσθαι ψευδομαρτυρεῖν ἀναγκασθεῖσα κατ' αὐτοῦ. πρὶν οὖν ἐκεῖνον ἐπιστῆναι αὐτῷ τὸν καιρὸν, ἀπαλλαγῆναι τῆς φύσεως ἐπείχεται. ἢ ὅπερ ἄμεινον, καταγνῦσα τῆς ἀνθρωπίνης φύσεως, καὶ διὰ τῶν παρόντων κακῶν ἄριστα παιδευθεῖσα, ὅρκις εὔχεται εἶναι πρὸς τὸ μηδὲ συντυχίας ἢ θέας ἀπολαύειν ἀνθρώπων. τοῦτο γὰρ τὸ ζῶον καθαρώτατόν ἐστι παρὰ πάντα· διὸ καὶ ἕκαστον αὐτῶν θεοῖς ἀνάκειται. καὶ τῇ πτήσει μᾶλλον τῶν ἄλλων ζώων ἐκτοπίζεσθαι τῶν ἀνθρώπων δύναται, ὡς καὶ ἐν ἐρημίᾳ ἀνθρώπου ἐπιστάντος ἀνίπτασθαι καὶ νικᾶν τῇ πτήσει τὴν τούτου θέαν. πρὸς τὸν Ἀδρίαν δὲ καὶ τὴν Κελτικὴν ἀρθῆναι εὔχεται οἰκείως τοῖς πεπραγμένοις. καὶ ὡς μάλιστα τῶν τόπων τούτων λύπας ἀναθεξαμένων. ἐν γὰρ τῷ Ἀδρίᾳ ἡ Ἰὼ εἰς βοῦν μεταβληθεῖσα κατὰ βούλησιν Ἥρας διεπέρασε τὸ ἀπ' αὐτῆς Ἰόνιον πέλαγος κληθέν· ἐν δὲ τῷ Ἠριδανῷ αἱ Ἡλιάδες κόραι τὸν Φαέθοντα δακρύουσαι εἰς φηγοὺς μετεβλήθησαν.

735. γενώμην, φησὶν, ὄρνις, εἰ ἦν δυνατὸν καὶ πελάγη διίπτασθαι, καὶ ἀρθείην καὶ μετεωρισθείην ἐπὶ τὸ θαλάττιον κῦμα τῆς Ἀδρίου ἀκτῆς καὶ ἐπὶ τὸ τοῦ Ἠριδανοῦ ὕδωρ. Μ. αὐτὸν τὸν Ἠριδανόν φησιν· αἱ γὰρ αἴγειροι ἐν αὐτῷ τρέφονται. Μ.

736. κῦμα τᾶς Ἀδριηνᾶς: τὸ πόντιον κῦμα ἀντιδιασταλτικόν ἐστι τοῦ ῥείματος τοῦ Ἠριδανοῦ. ὁ δὲ Ἀδρίας πέλαγός ἐστι μέγιστον πρὸς τῇ Ἰταλίᾳ. ὁ δὲ Ἠριδανὸς ποταμὸς Κελτικῆς. ἐν τούτοις δὲ ἁρμόττει εὔχεται μάλιστα τοῖς τόποις εἶναι, ὡς πειραθεῖσι συμ-

1. συμφορῶν] ἢ πρὸς τὸ μὴ ἀναγκασθῆναι ψευδομαρτυρεῖν κατὰ Ἱππολύτου addit A.
ib. ἢ ἐπειδὴ—φύσεως εὔχεται om.A.
2. εἰς om. I.
5. ἐπείχεται B. Fl. 6. 15. εὔχεται I.
6. καὶ διὰ] καὶ ταῦτα διὰ A.
7. εὔχεται] ἐπείχεται A.
8. ἐστι om. A.
11. πτήσει] φύσει I.
ib. τούτου] τούτων A.
12. οἰκείως A. οἰκείοις B.I.
14. κατὰ A.B. Fl. 6. 15. διὰ I.
15. ἐν δὲ—δακρύουσαι] ἐν δὲ τῷ Ἠριδανῷ αἱ (αἱ om. A.) ἡλιάδες κόραι τὸν φαέθοντα δακρύουσι A. (nisi quod δακρύουσι habet quia pergit μεταβληθεῖσαι εἰς δένδρα) et qui δακρύουσαι ante τὸν φαέθοντα collocat B. αἱ δὲ ἡλιάδες κόραι ἐν Ἠριδανῷ δακρύουσαι τὸν φαέθοντα I.
20. τοῦ Ἠριδανοῦ] τοῦ om. A.
24. κελτικῆς B. Fl. 6. 15. κελτικὸς A.I.
25. πειραθεῖσι] πειραθεῖσα A.

φορᾶν· (ὁ μὲν γὰρ Ἀδρίας συνέπαθε τῇ βοΐ, ὁ δὲ Ἠριδανὸς τῷ Φαέθοντι·) ὅπως ἂν πρόφασιν ἔχουσα τὸν τόπον ἀκαταπαύστως θρηνεῖν τοὺς ἀνθρώπους. ᾗ, ὅπερ ἤμειναν, εὔχεται μεταβολὴν τῆς φύσεως εἰς τοὺς τόπους ἐκείνους γενέσθαι. οἵτινες μάλιστα πεῖραι μετεμψυχώσεως ἐδείξαντο. ἐν μὲν γὰρ τῷ Ἀδρίᾳ ἡ Ἰὼ ἐπλανήθη εἰς βοῦν μεταμορφωθεῖσα, ἐν δὲ τῷ Ἠριδανῷ αἱ Ἡλιάδες εἰς αἰγείρους μετεβλήθησαν.

738. ἔνθα πορφύρεον: εἰς πορφυροῦν εἶδμα τοῦ Ἠριδανοῦ αἱ τοῦ πατρὸς Ἡλίου ἄθλιαι κόραι Ἡλιάδες τῷ οἴκτῳ καὶ θρήνῳ τοῦ Φαέθοντος εἰς δένδρα μεταβληθεῖσαι, δακρύουσι τοῦτο τὸ δάκρυον, ὅπερ πηγυύμενον ἐν τῇ ψυχρότητι τοῦ ὕδατος ἀποτελεῖ τὸν ἤλεκτρον. πατέρα δὲ αὐτῶν τὸν Ἠριδανόν φησι, παρόσον τρέφονται αὐτοῦ τῷ ὕδατι αἴγειροι οὖσαι.

740. κόραι Φαέθοντος: Ἡλίου γὰρ βούλεται αὐτὰς ὁ μῦθος εἶναι. διὰ τὸ καὶ τὸ δάκρυον αὐτῶν φωτεινοειδὲς λέγεσθαι εἶναι ἤλεκτρον ὀνομαζόμενον, ἐπεὶ καὶ ἠλέκτωρ ὁ Ἥλιος καλεῖται.

742. Ἐσπερίδων: ἔνθα τὰ χρύσεα μῆλα ἐσπάρησαν. Φερεκύδης δὲ Διὸς καὶ Θέμιδός φησιν αὐτάς, ἔνιοι δὲ τὰς αὐτὰς ταῖς Ἀτλαντίσιν. Ἐσπερίδες δὲ ὀνομάζονται διὰ τὸ ἐν τῇ ἑσπέρᾳ, τουτέστιν ἐν τῇ δύσει, κεῖσθαι. ὁ δὲ λόγος, ἀνύσαιμι καὶ ἔλθοιμι ἐπὶ τὴν ἀκτὴν τῶν Ἐσπερίδων νυμφῶν τῶν ἀοιδῶν, ἔνθα εἰσὶ χρυσᾶ μῆλα σπαρέντα. πάλιν δὲ ἀκολούθως τοῖς προειρημένοις καὶ ἐνταῦθα εὔχεται γενέσθαι, ἐπειδὴ καὶ αἵδε νῦν ἐν θρήνοις εἰσί, θρηνοῦσαι τὸν δράκοντα τὸν μηλοφύλακα, τὸν νεωστὶ ὑφ' Ἡρακλέους φονευθέντα. διὰ τοῦτο γὰρ καὶ ἀοιδοὺς αὐτὰς λέγει διὰ τὸ ἐν θρήνοις εἶναι.

743. τᾶν ἀοιδᾶν: τῶν ᾀδουσῶν, τῶν θρηνωδῶν. A.

6. εἰς αἰγείρους hic A.B., ante αἱ Ἡλιάδες I.
8. πορφυροῦν] πορφύρεον A.
9. καὶ θρήνῳ om. I.
12. πατέρα δὲ] εἶδμα πατρός: πατέρα A.
14. Ἄλλως praefixum in B.
ib. κόραι] κοῦραι A.
ib. Ἡλίου γὰρ] ἐπὶ γὰρ ἡλίου A.
ib. αὐτὰς ὁ μῦθος A.B. ὁ μῦθος αὐτὰς I.
15. εἶναι om. A.
ib. διὰ τὸ] διὰ τοῦτο A.
ib. τὸ δάκρυον—καλεῖται om. A. in lacuna.
16. καλεῖται B. λέγεται I.
18. φησιν] εἶναι A.
19. Ἐσπερίδες—ἐπὶ τὴν om. A.
21. τῶν ἀοιδῶν] τὴν ἀοιδὴν A.
ib. χρυσᾶ A.B. χρύσεα I.
25. καὶ add. A.
ib. ἐν A. ἐπὶ B.I.

744. ἵν' ὁ πεντομέδων: ὅπου ὁ Ποσειδῶν οὐκέτι δίδωσι τοῖς ναύταις διέξοδον πρὸς τὸ ἐγγίζειν εἰς τὸν ὠκεανόν. τέρμονα γὰρ οὐρανοῦ τὸν ὠκεανόν φησιν, εἰς ὃν δοκεῖ τῇ θέᾳ τῇ ἀνθρωπίνῃ ἀποτερματίζεσθαι καὶ καταπίπτειν ὁ οὐρανός. πάλιν δὲ πρὸς τὴν διήγησιν ἐτράπη τῶν τόπων, ἔνθα ὁ Ποσειδῶν τὸν πλοῦν τῆς θαλάσσης τοῖς ναύταις οὐκέτι δίδωσιν, καθάπερ καὶ Πίνδαρος "Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν."

746. ναίων: γρ. κυρῶν. A. πληρῶν. B. rec.

747. τὸν Ἄτλας ἔχει: τὸν Ἄτλαντα οἱ μὲν ὄρος εἰρήκασι, μυθευόμενοι τὸν οὐρανὸν βαστάζειν, ἐπειδὴ πάνυ ὑψηλόν ὑπάρχει καὶ δοκεῖ ἐπικεῖσθαι αὐτῷ ὁ οὐρανός· ὅθεν καὶ Ἄτλας εἴρηται διὰ τὸ ἄτλητον ποιῆσαι τὴν εἰς αὐτὸν ἀνάβασιν. τινὲς δὲ Ἄτλαντα εἰρήκασιν αὐτὸν τὸν ἄξονα τοῦ οὐρανοῦ, δι' οὗ ἡ τοῦ παντὸς κίνησις γίνεται. δηλοῖ δὲ καὶ τὸ Ὁμηρικὸν "ἔχει δέ τε κίονας αὐτὸς μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι." εἰρῆσθαι δὲ Ἄτλαντα οἱονεὶ πολύτλαντα, διὰ τὸ αὐτὸν πάντα βαστάζειν.

ἔχει: κατοικεῖ. Fl. 2.

748. κρῆναί τ' ἀμβρόσιαι: αἱ τοῦ νέκταρος κρῆναι, καθὸ ἡ ἀμβροσία καὶ τὸ νέκταρ ἐκεῖσε φύονται. Ἄλλως. ὑποτίθεται τὴν τῶν Φαιάκων γῆν εἶναι. ἐκ γὰρ τῆς πολλῆς θερμότητος καὶ ἐκ τοῦ ἐπικειμένου πυρὸς τρίτον τοῦ ἐνιαυτοῦ τὸν σῖτον καὶ τὰ ἄλλα κάρπιμα φέρειν λέγεται. τὸ δὲ ἑξῆς· καὶ ἔλθοιμι ἐν ἐκείνῳ τῷ τόπῳ, ὅθεν ἐκ τῶν κοιτῶν τῶν οἴκων τοῦ Διὸς χέονται αἱ πηγαὶ αἱ τὸ ζῆν τοῖς θεοῖς δωρούμεναι.

750. ἵν' ὀλβιόδωρος αὔξει πρὸς τῷ πυρίνῳ κύκλῳ καὶ τῇ ζώνῃ τοῦ πυρός. ἑτέραν γὰρ ἐμύθευσαν εἶναι γῆν, ἐν ᾗ πλεῖστα καὶ θαυμαστὰ φύονται· ἐν ταύτῃ γὰρ τὸ Ἠλύσιον πεδίον καὶ τῶν Φαιάκων

2. πρὸς τὸ ἐγγίζειν A. προσεγγίζειν B.I.
6. οὐκέτι δίδωσιν A. οὐ δίδωσιν ἔτι B.I.
ib. καθάπερ A. καθὰ B.I.
ib. Πίνδαρος] Nem. 4, 112.
8. κυρῶν] Imo κύρων. In B. κυρῶν super ναίων, et τιθεῖς super κυρῶν.
9. Ἄτλαντα] ἄτλαν A.
10. ἐπειδὴ] ἐπεὶ A.
12. ποιῆσαι A. ποιήσασθαι B.I.
14. καὶ τὸ ὁμηρικὸν (Od. 1, 53.) B. καὶ ὅμηρος I. τοῦ ὁμήρου λέγοντος A.
15. δὲ om. A.
16. πολύτλαντα A. πολύτλαν B.I.
21. τοῦ ἐνιαυτοῦ] τὸν ἐνιαυτὸν A.
23. αἱ πηγαὶ] αἱ om. A.
26. γῆν] τὴν A.
ib. ἐν ᾗ πλεῖστα—ἐμύθευσαν εἶναι et mox καὶ τοῦ ἐπικειμένου πυρὸς om. I.
27. γὰρ] γὰρ καὶ A.

τὴν γῆν ἐμίθευσαν εἶναι. ἐκ γὰρ τῆς πολλῆς θερμασίας καὶ τοῦ ἐπικειμένου πυρὸς τρίτον τοῦ ἐνιαυτοῦ συμβαίνει τὰ κάρπιμα φύεσθαι καὶ τὸ νέκταρ. φησὶ γοῦν κρῆνας μὲν ἀμβροσίας τὰς τοῦ νέκταρος, εὐδαιμονίαν δὲ τὴν ἀμβροσίαν καὶ ἀφθαρσίαν.

752. ὦ λευκόπτερε Κρησία: ὦ λευκὰ πτερὰ, ὅ ἐστιν ὅρμενα, ἔχουσα Κρητικὴν ναῦν, ἥτις κατὰ τὸ κῦμα τῆς θαλάσσης τὴν δέσποινάν μου Φαίδραν ἐκόμισας νυμφευθεῖσαν Θησεῖ. A.B. ἑτέρα μεῖρα χορικὴ, ἡ δὴ καὶ τὰ παρόντα θρηνεῖ ἄνωθεν ἐκ τῆς ἐπιδημίας ὀλοφυρομένη τὴν Φαίδραν. σύ μοι, φησὶ, προοίμιον τῶν θρήνων, ὦ πορθμὶς, ἐπεὶ καὶ τῶν συμφορῶν ὑπόθεσις γεγένησαι.

753. διὰ πόντιον: ἡ διὰ ἀντὶ τῆς κατά. A.B.

758. κακωνυμφοτάταν: νυμφευσαμένη τῷ Θησεῖ νύμφευσιν ἀνόνητον, τουτέστιν εἰς τὴν κακὴν ὠφέλειαν τοῦ γάμου, εἰς ἀπόλασιν κακῶν. A.B.

759. ἦ γὰρ ἀπ' ἀμφοτέρων: ἔντως γὰρ ἀπὸ τῶν δύο, ἀπό τε τῆς Κρήτης καὶ τῆς Ἀττικῆς, κακὰ σημεῖα ἐφάνησαν αὐτῇ. τὸ δὲ ἀμφοτέρων ἀκούσουσιν ἔκ τε τοῦ πατρὸς καὶ τῆς μητρὸς, ἵν' ᾖ οὕτως· ἐπὶ κακοῖς γὰρ σημείοις ἐκδοθεῖσα ὑπὸ τῶν γονέων ἦλθες εἰς Ἀττικὴν ἀπὸ τῆς Κρήτης. ἐπεὶ δὲ καὶ δύσορνιν αὐτὴν ἔφη, εἰς τὸ ἔπτατο ἀνῆλθεν. Μουνύχιος δὲ λιμὴν Ἀττικῆς. ὀρνιθικὰ δὲ, φησὶν, ἐν τῷ Μουνυχίᾳ λιμένι παρέβαλον τὰς ἀρχὰς τῶν σχοινίων καὶ ἔδησαν ἐν αὐτῷ καὶ ἐξέβησαν ἐν τῇ γῇ, τὸ τηνικαῦτα ἡ Ἀφροδίτη κακὸν ἔρωτα ἔπεμψε τῇ ἐμῇ δεσποίνῃ.

763. ἐπ' ἀπείρου τε γᾶς: κυκλοτεροῦς. A.

764. ἀνθ' ὧν: ἀντὶ τοῦ ἀφ' ὧν. ὁ δὲ νοῦς, ἀφ' ὧν τῶν κακοσήμων οἰωνῶν ὑπὸ ἀδίκων ἐρώτων Ἀφροδίτης δεινῇ νόσῳ φρένας κατεκλάσθη. A.B.

2. τρίτον] καὶ τρίτον A.
4. καὶ ἀφθαρσίαν om. A.
6. ἔχουσα post πτερὰ A.
ib. ναῦ] νῦν A.
8. χορικὴ] χωρικὴ A.B.
ib. δὴ om. A.
9. πορθμὶς A. in lacuna.
10. ὑπόθεσις] πάθος A.
ib. γεγένησαι A. γεγένηται B.I.
15. τε om. A.
17. ἔκ τε τοῦ πατρὸς καὶ τῆς μητρὸς A. ἔκ τε τῆς μητρὸς καὶ τοῦ πατρὸς B. et omissis τῆς et τοῦ I.
18. ὑπὸ add. Matth.
ib. ἦλθες] ἦλθον A.
19. εἰς τὸ ἔπτατο ἀνῆλθεν A. εἶπε τὸ ἔπτατο ἀντὶ τοῦ ἦλθεν B.I.
20. φησὶν om. A.
21. λιμένι A. λιμένι τῆς ἀττικῆς B.I.
ib. παρέβαλον A.B. Fl. 6. παρέβαλεν I.

767. ὑπέραντλος: ἐκ μεταφορᾶς τῶν ἐν τῇ νηὶ μηκέτι τῆς ἀντλίας ὑπερέχειν δυναμένων. ἀδυνατοῦσα, φησὶ, πρὸς τὴν συμφορὰν, καὶ ὑπερβαρῆ νεσήσασα νόσον τὴν ἀγχόνην ἐβουλεύσατο.

770. ἄψεται ἀμφὶ βρόχοιν: ἡ ἀμφί πρὸς τὸ ἅψεται ἀντὶ τοῦ περιάψεται. A.

774. ἀπαλλάσσουσα: ἀντιλαμβανομένη. A.

776. ἰοὺ ἰού: τινὲς βούλονται τὴν τροφὸν ταῦτα ἔσωθεν λέγειν. ἔνιοι δὲ ἐξάγγελον φασί. ἐξάγγελος δὲ ὁ τὰ πεπραγμένα ἔνδον τῆς σκηνῆς τῷ χορῷ ἀγγέλλων. βοηδρομεῖν δέ ἐστι τὸ μετὰ βοῆς τρέχειν, ἵνα διὰ τῆς βοῆς καὶ ἄλλους πρὸς ἐπικουρίαν κινήσωσι.

780. ἀμφιδέξιον σίδηρον: ἀντὶ τοῦ δίστομον, ᾧ ἄν τις πρὸς ἀμφότερα τὰ μέρη δεξιῶς χρήσαιτο. ἐδόκουν γὰρ μετέχειν τοῦ μιάσματος ὅσοι μὴ ἔκοπτον τὰς ἀγχόνας τῶν ἠγχονισμένων. ἅμμα δὲ δεσμὸς σχοινίων. καὶ τὸ ἐξ ἐπισπαστῶν βρόχων ἀντὶ τοῦ τῶν δεδεμένων βρόχων.

785. τὸ πολλὰ πράττειν: οὐκ ἔστιν ἀσφαλὴς ὁ βίος τῶν ἐκβαλόντων ἑαυτοὺς εἰς πολλὰ πράγματα.

786. ὀρθώσατ': ἀπορθώσατε, φησὶν, αὐτῆς τὰ μέλη, καὶ κατ' ὀρθὸν σχηματίσατε τὸν νεκρὸν, τὸ πικρὸν οἰκούρημα τῶν ἐμῶν δεσποτῶν, ὅ ἐστι τὸν ἀτυχῆ οἰκουρόν.

787. οἰκούρημα: οἰκουρὸς λέγεται ἡ γυνή. M.

790. γυναῖκες, ἴστε τίς: τὸ ἑξῆς, ἠχὼ βαρεῖα προσπόλων ἀφίκετο. ἴστε, τίς ποτ' ἐν δόμοις βοή: ἴστε, φησὶ, τίς ἡ βοὴ ἡ ἐν τοῖς οἴκοις, ὦ γυναῖκες; ἠχὼ γὰρ βαρεῖα πρός με ἀφίκετο.

792. οὐ γάρ τί μ' ὡς θεωρόν: ἀντὶ τοῦ ἀπὸ μαντείας. ἔθος γὰρ

1. Hoc scholion est etiam in M. sed partim obliteratum. Ante ἀδυνατοῦσα addit ἀντὶ τοῦ ὑπερβολῆ νοσοῦσα.

3. ὑπερβαρῆ] ὑπερβαρεῖ A. βαρέως M.

ib. νόσον add. M.

7. τὴν τ. ταῦτα A. ταῦτα τὴν τ. B.I.

ib. ἔσωθεν (ἔξωθεν I.) post λέγειν A.

8. ἐξάγγελον A. ἐξαγγέλων B. ἐξ ἀγγέλων I.

9. βοηδρομεῖν] βοηδρομεῖτε (lemma) A., omisso δέ.

ib. μετὰ βοῆς τρέχετε—ἐπικουρίαν καλῶσιν est in M.

11. ἀμφιδέξιον—ᾧ ἄν] ἀμφιδέξιος δίστομος, οἷον A. Est hoc scholion in M. sed literis evanidis. στ'

12. δεξιῶς χρήσαιτο] χρη δεξιῶς A.

13. ἅμμα—δεδεμένων βρόχων om. A.

14. σχοινίων] σχοινίον B.

19. Post σχηματίσατε A. pergit, πικρὸν τόδ' οἰκούρημα: πικρὸν οἰκούρημα τῶν etc.

22. ἠχὼ] γυναῖκες, ἠχὼ A.

εἶχον οἱ ἀρχαῖοι τοῦτο, ὅτε ἤρχοντο ἀπὸ μαντείας, ἐστεφανωμένοι ἤρχοντο, καὶ πάντες τοῦ οἴκου προσεκύνουν αὐτούς. τὸ δὲ ἑξῆς· οὐκέτι μοι ὡς θεωρῷ προσφθέγγεται ὁ οἰκός μου ἀγαθὰ, ἀλλὰ φαῦλα· οὐ γὰρ ὡς θεωρόν με ἀξιοῖ προσκυνεῖν, ἀλλ' ἔχω ἀφελέσθαι τὸν στέφανον διὰ τὴν βοήν. θεωρὸι δὲ καλοῦνται πάντες οἱ ἐκ θεοῦ στελλόμενοι. ἢ ὕστερον ὑποστρέφοντες.

795. πρόσω μὲν ἤδη: οἷον πόρρω, μακρὸς, ἀντὶ τοῦ προβέβηκε τῇ ἡλικίᾳ, ἀντὶ τοῦ γέρων μὲν ἤδη ἐστὶν, ἀλλ' ὅμως λυπηρὸς ἡμῖν γενήσεται ἀποθανών.

799. μή τι συλᾶται: μὴ ἄρα τῶν τέκνων μου ἡ ζωὴ κλέπτεται; ἀντὶ τοῦ ἀπέθανεν.

803. λύπῃ παχνωθεῖσα: ἀντὶ τοῦ κακωθεῖσα. ἁπάντων γὰρ τῶν φυτῶν φθαρτικὴ ἐστιν ἡ πάχνη. εἰκονομικῶς δὲ ψεύδεται τὰ λοιπὰ μὴ εἰδέναι ὁ χορός.

806. ἀνέστεμμαι κάρα: ἔθος γὰρ ἦν τοὺς ἐξ ἱεροῦ στελλομένους στέφεσθαι. πλεκτοῖς δὲ φύλλοις ἀντὶ τοῦ πλεκτοῖς στεφάνοις.

808. χαλᾶτε κλῆθρα: ἀντὶ τοῦ ἀνοίγετε τὰς θύρας.

809. ἁρμούς: γρ. καὶ ὅρμους ἀντὶ τοῦ δεσμούς. B.

812. ἔπαθες, εἰργάσω: πέπονθας τὸ τῆς ἀγχόνης κακὸν, εἰργάσω εἰς ἑαυτὴν τὸν δι' ἀγχόνης θάνατον. τὸ δὲ αἲ αἲ τόλμας διὰ μέσου ἀναπεφώνηται, καὶ οὕτως τὸ ἑξῆς ἵσταται.

815. πάλαισμα μελέας: τὸ παράπτωμα τῆς ἀγχόνης, ἀπὸ μεταφορᾶς τῶν παλαιόντων. οἳ οἱονεὶ πνίγουσιν ἑαυτοὺς ἐν τῷ τραχήλῳ παλαίοντες. Λ.Β.Ι. Ἄλλως. ᾧ πάλαισμα καὶ κατάπτωμα τῆς σῆς ἀθλίας χειρός.

3. ὡς θεωρῷ—οὐ γὰρ om. I.
6. ὑποστρέφοντες] ἀποστρέφοντες A. ὑποστρέφονται I. ἀντιστρέφοντες M. in quo reliquiae quaedam hujus scholii apparent.
7. οἷον om. A.
ib. ἀντὶ τοῦ A. ἤτοι B.I.
8. ἤδη add. A.
ib. ἡμῖν γενήσεται] ἐστιν A.
9. ἀποθανών] ἀποθανεῖν I.
15. ἔθος γὰρ — στέφεσθαι habet etiam M. In reliqua abhinc fabulae parte nec scholia nec glossemata sunt in M.
ib. ἦν om. A.
16. πλεκτοῖς—στεφάνοις om. A.
18. ἀντὶ τοῦ om. A.
21. ἑαυτὴν A.B. σαυτὴν I.
ib. τὸν om. A.
24. τῶν παλαιόντων om. A.
ib. οἱονεὶ et ἑαυτοὺς om. A.
ib. παλαίοντες A. παίζοντες B.I. Fl. 6. 15.

816. τίς ἄρα: λείπει τὸ δαιμόνων· τίς ἄρα δαιμόνων ἀμαυροῖ, ἤτοι ἀφανῆ καθιστᾷ, τὴν σὴν ζωήν.

820. κηλὶς ἄφραστος: ῥυπαρία μελαίνουσα, αἰσχύνη. ἄφραστος δὲ ἀντὶ τοῦ ἀπρόρατος, ἀδόκητος· σπίλος καὶ αἰσχύνη. B.I. ἀντὶ τοῦ κακὸν ἀπροσδόκητον. A.

821. κατακοινὰ μὲν οὖν: ἀντὶ τοῦ καταφθορά. λείπει δὲ τὸ κατέλαβέ με. ὁ δὲ νοῦς· καταφθορὰ ζωῆς ἀβιωτοποιὸς κατέλαβέ με. κακῶν δὲ ὁ τάλας πέλαγος εἰσορᾷ. γράφεται δὲ καὶ τὸ κατακονῶ ῥῆμα, ἵν' ᾖ οὕτως· μαραίνει με ἡ δυστυχία τοῦ βίου. γράφεται καὶ κατακονᾷ μὲν οὖν, ἀντὶ τοῦ καταναλίσκει.

824. μηδ' ἐκπερᾶσαι κῦμα: ἀντὶ τοῦ ἐκκλυμβῆσαι, παρέρπειν, ἐπεὶ καὶ πέλαγος προείρηται. ἐνέμεινε δὲ τῇ μεταφορᾷ.

828. ὄρνις γὰρ ὡς τις: ὥσπερ γὰρ ὄρνις κρατουμένη ὑπό τινος ἀφανὴς γίνεται, οὕτω καὶ σύ, ταχέως πηδήσασα ἐν τῷ Ἅιδῃ.

831. πρόσθεν δέ πόθεν: πόθεν συνέβη μοι αὕτη ἡ συμφορά; μὴ ἄρα ἕνεκεν τῶν πρότερον ἡμαρτημένων μοι, ἢ πρός τινος παλαιᾶς ὀργῆς τῶν δαιμόνων; B.I.

832. ἀμπλακίαισι τῶν πάροιθεν: ταῖς ἁμαρτίαις τῶν προγόνων, ὅ ἐστιν, οὐ δι' ἐμὸν ἁμάρτημα τιμωροῦμαι, ἀλλὰ διὰ προγονικόν. Ἄλλως. μὴ διὰ τὰς ἁμαρτίας τῶν προτέρων μου, ἤτοι ἀρχαίων, προγόνων, ἀναλαμβάνω τοιαύτην δυστυχίαν παρὰ θεῶν;

1. τίς ἄρα δαιμόνων et ἤτοι et τὴν σὴν ζωήν om. A.

6. καταφθορὰ bis A.B. καταφορὰ I. utrobique. Et καταφορὰ κατέλαβεν ἐμέ est in gl. B.

8. ὁ τάλας A. ὦ τάλας B.I.

9. μαραίνει με] διαφθείρει με add. A.

10. γράφεται κατακονάω κατακονῶ, κατακονάεις κατακοιᾶς, κατακονάει κατακονᾶ ἀντὶ A. "Valck. ita emendat locum: γράφ. δὲ καὶ τὸ κατακονῶ, ὡς ῥῆμα. Ita ultima γράφεται καὶ κατ. μὲν οὖν ἀντὶ τοῦ κ. vel e superioribus male repetita sunt, vel, quod potius videtur, praefigendum ἄλλως, ut hoc scholion sit ex alio cod. excerptum. MATTH.

11. ἀντὶ τοῦ om. A.

ib. παρέρπειν om. I.

12. ἐνέμεινε] ἐπέμεινε A.

13. ὥσπερ γὰρ A. γὰρ om. B I.

14. πηδήσασα hic A., post Ἅιδῃ B.I. In A. lemma πήδημ' ἐς ᾅδου ante ταχέως.

16. πρότερον B. πρόσθεν I.

18. ταῖς ἁ. τῶν π. addidi ex A.

19. ὅ ἐστιν om. A.

ib. οὐ δι' ἐμὸν (οὐδ' ἐμὸν I.)] οὐ διὰ τὸ ἐμὸν A.

ib. ἀλλὰ διὰ προγονικόν om. A.

ib. ἀλλὰ διὰ] ἀλλὰ λείπει I.

ib. προγονικόν Valcken. pro πορνικόν, quod est in B. Fl. 6. 15. I.

20. ἁμαρτίας] ἐμὰς ἁμαρτίας A.

ib. προτέρων μου ἤτοι om. A.

21. προγόνων] μου προγόναν ἐγὼ ἀνακομίζομαι A.

ib. παρὰ θεῶν om. A.

834. οὔ σοι τάδ', ὦναξ: καὶ ἐν τῇ Ἀλκήστιδι "οὐ γάρ τοι ποῶτις, οὐδὲ λοίσθιος βροτῶν γυναικὸς ἐσθλῆς ἥμπλακες." B.I.

835. κεδνὸν λέχος: τὸ φρόνιμον, ἢ τὸ ἐπιμελείας ἄξιον. B.

836. τὸ κατὰ γᾶς θέλω: οἷον θέλω λοιπὸν ἀποθανεῖν. A.B.

5κ νέφας: σκότος. παρὰ τὸ κενὸν εἶναι φάους. A.

840. τίνος κλύω: λείπει ἡ παρά, παρὰ τίνος ἀκούσω καὶ μαθήσομαι τὸ συμβάν σοι αἴτιον, ὅθεν ἀπώλου, τίς ἂν εἴποι τὸ γενόμενον; ἢ ὄντος τὸ δῶμα μάτην ἔχει θεραπόντων ὄχλον; B.I. πόθεν συνέβη μοι, ἤτοι αὐτὴ ἡ συμφορὰ, μὴ ἄρα ἕνεκα τῶν πρότερον ἡμαρ-

10τημένων μοι, ἢ ἀπό τινος παλαιᾶς ὀργῆς τῶν δαιμόνων; πολλάκις γὰρ πατέρων ἀνομίαι τέκνοις ἀποδίδονται. A.

843. στέγει: τρέφει. A. φέρει. B.

846. οὐ τλητὸν οὐδὲ ῥητόν: ὃ οὔτε σιωπᾶν δύναμαι, (μέγα γάρ ἐστιν) οὔτε λέγειν. αἰσχύνη γάρ μοι φέρει τὸ παράδοξον τοῦ θανά-

15του. A.B.I. ἀλλ' ἀπωλόμην: ἡ ἀλλὰ ἀντὶ τοῦ γάρ. A. τὸ δὲ ἔλιπες ἔλιπες, ὦ φίλη, ἀντὶ τοῦ ἀπέθανες, ἔλιπες τὸ ζῆν. καὶ τὸ ἰὼ τάλας ἀντὶ τοῦ τάλαινα· καὶ γὰρ ταῦτα τοῦ χοροῦ φασιν εἶναι. B.I.

851. νυκτὸς ἀστερωπός: καὶ ἡ διὰ νυκτὸς λαμπρὰ σελήνη, ἡ μετὰ ἀστέρων φαινομένη σελήνη, ὡς πρὸς ἀντιδιαστολὴν τοῦ ἡλίου.

20ἐκείνης γὰρ κρύπτει πάντων τῶν ἀστέρων τὸ φῶς. A.B.I. Ἄλλως. ἡ μετὰ ἀστέρων φαινομένη, πρὸς ἀντιδιαστολὴν τοῦ ἡλίου· ὁ γὰρ ἥλιος ἅπαντας ἀμαυροῖ τοὺς ἀστέρας ταῖς ἀκτῖσιν αὐτοῦ, οὐχ οὕτω δὲ καὶ ἡ σελήνη, ἀλλὰ μόνους τοὺς πλησιάζοντας. A.

855. τὸ δ' ἐπὶ τῷδε: ἐπὶ πολὺ φρίσσω. διὰ τί γὰρ κακῶς

25ἀπήγξω, περὶ οὗ φοβοῦμαι μὴ καὶ ἕτερόν τι πάθω κακόν.

859. ἔγραψεν: μᾶλλον ἔγραψε παρακλήσεις, ἵνα μὴ ἄλλην μνηστεύσωμαι, ἢ διὰ τὰ τέκνα.

1. Ἀλκήστιδι] v. 431. Conf. p. 168, 24.

2. ἥμπλακες B. Fl. 6. 15. ἥμαρτες I.

6. In A. inter versus λείπει ἡ παρά, παρὰ τίνος ἀκούσω τὸ πόθεν ἀπώλου. in marg. vero ἀπὸ τίνος ἀκούσομαι καὶ μαθήσομαι τὸ συμβάν σοι αἴτιον.

14. φέρει] φέρειν I.

ib. τὸ δὲ B. Fl. 6. 15. δὲ om. I. Scholion huc transposuit Matth., quum in libris post proximum positum sit. Nihil praeter gl. ἀπέθανες ad ἔλιπες habet A.

17. φασιν εἶναι Fl. 6. 15. εἶναι om. B.I.

18. ἡ μετὰ — σελήνη add. A.B. Fl. 6. 15., om. I.

20. ἐκείνος] ἐκείνας I.

24. ἐπὶ—φρίσσω add. B.

25. μὴ καὶ] καὶ om. A.

26. μὴ ἄλλην μνηστεύσω] μὴ γαμήσω A.

860. θάρσει, τάλαινα : γελοῖον πρὸς νεκρὸν τὸ θάρσει, συγγνωστέος δὲ διὰ τὴν παρακειμένην συμφοράν. σφενδόνην λέγει τὴν δέσιν, τὸν δεσμὸν, τύπον δὲ τὴν ἐπικειμένην σφραγῖδα τῷ δεσμῷ. προσσαίνουσί με δὲ ἀντὶ τοῦ ἡδύνουσί με, προτρέπονται, κολακεύουσιν. αὐτῆς γάρ εἰσι. ὅθεν ἐπάγει, ἴδω τί λέξαι, ἵνα ἴδω τί θέλει σημᾶναι.

861. οὐκ ἔστι δῶμα· οὐκ ἔστιν ἥτις γυνὴ εἰς τοὺς δόμους εἰσέλθοι διὰ τὰ λέκτρα τοῦ Θησέως. A.

864. φέρ', ἐξελίξας : φέρε δὴ οὖν ἀποκόψω τὸν δεσμὸν τῆς σφραγῖδος τοῦ δακτυλίου, καὶ τὰς περιπλοκὰς ἀναλύσας ἴδω τί βούλεται σημᾶναι ἡ δέλτος αὕτη.

866. ἐκδοχαῖς : κατὰ διαδοχὴν, ἵνα ἴδω πῶς νέα κακὰ ὁ θεὸς ἐπεισφέρει τούτοις τοῖς οἴκοις.

867. ἀβίωτος βίου τύχα : θάνατος τύχη ἀβιωτοποιὸς, ἢ ἡ τύχη τοῦ βίου. A. ἀντίπτωσις. ἐμοὶ μὲν οὖν εἴη τυχεῖν, ὦ τύχη, βίου ἀβιώτου. A. θάνατος τύχη ἀβιωτοποιὸς τῆς ζωῆς, ἀντὶ τοῦ ἡ τύχη τοῦ βίου πρὸς τὸ συμβὰν ἀβίωτός ἐστι. πρὸς τὸ κραθὲν γὰρ νῦν ἀντὶ τοῦ πρὸς τὸ συμβάν. B.I. ἤτοι ἐγὼ μὴ ἐπιζήσαιμι πρὸς τὸ μέλλον γενέσθαι. A.

869. ὀλομένους γάρ : τὸ ἐξῆς· ὀλομένους δόμους τῶν ἐμῶν δεσποτῶν οὐκ ἔτ' ὄντας λέγω. τὸ δὲ φεῦ φεῦ διὰ μέσου.

871. ἔστι: δυνατόν ἐστι. B. rec. ἔν τισιν οὐ φέρονται οὗτοι. B.

872. πρὸς γάρ τόνος : ἡ πρός ἀντὶ τῆς ἀπό, ἵν' ᾖ οὕτως, ἀπό τινος τύχης. B.I. εἰσορῶ γὰρ τὸ δεινὸν τὸ μέλλον ὡς ὁ

1. συγγνωστέος—συμφοράν om. A.
2. παρακειμένην] περικειμένην B. Fl. 6. 15.
3. τῷ δεσμῷ] τῶν δεσμῶν I.
4. δὲ ἀντὶ τοῦ om. A.
ib. ἡδύνουσί με B. Fl. 6. 15. με om. A.I.
5. αὐτῆς γάρ εἰσι om. A.
ib. ὅθεν—σημᾶναι add. A.
9. δὴ οὖν om. A.
ib. ἀποκόψω] ἀποκόψας A.
10. τοῦ δακτυλίου—ἀναλύσας om. A. habet vero gl. τοῦ δακτυλίου ad σφενδόνης.
ib. ἴδω] ἴδω τί λέξαι: ἴδω οὖν A.
11. αὕτη add. A.
12. ἐκδοχαῖς A. φεῦ φεῦ B.I.
ib. ἵνα ἴδω πῶς addidi ex A.
13. ἐπεισφέρει] ἐπιφέρει A.
ib. οἴκοις A. τόποις B.I.
16. θάνατος add. B. Fl. 6. 15.
20. ὀλομένους] ὀλουμένους B. in textu et in scholio.
ib. τῶν ἐμῶν—μέσου om. A.

μάντις παρά τινος τῶν οἰωνῶν καὶ ὀρνέων εἰσορᾷ καὶ μαντεύεται. A. οἰωνόν: προμήνυμα. B. rec.

875. λεκτὸν, ᾧ τάλας ἐγώ: λείπει τὸ εὗρον τοῦτο. A.

876. εἴ τί μοι λόγου μέτα: ἐάν με κρίνῃς ἄξιον B. καὶ μετάδος μοι τοῦ λόγου, εἰ μέτεστί μοι τοῦ λόγου. B.

880. φθεγγόμενον: βουλόμενον. A.

881. κακῶν ἀρχηγόν: ἀντὶ τοῦ κακοῦ λόγου ἀρχὴν λέγεις. τὸ ἑξῆς· τόδε μὲν δυσεκπέρατον ὀλοὸν κακὸν οὐκέτι σιωπήσω. στόματος δὲ πύλαις περιφραστικῶς ἐν τῷ στόματι. ὅμοιον δὲ τοῦτο τῷ Ὁμηρικῷ ἕρκος ὀδόντων. δυσεκπέρατον δὲ δυσαπάλλακτον, δυσεπίληπτον. B.I. δυσεκπάλαιστον· ἢ τὸ δυσκόλως περαινόμενον καὶ γινόμενον, ἢ τὸ δυσεπίληπτον. A. τόδε μὲν οὐκέτι στόματος ἐν πύλαις: ὁμοίως τῷ Ὁμηρικῷ ἕρκος ὀδόντων. τὸ δὲ δυσεκπέρατον ὀλοὸν κακὸν οὐκέτι σιωπήσω. στόματος δὲ πύλαις περιφραστικῶς τῷ στόματι Ἄλλως. πύλαι στόματος τὰ χείλη. οὐκέτι οὖν, φησὶ, καθέξω τὸν λόγον ἐντὸς τοῦ στόματός μου, τουτέστιν οὐκέτι σιωπήσω. A.

886. τὸ σεμνὸν Ζηνὸς ἔμμ' ἀτιμάσας: τὴν τοῦ Διὸς ἐφορείαν σεμνὴν μὴ τιμήσας. A. ἀντὶ τεῦ τὸν πατρῷον Δία ὑβρίσας.

888. μιᾷ κατέργασαι: μιᾷ τούτων τῶν καταρῶν κατέργασαι τὸν ἐμὸν παῖδα. ποίων δέ; ἃς ἀρὰς ἐμοὶ ὑπέσχου, τὸ ἀνελθεῖν ἐξ Ἅιδου, τὸ ἀποστρέψαι ἀπὸ τοῦ λαβυρίνθου, τὸ πεμφθῆναι τῷ υἱῷ αὐτοῦ θάνατον.

892. γνώσῃ γὰρ αὖθις: ἔχεις γὰρ γνῶναι ὅτι ἥμαρτες. καὶ ἐν Ἀλκήστιδι " οὐ γὰρ πρῶτος οὐδὲ λοίσθιος βροτῶν γυναικὸς ἐσθλῆς ἥμπλακες."

893. καὶ πρός γ' ἐξελῶ: αὖθις ἐπαναλαβὼν, ἀντὶ τοῦ οὐδαμῶς· ἀλλὰ πρὸς τούτοις καὶ ἐκβαλῶ αὐτὸν ἐκ ταύτης τῆς γῆς.

894. δυοῖν δὲ μοίραιν θατέρᾳ: μιᾷ τῶν δύο μοιρῶν πληγήσεται.

897. ἀλώμενος: πλανώμενος. A.

7. ἀντὶ—λέγεις etiam A.
18. et 26. ἀντὶ τοῦ om. A.
ib. τὸν πατρῷον A.B. πρῶτον I.
ib. ὑβρίσας] ἀτιμάσας A.
19. Narrationem de Minoe huic v. adscriptum in A. vide in Praefatione.
20. ἀρὰς add. A.B.
21. ἀποστρέψαι] ὑποστρέψαι A.
23. ἔχεις A. ἔχει B.I.
24. Ἀλκήστιδι] v. 431. Conf. schol. ad v. 834. ἐσθλῆς om. A.
27. καὶ add. B. Fl. 6. 15.

901. τὸ λῷστον: τὸ βέλτιστον, τὸ συμφέρον. A.B.

908. οὔπω χρόνου: οὐ πρὸ πολλοῦ μοι τοῦ χρόνου ἐβλέπετε, ἢ οὐκ ἐκ πολλοῦ χρόνου, ἀλλ' ἐναγχος· ἀντὶ τοῦ ἦν ἀρτίως κατέλιπον τὸ φῶς ὁρῶσαν, ἄρτι ἀπέθανεν, ἤτοι πρὸ ὀλίγου.

911. σιωπῆς δ' οὐδὲν ἔργον: τὸ τέλειον οὕτως· ἐν δὲ, ἀντὶ τοῦ ἐν γὰρ, τοῖς κακοῖς οὐδεὶς ὀφείλει σιγᾶν· οὐδὲν ὄφελος, φησὶν, οὐδὲ κέρδος ἐν τοῖς κακοῖς ἡ σιωπή ἐστι.

912. ἡ γὰρ πεθοῦσα: ἡ γὰρ καρδία ἐπιζητοῦσα τὰ πάντα ἀκεύειν δαπανᾶται. λίχνος δὲ ἤτοι ἐπιθυμητικὸς, περίεργος.

915. κρύπτειν δίκαιον: οὐ γὰρ ὀφείλεις κρύπτειν τὰς σὰς δυστυχίας τοὺς φίλους σου, τουτέστι τὰ τέκνα σου.

916. ὦ πόλλ' ἁμαρτάνοντες: ὦ ἄνθρωποι πολλὰ ἐπιστάμενοι καὶ διδάσκοντες τοὺς ἀνθρώπους, πλὴν τούτου, τοῦ διδάσκειν συνετοὺς τοὺς ἀσυνέτους. περιτταὶ οὖν, φησὶν, αἱ παραινέσεις καὶ συμβουλίαι τῶν ποιητῶν, οὐχὶ τὰ δέοντα φρονεῖν διδάσκουσαι τοῖς ἀνθρώποις αὗται. λέγομεν δὲ ὅτι τῇ προσθήκῃ τὴν ἀπορίαν ἔλυσεν, εἰπὼν "εἶσιν οὐκ ἔνεστι νοῦς" εἰς νοῦν γὰρ ἔχοντα ἄνδρα καταβαλλομένη παραίνεσις καρπὸν φέρει, εἰς δὲ ἄνουν μάτην ἐκρίπτεται.

921. δεινὸν σοφιστήν; λογιστὴν, ἐξεταστὴν, διδάσκαλον. ὁ νοῦς τοιοῦτος· ἀληθῶς καλὸν διδάσκαλον εἶπας, τὸν δυνάμενον διδάξαι φρονεῖν τοὺς μὴ φρονοῦντας.

924. δέδοικα μή σου: φοβοῦμαι μὴ ἐν τοῖς κακοῖς ὑπερβάλλουσά σου ἡ γλῶσσα ἔξηχον καὶ παράφρονά σε ποιήσῃ.

2. μοι τοῦ add. A.
ib. ἐβλέπετο—χρόνου add. A.
3. ἀντὶ τοῦ—ἀπέθανεν om. A.
4. ἤτοι πρὸ ὀλίγου add. A.
5. οὕτως om. A.
ib. δὲ—γὰρ add. A.
6. ὄφελος—οὐδὲ om. A.
7. 8. ἐστι et τὰ add. A.
9. δὲ ἤτοι om. A.
11. τοὺς φίλους σου] ἢ τοὺς ὑπὲρ τοὺς φίλους σου add. A.
ib. τουτέστι—σου om. I.
12. ἁμαρτάνοντες] ἁμαρτήσαντες A.: sed in textu ἁμαρτάνοντες.
13. τοὺς ἀνθρώπους om. A.
ib. τούτου om. A.
14. ἀσυνέτους A.B. ἀξυνέτους I.
ib. περιτταὶ] Lemma φρονεῖν διδάσκειν (ex v. 920.) praefixum in A. B. In I. φ. διδάσκουσαι. Delevit Matthiae.
15. τοῖς ἀνθρώποις] τοὺς ἀνθρώπους Barnes.
16. ὅτι] οὕτως A.
17. νοῦν γὰρ A. γὰρ νοῦν B.I.
18. ἐκρίπτεται] πονεῖ A.
21. φρονεῖν om. A.
23. σου om. A.
ib. ἔξηχον A. ἄνουν B.I.
ib. σε add. A.
ib. ποιήσει A, unde ποιήσῃ scripsi. ποιήσειε B.I.

927. ὅστις τ' ἀληθής: ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων εὑρίσκομεν διάκρισιν, εἴτε καλά ἐστιν, εἴτε κακά, ὥσπερ ἐπὶ τοῦ χρυσίου. δοκιμαζόμενον γὰρ φαίνεται εἰ καλόν ἐστιν ἢ κακόν, ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐχ εὑρίσκομεν. ἐχρῆν οὖν καὶ τοὺς ἀνθρώπους δύο φωνὰς ἔχειν, δικαίαν τε καὶ ἄδικον, ἵνα, εἰ μὲν ἡ ἄδικος φωνὴ θελήσει ψεύσασθαι, ἠλέγχετο καὶ οὐδεὶς ἠπατᾶτο.

932. ἀλλ' ἤ τις εἰς σὸν οὖς: μὴ ἄρα τίς με διέβαλεν εἰς τὸ σὸν οὖς ἀπὸ τῶν φίλων;

διαβαλὼν ἔχει: Ἀττικὸν ἀντὶ τοῦ διέβαλεν, ὡς καὶ Ἡσίοδος "κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισιν" ἀντὶ τοῦ κεκρύφασι. A.

934. ἔκ τοι πέπλυγμαι: ξένους λόγους ἀκούων παρὰ σοῦ ἐκπλήσσομαι. οἱ γὰρ σοὶ λόγοι οἱ ἐξεδροποιοὶ τῶν φρενῶν παρεξηλλαγμένοι τοῦ καθήκοντος παραπλῆγά με κατεργάζονται. Ἄλλως. ἔξεδροι οἱ ἐξεδροποιοὶ τῶν φρενῶν μου, οἷον μαινόμενοι, ἐξεστηκότες, ἄδικοι, παραλογιστικοί, μὴ καλῶς λεγόμενοι, ἀλλ' ἔξω τῆς διανοίας ὄντες. A.B.I. οἱ τὸν ἀκούοντα ποιοῦντες ἔξω τῶν φρενῶν καὶ τῆς διανοίας. καὶ τοῦτο γὰρ ὕβρις τοῦ Θησέως τὸ λέγειν τοὺς αὐτοῦ λόγους μωρούς. B. rec.

936. φεῦ τῆς βροτείας: ἤγουν ἡ βροτεία φύσις. A.

937. τί τέρμα τόλμης: τί ἔσται τέλος τοῦ θράσους, τὸ θράσος δηλονότι.

938. εἰ γὰρ κατ' ἀνδρός: εἰ γὰρ ἐπαρθήσεται ἑνὸς ἑκάστου ἀνδρὸς ὁ βίος, καὶ ὁ ἐπιγινόμενος χείρων ἔσται τοῦ πρὸ αὐτοῦ, ὀφεί-

2. καλά—κακὰ A. καλόν—κακὸν B.I.
ib. ὥσπερ] ὡς A.
ib. χρυσίου. δοκιμαζόμενον—καλόν—κακόν A. χρυσοῦ. δοκιμαζόμενος—καλός—κακός B.I.
3. τοῦ ἀνθρώπου A.B. Fl. 6. 15. τοὺς ἀνθρώπους I.
5. εἰ μὲν A. ἐὰν B.I.
ib. θελήσει A. ἠθέλησε B.I.
6. ἠλέγχετο—ἠπατᾶτο A. ἠλέγχετο ὑπὸ τῆς δικαίας, ἵνα μηδεὶς ἀπατηθῇ B.I.
7. ἦ] εἴ A.I.
8. ἀπὸ] ἐκ A.
9. Ἡσίοδος] Op. 42.
12. παρὰ] περὶ Fl. 6. 15.
ib. ἐκπλήσσομαι—Ἄλλως] ἐκπλήττομαι. λόγοι παραλλάσσοντες: παρηλλαγμένοι τοῦ καθήκοντος. οἱ γὰρ σοὶ—κατεργάζονται, ἄλλως. ἢ παραλλάσσοντες τοῦ πρέποντος ἤτοι ἔξω τοῦ εἰκότος φερόμενοι καὶ ἐκτὸς ὄντες λογισμοῦ A.
13. λόγοι οἱ] οἱ om. I.
ib. φρενῶν—ἐξεδροποιοὶ τῶν om. I.
15. οἷον A. ὥστε B.I.
21. τέλος A.B. τὸ τέλος I.
ib. τὸ θράσος δηλονότι om. A.
24. καὶ ὁ] ὁ om. I.
ib. ἐπιγινόμενος] ἐπιγενόμενος Fl. 6. 15.

λομεν δεήσεις τοῖς θεοῖς ἀνενεγκεῖν, ἵνα ἄλλην γῆν τινα ἀπομερίσῃ, ἥτις τοὺς κακοὺς χωρήσει. ἐκ τούτου διαβάλλει τὸν τρόπον τοῦ Ἱππολύτου. Ἄλλως. εἰ γὰρ κατὰ ζωὴν ἑκάστου ἀνδρὸς ἡ κακουργία αὐξάνεται, ἵνα ὁ μεταγενέστερος τοῦ πρεσβεβηκότος πανουργότερός ἐστιν, ἐχρῆν τοὺς θεοὺς ἄλλην πόλιν κτίσαι εἰς τὸ χωρῆσαι τοὺς πανούργους. Ἄλλως. εἰσὶ φύσεις ζώων πρὸς ἑτέρας φύσεις ζώων ἐναντίως ἔχουσαι, οἷον ἡ τῶν λεόντων πρὸς τὴν τῶν ἀνθρώπων, ἡ τῶν λύκων πρὸς τὴν τῶν πρεσβάτων. καὶ Ὅμηρος "ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά, οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονες." καὶ τοῖς μὲν θηρίοις δέδοται πρὸς οἴκησιν ἡ ἐρημία, τοῖς δὲ ἀνθρώποις ἡ ἡμετέρα τῶν χωρίων. ὅταν, φησὶν, εἰς ἄκρον κακίας προκύψῃ τῶν ἀνθρώπων ἡ φύσις, ἀπορήσουσιν οἱ θεοὶ ποῦ τοὺς πονηροὺς κατοικίσουσιν. εἰς τὰς ἐρημίας; ἀλλ' ἐκεῖ θῆρες. εἰς τὰ ἡμέτερα χωρία; ἀλλ' ἐκεῖ δίκαιοι ἄνθρωποι. λειπὴν ἀνάγκη ἑτέραν δεῖσθαι γῆς ἥτις τοὺς κακοὺς χωρήσει.

943. σκέψασθε δ' εἰς τόνδε: ἀποβλέψατε, φησὶν, εἰς τὸν ἐμὸν υἱὸν, ὅστις ἠθέλησε μιᾶναι τὴν ἐμὴν κοίτην, καὶ ἐλέγχεται ὑπὸ τῆς ἀποθανούσης.

946. δεῖξον δ', ἐπειδή γ' εἰς μίασμ' ἐλήλυθας: ἐλήλυθας, δεῦρό μοι ἐναντίον στῆθι, ἤγουν ἐπεὶ ὅμως εἰς τὸ μιᾶναί ἦλθες δεῦρο, δεῖξόν μοι τὸ σὸν πρόσωπον, ἢ ἐπεὶ ὅλως ἐτόλμησας ἐλθεῖν εἰς τὸν τῆς Φαίδρας ἔρωτα, ὅπερ μίασμα καλεῖ. Α.

948. σὺ δὴ θεοῖσιν: σὺ δὲ εἶ ὁ ὑπὲρ πάντας σοφὸς ὢν καὶ σώφρων, καὶ ἀκούων ἀμίαντος τῶν κακῶν. οὐδαμῶς ἐγὼ πείθομαι τοῖς σοῖς ψεύσμασι.

1. τινα om. A.
2. χωρήσει] χωρίσει Fl. 6. 15.
5. εἰς τὸ χωρῆσαι] καὶ χωρίσαι A.
6. Ἄλλως] θεοῖσι προσβαλεῖν (lemma) A.B. θεοῖσι I.
ib. ἑτέρας φύσεις] ἑτέραν φύσιν I.
8. Ὅμηρος] Il. 22, 262.
9. οὐδὲ—ὁμόφρονες om. A.
10. ἡ ἡμετέρα] Expectabam τὰ ἥμερα. MATTH. Vel τὰ ἡμερώτερα, pariterque lin. 13.
11. εἰς A.B. πρὸς I.
ib. τῶν ἀ. ἡ A.B. ἡ τῶν ἀ. I.
12. ποῦ] ποῦ A.
ib. κατοικίσουσιν Matth. κατοικήσουσιν B.I. κατοικήσωσιν A.
13. εἰς τὰς ἐρημίας Fl. 15. εἰς τὰς ἐρήμας Fl. 6. εἰς τὰς (τ' A.) ἐρήμους A.B. εἰς τοὺς ἐρήμους I.
14. ἄνθρωποι] οἱ ἄνθρωποι B.
ib. δεῖσθαι om. A.
ib. ἥτις (ἡ A.) τοὺς κακοὺς χωρήσει (χωρίσαι Fl. 6. χωρήσει ante τοὺς κακοὺς A.) addita ex A.B. Fl. 6. 15.
16. ἀποβλέψατε, φησὶν om. A.
ib. εἰς A.B. πρὸς I.

περισσός: περισσοὺς λέγει τοὺς φιλοσόφους τοὺς καθ' ἑαυτοὺς βιοτεύοντας, ὡς περισσόν τι καὶ ἐπέκεινα τῶν χυδεωτέρων ἔχοντας. B.

953. σίτοις καπήλευε: ἀντὶ τοῦ χλεύαζε, ἀποπλάνα τοὺς ἀνθρώπους, ὥστε πορίζειν τριφά· ἢ ἐν λόγοις ἐμπορεύου, καθάπερ οἱ λογέμποροι λεγόμενοι, καὶ μὴ κατὰ φύσιν φιλοσοφοῦντες, ἀλλὰ τοῖς λόγοις καπηλεύοντες καὶ τοῖς σιτίοις τοῖς δι' ἀψύχου βορᾶς ἀπάτα. ἀντὶ τοῦ ἀγνείετε, ὡς οἱ φιλόσοφοι μηδὲν κατὰ τῶν ἐσθιομένων ζώων ἢ ἑτέρων ἐσθίοντες, ἀλλὰ σῖτον μόνον, καὶ ἔχοντες τὸν Ὀρφέα βασιλέα ὡς σώφρονα. ἐπεὶ γὰρ ἔνδοξος ἦν ὁ Πυθαγόρας, ἤδη καὶ πολλοὶ ἐμψύχων ἀπέσχοντο. ἀνάγει δὲ τοὺς χρόνους· περὶ ἑαυτοῦ γὰρ βούλεται αἰνίξασθαι ὁ Εὐριπίδης. τοιοῦτος δέ ἐστιν, ἀεὶ τὰ ἡρωϊκὰ πρόσωπα εἰσάγων φιλοσοφοῦντα.

954. βάκχευε: μεγαλαύχει, τὰς μωρίας τῶν πολλῶν γραμμάτων ἐπιστάμενος. τὸ γὰρ ληφθῆναί σε σκαιὰν ἐποίησέ σου τὴν ἄσκησιν. A.B.I. εὐθυσία. Fl. 2. τιμᾶν καπούς: τιμᾶν εἰκίας τὰς ὑπὸ τῶν φορολόγων εἰσγεγραμμένας. B. rec.

958. τέθνηκεν ἥδε: εἰ δὲ νομίζεις, φησίν, ἐκφυγεῖν ταύτης ἀποθανούσης, οὐδαμῶς ἔσται τοῦτο. ἐπεὶ ἔχεις εἰς ἔλεγχον τὰ γράμματα ταῦτα ταύτης ἀποθανούσης.

962. μισεῖν σε φήσεις τήνδε: ἀλλ' ἔχεις εἰπεῖν ὅτι ἐμίσει σε ὡς νόθον ὄντα, ἐπειδὴ οἱ γνήσιοι πολέμιοι τῶν νόθων εἰσίν.

2. χυδεωτέρων] Recta scriptura χυδαιοτέρων est.
5. λ. λεγόμενοι A. λεγόμενοι λ. B.I.
ib. ἀλλὰ A.B. ἀλλ' οἱ I. et B. a m. rec.
ib. τοῖς λόγοις A. τοὺς λόγους B.I.
6. ἀπάτα] ἀπατᾷ A. ἀπάτα... B. ἀπάταν (si recte enotatum) Fl. 6. 15. ἁπλῶς I. Gl. ἀπάτα est etiam in Fl. 2.
7. μηδὲν] μὴ δὲ A.
ib. κατὰ] κατὰ τὸν Πυθαγόραν Matthiae.
ib. κατὰ—ζώων] ἀπὸ τῶν ὀρνέων ἐσθιόμενον A.
8. ἐσθίοντες om. A.
ib. σῖτον μόνον] σίτου μόνου A.
9. γὰρ om. A.
ib. ἔνδοξος] εὔδοξος I.
10. ἐμψύχων Matthiae pro ἀψύχων.
ib. ἀπέσχοντο A. ἀπέχοντο I. ἀπήχοντο B.
ib. ἑαυτοῦ A. αὐτοῦ B.I.
ib. βούλεται hic A., post αἰνίξασθαι B.I.
12. φιλοσοφοῦντα habet I. ut lemma ante βάκχευε.
13. μεγαλαύχει τὰς (πολλὰς addit A. omisso quod sequiter πολλῶν) μωρίας τῶν om. I.
17. φησὶν om. A.
ib. ἐκφυγεῖν] ἐξελεῖν A.
18. ἔσται τοῦτο om. A.
ib. εἰς] τὸν A.
19. ταῦτα om. I.
ib. ταύτης ἀποθανούσης add. A.
20. ἐμίσει σε A. ἐμίσησεν B.I.
21. τῶν νόθων εἰσίν A. εἰσὶ τοῖς νόθοις B.I.

964. κακὴν ἄρ' αὐτήν: οἱ ἔμποροι τὰ μὲν παρέχουσι, τὰ δὲ λαμβάνουσι, καὶ τοῦτο ἐπ' ὠφελείᾳ πειῶσιν. εἰ οὖν αὕτη τὴν ψυχὴν ἑαυτῆς δέδωκεν, ἵνα σε μισητὸν τῷ πατρὶ καταστήσῃ, ἄρρων ἄρα καθέστηκε, τοιαύτην ὁδὸν ἐμπορευομένη. οἱ γὰρ ἔμποροι ἐπὶ κέρδει πραγματεύονται. θέλεις, φησὶν, εἰπεῖν ὅτι ἐπραγματεύσατο, θέλουσά σε φονεῦσαι, διὰ τὸ τὰ τέκνα αὐτῆς κρατῆσαι τῆς πόλεως ταύτης. ἔμπορος δὲ διοικήτρια, προνοητικὴ, πρακτική.

967. οἶδ' ἐγὼ νέους: οἶδα ἐγὼ νεωτέρους ὅτι, ὑπηνίκα αὐτοὺς ἡ Κύπρις ταράξῃ, μωρότεροι γίνονται γυναικῶν.

970. τὸ δ' ἄρσεν αὐτούς: συγγνώμην αὐτοῖς παρέχει τὸ ἄνδρας εἶναι ἐν ἁμαρτίαις, ταῖς γυναιξὶ δὲ οὔ, ἢ τὸ καλεῖσθαι ἄρσενας, ἐπεὶ οὐκ αἰσχύνονται ἐρῶντες, ἢ τὸ θρασὺ καὶ ἀναιδές.

971. νῦν οὖν τί ταῦτα: ἐναντιούμενος οὖν ἐγὼ νῦν τοῖς σοῖς λόγοις ταῦτα λέγω, ἔχων καὶ σαφῆ μάρτυρα τὸν νεκρόν.

973. ἔξερρε γαίας: φθείρου ἐκ ταύτης τῆς γῆς φυγὰς γενόμενος, καὶ μήτε εἰς τὴν πόλιν ταύτην εἰσέλθῃς τὴν ὑπὸ Ἀθηνᾶς ᾠκοδομημένην. θεοδμήτους γὰρ τὰς θείως ᾠκοδομημένας· οὐ γὰρ ὑπὸ θεῶν ἐτειχίσθησαν.

974. θεοδμήτους: θεοδμήτους οὐ λέγει τὰς Ἀθήνας ὡς ὑπὸ θεῶν τειχισθείσας, ἀλλ' ὡς τῇ Ἀθηνᾷ ἀνατεθείσας. αἱ γὰρ Ἀθῆναι πρῶτα κατὰ τὸν μῦθον ἀναφανεῖσαι πολλοὺς τῶν θεῶν εἵλκυσαν εἰς ἔρωτα ἑαυτῶν, ἐξαιρέτως δὲ παρὰ τοὺς λοιποὺς θεοὺς Ἄρης καὶ Ἀθηνᾶ τῆς πόλεως ἤρων, καὶ ἀντεποιεῖτο ἑκάτερος. καθιστῶσιν οὖν αὐτοὺς τοὺς πολίτας τοὺς Ἀθηναίους δικαστὰς τίνι ἂν ἡ πόλις προσήκοι μᾶλλον. Ἀθηναῖοι δὲ λέγουσιν ὡς τῷ δεδειχότι σημεῖόν τι ἐν

2. εἰ οὖν om. A.
3. ἑαυτῆς A. αὐτῆς B.I.
ib. δέδωκεν B. Fl. 6. 15. ἔδωκεν A.I.
ib. σε] με I.
4. ὁδὸν om. A.
7. ἔμπορος—πρακτική om. A.
ib. πρακτική B. Fl. 6. 15. πραγματική I.
9. ταράξῃ A. Fl. 6. ταράξει B.I.
ib. γυναικῶν A. τῶν γυναικῶν B.I.
10. ἄνδρας εἶναι A. εἶναι ἀνδράσι B.I.
11. ἐν ἁμαρτίαις add. A.
ib. ἢ τὸ κ.] τὸ om. A.
ib. ἄρσενας] ἄρχοντας I.
13. οὖν ἐγὼ om. A.
14. λόγοις om. I.
ib. ἔχων A. ἔχειν B.I.
ib. σαφῆ Heathius pro σοφήν.
ib. μάρτυρα] Quod librarius in A. scripserat μαρτυρίαν ipse in μάρτυρα mutavit. μάρτυραν I., omisso τόν.
ib. τὸν νεκρόν] τὴν νεκρόν B.
15. γενόμενος A. γεγονὼς B.I.
17. θεοδμήτους—ᾠκοδομημένας om. I.

τῇ πόλει ἐκείνῳ ἀνατεθῆναι ταύτην. Ἀθηνᾶ οὖν ἐλαίαν ἐν τῇ ἀκροπόλει ἐξέφυσε καὶ οὕτως νικήσασα τὴν πόλιν ἔλαβεν ἑαυτῆς. καὶ διὰ τοῦτο τοῖς νικῶσι θαλλὸς ἐλαίας ἔκτοτε διδόμενος ἦν· ὥστε θεοδμήτους λέγει τὰς Ἀθήνας ὡς ἐπὶ τούτῳ εἰκοδομηθείσας, ὥστε ἀνακεῖσθαι τῇ θεᾷ Ἀθηνᾷ. A.

976. εἰ γὰρ παθών γε: εἰ γὰρ μὴ τιμωρήσομαί σε, οὐδὲ ἃ πρὶν κατώρθωκα ἐμὰ νομισθήσεται, ἀλλὰ μάτην ἂν ἐπαινοίμην ἐπ' αὐτοῖς.

977. οὐ μαρτυρήσει μ' Ἴσθμιος: Σίνις ἐγένετο, ὅστις εἶχε κράβατον ἀνὰ μέσον τῆς ὁδοῦ, καὶ ἐκράτει τοὺς παριόντας καὶ προσεμέτρει τῷ κραββάτῳ. καὶ εἰ μὲν ἦν μακρὸς, ἀπέκοπτεν ἐκ τῶν ποδῶν αὐτοῦ διὰ τὸ ἰσῶσαι αὐτὸν τῷ κραββάτῳ· εἰ δὲ κοντὸς ἦν, μετὰ σφύρας κατέτυπτε τοὺς πόδας αὐτοῦ, ἵνα ἐξισωθῇ τῷ κραββάτῳ. τοῦτον ἐφόνευσεν ὁ Θησεὺς μόνος. λέγει οὖν ὅτι, ἐὰν ὑπὸ σοῦ ἡττηθήσομαι, οὐ μὴ πιστεύσῃ ἐκεῖνος ὁ Ἴσθμιος ὅτι ἐγὼ αὐτὸν ἐφόνευσα.

Σίνις: υἱὸς Πολυπήμονος περὶ τὸν Ἰσθμὸν ξενικτονῶν, ὁ καὶ Πιτυοκάμπτης.

979. Σκειρωνίδες: ὁ Σκείρων ἐν Μεγάρεις ἦν, τύραννος ἄξενος,

6. εἰ γὰρ μὴ A.B. γὰρ om. I.
9. οὐ—Σίνις] οὐ μαρτυρήσει: ἰσθμοῦ. σῖνις I.
ib. Σίνις] Sinin cum Procruste confundit schol. De Procruste Diod. Sic. 14, 59. οὗτος δὲ τοὺς παριόντας ὑδωπήρους ἠνάγκαζεν ἐπί τινος κλίνης ἀναπίπτειν, καὶ τῶν μὲν μακροτέρων τὰ πρόκειτα μέρη τοῦ σώματος ἀπέκοπτε, τῶν δὲ ἐλαττόνων τοὺς πόδας προέκρουεν, ἀφ' οὗπερ Προκρούστης ὠνομάσθη. MATTH.
10. ἐκράτει A. κρατῶν B.I.
ib. παριόντας] ἀνθρώπους A.
ib. καὶ προσ. A. καὶ om. B.I.
12. διὰ τὸ ἰσῶσαι αὐτὸν A.B. Fl. 6. 15. ἵνα ἐξισωθῇ I.
ib. εἰ δὲ κοντὸς (κοντὸς B. Fl. 6. 15.) —τῷ κραββατῷ om. I.
13. κατέτυπτε] ἀπέκοπτε Fl. 6. 15.
ib. πόδας αὐτοῦ] αὐτοῦ om. A.
14. λέγει οὖν] οὕτως add. A.
15. οὐ et πιστεύσῃ om. A.
ib. ἐκεῖνος ὁ] φονευθῆναι ὑπ' ἐμοῦ add. A.
ib. Ἴσθμιος ὅτι ἐγὼ αὐτὸν ἐφόνευσα om. A.
ib. ἐγὼ add. B.
ib. ἐφόνευσα] Hic finitur scholion in B., reliquis separatim scriptis.
16. Σίνις υἱὸς A. separato scholio. ὁ σῖν δὲ οὗτος υἱὸς ἦν B. ἦν B. ἦν δὲ οὗτος ὁ σῖνις υἱὸς I.
ib. Πολυπήμονος] Legebatur Πήμονος. Πολυπήμονος filium Sinin vocat Apollod. 3, 16, 2. Paus. 1, 38. p. 92. κληστὴν Πολυπήμονα ὄνομα, Προκρούστην δὲ ἐπίκλησιν, Θησεὺς ἀπέκτεινεν. At Ovid. Ibis v. 409. "ut Sinis et Sciron et de Polypemone natus" i. e. Procrustes. MATTH.
17. Πιτυοκάμπτης] πιτοκάμπτης A.
18. Σκειρωνίδες] σκιρωνίδες A.B.
ib. Σκείρων] σκίρων A.
ib. ἦν ante ἐν Μεγάρεις A.
ib. ἄξενος Valcken. pro ξένος.

ἓν τῇ χελώνῃ ἔρριψεν ὁ Θησεύς. Σκειρωνίδες δὲ πέτραι καλοῦνται ἀπὸ τοῦ Σκείρωνος τοῦ τὴν χελώνην τρέφοντος, οὗ μέμνηται Καλλίμαχος. οὗτος ἠνάγκαζε τοὺς παριόντας νίπτειν τοὺς πόδας αὐτοῦ, καὶ λακτιζομένους ὑπ' αὐτοῦ βρῶμα ἐποίει γίνεσθαι χελώνης. Θησεὺς δὲ τοῦτον ὑπεράνω τῆς κεφαλῆς ῥίψας εἰς τὴν θάλασσαν ἐποίησε βρωθῆναι ὑπὸ τῆς χελώνης.

983. πάτερ, μένος μέν: ὦ πάτερ, ἡ μὲν δύναμίς σου μεγάλη ἐστὶ καὶ ἡ διάνοια τῶν σῶν φρενῶν· ἀλλ' ὅμως, ἐάν τις ἐρευνήσῃ τὸ πρᾶγμα τοῦτο, οὐ καλόν ἐστι. λέγει δὲ ταῦτα διὰ τὸ νοῆσαι ἐκεῖνον, ὅτι ἡ Φαίδρα αὐτοῦ ἠράσθη, καὶ οὐκ αὐτὸς ἐκείνης.

ξύστασις: πύκνωσις, λύπη. οἱ γὰρ χαίροντες ἐκ τοῦ ἐναντίου διαχέονται. A.B.

984. τὸ μέντοι πρᾶγμα: τοῦτο τὸ πρᾶγμα, ἐν ὅσῳ μέν σοι ἄδηλόν ἐστιν, ὦ πάτερ, δικεῖ δικαίους ἔχειν κατ' ἐμοῦ τοὺς λόγους· εἰ δέ τις αὐτὸ ἐξετάσει, οὐ σχήσει κατ' ἐμοῦ δικαίαν τὴν μέμψιν.

987. ἐγὼ δ' ἄκομψος: ἐγὼ δὲ ἐν τοῖς μωροῖς ἀνεπιτήδειός εἰμι, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τί ἀκούουσιν, ἐν δὲ τοῖς σοφοῖς λέξω καὶ νικήσω. ἀναιδῶν γάρ ἐστιν ἐν ὄχλῳ δημηγορεῖν εἰς ἥλικας, ἤτοι εἰς ὁμήλικας καὶ σοφούς.

988. ἔχει δὲ μοῖραν: ἀντὶ τοῦ ἔχει· ἔχει δὲ καὶ τοῦτο λόγον, ὅ ἐστιν οὐκ ἀλόγως τοῦτο εἶπον ὅτι ἄκομψος μὲν εἰς λόγον εἰμί, εἰς ἥλικας δὲ σοφώτερος· καὶ τοὐναντίον, φησίν, οἱ παρ' ὄχλῳ φαῦλοι ἐν σοφοῖς μουσικώτεροι λέγειν.

992. ὄθεν μ' ὑπῆλθες: ὄθεν με κατέβαλες πρῶτα, ὡς διαφθερῶν

2. ἀπὸ τοῦ] τοῦ om. Fl. 6. 15.
ib. τοῦ—τρέφοντος A.B. ὃς—ἔτρεφεν I.
3. οὗτος] ἄλλως. σκείρων οὗτος A.
ib. αὐτοῦ add. A.
4. ἐποίει om. A.
ib. χελώνης] τῆς χελώνης A.
5. ῥίψας] ῥίψαι I.
ib. τὴν om. A.B.
7. ὦ om. I.
8. σῶν A.B. σοφῶν I.
ib. ἐρευνήσῃ A. ἐρευνήσειε B.I.
10. ἡ add. A.
11. ἐκ τοῦ ἐναντίου om. A.
14. τοὺς om. I.
15. ἐξετάσει A.B. ἐξετάσαι I.
ib. οὐ σχήσει A.B. οὐκ ἔχει I.
18. ἀναιδῶν] ἀναιδὲς B. Fl. 6. 15.
20. ἀντὶ τοῦ add. B. Fl. 6. 15. om. A.I.
21. λόγον] ὄχλον A.
22. καὶ—] Lemma οἱ γὰρ ἐν σοφοῖσι φαῦλοι praefixum in A.
ib. φησὶν om. A.
ib. ἐν σοφοῖς A. Fl. 6. 15. ἐκ σοφῶν B.I.
24. με add. A.
ib. πρῶτα] πρῶτον B.
ib. διαφθερῶν A. ut videtur. διαφθερῶ B.I.

ἄνθρωπον ἀπολογίαν οὐκ ἔχοντα. ὅθεν με, φησὶ, διαφθεῖραι ἔδοξας, ὡς ἀπολογίαν μὴ ἔχοντα πρὸς τὰ ἐγκληθέντα. Ἄλλως. θεωρεῖς με, ὅτι οὐκ ἀναβλέπω πρὸς σὲ καὶ οὐκ ἀντιλέγω τοῖς ὑπὸ σοῦ λεγομένοις, καὶ διανοῇ ὅτι ἐγὼ αὐτὴν διέφθειρα.

ὑπῆλθες: ὑπέδραμες, παρελογίσω. Fl. 6.

993. κοὐκ ἀντιλέξοντ': περισσὸς ὁ καί. A.B.

996. ἐπίσταμαι γάρ: ἀντὶ τοῦ φίλος εἰμὶ τῶν δικαίων ἀνθρώπων, μήτ' ἀνταποδιδόναι κακὰ τοῖς χρωμένοις ἐν κακοῖς, ὅ ἐστι τοῖς μὴ ἀμυνομένοις τοὺς προαδικοῦντας. Ἄλλως. ἐπίσταμαι δὲ κτᾶσθαι φίλους τοιούτους, τοὺς μὴ ἐπιχειροῦντας, μηδὲ θέλοντας ἀδικεῖν.

998. ἀλλ' οἷσιν αἰδώς: ἀλλ' ἐν οἷς πρόσεστιν ἡ αἰσχύνη, καὶ μὴ ὁμιλοῦσι κακὰ, μηδὲ ἀντὶ κακοῦ ἀποδιδοῦσι, μηδὲ συμπράττειν τοῖς αἰσχροῖς καὶ τοῖς ταῦτα βουλευομένοις.

1000. οὐκ ἐγγελαστής: οἷον οὐχ ἕνεκα τοῦ ἐπεγγελᾶν φίλος εἰμὶ, ἀλλ' ἀρετῆς χάριν. Ἄλλως. καὶ οὐδὲ προσγελᾶν τοῖς φίλοις μου, ἀλλὰ καὶ τοῖς πρὸς ἐμὲ οὖσι, καὶ τοῖς ἄποθέν μου οὖσιν ὁ αὐτός εἰμι, καὶ τὴν αὐτὴν διάθεσιν ἔχω πρὸς ἀμφοτέρους. Ἄλλως. οὐκ εἰμὶ ἐγὼ ἐγγελαστὴς, οἷον οὐκ ἐγγελῶ τοῖς περὶ τὰ τοιαῦτα ἔχουσιν, ἀλλὰ μόνον οὐ σύνειμι αὐτοῖς.

1001. ἀλλ' αὐτὸς οὐ παροῦσι: ἀλλ' ὡς μὴ παροῦσιν αὐτοῖς φίλοις ἐχρώμην καὶ ἐγγὺς ἦν. A.B. αὐτός: ὁ ὅμοιος. A. φίλος: γρ. καὶ φίλοις. B.

1002. ἑνὸς δ' ἀθίκτος: ἑνὸς δὲ πράγματός εἰμι ἀμίαντος, ἐν ᾧ καὶ νομίζεις με μιαθῆναι. μέχρι γὰρ ταύτης τῆς ἡμέρας ἀμίαντον σῶμα ἔχω καὶ τοῦ λέχους οὐκ οἶδα πρᾶξιν.

1005. γραφῇ τε λεύσσων: καὶ ἐν τοῖς ἀναγνώσμασιν ὁρῶν· καὶ ὅμως οὐδὲ ἐκεῖνο κατασκοπῶ καλῶς, οὕτως ὢν ἀμίαντος.

1. ἄνθρωπον om. A.
2. θεωρεῖς A. ὁρᾷς B.I.
3. καὶ οὐκ A. οὐκ om. B.I.
ib. ὑπὸ σοῦ post λεγομένοις A
ib. λεγομένοις A.B. εἰρημένοις I.
4. διανοῇ] θέλεις εἰπεῖν A.
8. μήτ'] Imo μηδ'.
ib. κακοῖς A.B. αὐτοῖς I.
10. θέλοντας A. ἐθέλοντας B.I.
14. βουλευομένοις] βουλομένοις A.
16. καὶ οὐδὲ προσγελῶν] ὡς οὐδὲ προστελῶν I.
18. εἰμι om. A.
19 εἰμὶ ἐγὼ A.B. ἐγώ εἰμι I.
25. μιαθῆναι A.B. κηφθῆναι I.
ib. ἀμίαντον σῶμα ἔχω A.B. Fl. 6.
15. ἀμίαντος λέχους εἰμὶ I.
27. ὁρᾷν Matth. pro ὁρᾷ.
28. ὢν ἀμίαντος] ἀμίαντός εἰμι I.

1010. ἢ σὸν οἰκήσειν δόμον: ἢ τοὺς σοὺς γάμους λαβεῖν προσεδόκησα καὶ τὸν σὸν οἶκον ὥσπερ κληρονομίαν τινὰ λαβεῖν. ἢ οὕτως, ἠθέλησα μετὰ τοῦ δόμου καὶ τὴν ἔγκληρον καὶ εὔπορόν σου λαβεῖν εὐνήν. Λ.

1011. ἔγκληρον εὐνήν: πρὸς τοῖς οἴκοις λαβών, καὶ τὴν εὔπορόν σου κοίτην. Ἄλλως. μονοκληρονόμον εἰ προσεδόκησα πατρὸς γυναῖκα λαμβάνειν, μάταιος ἄρα ἦμην.

1012. οὐδαμοῦ μὲν οὖν φρενῶν: οὐδαμοῦ, φησὶ, συνέσεως ἦμην ἐγὼ τοιαῦτα ἐννοούμενος.

1013. ἀλλ' ὡς τυραννεῖν: οὐδαμῶς σώφρων ἐπιθυμεῖ βασιλεύειν, εἰ μὴ ἐκστῇ τῶν φρενῶν. τὸ δὲ ἐξῆς, εἰ μὴ τὰς φρένας διέφθορε τῶν θνητῶν ἡ μοναρχία, οἷς ἀνδάνει ἡ μοναρχία. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ μοναρχία.

1016. ἐγὼ δ' ἀγῶνας μέν: ἐγὼ δὲ πρῶτος θέλω εἶναι ἐν τῇ κυνηγεσίᾳ καὶ ἐν τῇ φιλοσοφίᾳ, ἐν δὲ τῇ πόλει δεύτερος.

1019. πράσσειν γὰρ εὖ: ὁ γὰρ ἐν ἀγῶσι τοιοῦτος ὢν καλῶς πράττει καὶ ἀκίνδυνός ἐστιν, ὁ δὲ πόλεως πρῶτος ὢν κίνδυνον ἔχει. οἱ γὰρ βασιλεύοντες ἐν κινδύνοις διάγουσιν.

1022. εἰ μὲν γὰρ ἦν μοι: εἰ γὰρ, φησὶ, καὶ ἕτερος ἦν, τὰ αὐτά μοι ἔλεγε καὶ ἐμαρτύρει, (τοῦτο γὰρ δηλοῖ τὸ οἷός εἰμ' ἐγὼ) οἷα ἐγὼ, καὶ ἦν ὁ ἀγὼν ζώσης αὐτῆς. Ἄλλως. εἰ παρῆν μοι μάρτυς δίκαιος, οἷός εἰμι ἐγὼ, ὅ ἐστιν, εἰ εὐπόρησα μάρτυρος ἀληθοῦς, ὁμοίου τοῖς ἡμετέροις τρόποις.

1027. μηδ' ἂν θελῆσαι: μηδὲ εἰς ἔννοιαν ἐλθεῖν ποτε τοῦ μιγῆναι τῇ σῇ κοίτῃ, οὐχ ὅτι λέγεις με καὶ φθεῖραι αὐτήν.

1028. ἦ τἄρ' ὀλοίμην: διαζευκτικὸς ὁ ἤ, ἢ ὀλοίμην, εἰ κακὸς φανήσομαι. B.I.

1032. εἰ δ' ἥδε θειμαίνουσ': εἰ δὲ ἑαυτὴν ἐφόνευσε, φοβουμένη,

5. τοῖς οἴκοις] τοὺς οἴκους A.
8. Lemma ego addidi. In I. λαμβάνειν. μάταιος ἄρ' ἦν (ἄρα ἦν B. ἄρα ἦμην A.): οὐδαμοῦ—.
ib. ἦμην] ἦν A.
10. οὐδαμῶς] οὐδαμοῦ A.
11. διέφθορε A.B. Fl. 6. 15. διέφθειρε I.
12. οἷς ἁ. ἡ μ. add. B. Fl. 6. 15.
14. δὲ add. A.
ib. ἐν post εἶναι om. I.
17. δὲ] γὰρ A.
18. ἐν om. A.B.
20. ἔλεγε καὶ] λέγων A.
ib. εἰμ' ἐγώ] ἐγὼ εἰμὶ A. hic et l. 22.
ib. οἷα ἐγὼ om. I.
21. εἰ παρῆν] εἴπερ ἦν μοι I.
25. οὐχ ὅτι—αὐτήν om. A.
28. ἐφόνευσε φοβουμένη] φοβουμένη ἐφόνευσεν A.

ἵνα μὴ κακὴν δόξαν λάβῃ διὰ τὸ ἐρασθῆναι τοῦ υἱοῦ τοῦ ἀνδρὸς αὐτῆς, οὐκ οἶδα. A. Fl. 6. 15.

1034. ἐσωφρόνησεν: δυνατὸν ἐν ἐρωτήσει, ἵν' ᾖ οὕτως· ἡ Φαίδρα, ὡς σὺ φῂς, ἐσωφρόνησε, καίτοι μὴ φύσει ὑπάρχουσα τοιαύτη, ἐγὼ δὲ ὁ ἔχων οὐκ ἐσωφρόνησα, ἀλλ' ἐβουλήθην αὐτῇ μιγῆναι αὐτῆς μὴ βουλομένης; A.B.I. Ἄλλως. τινὲς δὲ κατ' ἐράτησιν οὕτως· ἆρα ἡ Φαίδρα μὴ οὐκ ἔχουσα σωφρονεῖν ἐσωφρόνησεν, ἐγὼ δὲ ὁ δυνάμενος σωφρονεῖν οὐκ ἐσωφρόνουν; Ἄλλως. ἐσωφρόνησεν ἡ Φαίδρα εἰπεῖσα τὸν ἔρωτα, καίτοι οὐκ εἶχε σωφρονεῖν τοῦ ἔρωτος νικωμένη· ἐγὼ δὲ ἔχων τὴν σωφροσύνην οὐ καλῶς ἐχρησάμην αὐτῇ διὰ τὸ μὴ αὐτίκα μηνῦσαί σοι τὰ κατ' αὐτὴν καὶ δηλῶσαί σοι. A.

οὐκ ἔχουσα σωφρονεῖν: γρ. οὐχ ἑκοῦσα. A.B. ἀποθανεῖσα, φησί, μὴ δυναμένη βαστάζειν τὸν ἔρωτα. A.

1035. ἡμεῖς δ' ἔχοντες: ἡμεῖς δὲ σιωπήσαντες οὐ καλῶς ἐποιήσαμεν. τὸ γὰρ ἔχοντες ἀντὶ τοῦ σιωπήσαντες, ἢ τὴν σωφροσύνην φυλάξαντες.

1036. ἀρκοῦσαν εἶπας: ἀπολογίαν ἀρκοῦσαν εἶπας τοῦ μὴ φονεῦσαί σε τὴν Φαίδραν.

ἀποστροφήν: ἀποβολήν, ἀπολογίαν. A. λύσιν, τέλος. B.

1038. ἐπῳδός: ἀντὶ τοῦ ἀπατεών, φαρμάκων ἔμπειρος. εὐοργησίᾳ δὲ πραότητι, βαθύτητι. οὕτως Ἀττικῶς. τινὲς δὲ εὐηθείᾳ, ἀντὶ τοῦ εὐήθης εἶναι ὑποκρινόμενος.

1039. εὐοργησίᾳ: ἀνεξικακίᾳ. B.

1041. καὶ σοῦ γε κάρτα: θαυμάζω σε, ὦ πάτερ, εἰ ταῦτα καρτερεῖς. εἰ γὰρ ἐγὼ πατὴρ σὸς ἤμην, οὐδαμῶς ἐφυγάδευον. ἀλλ' ἐφόνευον ἄν σε, εἰ ὑπελάμβανον τὴν γυναῖκά μου διαφθείραντα.

1046. προύθηκας: ἐπεκύρωσας. A.

1047. ταχὺς γὰρ Ἅιδης ᾗστος: ἀντὶ τοῦ ἥδιστος. ταχὺς δὲ ἀντὶ τοῦ ὀξύς. οἱ γὰρ ἄδικοι ταχὺ τὸν θάνατον λαμβάνοντες χαίρουσι, διὰ τὸ μὴ κρίνεσθαι αὐτοὺς πολλάκις.

1. διὰ post ἐρασθῆναι ponit A.
15. τὸ γὰρ—σιωπήσαντες om. A.
18. σε add. A.
20. ἀντὶ τοῦ—ἔμπειρος om. A.
ib. ἔμπειρος] ἔμπορος I.
ib. εὐοργησίᾳ A.B. Fl. 6. 15. εὐορκησίᾳ I.
21. εὐηθείᾳ] εὐηθίαν I.
25. σὸς ἤμην B. σου ἤμην A. ἤμην σὸς I.
ib. ἐφυγάδευον] σε add. A.
26. ἄν σε om. A.
ib. τὴν γυναῖκα post διαφθείραντα A.
ib. διαφθείραντα A. διαφθείροντα B.I.

1050. μισθός: ἐν πολλοῖς οὐ φέρεται οὗτος ὁ ἴαμβος. B.

1051. οὐδὲ μηνυτὴν χρόνον: οὐδὲ περιμένεις ὀλίγον χρόνον, ἵνα μάθῃς τὸ ἀσφαλὲς, ἀλλ' οὕτως με διώκεις;

1057. ἡ δέλτος ἥδε: αὕτη ἡ δέλτος οὐκ ἔστιν ἀπὸ μαντείας κατεσκευασμένη, ἀλλὰ κατηγορεῖ σου· ἥνπερ ἐγὼ δέχομαι, καὶ ταύτῃ πιστεύω. τοὺς δὲ μάντεις πολλάκις ἐγὼ χαίρειν λέγω, ἀντὶ τοῦ εἰμώζειν. οὐ παρὰ μάντεων, φησὶ, μαθοῦσα, ἀλλ' αὐτὴ παθοῦσα, καὶ πλέον ἄλλων εἰδυῖα. κλῆρος δέ ἐστι τὸ σημεῖον τὸ διδόμενον τοῖς μαντευομένοις, ἀφ' ὧν οἱ μάντεις ὁρμώμενοι προφητεύουσι περὶ τῶν μελλόντων. τινὲς δὲ τῶν μάντεων ὄρνισι προσέχουσιν, οἱ δὲ κλήροις. κλῆρον οὖν τὴν μαντείαν. εἰσὶ γάρ τινες κλήρῳ μαντευόμενοι, ὅ ἐστι λαχμοῖς. A.B.I. κλῆρι λέγονται τὰ σημεῖα τῆς πτήσεως τῶν οἰωνῶν, ἐξ ὧν οἱ μάντεις προλέγουσιν. A.

1062. οὐ δῆτα πάντως: ὑφὲν ἀναγνωστέον. καὶ περιττεύει ἡ μία ἄρνησις. οὐ δῆτα: ἀντὶ τοῦ εὐδαμῶς, εἰ λύσω τὸν ὅρκον, ἐγχωρεῖ μὴ πεῖσαί με, καὶ μάτην λύσω τὸν ὅρκον, ὃν ὤμοσα τῇ τροφῷ μηδὲν εἰπεῖν. Ἄλλως. πολλάκις, φησὶν, ἂν εἶπω, οὐ πείθω τι καὶ τοὺς ὅρκους παραβαίνω. A.B.I. Ἄλλως. οὐκ ἄν ποτε πείσω τοὺς περὶ Θησέα, οὕς με δεῖ πεῖσαι, κἂν ἀποκαλύψω τὸν ἔρωτα τῆς Φαίδρας, ὥστε μάτην ἂν συγχέαιμι τοὺς ὅρκους, οὓς πρὸς τὴν τροφὸν τῆς Φαίδρας ἐποιησάμην. A.

1065. οὐκ εἶ πατρῴας: τὸ εἶμι τὸ πορεύομαι, καὶ τὸ εἰμί τὸ ὑπάρχω ἐν τῇ συνηθείᾳ κατὰ τὸ δεύτερον πρόσωπον ἀποβολὴν πάσχουσι τοῦ σ παραλόγως. φασὶ γὰρ ποῖ ἄπει καὶ ποῦ εἶ. B.I.

1066. τίνος ξένων: τίνος τῶν ξένων εἰς τοὺς οἴκους πορεύσομαι; διὰ τοιαύτην αἰτίαν φυγόντα τίς με ἐν οἴκῳ εἰσδέξεται; B.I.

2. περιμένεις] περιμείνῃς A.

5. ἥνπερ (ἣν A.) ἐγὼ] πιστεύω καὶ add. A., omisso καὶ ταύτῃ πιστεύω.

7. μάντεων A.B. μάντεως I.

9. προφητεύουσι] προφητεύονται Fl. 6. 15.

ib. περὶ τῶν] περὶ τινὸς I.

10. τινὲς A.B. τῶν I.

ib. προσέχουσιν] προέχουσιν A.

11. οὖν om. A.

14. Post lemma I. add. οὐ δῆτα πάντων (sic hic et in lemmate), quae om. A.B.

15. εἰ addidit Matth.

16. μὴ om. A.

ib. με] σε A.

17. μηδὲν] μηδενὶ A.

18. καὶ] διὰ (i. e. διὰ τὸ) καὶ A.

ib. παραβαίνω] παραβαίνειν A. ut videtur.

24. παραλόγως B. Fl. 6. 15. περὶ λόγους I.

25. τίνος alterum om. I.

1068. ὅστις γυναικῶν λυμεῶνας: ὅστις ἥδεται κομίζων τοὺς ξένους λυμεῶνας τῶν γυναικῶν καὶ συνεργάτας τῶν κακῶν. B.I.

1074. ὦ δώματ', εἴθε: ὦ οἰκήματα, εἴθε φωνὴν ἀφίετε καὶ ἐμαρτυρήσατέ μοι, εἰ τοιοῦτος ἀνὴρ γέγονα.

1076. εἰς τοὺς ἀφώνους: γράφεται καὶ σοφῶς, ἵν' ᾖ σοφιστικῶς καὶ τεχνικῶς. εἰς τὸ φεύγεις ὑποστικτέον. τὸ δὲ λοιπὸν κατὰ ἀπόφασιν, εἰς τοὺς ἀφώνους μάρτυρας φεύγεις, ὃ ἔστιν ἀφώνους μάρτυρας ἐπικαλῇ. καὶ τὸ κατὰ τὴν Φαίδραν πρᾶγμα μὴ φαινόμενον σαφῶς μηνύει τὸ κακόν.

1078. εἴθ' ἦν ἐμαυτόν: εἴθε δυνατὸν ἦν ἐμαυτὸν ἄλλον γενόμενον προσβλέψαι δακρύοντα καὶ κατιδεῖν ἐν ὁποίοις κακοῖς εἰμι. τοῦτο δὲ λέγει διὰ τὸ μὴ τὸν Θησέα προσβλέποντα αὐτὸν οἰκτείρειν.

1080. πολλῷ γε μᾶλλον: σαυτὸν ἐμελέτησας μᾶλλον σέβειν ὑπὲρ τοὺς τεκόντας ἢ καλῶς ποιεῖν, ὦν δίκαιος, ὡς αὐτὸς λέγεις· μᾶλλον σεαυτὸν ἤσκησας σέβειν.

1084. οἰχ ἕλξετ' αὐτόν: οὐ διώκετε αὐτὸν ἐκ ταύτης τῆς γῆς, οὐκ ἐκ πολλοῦ χρόνου εἶπον ὑμῖν.

1085. πάλαι ξενοῦσθαι: ἐκβάλλειν καὶ ἀποξενοῦν. A. ἐπὶ ξένης γῆς διατρίβειν, ξένος ἀντὶ πολίτου γίνεσθαι. ἔστι δὲ Ἀττικόν.

1086. κλαίων τις: οὐχ ὡς ἀντιτείνων λέγει, ἀλλ' ὡς ἐξ ἐλευθέρας χειρὸς ἀθεῖσθαι βουλόμενος· ὕντως ἐάν μέ τις διώξῃ ἐκ τῶν δούλων, κλαίων ἀναχωρήσει· ἐὰν δὲ θέλῃς σὺ, δίωξόν με ἐκ τῆς γῆς ταύτης.

1090. ἄραρεν: ἀντὶ τοῦ ἔδοξε, κέκριται. B.

1093. σύνθακε: συγκάθεδρε. B. rec.

φευξούμεσθα: εἰς Ἀττικὴν φησι φεύγειν, ὅτι ὑπὸ μίαν βασι-

1. ἥδεται B. ἥδει I.
2. συνεργάτας B. ξυνεργάτας I.
3. οἰκήματα] δώματα A.
4. ἐμαρτυρήσατε] μαρτυρήσατε A.
5. καὶ om. A.
6. φεύγεις addidit Matth.
7. ὃ ἔστι ἀφώνους μάρτυρας add. A.B. Fl. 6. 15., om. I.
8. ἐπικαλῇ A.B. ἐπικαλεῖ Fl. 6. 15. I.
ib. καὶ τὸ A. τὸ δὲ B.I.
ib. τὴν om. I.
ib. φαινόμενον A. φθεγγόμενον B.I.
13. σαυτὸν ἐμελέτησας om. A.
15. μᾶλλον—σέβειν om. A.
16. οὐ—τῆς γῆς om. A.
17. ὑμῖν] ἡμῖν διώξω αὐτόν A.
21. ἀντιτείνων A.B. Fl. 6. 15. ἀντειπεῖν I.
ib. ἐλευθέρας] ἐλευθερίας I.
22. τῶν add. A.
27. φησι] φασι I.

λείαν ἦσαν Ἀττική τε καὶ Τροιζήν. καὶ ἑτέραν λέγων ἑκατέραν ὠνόμασεν. καὶ Ἐρεχθέως δὲ γῆν τὸ αὐτὸ λέγει. Ἐρεχθεὺς γὰρ ἐβασίλευσεν εἰς τὰς Ἀθήνας. ἐγκαθῆβᾶν δὲ ἐννεάσαι, ἡβητὰς τρέφειν, διὰ τὸ ἔχειν τόπους εἰς τὸ ἡβᾶν ἐπιτηδείους, ὅθεν καὶ ἡβητήρια τὰ γυμνάσια.

1102. ἦ μέγα μοι τὰ θεῶν: γυναῖκες μέν εἰσιν αἱ τοῦ χοροῦ, μεταφέρει δὲ τὸ πρόσωπον ἐφ' ἑαυτοῦ ὁ ποιητής, καταλιπὼν τὰ χορικὰ πρόσωπα· μετοχαῖς γὰρ ἀρσενικαῖς κέχρηται. τὸ δέ μοι ἀντὶ τοῦ μου, ὡς τὸ "μητέρι μοι μνηστῆρες." τὸ δὲ ἑξῆς· ὕντως μου τὰς λύπας μεγάλως ἀφανεῖς καθίστησι τὰ περὶ θεῶν μελεδήματα, ὅταν εἰς φρένας ἔλθῃ. ὁρῶν δὲ ὁ χορὸς εὐσεβῆ μὲν ὄντα τὸν Ἱππόλυτον. κακῶς δὲ πράττοντα παρὰ τὸ δίκαιον, θαυμάζει τοῦ βίου τὸ ἀνώμαλον, καὶ ταράττεσθαί φησι τὴν διάνοιαν, ὑποπτεύων μὲν τὸ θεῖον προνοεῖσθαι τῶν ἀνθρωπίνων, ὁρῶν δὲ θείας προνοίας μὴ μετέχοντα τῶν ἀνθρώπων τὰ πράγματα, ἐκ τοῦ τοὺς μὲν ἀδίκους εὖ πράττειν, τοὺς δὲ δικαίους παρὰ τὴν ἀξίαν πάσχειν κακῶς. ὁ δὲ νοῦς, ὅταν, φησὶ, θεοὺς λογίσωμαι, πάσης λύπης ἀπαλλάσσομαι, ἐνθυμούμενος ὅτι ἀδεκάστως τὰ πράγματα κρίνουσι, τὰ πρὸς ἀξίαν ἑκάστῳ παρέχοντες. καὶ δικῶν κατὰ τοῦτο συνετὸς εἶναι ἄφρων ἐλέγχομαι, ὁρῶν τοῦ βίου τὴν σύγχυσιν. σύνεσιν γάρ τινα ἐν ταῖς ἐλπίσιν ἔχων ἐλαττοῦμαι καὶ ἀπολείπομαι. βλέπων ἔν τε ταῖς τύχαις τῶν ἀνθρώπων καὶ ἐν τοῖς ἔργοις, τουτέστιν ὑπηνίκα ἂν τὰ ἀνθρώπινα ἐνοήσω, ἐλαττοῦμαι, καὶ οὐ μέγα φρονῶ. A.B.I. Ἄλλως. ὑπηνίκα μοι τὰ τῶν θεῶν προνοήματα καὶ αἱ διοικήσεις, καθ' ἃς τῶν ἀνθρωπίνων ἐπιστατοῦσι πραγμάτων περὶ τὴν ἐμὴν διάνοιαν γένωνται καὶ ἀνασκοπήσω αὐτὰ, μέγα μέρος τῆς λύπης ἀφαιροῦμαι, πρόνοιαν νομίζων εἶναι τὴν δικαίως τὰ ἀνθρώπων οἰκονομοῦσαν. βλέπων δὲ πάλιν εἰς τὰς τῶν

2. καὶ Ἐρεχθέως—Ἀθήνας om. A.
ib. καὶ ἐρεχθέως δὲ γῆν τὸ B. Fl.
6. 15. καὶ ἐρεχθεὺς δὲ τὸ I.
3. δὲ ἐννεάσαι om. A.
ib. ἐννεάσαι] ἐννεᾶσαι B. ἐννεᾶσθαι I.
4. εἰς A. πρὸς B.I.
ib. ἡβᾶν A.B. ἡβᾶναι I.
8. χορικὰ] χωρικὰ, superscripto θηλικὰ, A. χωρικὰ etiam I.
ib. γὰρ om. A.
9. ὡς τὸ] Hom. Od. 2, 50.
10. μου] μὲν A.
ib. ἀφανεῖς] ἀφανᾶς I.
14. ἀνθρωπίνων] ἀνθρώπων I.
15. ἐκ τοῦ τοὺς] τὰ ἐκ τούτου μὲν A.
ib. ἀδίκους om. A.B.
16. τὴν om. A.
ib. πάσχειν B. Fl. 6. 15. πράττειν A.I.
20. ἐν ταῖς] ἐν om. I.
22. ἂν τὰ A.B. αὐτὰ I.

ἀνθρώπων τύχας καὶ εἰς τὰς πράξεις αὐτῶν, καὶ ὁρῶν τοὺς μὲν κακοὺς εὐτυχοῦντας, τοὺς δὲ ἀγαθοὺς ἀτυχοῦντας, λείπεμαι κατὰ πολὺ καὶ ἄφρων ἐλέγχομαι καὶ ἀμαθής, κἂν νομίζω καὶ ἐλπίζω ὅτι σύνεσίν τινα καὶ νόησιν τῶν ἀνθρωπίνων ἔχω πραγμάτων. Ἄλλως. ὑπηνίκα, φησὶν, ἐνθυμοῦμαι ὅτι οἱ θεοὶ προνοοῦνται τῶν ἀνθρώπων, μεγάλως τῆς λύπης ἀναχαιτίζομαι. A.

1105. ξύνεσιν: σοφίαν δέ τινα ἐν τῇ διανοίᾳ ἔχων, ὡς πρόνοιαν θεῶν λογιζόμενος, ἐκπίπτω ταύτης, ἔν τε ταῖς τύχαις τῶν θνητῶν καὶ ἐν ἔργμασι λεύσσων, τουτέστιν ἐν τοῖς ἔργοις βλέπων. A.B.I. Ἄλλως. νόησιν δέ τινα τῶν ἀνθρωπίνων πραγμάτων ἐλπίζων ἔχειν τῇ διανοίᾳ ἐλέγχομαι κατὰ πολὺ τῆς ἀληθείας λειπόμενος. A. ἐλπίδι κενθων: ἐν ἐλπίδι δὲ, φησὶ. τιθέμενος τὰ πράγματα, ἀπολείπομαι τῆς ἐλπίδος· οὐ γὰρ ἀποβαίνει καθὼς ἐλπίζω. Fl. 6.

1108. ἄλλα γάρ: ἄλλα γὰρ ἀλλοθεν πράγματα ἐναλλάσσεται, οἷον πολλὴ μεταβολὴ τῶν ἀνθρωπίνων πραγμάτων.

1109. μετὰ δ' ἵσταται: μεταβαίνει εἰς πολλὰ πλανώμενος τοῖς ἀνθρώποις ὁ βίος, οἷον οὐ μένει βέβαιος ὁ αἰὼν, ἀλλὰ μεταβάλλεται.

1110. πολυπλάνητος: οἷον, τὸ ζῆν ἀεὶ μεταβάλλεται πολυπλάνητον ὂν τοῖς ἀνθρώποις.

1113. καὶ ἀκήρατον ἄλγεσι: καὶ ἐν κακοῖς ἄφθαρτον καὶ ἀβλαβῆ τὴν ψυχὴν παράσχῃ. A.

1114. δόξα δέ: ὅ ἐστι μὴ σχῶ μεγάλην δόξαν, μήτε μικρὰν, ἀλλὰ μέσην καὶ σεμνήν. παράσημος δὲ ἀντὶ τοῦ ἀδόκιμος, ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων. A.B.I. Ἄλλως. εἰς ἄκρον τελείᾳ ἐν εὐτυχίᾳ, ἤτοι παρὰ τὸ σημεῖον τοῦ ἀτρεκοῦς. τοῦτο δὲ λέγει ὅτι εἴθε μοι ἐδόθη βίος εὐτυχὴς καὶ ἄλυπος, καὶ μήτε βασι-

7. ὡς πρόνοιαν] καθ' ὃ πρόνοια A.
9. λεύσσων om. A.
ib. τουτέστιν—βλέπων addidi ex A.
14. ἄλλα γὰρ ἄλλοθεν add. A.
16. μεταβαίνει hic A.B., post πλανώμενος I.
ib. τοῖς ἀνθρώποις add. A.B.
17. βέβαιος A. βέβαιος τοῖς ἀνθρώποις B.I.
19. πολυπλάνητος: οἷον τὸ A.B. ἄλλως. τὸ I.
23. ὅ ἐστι A. ἀντὶ τοῦ B. Fl. 6. 15. οἷον I.
ib. σχῶ] σχὼν A.
24. σεμνήν] καλήν A.
ib. παράσημος δὲ] μήτ' ἂν παράσημος Λ.
25. κιβδήλων om. A.

λείπ ἐτιμήθην· αὕτη γάρ ἐστιν ἡ ἀτρεκὴς καὶ ὑπερφέρουσα δόξα· μήτε κατὰ τὸν βίον πενία ἐσχάτη καὶ ἀτυχία καὶ ἀδοξία καὶ θλῖψις. διὰ τοῦτο γὰρ τῇ παράσημος λέξει ἐχρήσατο, κατ' ἐναντίωσιν τοῦ ἀτρεκὴς, ἤτοι παρὰ τὸ σημεῖον καὶ τὸ σύμβολον τῆς ἀτρεκότητος καὶ τῆς ὑπερφερούσης δόξης. A. δόκησις δὲ μήτε ἀτρεκὴς ἀντὶ τοῦ ἀκριβὴς, μεγάλη, ἄκρα. B. παράσημος: ἀδόκιμος. B. οἰκτρὰ, εὐτελής. B.

1115. ῥᾴδια δ' ἦθεα: ἀντὶ τοῦ εὐχερῆ καὶ ἄλυπα ἤθη ἔχουσα καὶ προβαίνουσα εὐτυχοίην ἀεί. Ἄλλως. εὐχερῶς δὲ τὰ συνήθη μεταβάλλουσα τὸν ὀλίγον χρόνον εὐτυχοίην τὸν βίον. τὸ δὲ ἑξῆς, εὔκολον δὲ ζωὴν εἰς τὸν καθ' ἡμέραν χρόνον ἀεὶ διαδεχόμην, καὶ σὺν ἄλλοις τὸν βίον εὐτυχοίην. δύναται δὲ καὶ ἀντὶ ἐνεργητικοῦ κεῖσθαι τὸ μεταβαλλομένη ἀντὶ τοῦ μεταβάλλουσα. δύναται δὲ πάλιν εἶναι καὶ τὰ ἤθη μεταβαλλομένη.

1116. μεταβαλλομένα χρόνον ἀεί; ἀεὶ τὸν αὔριον χρόνον, ἤτοι τὴν ἐφεξῆς ἡμέραν, μεταβαλλομένη καὶ μεταπίπτουσα εἰς συνήθεις διαγωγάς. A.

1117. βίον συνευτυχοίην: καλῶς ἡ σύν ἔγκειται πρόθεσις, δηλοῦσα ὡς οὐκ ἄκραν εὔχεται εὐδαιμονίαν, οὐδὲ πλευνεκτεῖν τῶν ἄλλων, ἀλλὰ σὺν ἄλλοις εὐπραγεῖν κατὰ τὸν βίον.

1118. οὐκέτι γὰρ καθαράν: ἀντὶ τοῦ οὐκ ἀτάραχον, οὐκ ἄφοβον, διὸ καὶ μετὰ φυλακῆς ηὐξάμην, οὐ δυνάμενος, φησὶν, ἀνενέγκαι τῇ προνοίᾳ τῶν θεῶν τὰ πράγματα διὰ τὸν Ἱππόλυτον, ὃς ἀδίκως ἐτιμωρεῖτο. Ἄλλως. ἄδηλον εἰς θεοὺς δηλονότι. τοῦτο δὲ ἐν τοῖς ἀνθρώποις συναπτέον, ἵν' ᾖ οὕτως· ἐκπίπτω τοῦ ἀνάγειν εἰς θεοὺς πρόνοιαν τῶν ἀνθρωπίνων πραγμάτων. οὐκ ἔτι γὰρ καθαρὰν φρένα ἔχω, του-

10. δὲ om. A.

11. διαδεχόμην—ἄλλοις] διαδεχόμενος τοῖς ἄλλοις A.

12. δύναται δὲ καὶ ἀ. ἐ. κεῖσθαι] κεῖται καὶ ἀ. ἐ. A.

13. τὸ μ. ἀντὶ τοῦ] μ. ὅ ἐστι A.

ib. πάλιν εἶναι om. A.

14. μεταβαλλομένη A. B. Fl. 6. μεταβαλλομένην I. "Videtur hoc dicere: jungi posse vel τὸν αὔρ. χρόνον μεταβ. vel τὰ ἤθη μεταβ." MATTH.

18. βίον] βίῳ A.

ib. ἔγκειται—βίον] Brevius in A. ἔγκειται ὅτι οὐ πλευνεκτεῖν θέλω, ἀλλὰ σὺν ἄλλοις εὐτυχεῖν. κατὰ om. I.

21. ἀντὶ τοῦ om. A.

ib. οὐκ ἄφοβον A. B. καὶ ἄφαβον I.

22. οὐ δυνάμενος—ἐτιμωμεῖτο addidi ex A.

24. ἐν τοῖς ἀνθρώποις om. A. in lacuna.

25. ἐκπίπτω] ἐκπίπτειν A.

ib. πρόνοιαν] προνοᾶ A.

τέστιν οὐκ ἔχω γὰρ ἀτάραχιν φρένα ἐπὶ τῷ παρόντι, ὅτι ἀδίκως ἀπόλλυται ὁ Ἱππόλυτος.

1121. ἐπεὶ τὸν Ἑλλανίας: ἀντὶ τοῦ ἀφ' οὗ τὸν τῆς Ἑλληνίδος γῆς. B. τῆς Ἑλληνικῆς χώρας τῶν Ἀθηναίων. A. τὸν ἐπιφανέστατον τῆς Ἀττικῆς. καὶ Ὅμηρος " εὐρυάγυιαν Ἀθήνην." B. ἐπεὶ τὸν Ἑλληνικῆς γῆς φανερώτατον ἀστέρα, καὶ τὰ ἑξῆς. ἀστέρα δὲ λέγει τὸν Ἱππόλυτον διὰ τὸ ἐπιφανὲς τῆς παρθενίας αὐτοῦ.

1127. ὦ ψάμαθοι: ὦ αἰγιαλοὶ τῆς λευκῆς θαλάσσης ἔνθα ἐγυμνάζετο. A.B.

1128. ὅθι κυνῶν ὠκυπόδων ἐπέβας μέτα: ὑπερβατόν, ὅθι μετὰ κυνῶν ἐπέβης ὠκυπόδων, θεᾶς θῆρας ἐναίρων, τοὺς περὶ τὴν Ἄρτεμιν, ὅ ἐστι τοὺς ὑποτεταγμένους τῇ Ἀρτέμιδι.

θεᾶς μέτα: μετὰ τῆς θεᾶς Ἀρτέμιδος τοὺς θῆρας φονεύων· ἱεροὶ γὰρ αὐτῆς οὗτοι. A.B. ἐναίρων: κρατῶν. B. rec.

1130. Δίκτυνναν ἀμφὶ σεμνάν: Δίκτυννα ἐκλήθη ἡ Ἄρτεμις διὰ τοιαύτην αἰτίαν. Βριτόμαρτις νύμφη ἐγένετο συγκυνηγέτις τῇ Ἀρτέμιδι. ταύτης ἠράσθη Μίνως, καὶ κατεδίωξεν αὐτὴν ἐπὶ ἡμέρας ἐννέα. καὶ μὴ ὑποφέρουσα ἔτι ἔρριψεν αὑτὴν ἀπὸ τοῦ ὄρους εἰς τὴν θάλασσαν, καὶ ἐσώθη ἐν τοῖς δικτύοις, καὶ τούτου χάριν ἐκλήθη ἡ Ἄρτεμις Δίκτυννα. A.B.I. Ἄλλως. οἱ μὲν Δίκτυνναν αὐτήν φασι τὴν Ἄρτεμιν, οἱ δὲ Ἑκάτην, οἱ δέ τινα ἑτέραν Δίκτυνναν παρεπομένην τῇ Ἀρτέμιδι. Δίκτυννα τούτῳ τῷ ὀνόματι καλεῖται παρόσον διὰ

1. οὐκ ἔχω γὰρ] γὰρ οὐκ ἔχω A.
5. Ὅμηρος] Od. 7. 80.
ib. εὐρυάγυιαν Ἀθήνην] εὐρυάγυιαν ἀθήνη B.
6. καὶ τὰ ἑξῆς et δὲ om. A.
8. λευκῆς om. A.
10. ὅθι — ἐπέβας] In A. est ὦ δρυμὸς ὄρειος (sic etiam B.) : ὅθι κυνῶν μέτα ἐπέβας ὠκυπόδων μετὰ θεᾶς τῆς ἀρτέμιδος τοὺς θῆρας φονεύων. ὑπερβατὸν etc.
ib. μετὰ] κατὰ I.
11. ἐναίρων] ἀναίρων A. ἀναιρῶν Fl. 6. 15.
ib. περὶ] ὑπὸ A.
15. Δίκτυνναν] δίκτυναν hic et infra simplici ν libri, nisi quod B. in fine scholii δίκτυννα.
16. τοιαύτην αἰτίαν] ταῦτα τὰ αἴτια A.
ib. βριτόμαρτις] βριτίμαρτυς A. βριτόμαντυς B. βριμώμαντις I. κτιτόμαντις Fl. 6. 15.
ib. ἐγένετο] ἐγίνετο A.
ib. συγκυνηγέτις A.B. συγκυνηγή τις Fl. 6. 15. συγκυνηγοῦσα I.
17. αὐτὴν ἐπὶ] αὑτῆς A. omisso ἐπί.
18. ἐννέα A. θ B.I.
20. Δίκτυνναν] δίκτυναν A. hic et infra simplici ν, nisi quod loco ultimo δικτύννης. Conf. schol. ad v. 146.
21. ἑτέραν Δίκτυνναν] Aptius foret ἑτέραν δαίμονα. Post δίκτυναν quinque fere literae obliteratae in A.

μεθόδου δικτυηρᾶς· οἱ ἐπακτῆρες καὶ κυνηγοὶ τοὺς θῆρας αἱροῦσι, δίκτυον δὲ οἱ ἁλιεῖς· οὕτως ἐκάλεσαν τὸ ἀμφίβληστρον. διὰ τὸ ὑπὲρ τῆς μολιβδαίνης τοὺς ἰχθῦς μὴ ἐᾶν ἀναπλέειν. ἀλλὰ παρακατέχειν καὶ ἐναποκλείειν ἔνδον. ἱστέον δὲ ὅτι τὸ ὄνομα τῆς Δικτύννης μᾶλλον τῇ Ἑκάτῃ προσάπτεται ὡς δεῖ, ὡς πᾶσι μὲν παρεπομένῃ θεοῖς, μάλιστα δὲ τῇ Ἀρτέμιδι. δῆλον δὲ ἐκ τοῦ καὶ Ἑκάτην ὀνομάζεσθαι. A.

1131. συζυγίαν: σύζευξιν τῶν ἵππων. B. Ἐνετᾶν: Ἐνέτη πόλις ἠπείρου, ἔνθα γίνονται καλοὶ ἡμίονοι καὶ πῶλοι. B. πώλων Ἐνετᾶν: Παφλαγονικῶν. Ἐνετοὶ γὰρ ἔθνος Παφλαγονίας. εἰ δέ τις εἴποι, ἐκ ποίας πόλεως ὠνομασμένοι; ἴστω ὅτι πολλοὶ βάρβαροι οὐκ ἐκ πόλεως, οὐδὲ ἐκ χώρας, ἀλλ' ἐξ ἔθνους ὀνομάζονται, ὡς Νομάδες καὶ Βλέμυες. ἡ δὲ ἐπί αὐτὶ τῆς εἰς, οὐκέτι εἰς συζυγίαν Ἐνετᾶν πώλων βήσῃ, ὡς τὸ "ἐς δ' ἔχεα φλόγεα ποσὶ βήσετο."

1133. τὸν ἀμφὶ Λίμνας τρόχον: Λίμνη τόπος Τροιζῆνος Ἀττικῆς, ἔνθα Λιμνῆτις Ἄρτεμις καλεῖται. παρὰ τὸ πεδίον τῆς Λίμνης τὸ τρεχόμενον τοὺς γυμναστικοὺς ἵππους κατέχων τῷ ποδὶ καὶ γυμνάζων.

τρόχον: δρόμον. B.

1134. κατέχων: ἡνιοχῶν. B.

γυμνάδας ἵππους: τοὺς ἱππαζομένους. ἀντιβαίνοντες γὰρ τῷ ποδὶ ἀνακρούουσι τοὺς χαλινούς. B.

1. μεθόδου δικτυηρᾶς] μεθ^{δ} δικτιηρ^{ᾶ} A. post quae sex fere literae obliteratae.

ib. ἐπακτῆρες sunt piscatores : de quo v. Thesaurum Steph.

2. Post ὑπὲρ τῆς quattuor vel quinque literae obliteratae in A.

9. ἡμίονοι] ἡμίονες B.

11. εἴποι] εἶπη A.

ib. ὠνομασμένοι A.B. Fl. 6. 15. ὠνομασμένος I.

12. οὐκ ἐκπόλεως A. οὐκ ἐκπόλεων B.I.

ib. οὐδὲ ἐκ A.B. ἐκ om. I.

ib. ἐξ om. A.

13. καὶ add. A.

ib. Βλέμυες] βλέμμυες B.

ib. τῆς εἰς A. τοῦ εἰς B.I.

ib. Ἐνετᾶν add. B.

ib. πώλων — *βήσετο* (βήσατο B.) om. A.

14. ὡς τό (ὡς τό δ' I.] Hom. Il. 5, 745.

15. Τροιζῆνος] τροίζηνος B.

ib. ἀττικῆς B. Fl.6.15. ἀττικὸς A. (terminatione per compendium expressa) et I. Neutrum convenire monet Valcken. p. 188. qui in Ἀττικῶς mutatum transponit post τὸ τρεχόμενον et sic haec digerit, Λίμνη —καλεῖται. Ἄλλως. παρὰ τὸ πεδίον τῆς Λίμνης. τρόχον : τὸν τρεχόμενον τόπον.

16. Λιμνῆτις Fl. 6. 15. λίμνη τίς B.I. λιμναρτὶς A. quod λιμνᾶτις est : v. ad v. 228.

17. τρεχόμενον] βρεχόμενον I.

ib. ἵππους] τόπους I.

1135. μοῦσα δ' ἄϋπνος: τυτέστιν ὑπὸ τῇ κιθάρᾳ παύσεται ἐν τῷ οἴκῳ τοῦ σοῦ πατρὸς ἄϋπνος, ἢ ἄπαυστος. τὸν ζυγὸν δὲ τῆς κιθάρας ἄντυγα καλεῖ, ἢ τὸν πῆχυν, ὡς κιθαρίζοντος αὐτοῦ. ἡ δὲ ἄϋπνος, φησὶν, ᾠδὴ τῶν χορδῶν τῶν ὑπὸ τῇ ἄντυγι λήξει. B.I.

ἄϋπνος: πρωΐ. B. ἄντυγι: ἡ περιφέρεια. B.

1137. ἀστέφανοι δέ: αἱ δὲ ἀναπαύσεις τῆς θυγατρὸς Λητοῦς, ὅ ἐστι τῆς Ἀρτέμιδος, αἱ κατὰ τὴν βαθεῖαν ὕλην ἀστέφανοι ἔσονται. λείπει γὰρ τὸ ἔσονται. B.I. Ἄλλως. αἱ ἀναπαύσεις τῶν κορῶν τῶν συγχορευουσῶν περὶ τὸ τῆς Λητοῦς ἱερὸν ἀστέφανοι ἔσονται, τυτέστι λυπηθήσονται ἐπὶ σοὶ αἱ παρθένοι. A.B.I. τινὲς δὲ τὸ ἀστέφανοι κατ' ἐπίτασίν φασιν ἀντὶ τοῦ πολυστέφανοι ἔσονται, τὸ α λέγοντες ἐπιτατικόν. B.I. κέρας: Ἀρτέμιδος. τῆς κόρης πρὸς τὸ Λατοῦς. B.

1138. βαθεῖαν: τὴν κατάπυκνον. B. χλόαν: ὕλην. B.

1140. φυγᾷ σᾷ: διὰ τὴν φυγὴν οὐκέτι ἁμιλληθήσονται αἱ παρθένοι ὑπὲρ τοῦ γάμου, τίς σοι δοθήσεται γυνή. Ἄλλως. φυγάδος σου ὄντος ἡ φιλονεικία τῶν παρθένων τῶν ἐπιδεξαζομένων τῷ σῷ γάμῳ ἀπώλετο. B.I.

1141. λέκτρων: ἃ ἦσαν. B. ἅμιλλα: ἡ περὶ νυμφιδίου ἅμιλλα, ὅ ἐστι φιλονεικία καὶ ἐναντίωσις. B.

1142. δάκρυσι: ἐν τοῖς δακρύοις διάξω βίον δυστυχῆ. B. ἐν τοῖς δακρύοις διάξω καὶ ζήσω. A.

1143. πότμον ἄποτμον: θάνατον κακοθάνατον. A.B. κακὸν, δυστυχῆ. B.

1145. μανίω: ἐπειδὴ οὐκ ἀπέλαυσεν αὐτοῦ. A.B. ὀργίζομαι, σχετλιάζω τοῖς θεοῖς. A. ὀργίζομαι, χαλεπαίνω τοῖς θεοῖς. B.

1147. συζυγίαι Χάριτες: αἱ ἔφοροι τοῦ γάμου. B. αἱ συνεζευγμέναι Χάριτες τῷ Ἱππολύτῳ, αἱ συζευγνῦσαι, ὅ ἐστι γαμήλιοι, ἀντὶ τοῦ ὦ Χάριτες ἔφοροι τῆς συζυγίας.

1150. οὐδὲν ἄτας αἴτιον: οὐδεμιᾶς βλάβης ὄντα αἴτιον. B.

1152. δόμους: τούσδε. B.

8. Ἄλλως. αἱ] ἀπαίπαιλαι: αἱ δὲ ἁμιλληθήσονται I. A.
11. κατ' ἐπίτασίν φασιν add. B.
15. ἁμιλληθήσονται B. Fl. 6. 15.
25. ἀπέλαισεν] ἀπήλαισεν B.
27. αἱ—Ἱππολύτῳ om. A.

1157. Θησεῦ, μερίμνης: οἱ ἀρχαῖοι καὶ ἐξ ὀνόματος τοὺς δεσπότας ἐκάλουν. πολίτας δέ φησι τοῦ Θησέως Ἀθηναίους καὶ Τροιζηνίους. τούτων γὰρ ἀμφοτέρων πολίτης ἐστὶν, ἐκ μὲν πατρὸς Ἀθηναίων, ἐκ δὲ μητρὸς Τροιζηνίων. A.B.I. λύπης. B.

1159. καὶ γῆς τέρμονας: περὶ τὰ τέλη τῆς Τροιζῆνος· τέρμονας γὰρ Τροιζῆνος τοὺς ὅρους φησίν. ἀστυγείτονας δὲ πόλεις τὰς δύο φησὶ, Τροιζῆνα καὶ Ἀθήνας. B.I.

1162. ὡς εἰπεῖν ἔπος: ὡς ἐν συντόμῳ εἰπεῖν. A.

1164. πρὸς τοῦ: ἀντὶ τοῦ μέλλει θνήσκειν. B. ἀπώλετο δηλονότι. μὴ ἄρα γυναῖκά τινος ἔφθειρεν, ὡς καὶ τὴν ἐμὴν, κἀκεῖνος φονεύει αὐτόν;

1168. κρέοντι: βασιλεῖ, κρατοῦντι. B. ἠράσω πέρι: ἢ περὶ ἀντὶ τῆς κατά, κατὰ τοῦ σοῦ παιδός. ὦ Πόσειδον, ὄντως ἔμαθον ὅτι ἐμὸς εἶ πατήρ.

1171. τῷ: ποίῳ. B.

1172. ῥόπτρον: τὸ τῆς δικαιοσύνης ὅπλον. A. ἡ πάγη. B. ἡ ῥομφαία, ὅ ἐστιν εἶδος ξίφους, καὶ ἡ πάγη, καὶ τὸ ἐπίσπαστρον. Ἄλλως. πλῆγμα. κυρίως δὲ ῥόπτρον τὸ τῆς δίκης ῥόπαλον, ἀπὸ τοῦ ῥαπίζω. B.I.

1173. κυμοδέγμονος: ἡμεῖς μὲν ἐν τῷ αἰγιαλῷ τῷ δεχομένῳ τὰ κύματα ἐφιλοκαλοῦμεν τοὺς ἵππους, κλαίοντες ἐπὶ τῇ φήμῃ τῆς ἐξορίας τοῦ Ἱππολύτου.

1174. ψήκτραισιν: ἀπὸ τοῦ καταψήχειν ὀνομάσθη ψήκτρα. B.I.

1176. ὡς οὐκέτ' ἐν γῇ: ὁ Ἱππόλυτος φεύγει, φησὶ, τὴν ἰδίαν γῆν καὶ πόλιν.

1. οἱ ἀρχαῖοι—ἐκάλουν hic om. A., sed habet in fine scholii, οἱ γὰρ ἀρχαῖοι ἐξ—ἐκάλουν.
2. δέ om. A.
ib. Ἀθηναίους A.B. τοὺς Ἀθηναίους I.
5. Τροιζῆνος] τροίζηνος B. utrobique et mox τροίζηνα.
ib. τέρμονας γὰρ om. Fl. 6. 15.
9. ἀπώλετο Heathius pro αὐτῷ. αὐτῷ δηλονότι om. A.
10. ἄρα] ἆρα B.
ib. κἀκεῖνος φονεύει αὐτόν] καὶ διὰ τοῦτο ἐφονεύθη A.
12. ἡ περί—παιδός om. A.
13. τῆς κατά B. τοῦ κατά I.
18. ἀπὸ τοῦ ῥαπίζω om. B.
20. τῷ post ἐν add. A.B.
24. ὁ A. ὅτι ὁ B.I.
ib. φησὶ add. A.
25. γῆν καὶ om. A.

1178. ταὐτὸ δακρύων: ὁ δ' ἦλθε θρηνῶν, οὐ περὶ ἄλλων δακρύων, ἀλλὰ περὶ ὧν καὶ ἡμεῖς. A. ἀντὶ τοῦ τὸν αὐτὸν στενάζων στεναγμόν. B.I.

1179. μυρία δ' ὀπισθόπους: ἀντὶ τοῦ πολλὴ προπομπὴ, πολλὴ ἄθροισις, ὄπισθεν ἀκολουθοῦσα τοῦ Ἱππολύτου.

1180. ἅμ': αὐτῷ. B.

1181. ἀπαλλαχθείς: ἀπαλλαγείς. B.

1182. τί ταῦτ' ἀλύω: λείπει ἡ διά, διὰ τί δυσφορῶ, διὰ τί ἀδημονῶ καὶ θρηνῶ; οὐκ ἐγχωρεῖ μὴ πεισθῆναί με τοῖς λόγοις τοῦ πατρός μου καὶ ἀναχωρῆσαι ἐκ ταύτης τῆς γῆς.

1183. ἐντύναθ': ζεύξατε. B.

1186. ἐξηρτυμένας: ἡτοιμασμένας· ἀντὶ τοῦ ταχέως, ἅμα τοῖς λόγοις καὶ πρὸ τοῦ πληρῶσαι αὐτὸν τὸν λόγον, παρεστήσαμεν αὐτῷ τὸ ἅρμα.

1188. μάπτει δὲ χερσίν: περιάπτει. B. εἰώθασιν οἱ ἁρματηλάται περιάπτειν τὰ λῶρα τῇ ἄντυγι, ὅπως δοκεῖεν οἱ ἵπποι ὑπό τινος ἄρχεσθαι, ὡς ὁ ποιητὴς "ἐξ ἄντυγος ἡνία τείνας." Λ.Β.Ι. Ἄλλως. λαμβάνει τοὺς χαλινοὺς ἐν ταῖς χερσὶ, καὶ κρατεῖ ἐκ τοῦ ἅρματος. B.I.

1189. αὐταῖσιν ἀρβύλαισιν: πεδίλοις, ὑποδήμασιν. A. καταχρηστικῶς τοῖς τόποις ἐν οἷς πατοῦσιν οἱ ἡνίοχοι. B. ταῖς τοῦ ἅρματος περὶ τὴν ἄντυγα, ἔνθα τὴν στάσιν ἔχει ὁ ἡνίοχος.

1190. καὶ πρῶτα μὲν θεοῖς: ἀντὶ τοῦ ηὔξατο τοῖς θεοῖς τὰς χεῖρας ἀνατείνας. B.I. ἀναπτύξας: ἀνατείνας. B.

1192. αἴσθοιτο δ' ἡμᾶς: καὶ μάθοι ὁ πατὴρ ὅτι ἀτιμάζει με. ἐνικῷ πληθυντικὸν ἐπήγαγεν· διὸ τὸ χ.

2. ἀντὶ τοῦ et στεναγμόν add. B. Fl. 6. 15., om. I.
4. πολλὴ π.] μυρία π. A.
5. ἀκολουθοῦσα ὄπισθε A. ὄπισθεν ἀκολουθοῦσα B.I.
8. λείπει ἡ διά add. B. Fl. 6., om. A.I.
ib. διὰ τί om. A.
ib. δυσφορῶ] λέγει δὲ add. A.
ib. δυσφορῶ] δυσφορῶν Fl. 6. pariterque ἀδημονῶν καὶ θρηνῶν.
ib. διὰ τί] διὰ om. B. Fl. 6.
16. τὰ λῶρα] τῶ λώρω A.
ib. ὅπως δοκοῖεν] ὅπου δοκεῖεν I.
17. ἄρχεσθαι B. ἄγχεσθαι A.I. ἔχεσθαι Fl. 6. 15.
ib. ὁ ποιητὴς] Il. 5, 262. 322.
20. αὐταῖσιν ἀρβύλαισιν] αὐτοῖσιν ἀρβύλοισιν A: recte in texta.
25. καὶ add. A.B.
26. ἐνικῷ] τὸ ἑνικὸν εἰς A.
ib. διὸ τὸ χ. om. A.

1194. ἐπῆγε κέντρον: ἀντὶ τοῦ μάστιγα ἐπὶ τοὺς ἵππους μετήνεγκε. B.

1195. ἐφ' ἅρματος: ἀντὶ τοῦ παρὰ τῷ ἅρματι ὡς τὸ "'Αθηναίης ἐπὶ γεύνασι." A.B.

1197. εὐθύς: πλησίον. B. κἀπιθαυρίας: Κορίνθου. B. ἔνθα ἐτιμᾶτο ὁ 'Ασκληπιός. σεσημείωται ὅτι οὐ λέγουσι τὴν ἐπ' εὐθείας. B. ὅσον: εἰς. B.

1198. ἔρημον: εἰς. B. εἰσεβάλλομεν: ἐφθάσαμεν. B.

1199. τυπέκεινα: μακρόθεν. B. ἀκτὴ, ἀκρώρεια. τυπέκεινα δὲ ἀντὶ τοῦ πόρρω. B.

1200. ἤδη: τὸ ἤδη πρὸς τὸ ἔρημον. B.

κειμένη Σαρωνικόν: Σαρωνικὸς κόλπος ἐστὶ πρὸς τῇ Κορίνθῳ, ἱερὸς 'Αρτέμιδος, ἐν ᾧ φασι τὴν Σκίλλαν ὑπὸ Μίνως ἐλκυσθῆναι. ὄνομα οὖν ἐστι πελάγους, ὀνομασθὲν ἀπό τινος Σάρωνος κυνηγεῦ. οὗτος διώκων ἔλαφον ἐμάνη, καὶ ἡ ἔλαφος διωκομένη ἔρριψεν ἑαυτὴν εἰς τὸ πέλαγος, καὶ αὐτὸς δὲ τῇ μανίᾳ φερόμενος ἑαυτὸν ἔρριψεν εἰς τὸ αὐτὸ πέλαγος, καὶ ἐκεῖ ἀπεπνίγη. ἄλλοι δέ φασιν ὅτι ἐκ τῆς Σκύλλης τῆς θυγατρὸς Νίσου τοῦ ἀδελφοῦ τοῦ Αἰγέως καὶ Πάλλαντος. οὗτος γὰρ ᾤκησεν εἰς Μέγαρα, ἐάσας τοὺς ἀδελφοὺς αὐτοῦ μαχομένους περὶ τῆς βασιλείας. καὶ ἦν εἱμαρμένον μὴ περιληφθῆναι τὸν τόπον ἐν ᾧ ἦν ὁ Νῖσος, ὃς εἶχε χρυσοῦν πλόκαμον ἐν τῇ κεφαλῇ αὐτοῦ. ὁ οὖν Μίνως στρατοπεδεύσας κατ' αὐτοῦ οὐκ ἠδυνήθη παραλαβεῖν, ἕως οὗ εἶχε τὸν χρυσοῦν πλόκαμον. ἡ δὲ θυγάτηρ αὐτοῦ

13. φασὶ] φησὶ A.
ib. Σκύλλαν] Simplici λ hic et infra A.
ib. Μίνως] μίνῳ (ο a m. rec.) A.
15. ἐμάνη] ἔμηνε A.
16. δὲ om. A.
ib. ἑαυτὸν ἔρριψεν] ἔρριψεν ἑαυτὸν I.
17. αὐτὸ add. A.
ib. ἐκεῖ add. A.B.
ib. ἀπεπνίγη] ἐπνίγη A.
18. Σκύλλης] σκύλας A.
ib. Νίσου] τῆς νόσου A.
ib. τοῦ αἰγέως A. τοῦ om. B.I.
ib. Πάλλαντος] τάλαντος A.
19. οὗτος] οὕτω A.
ib. αὐτοῦ om. A.
20. τῆς add. A.
ib. ἦν εἱμαρμένον (ἦν ἥμαρτ' A.) μὴ περιληφθῆναι (παραληφθῆναι A.) τὸν τόπον ἐν ᾧ (pro τὸν τόπον—Νίσος ὃς in A. est τὴν νῆσον ἐφ' ὅσον) addita ex A.B. Fl. 6., desunt in I.
21. Νῖσος] νίσος libri.
ib. χρυσοῦν] τὸν χρυσοῦν A.
ib. ἐν τῇ κεφαλῇ A.B. ἐπὶ τῆς κεφαλῆς I.
22. οὖν] δὲ A.
ib. στρατοπεδεύσας]στρατοπεδήσας A.
ib. παραλαβεῖν] παρασχεῖν A.
23. ἕως οὗ] ὅσον A.
ib. χρυσοῦν om. A.

Σκύλλα θεωρήσασα τὸν Μίνωα, ἐφίλησεν αὐτόν, καὶ συνετάξατο αὐτῷ πρδοῦναι τὴν πόλιν, εἰ λάβοι αὐτὴν γυναῖκα. ὁ δὲ συνέθετο. καὶ παραγενομένη τέμνει τοῦ τεκόντος τὸν πλόκαμον, καὶ τὴν πόλιν παρέδωκε. καὶ μετὰ τὸ παραλαβεῖν τὴν πόλιν ἔλαβεν αὐτὴν ἐπάνω τοῦ πλείου, καὶ ἔδησεν αὐτὴν εἰς τὸ πλοῖον. καὶ ἔμεινε συρμένη ἐν τῇ θαλάσσῃ. καὶ διὰ τοῦτο ἐκλήθη τὸ πέλαγος Σαρωνικόν. ἐκπεσοῦσα δὲ ἐν τῇ θαλάσσῃ καὶ θηρίον γενομένη τὴν ἰδίαν φύσιν οὐδαμῶς μετέβαλεν.

1204. νεανικός: ἰσχυρὸς, μέγας. B. Fl. 2.

1205. ἁλιρρόθους: τοὺς περιρρεομένους τῇ θαλάσσῃ. B.

1206. ἀκτὰς ἀποβλέψαντες: εἰς δὲ τὰς πέτρας τὰς ὑπὸ τῶν κυμάτων κλυζομένας ἐθεωρήσαμεν τὸ κῦμα μέχρι τοῦ οὐρανοῦ ἀνερχόμενον, καὶ τοσοῦτον ὑψηλὸν ἦν τὸ κῦμα ὥστε μηκέτι καθορᾶν ἡμᾶς τὸ ὄρος τοῦ Σκείρωνος. ἐκ τοῦ ὕψους, φησὶ, τοῦ κύματος οὐκέτι ἑώρων τὴν Σκειρωνίδα ἀκτήν.

ἱερόν: ἀντὶ τοῦ μέγα. B. Fl. 2.

1207. στηρίζον: ἐγγίζον. A. γειτνιάζον, ἐγγίζον. B.

1209. ἰσθμόν: τὸν τῆς Κορίνθου. B.

1210. κἄπειτ', ἀνειδῆσαν: τὸ κῦμα εἰς ὕψος ᾠρμένον. ἰσθμὸν δὲ τὴν στενὴν γῆν, τὴν κυκλουμένην ὑπὸ τῶν ὑδάτων. διαφέρει δὲ ἰσθμὸς πορθμοῦ. ἰσθμὸς μὲν γάρ ἐστιν ὁ μεταξὺ δύο θαλασσῶν πορεύσιμος τόπος, πορθμὸς δὲ τὸ ἀνάπαλιν. καὶ τέθριππος ὄχος τὸ ὄχημα τὸ ἐκ τεσσάρων ἵππων ἐζευγμένον, τοῦ Ἱππολύτου δηλονότι.

1211. καχλάζον: ψοφεῖ. B.

1212. τρικυμίᾳ: ζάλῃ. B.

1215. οὗ πᾶσα: οὗτινος ταύρου βοῶντος πᾶσα ἡ γῆ φωνῆς ἐπληρώθη. B.

2. λάβοι] λάβη A.
ib. συνέθετο] συνετάξατο A.
3. παραγενομένη—τὴν πόλιν om. A.
4. παρέδωκε A.B Fl. 6. παρέλαβε I.
ib. τὴν πόλιν add. iidem, om. I.
6. ἐκλήθη] σαρωνικὸν πέλαγος ἐκλήθη A. reliquis τὸ πέλαγος—μετέβαλεν omissis.
13. ἦν τὸ κῦμα add. A. ἦν etiam B. Fl. 6. 15.
14. φησὶ om. A.
ib. οὐκέτι—ἀκτήν om. A.
15. ἀκτήν] αὐτήν I.
19. κῦμα A. πιεῦμα B.I.
20. τῶν ὑ.] τῶν om. A.
ib. διαφέρει—ἀνάπαλιν addidiexA.
22. καὶ τέθριππος ὄχος om. A.
23. τεσσάρων A. τεττάρων B. δ' I.
ib. ἐζευγμένον] ζευγνύμενον A.
ib. δηλονότι om. A.

1216. φρικῶδες: ἰσχυρότερον τῆς θέας. οἷον, ὑπὲρ θέαν ἦν τὸ ἐκταθέν, ὡς μηδὲ φέρειν τὴν φωνὴν τὴν ἀκοὴν μηδὲ τὴν θέαν τὰ ὄμματα. B.

1217. δεργμάτων: ἀποσκοπῆς τῶν ὀφθαλμῶν. B. τῶν βλεμμάτων. B.

1219. καὶ δεσπότης μέν: ἤθεσι τῆς μελέτης καὶ τῆς ἐμπειρίας συνήθειαν πολλὴν ἔχων ἐν τῷ ἱππεύειν. Ἄλλως. καὶ ὁ μὲν Ἱππόλυτος, διὰ τὸ μὴ θροηθῆναι τοὺς ἵππους αὐτοῦ, ἐπέπεσεν αὐτοῖς, καὶ ἔσφιγξε τοὺς χαλινούς. B.I.

ἤθεσι: μελέταις. B.

1220. πολὺς ξυνοικῶν: ἀντὶ τοῦ λίαν ἔμπειρος ὢν συνηθείαις καὶ τέχναις ἱππικαῖς. A.B. πολύς: λίαν. B.

ἥρπασ': ἀνέκρουσεν, ἀνέτεινεν. B.

1221. ἕλκει δὲ κώπην: τὸ ἑξῆς, ἕλκει δὲ ἱμᾶσι. κώπην δὲ τὴν μάστιγα νῦν λέγει. ἕλκει δὲ εἰς τοὔπισθεν, ἱμᾶσιν ἀρτήσας δέμας, ὡς ναύτης κώπην ἕλκων εἰς τοὔπισθεν. Ἄλλως. ὥσπερ δὲ ναύτης ζάλης οὔσης κρατεῖ τὸ πηδάλιον καὶ διασώζει τὴν ναῦν, οὕτω καὶ ὁ Ἱππόλυτος τὰ λῶρα ἐκράτει.

κώπην: μάστιγα ἢ ἡνίας. B.

1222. ἀρτήσας: ἐκκρεμάσας. B.

1223. αἱ δ' ἐνδακοῦσαι: αἱ δὲ πῶλοι δακοῦσαι καὶ ἐγκρατήσασαι τοὺς χαλκοῦς χαλινούς, τοὺς ἐκ πυρὸς γενομένους, ἐν ταῖς σιαγόσι, καὶ διάπυροι γενόμεναι ἔτρεχον, καὶ μήτε τοῦ ἡνιόχου φροντίδα ποιούμεναι μήτε τῶν χαλινῶν.

1225. ἱπποδέσμων: ἡνιόχων. B. rec. χαλινῶν. B. rec.

1226. κεἰ μὲν εἰς τὰ μαλθακά: καὶ εἰ μὲν εἰς τὰ ἁπαλὰ καὶ ἰσόπεδα τὸν δρόμον ἐποιεῖτο, ἐφαίνετο ὁ ταῦρος ἔμπροσθεν τῶν ἵππων καὶ ἐθρύει αὐτούς, εἰ δὲ εἰς τὰ ὄρη ἀπέφερον αὐτὸν οἱ ἵπποι, ὄπισθεν περιεπάτει ὁ ταῦρος καὶ προσπελάζων τῇ περιφερείᾳ συνηκολούθει.

9. ἔσφιγξε B. Fl. 6. 15. ἔσφιγγε I.
15. ἱμᾶσιν ἀρτήσας] ἱμάσει κρατήσας Fl. 15.
16. ἕλκων A. ἕλκει B.I.
17. διασώζει A. σώζει B.I.
18. τὰ λῶρα] τοὺς λώρους Fl. 15.
22. χαλκοῦς] χαλινοὺς I.
23. Post ἔτρεχον in I. lemma κεἰ μὲν εἰς τὰ μαλθακά et οὔθ' ἱπποδέσμων.
ib. καὶ μήτε A.B. καὶ om. I.
24. ποιούμεναι] ποιούμενοι A.
27. ἐποιεῖτο B. Fl. 6. 15. ἐποίει I. ἐπόνει A.
28. ἀπέφερον] ἐπέφερον A.
29. ὁ—προσπελάζων] ὁ ἵππος. προὐφαίνετ' : προσπελάζων ὁ ταῦρος A.

τὰ μαλθακά: ἰσόπεδα τῶν δρόμων. B. rec. οὐ φροντίζουσαι τοῦ εὐκατασκευάστου ἅρματος. B.

1227. οἴακας: τὰς ἡνίας τροπικῶς. B.

1228. τοὔμπροσθεν: τῶν ἵππων. B. rec.

1229. τέτρωρον: τὸ ἐκ τεσσάρων ἐζευγμένον ἅρμα. B.

1230. μαργῶσαι: μαινόμεναι. B.

1232. ἐς τοῦθ': ἕως ἔρριψεν αὐτόν. A.B.

1233. ἀψῖδα: ἀψῖδα νῦν τὸν τροχὸν ἐκάλεσεν. A.B. κύκλον τροχῶν. B.

1234. σύμφυρτα: σύμμικτα. B.

σύριγγες: αἱ χοινικίδες. B.

1235. ἐνήλατα: τὰ ἐμβαλλόμενα ταῖς χοινικίσιν. A.B. οἱ πασσαλίσκοι οἱ πρὸς τῷ ἄξονι, τὰ καλούμενα ἀμαξηδόνια, αἱ κνόαι, ἢ τὰ ἐμβαλλόμενα πρὸς τῷ ἄξονι, ὥστε μὴ ἐξιέναι τὸν τροχόν. A. B.I. Ἄλλως. τὰ μικρὰ ξύλα τὰ ὡσανεὶ ἧλοι πεπηγμένα ἐν τῷ ἄξονι. A.

1239. θραύων δὲ σάρκας: ἀντὶ τοῦ θρανύμενος, ἤτοι συντριβόμενος, κατακλώμενος τὴν κεφαλήν, ἐν ταῖς πέτραις. A.B.I.

1240. ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετέβη. A.B.

1247. ἵππου δ' ἔκρυφθεν: οἷον, οἱ δὲ ἵππου καὶ τὸ σημεῖον τοῦ ταύρου οὐδαμοῦ ἐφάνησαν, ἀλλ' ἀφανῆ ἐγένοντο ἀφ' ἡμῶν.

1248. λεπαίας δὲ ἤτοι κατὰ τὸ ἐξέχον καὶ ὑψηλὸν μέρος τῆς ὀρείας γῆς, ἤτοι τῆς ὀρεινῆς, παρὰ τὸ λελεπίσθαι. A.B.I. τῆς ἀκροτάτης, τῆς ὀρείας. B.

1252. οὐδ' εἰ γυναικῶν: οὐ δυνήσομαι ποτὲ πιστεῦσαι ὅτι κακὸς ἐφάνη ὁ ἐμὸς δεσπότης, οὐδὲ ἐὰν καὶ τὸ γένος τῶν γυναικῶν ὅλον ἀποθάνῃ.

1253. καὶ τὴν ἐν Ἴδῃ: ἀδηλον ποίαν Ἴδην. ἀντὶ τοῦ οὐδὲ ἐὰν

13. ἁμαξηδόνια A.B. Fl. 6. ἁμαξηδόνιαι I.
ib. αἱ κνόαι B. Fl. 6. ὄχαι I., om. A.
14. ἐμβαλλόμενα] βαλλόμενα A.
17. ἤτοι et κατακλώμενος om. A.
20. οἷον om. A.
21. οὐδαμοῦ A. οὐδαμῶς B.I.
ib. ἀλλ'—ἡμῶν om. A.
22. δὲ ἤτοι om. A.
ib. κατὰ om. I.
23. ἤτοι et τὸ om. A.
25. οὐ δυνήσομαι ποτὲ πιστεῦσαι] οὐδαμῶς A.
26. καὶ add. A.B.
ib. ὅλον hic A., post γένος B.I.
27. ἀποθάνῃ] ἀπέθανεν A.
28. ἀντὶ τοῦ om. I.

πληρώσῃ γραμμάτων πάντα τὰ ξύλα τῆς Ἴδης. Ἴδη δὲ ὄρος σύνδενδρον ἐν τῇ Τροίᾳ.

1256. οὐδ' ἔστι μοίρας: τοῦ δέοντος καὶ μεμοιραμένου, τοῦ δικαίου καὶ ἀναγκαίου οὐκ ἔστιν ἀπαλλαγή. τὸ δὲ χρεών μετοχή ἐστιν, ἐπιρρηματικὴν σύνταξιν ἔχουσα.

τοῦ χρεών: τοῦ πεπρωμένου, τοῦ θανάτου. τοῦ χρέους. B.

1257. μίσει μὲν ἀνδρός: τραγῳδεῖ Θησεύς· ἐπειδή, φησί, μισῶ αὐτὴν, ἐχάρην, ἀλλὰ πάλιν τοὺς θεοὺς αἰσχυνόμενος λυπεῖμαι, διότι ἐξ ἐμοῦ ὑπάρχει γεννηθείς.

μίσει: διὰ τὸ μῖσος. B.

1259. ἐστὶν ἐξ ἐμοῦ: ἐκνήθη. B.

1261. πῶς οὖν: ἀπὸ κοινοῦ τὸ χρή. ὁ δὲ νοῦς, πῶς οὖν κομίζειν χρὴ τὸν ἄθλιον, ἢ τί χρὴ δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί.

1263. ἐμοῖς δέ: χρώμενος δὲ τοῖς ἐμοῖς βουλεύμασιν οὐδέποτε σκληρὸς γενήσῃ εἰς τὸν σὸν υἱόν. B.I.

1268. σὺ τὰν θεῶν ἄκαμπτον φρένα: τὴν ἀμετάβλητον, τὴν ἀκαταγώνιστον, μὴ καμπτομένην περιάγεις. A. Ἄλλως. σὺ, φησὶ, τὴν ἀνυπόστατον τῶν θεῶν καὶ ἀνθρώπων φρένα περιάγεις καὶ ὑποτάσσεις, ὦ Ἀφροδίτη, σὺν τῷ Ἔρωτι.

ἄκαμπτον φρένα: σκληρότητα. B.

1270. ἄγεις: κυριεύεις. B. σύν σοι βουκολεῖς, ποιμαίνεις. B. rec.

ἀμφιβαλὼν δὲ ἀντὶ τοῦ περισκεπάσας. σκέπει γὰρ τῶν ἐρώντων τὴν θέαν, ἵνα καὶ τὰ ἄμορφα ἐράσμια ὁρῶμεν. B.I. καταπαύσας. B. περισκεπάσας. B. rec.

1271. πτερᾷ: βέλει. τὸ ἄγεις ἀπὸ κοινοῦ. B.

1272. εὐάχητον: τὸν ἀποτελοῦντα μέγαν ἦχον. B.

1. πληρώσῃ Fl. 15. πληρώσης A. πληρώσεις B. πληρώσεις Fl. 6. I.
ib. ἴδη δὲ A. ἥ ἐστιν B.I.
2. τῇ om. A.
3. καὶ μεμοιραμένου] τοῦ μεμοιρασμένου A.
4. οὐκ ἔστιν ἀπαλλαγή om. I.
ib. μετοχή ἐστιν] μὲν ὁ χορὸς A.
5. ἔχουσα] ἔχει A.
7. μισῶν] μισῶ A.
8. διότι—γεννηθείς om. A.
9. ἐξ ἐμοῦ ὑπάρχει B. ὑπάρχει ἐξ ἐμοῦ I.
13. ἡμᾶς add. A.B.
17. Ἄλλως add. A.
18. ἀνυπόστατον A. ἀνυπότακτον, ἤτοι ἀμετάβλητον καὶ ἀκαταγώνιστον καὶ μὴ καμπτομένην B.I.
ib. καὶ ἀνθρώπων φρένα A. φρένα καὶ τῶν ἀνθρώπων B.I.

1274. *θέλγει*: ἐκεῖνον. B. *φλέγει δ' Ἔρως*: *γρ. θέλγει*. A. rec.

ᾧ μαινομένᾳ καρδίᾳ: *ᾧτινι σὺν τῇ μαινομένῃ καρδίᾳ ἐφορμήσει πτηνὸς ὤν*. A.

1275. *πτανός*: *πεταστός*. B.

1276. *χρυσοφαής*: *ὁ Ἔρως ὁ χρυσοφαὴς, τουτέστιν ὁ λαμπρὸς ὤν. Ἄλλως. οὐ προσηνὴς ὁ χρυσὸς, ἀλλὰ τὸ εἶδος χρυσοφαής.*

φύσιν ὀρεσκώων: *φύσιν ἔχων θηρὸς, ἀντὶ τοῦ ἄγριος ὢν τοῖς ποθοῦσι, καὶ τῶν ἐν θαλάττῃ θηρίων φύσιν ἔχων καὶ τῶν ἐν τῇ γῇ. ὁ δὲ νοῦς τοιοῦτος· ᾧ ἂν ἐφορμήσῃ ἢ τῶν ὀρείων, ἢ τῶν πελαγίων, ἢ τῶν ἐν τῇ γῇ, ἣν ὁ ἥλιος καταλάμπει.*

1279. *δέρκεται*: *ταῖς αὐγαῖς ὁ ἥλιος θεωρεῖ*. B.

1280. *ἄνδρας τε*: *ἀντὶ τοῦ ἀνθρώπων ἄνδρας κατ' ἐξοχὴν εἶπεν*. B.I.

1286. *τοῖσδε*: *ταῖς κατὰ τὸν Ἱππόλυτον κακώσεσι*. B.

1289. *ἀφανῆ*: *εἰργάσω ἀφανῶς καὶ ἀνεξελέγκτως, πεισθεὶς τοῖς ψευδέσι λόγοις τῆς σῆς γυναικὸς, καὶ τοῦτο ποιήσας φανερὰν ἔσχες βλάβην.*

1290. *πῶς δ' οὐχ ὑπὸ γῆς*: *τὸ πῶς οὐκ ἀπὸ κοινοῦ, ἵν' ᾖ οὕτως, πῶς οὐ πτηνὸς ἄνω μετελθὼν τὸν βίον πήματος ἔξω πόδα τόνδ' ἀνέχεις. μεταβὰς δὲ μεταβιβάσας, μεταβαλὼν, μεταλλάξας τὴν ζωὴν, καὶ ἀλλοιωθεὶς εἰς ὄρνεον.*

1292. *μεταβὰς βίοτον*: *παραδραμὼν ζωήν σου*. B.

1293. *πήματος*: *τοῦ μιάσματος*. B.

ἀνέχεις: *ἀναφέρεις*. B.

1294. *ὡς ἐν ἀγαθοῖς ἀνδράσι*: *τοῦτό φησιν, εἰς ἀγαθοὺς ἄνδρας οὐκέτι μετρηθήσεταί σου ὁ βίος.*

1295. *κτητόν*: *κατατεταγμένον*. B.

6. ὁ Ἔρως] ὁ om. A.
8. *θηρὸς* A.B. Fl. 6. 15. *θηρῶν* I.
9. *θαλάττῃ*] θαλάσσῃ B.
ib. ἔχων om. A.
10. ὁ δὲ νοῦς A. ὁ νοῦς δὲ B.I.
ib. ἐφορμήσῃ] ἐφορμήσει A.
11. τῇ om. A.
13. ἀνθρώπων Matth. pro ἀνδρῶν.
18. ἔσχες] ἔσχε A.
19. δ' add. A.
20. *τόνδ' ἀνέχεις*] ἀναφέρεις (sic) A. Hoc est *ἀναφέρεις* ut in gl. B.
21. δὲ om. A.
ib. *μεταβαλὼν*] μεταβάλλων A.
ib. τὴν add. A.B.
22. καὶ ἀλλοιωθεὶς] τὸ ἀλλοιωθὲν A.
27. σου] σοι A.

1296. κακῶν κατάστασιν: διήγησιν. A.B.

1297. προκόψω: ἀπὸ τοῦ νῦν. B.

1298. ἀλλ' εἰς τόδ' ἦλθεν: ὁ ἀλλά ἀντὶ τοῦ γάρ, ἀντὶ τοῦ φανερώσω τὴν σωφροσύνην τοῦ σοῦ παιδὸς, καὶ τῆς σῆς γυναικὸς τὸν οἶστρον. ἢ τάχα οὐκ οἶστρον, ἀλλὰ τρόπον τινὰ τὴν ἐγκράτειαν καὶ τὴν σωφροσύνην. γενναιότητα δὲ λέγει τὸ σπευδάσαι κρύψαι τὸν ἔρωτα.

1300. οἶστρεν: γρ. ψεῦστιν, ἤγουν τὴν ψευδολόγον. B.

1303. δηχθεῖσα: συσχεθεῖσα τοῖς πόνεις τῆς Ἀφροδίτης, τῆς ἐχθίστης ἡμῖν τῶν θεῶν, ὁπόσαι εἰσὶν ἐν τῇ παρθενίᾳ, ἠράσθη τοῦ σοῦ υἱοῦ. A.B.I. τὸ δὲ "γνώμῃ νικᾶν τὴν Κύπριν πειρωμένη" ἀντὶ τοῦ τῷ λογισμῷ τοῦ μὴ θέλειν συγκαθεύδειν τῷ Ἱππολύτῳ, διὰ τὸ μὴ προδοῦναι τὴν εὐνὴν τοῦ ἀνδρός. B.I.

1306. ἢ σῷ δι' ὅρκων: ἥτις τροφὸς τῷ σῷ υἱῷ τὸν ἔρωτα ἐσήμανεν.

1307. ἐφέσπετο: τῆς τροφοῦ. B.

1313. ἀλλ' ἔχ' ἥσυχος: ἀλλ' ἡσύχαζε, ὡς ἂν οἰμώζῃς πλέον τὸ μετὰ ταῦτα ἀκούσας.

1314. τοὐνθένδ': τὸ μετέπειτα. B.

1316. ὧν τὴν μίαν παρεῖλες: παρέπεμψας, ἀπώλεσας, ἀφεῖλες, ὧν ἐξεῖλες τὴν μίαν εὐχὴν ἀπὸ τῶν τριῶν ὧν ἔλαβες ἀπὸ τοῦ πατρὸς, καὶ ἀπώλεσας τὸν υἱόν.

1319. ἤνεσε: ἐπηγγείλατο. B.

1320. ἐκείνῳ: τῷ Ποσειδῶνι. B. rec.

1330. θέλοντος: γρ. μέλλοντος. B.

1331. ἐπεὶ σάφ' ἴσθι: ἐπεὶ προεῖπε παρὰ θεοῖς εἶναι νόμον τὸ μὴ ἀντιπράττειν ἀλλήλοις, φησὶν ὅτι, εἰ μὴ νόμος ἐκώλυεν, ἔσωσα ἂν αὐτὸν εὐσεβῆ τυγχάνοντα, μὴ εὐλαβουμένη τὸν Δία. ἐν τίνι γὰρ ἔμελλεν αὐτὸν εὐλαβεῖσθαι, μηδὲ νόμον λύουσα, ἀλλὰ καὶ εὐσεβῆ

1. διήγησιν] τὴν διήγησιν B.
3. ἀντὶ τοῦ φανερώσω] ἀντιφανερώσω A.
4. καὶ τῆς—οἶστρον] οἶστρον ἢ τρόπον τινὰ A.
6. τὴν σ.] τὴν om. A.
ib. δὲ A. γὰρ B.I.
9. πόνοις — εἰσὶν] πόθοις — ἐσμὲν Matth.
10. ἐχθίστης] μισητῆς A.
ib. ὁπόσαι] ὅσαι A.
17. οἰμώζῃς—τὸ] οἰμώζῃ—τὰ B.I.
26. θεοῖς] τοῖς θεοῖς Fl. 6. 15.
ib. εἶναι om. I.
ib. τὸ et φησὶν add. B.

ἄνδρα σώζουσα· καὶ γὰρ ἀγαθὰ καὶ ἔννομα διαπραττόμενος ἐξουσίαν οὐ δέδωκεν. καὶ γὰρ, εἰ μὴ νόμος με εἶργε, κωλυομένη ὑπό τινος λοιπὸν ἀδεῶς ἐβοήθουν αὐτῷ. B.I.

1338. ἔρρωγε· δὲ ἀντὶ τοῦ συνερράγησαν, συνέπεσον, ἢ συμβεβήκασι. ἔρρευσεν. B. κατὰ σοῦ ἐρράγη τὰ κακά. A.

1346. δίδυμον· τὴν Φαίδραν καὶ τὸν Ἱππόλυτον. B.

1349. δύστηνος ἐγώ· ἐπειδὴ χρησμὸν ἔλαβε παρὰ τοῦ Ἀπόλλωνος ὁ Θησεὺς ὅτι εἰς ὃ ἂν εὔξηται τῷ Ποσειδῶνι τρίτον τελειοῦται αὐτῷ. χρησμοῖς δὲ τοῖς αἰτήμασι, ταῖς κατάραις. εἰσὶ δὲ αἱ εὐχαὶ Θησέως πρὸς Ποσειδῶνα τρεῖς, πρῶτον ἀνελθεῖν ἐξ Ἅιδου, δευτέρου ἐκ λαβυρίνθου, τρίτον Ἱππολύτου θάνατον.

1350. χρησμοῖς· διαβολαῖς. A. αἰτήσεσι. B.

1353. σφάκελος· σπαραγμὸς, ὁ μετὰ ὀδύνης σπασμὸς, κατὰ συγγένειαν τοῦ π εἰς φ. A.B. Fl. 6.

1355. στυγνόν· μεμισημένον τοῦ ἱππασμοῦ. B.

1356. βόσκημα χερός· ἀνάθρεμμα. A. τὸ τραφὲν ταῖς χερσί μου. B.

1360. τὶς ἐφέστηκεν δεξιᾷ· γρ. ἐνδέξια χωρὶς τοῦ ι, ὡς τὸ "ἐνδέξια φῶτα ἕκαστον." B.

1361. πρόσφορα· προσεχόντως. B.

σύντονα δ' ἕλκετε· ἀντὶ τοῦ συντόνως, ἤγουν ἁρμοδίως καὶ προσεχόντως καὶ συμφώνως, μὴ ὁ μὲν ἄνω, ὁ δὲ κάτω, ἀλλ' ἐξ ἴσου βαστάζετε ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μουσικῶν τόνων.

1362. κατάρατον· τὸν κατάραις ἀπολλύμενον. B.

1366. κατάκρας· γρ. κατὰ γᾶς. A.

κατὰ γᾶς· γρ. καὶ κατ' ἄκρας. B.

1373. θάνατος παιάν· σωτὴρ καὶ ἰατρὸς προσέλθοι ὁ θάνατος. B.

1. ἀγαθὰ καὶ] ἀγαθὸς I.
2. κωλιομένη] μὴ κωλυομένη Matth.
4. δὲ ἀντὶ τοῦ om. A.
ib. συνέπεσον] συνέπεσαν A.
ib. ἢ add. A.
8. τρίτον τελειοῦται om. A.
9. ταῖς κατάραις] τοῖς κατὰ κόραις A.
ib. αἱ om. A.
10. πρὸς] ὡς A.
ib. τρεῖς om. A.
13. σπαραγμός om. A., a m.rec. B.
19. ἐνδέξια] Hom. Od. 17, 365. ubi schol. διχῶς, ἐνδέξια καὶ ἐνδεξιά. Conf. schol. ad Il. 7, 184.
23. δὲ add. A.

1375. ἀμφιτόμου: τῆς ἀμφοτέρωθεν κεπτούσης. γρ. καὶ διστόμου. B.

1376. διαμειρᾶσαι: διακόψαι ἐπιθυμῶ καὶ διατεμεῖν. λείπει δὲ τὸ ὥστε. B.

1378. ὦ πατρός: τινὲς τὸ ὦ σχετλιαστικὸν προφέρονται, στίζοντες εἰς αὐτό, ἵν' ᾖ ἡ δύστηνος ἀρὰ τοῦ ἐμοῦ πατρὸς ἐπ' εὐθείας, καὶ συναπτόμενον τοῖς ἑξῆς. τινὲς εἰς τὸ ἀρά τελείαν παρέχουσιν, ἵν' ᾖ καθ' ἑαυτὸ τὸ κῶλον καὶ ὁ τέ σύνδεσμος ὁ ἑξῆς περιττός.

1380. προγεννητόρων: τὸ τῶν προγόνων κακὸν εἰς ἐμὲ ὁρίζεται καὶ φέρεται καὶ ἐπέρχεται εἰς τιμωρίαν. Ἄλλως. ἀπὸ τοῦ ὅρου ἐκείνων εἰς ἐμὲ ἔρχεται τὸ τῶν προγόνων μύσος. ἀναφέρει δὲ καὶ ἐπὶ τὸν τῶν Παλλαντιδῶν φόνον. εἰς δὲ τὸ τί ποτε λείπει ἡ διά, ἵν' ᾖ, διὰ τί ἐπ' ἐμὲ τὸν οὐδὲν ὄντ' ἐπαίτιον τῶν κακῶν. ὁ δὲ ποτὲ παρέλκει.

1386. ἀναλγήτου: πολυαλγήτου. A.B.

1389. ὅτι μὴ ἠθέλησας χρᾶναί τοῦ πατρὸς τὴν εὐνήν. B.

1391. ὀδμῆς: εὐωδίας. B.

1397. κυναγός: Ἀττικῶς. B.

1401. φρονῶ δή: ἐννοῶ τὴν θεὰν, ἥτις μ' ἀπώλεσεν. B.I.

1402. τιμῆς ἐμέμφθη: ὅτι ἐμὲ ἐτίμας, ἐμέμφθης παρ' αὐτῆς, ἢ ὅτι οὐδὲ ὅλως ἐτίμας αὐτήν. Ἄλλως. ἴσθι ὅτι ἐμίσησέ σε σωφρονοῦντα, διότι ἐμέμφθη ὑπὸ σοῦ, καὶ οὐκ ἠξιώθη τιμῆς. A.B.I. Ἄλλως. ἐμέμφθης, φησὶ, τιμῆς χάριν τῆς ἐμῆς, ἀπεχθὴς δέ σοι ἡ Ἀφροδίτη ἐγένετο. A.

1413. τί δ' ἔκτανες: τί μέμφῃ τὰς κατάρας; ἐφόνευσας γὰρ ἄν με καὶ χωρὶς αὐτῶν· οὕτως ἦσθα ὠργισμένος. Ἄλλως. καὶ ἄνευ τῆς κατάρας ἀπώλεσας ἄν με ἐκ τῆς ὀργῆς τοῦ λογισμοῦ.

5. προφέρονται] προσφέρονται I.
6. εἰς αὐτὸ] εἰσ^τ^ A.
ib. ᾖ om. A.
ib. ἐπ' εὐθείας A. (εὐθείας etiam Fl. 6. 15.) εὐθεῖα B.I.
7. τοῖς A. τὸ B. τῷ I.
ib. τινὲς εἰς τὸ ἀρά A. τὰ δὲ εἰς τὸ ἀρά B. Fl. 6. 15. εἰς τὸ ἀρὰ δὲ I.
9. τὸ τῶν π. A. τῶν πι τὸ B.I.
10. ὅρου ἐκείνων] ὄρους ἐκείνου A.
11. καὶ et τὸν A.
12. Παλλαντιδῶν] παλαντιδῶν A.
19. ἥτις] τίς B.
20. ἐμέμφθης παρ' αὐτῆς A.B. Fl. 6. 15. ἐμέμφθη παρὰ σοὶ I.
21. Ἄλλως. ἴσθι] ἢ A.
ib. ἐμίσησε A. ἐμίσει B.I.
ib. σωφρονοῦντα] φρονοῦντα I.
25. κατάρας] κόρας A.

1414. δόξης γὰρ ἥμεν: τῆς ὀρθῆς δοκήσεως τοῦ δικαίου καὶ τῆς ἀληθείας ἡπατημένοι.

1415. φεῦ, εἴθ' ἦν: εἴθε ἦν καταρᾶσθαι ἄνθρωπον θεῷ, ἵνα ἀμύνηται τὸν Ποσειδῶνα ὑπὸ καταρῶν τοῖς θεοῖς.

1417. ἄτιμοι: ἀτιμώρητοι. Fl. 2.

1420. ἐγὼ γάρ: ἐγὼ γὰρ ἐκ τῆς ἐμῆς χειρὸς ἐν τοῖς ἀφύκτοις βέλεσι τιμωρήσομαι ἄλλον, ὅστις ἂν τύχῃ φίλτατος αὐτῆς τῆς Ἀφροδίτης ἀπὸ τῶν ἀνθρώπων. εἰς τὸν Ἄδωνιν δὲ αἰνίττεται, ὥς τινές φασιν. λῆρος δὲ τὸ τοιοῦτον. οὐ γὰρ τόξοις Ἀρτέμιδος ἀπώλετο ὁ Ἄδωνις, ἀλλ' ὑπ' Ἄρεως. ἄδηλον οὖν τίνα φησί.

1425. κόραι γάρ: ἐν Τροιζῆνι γὰρ ἠρίον Ἱππολύτου, ἐν ᾧ ἀποκείρονται αἱ μελλόνυμφοι διὰ τοῦ μέλλοντος χρόνου ἀπολαύουσαι ἐν ᾅδου.

1428. μουσοποιός: ὑμνητική. B.

1432. προσέλκυσαι: πρόσπτυξαι. B.

1437. οὐ θέμις: καὶ ἐν τῇ Ἀλκήστιδι ὁ Ἀπόλλων "ἐγὼ δὲ, μὴ μίασμά μ' ἐν δόμοις κίχῃ, λείπω μελάθρων τῶνδε φιλτάτην στέγην. B.I.

1441. μακράν: τὴν πολυχρόνιον καὶ παλαιὰν βουλομένης σου καὶ κελευούσης. B.

1445. κατόρθωσον: ὀρθὸν κατάκλινον, ὅπερ εἰώθασι ποιεῖν ἐπὶ τῶν ἀποθνησκόντων.

1448. χέρα: γρ. φρένα. B.

1462. κοινόν: τοῦτο ὁ χορὸς ἐπιλέγει, Ἱππολύτου ἀποθανόντος.

1. καὶ et ἡπατημένοι om. A., sic habet gl. ἠπατημένοι.
3. θεῷ] θεὸν A.
4. ὑπὸ καταρῶν τοῖς θεοῖς om. A.
6. ἐγὼ γὰρ ἐκ A. γὰρ om. B.I.
7. φίλτατος A.B. Fl. 6. 15. φίλτατα I.
8. δὲ om. A.
9. φασιν add. A.
10. ὁ add. A.
ib. ὑπ'] ἀπ' A.
ib. Ἄρεως] ἄρεος A.
ib. τίνα] τί A.
11. Τροιζῆνι] τροιζηνία A. in quo lemma ἐν πόλει τροιζηνίᾳ.
ib. γὰρ ἠρίον A. ἱερὸν B.I.
ib. ἐν add. A.
12. διὰ—ᾅδου om. A.
ib. ἀπολαύουσαι B. Fl. 6. ἀπολαβοῦσαι Fl. 15. ἀπολαυούσας I.
16. καὶ—'Απόλλων om. I.
ib. 'Αλκήστιδι] V. 22.
17. μίασμά μ' ἐν δόμοις κίχῃ om. I.
ib. φιλτάτην στέγην] φιλτάτῃ στέγῃ B.
24. τοῦτο] τοῦτο δὲ A. verbis τοῦτο δὲ—ἀποθανόντος post ἀπροσδοκήτως positis.

κοινὸν, φησὶ, τοῦτο τὸ πάθος πᾶσι τοῖς πολίταις κατέλαβεν ἀπροσδοκήτως.

1449. οὐ δῆτ' : λέγω σε ἄναγνον δῆτα. Fl. 6.

1457. κεκαρτέρηται : ἀντὶ τοῦ παρέρχεται. B.

1464. πίτυλος : ὁρμὴ, φορὰ, πλήμμυρα. οἱ γὰρ ἀναξίως πάσχοντες θρῆνον ἐμποιοῦσι. αἱ γὰρ ἀξιοπενθεῖς φῆμαι τῶν λαμπρῶν μᾶλλον ἐπικρατοῦσι. τὸ μᾶλλον γὰρ ἀντὶ τοῦ μάλιστα, συγκριτικὸν ἀντὶ τοῦ ὑπερθετικοῦ.

πίτυλος : πλῆθος. θόρυβος, χύσις. A.B. Fl. 6.

1. φησὶ om. A.
5. φορὰ] ϕ^n πλῆθος A.
ib. πλήμμυρα A. πλημμέλημα B.I.
7. μᾶλλον ἐπικρατοῦσι. τὸ om. I.
ib. μᾶλλος γὰρ] μᾶλλον δὲ I.

ΕΚΑΒΗ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΕΚΑΒΗΣ.

I.

ΜΕΤΑ τὴν Ἰλίου πολιορκίαν οἱ μὲν Ἕλληνες εἰς τὴν ἀντιπέραν Τρῳάδος Χερρόνησον καθωρμίσθησαν· Ἀχιλλεὺς δὲ νυκτὸς ὀραθεὶς σφαγῆναι ἠξίου μίαν τῶν Πριάμου θυγατέρων. οἱ μὲν οὖν Ἕλληνες τιμῶντες τὸν ἥρωα Πολυξένην ἀποσπάσαντες Ἑκάβης ἐσφαγίασαν· Πολυμήστωρ δὲ ὁ τῶν Θρᾳκῶν βασιλεὺς ἕνα τῶν Πριαμιδῶν Πολύδωρον κατέσφαξεν. εἰλήφει δὲ τοῦτον παρὰ τοῦ Πριάμου ὁ Πολυμήστωρ εἰς παρακαταθήκην μετὰ χρημάτων. ἀλούσης δὲ τῆς πόλεως κατασχεῖν αὐτοῦ βουλόμενος τὸν πλοῦτον φονεύειν ὥρμησεν, καὶ φιλίας δυστυχοῦς ὠλιγώρησεν. ἐκριφέντος δὲ τοῦ σώματος εἰς τὴν θάλασσαν τὸ κλυδώνιον πρὸς τὰς τῶν αἰχμαλωτίδων σκηνὰς αὐτὸν ἐξέβαλεν. Ἑκάβη δὲ τὸν νεκρὸν θεασαμένη ἐπέγνω· κοινωσαμένη δὲ τὴν γνώμην Ἀγαμέμνονι Πολυμήστορα σὺν τοῖς παισὶν αὐτοῦ ὡς ἑαυτὴν μετεπέμψατο, κρύπτουσα τὸ γεγονὸς, ὡς ἵνα θησαυροὺς ἐν Ἰλίῳ μηνύσῃ αὐτῷ· παραγενομένου δὲ τοὺς μὲν υἱοὺς κατέσφαξεν, αὐτὸν δὲ τῶν ὀφθαλμῶν ἐστέρησεν. ἐπὶ δὲ τῶν Ἑλλήνων λέγουσα τὸν

2. Ὑπόθεσις in A.B. nulla est. Quod primo loco posui Argumentum ex Paris. 2712. primum edidit Brunckius. Legitur etiam, etsi nulla cum memorabili scripturae diversitate in Gu. (i. e. Guelferbytano), Vencto Marciano 468., Florentinis 9, 18, 33., Havniensi 3549. aliisque. Est grammatici recentis.

4. εἰς τὴν ἀντιπέραν] εἰς ἀντιπέρων Fl. 9. 18. εἰς τὰ ἀντίπερα Fl. 33.

6. σφαγῆναι] σφάγιον Marc. 468.

11. κατασχεῖν — ὥρμησεν] κατασχεῖν τὸν χρυσὸν βουλόμενος τοῦ φονεύειν τὸν παῖδα ὥρμησεν Marcianus 468.

12. ἐκριφέντος] ἐκριφθέντος Fl. 9. 18.

15. ὡς ἑαυτὴν — κρύπτουσα] πρὸς αὐτὴν—κρύψασα Marc. 468.

16. ἵνα addidi ex Gu. Fl. 9. 18.

17. παραγενομένου] παραγενομένῳ Par. 2712. et Gu.

18. τῶν ὀφθαλμῶν] τῆς ὁράσεως Marc. 468.

κατήγορον ἐνίκησεν. ἐκείθη γὰρ οὐκ ἄρχειν ἀμείνονος, ἀλλ' ἀμύνασθαι τὸν κατάρξαντα.

II.

Μετὰ τὴν Τροίας ἅλωσιν ἅπαντες οἱ Ἕλληνες καθωρμίσθησαν ἐν τῇ ἀντιπέραν Χερρονήσῳ τῆς Θρᾴκης, ἧς Πολυμήστωρ ἦρχεν· οὗ δὴ καὶ κειμήλιον ἔχωσαν Ἀχιλλεῖ ἐν Τροίᾳ ταφέντι. διατρίψαντες δὲ ἐκεῖ ἡμέρας δή τινας, ἐφ' ᾧ τὰ αὐτῶν εὖ διαθήσονται, ἐπεὶ ἀναχθήσεσθαι ἔμελλον, φανὲν τὸ τοῦ Ἀχιλλέως εἴδωλον ἐπὶ τοῦ τάφου ἐπέσχε τοὺς Ἀχαιοὺς τῆς ἀναγωγῆς, αἰτοῦν γέρας αὐτῷ δοθῆναι τὴν παῖδα Πριάμου Πολυξένην, τὴν καὶ πρότερον κατεγγυηθεῖσαν αὐτῷ ὑπὸ τοῦ πατρός, δι' ἣν καὶ ὑπὸ Πάριδος καὶ Δηϊφόβου τεξευθεὶς ὄλωλεν, ὅτε τὰς ἐγγύας πρὸς τοῦτον πληροῦν ἔμελλε Πρίαμος. Ἕλληνες μὲν οὖν ὧν εὖ ἔπαθον ὑπ' αὐτοῦ μεμνημένοι καὶ τιμῶντες τὴν ἀρετὴν τοῦ ἀνδρὸς ἐψηφίσαντο σφάξαι τὴν Πολυξένην ἐπὶ τῷ τάφῳ τοῦ ἥρωος. ἔπεμψαν δὲ τὸν τοῦ Λαέρτου Ὀδυσσέα πρὸς τὴν μητέρα αὐτῆς Ἑκάβην, ὡς ἂν τήν τε παρθένον λάβῃ καὶ τῷ πεικίλῳ τῶν λόγων, τοιοῦτος γὰρ ἦν ὁ ἀνήρ, πείσῃ Ἑκάβην μὴ δυσχερῶς σχεῖν ἐπὶ τῇ τῆς παιδὸς ἀφαιρέσει. ἐλθὼν οὖν Ὀδυσσεὺς, τήν τε κόρην συναιρομένην εἶρεν αὐτῷ τῆς σπουδῆς, καὶ πείσουσαν τὴν μητέρα ὡς τὸ τεθνήξεσθαι μᾶλλον αὐτῇ πρισῆκον ἢ τὸ ζῆν παρ' ἀξίαν. σφαγείσης δὲ τῆς παρθένου Ἑκάβη θεράπαιναν αὐτῆς ἔπεμψε παρὰ τὰς ἀκτὰς, ἐφ' ᾧ ὕδωρ ἐκεῖθεν κομίσαι πρὸς λουτρὸν Πολυξένης. εὗρε δὲ Πολύδωρον ἐκεῖ κείμενον· ἀλοῦσαν γὰρ ὡς ἔγνω τὴν Τροίαν Πολυμήστωρ, σφάξας αὐτὸν ἔρριψεν εἰς τὴν θάλασσαν, ὡς ἂν αὐτὸς ἔχῃ τὸν χρυσὸν, ὃν πρὸς αὐτὸν μετὰ τοῦ παιδὸς Πολυδώρου πρώην Πρίαμος ἔπεμψε λάθρα, ἐπειδὴ ἑώρα τὸ Ἴλιον πρὸς κίνδυνον

4. Hanc ὑπόθεσιν, Thoma Magistro dignam, primum edidit Aldus, subjectam Vitae Euripidis ab Thoma scriptae, praescripto ἡ ὑπόθεσις τοῦ δράματος οὕτως ἔχει. Legitur cum eodem lemmate in B. (i. e. codice Parisino 2713.) in parte codicis ab manu seculi quinti decimi scripta, aliisque ejusdem aetatis codicibus pluribus, quos memorari operae pretium non est, vel iisdem verbis perscripta vel compendifacta, ut in Havniensi.

9. αὐτῷ Barnesius pro αὐτῷ.
15. τοῦ λαέρτου B. τοῦ om. Ald.
17. ἦν om. B.
18. τῆς om. B.
20. τὸ τεθνήξεσθαι B. τὸ om. Ald.

ἤδη χωρεῖν. ἦν δὲ ὁ χρυσὸς οὗτος πολὺς ἄγαν, καὶ ἱκανὸς ὀρθῶσαι καὶ αὖθις τὸ γένος τοῦ Πριάμου. ὁ δὲ Πολυμήστωρ τῶν ἄγαν φίλων Πριάμου. ὡς οὖν τοῦτον εὗρεν ἡ δούλη κείμενον ἐπ' ἀκταῖς, ἀνελομένη καὶ τῷ πέπλῳ εἱλίξασα κομίζει πρὸς τὴν Ἑκάβην, καὶ ἣ τὸν τῆς Πολυξένης νεκρὸν, πρὶν ἐκκεκαλύφθαι τοῦτον, εἶναι νομίσασα, ἐπειδὴ ἔγνω Πολύδωρον, ἀθλίως τε ἔσχε, καὶ ὅπως ἀμυνεῖται τὸν Πολυμήστορα, μηχανᾶται τοιόνδε· κοινωσαμένη πρότερον τὴν περὶ τούτου γνώμην Ἀγαμέμνονι πέμπει τὴν αὐτῆς δούλην ὡς Πολυμήστορα, αὐτόν τε καὶ τὰ τέκνα πρὸς αὐτὴν μετακαλουμένη ἐφ' ᾧ περί τινος ἀναγκαίου πρὸς αὐτὸν κοινώσασθαι. οὗτος μὲν οὖν ἀγνοῶν ὅτι Πολύδωρος εὕρηται παρὰ τὰς ἀκτὰς, καὶ ἅμα καί τισιν ἐλπίσιν ὑποκλαπεὶς μετὰ τῶν παίδων πρὸς αὐτὴν ἀφικνεῖται. Ἑκάβη δὲ πρὸς αὐτὸν τούτου χάριν ἔφη κεκληκέναι, ἵνα χρυσοῦ θησαυρὸς κεκρυμμένους ὑπ' αὐτῆς ἐν Ἰλίῳ μηνύσῃ. εἰσάγει δὲ καὶ τῆς σκηνῆς ἔνδον εἰποῦσα, ὡς ἂν καὶ ἕτερ' ἄττα αὐτῷ δώσει χρήματα, μεθ' ὧν ἐξῆλθε τῆς Τροίας. ἐκέκρυπτο δὲ εἴσω πλεῖστος γυναικῶν ὄχλος· σὺν αἷς τοῦτον εἰσελθόντα Ἑκάβη ὀφθαλμῶν τε στερεῖ καὶ τὰ τέκνα αὐτοῦ ἀποσφάττει. δικάσαντος δὲ αὐτοὺς τοῦ Ἀγαμέμνονος ὕστερον, καὶ τοῦ Πολυμήστορος πολλὰ περὶ τῆς σφαγῆς Πολυδώρου διαπλασαμένου, Ἑκάβη περιεγένετο, ἐλέγξασα αὐτὸν ὡς τοῦ χρυσοῦ χάριν, καὶ οὐχ ὧν προὔτεινε, τὸν παῖδα ἀνεῖλε, σύμψηφον σχοῦσα καὶ Ἀγαμέμνονα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ ἀντιπέραν τῆς Τροίας Χερρονήσῳ· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν αἰχμαλωτίδων Τρῳάδων, συμμαχησασῶν τῇ Ἑκάβῃ.

2. τοῦ Πριάμου] τοῦ om. B.
ib. ὁ δὲ Πολυμήστωρ — Πριάμου] Haec addidi ex B.
4. τῆς Πολυξένης] τῆς om. B.
6. τὸν Πολυμήστορα B. τὸν om. Ald.
8. αὐτῆς] αὐτῆς B. Ald.
9. αὐτὴν B. ἑαυτὴν Ald.
ib. ἐφ' ᾧ addidi ex B.
11. ἐλπίσιν addidi ex B.
19. Πολυδώρου om. B.
ib. διαπλασαμένου] πλασαμένου B.
23. τροίας B. θράκης Ald.
24. Post Χερρονήσῳ B. reliquis omissis pergit, ἔστι δὲ τὰ τούτου πρόσωπα εἴδωλον πολυδώρου ἑκάβη. χορὸς ἐκ τρωάδων αἰχμαλωτίδων. πολυξένη. ὀδυσσεύς. ταλθύβιος. θεράπαινα ἑκάβης. ἀγαμέμνων. πολυμήστωρ.

III.

Στίχοι πολιτικοὶ τοῦ Τζέτζου.

Πολύδωρον Ἑκάβης τε καὶ τοῦ Πριάμου παῖδα
ὁ Πολυμήστωρ ἔκτεινεν ὁ τῶν Θρᾳκῶν κατάρχων,
ἀφ' οὗ τὴν Τροίαν ἔμαθεν Ἕλλησι πορθηθῆναι,
καὶ κτείνας εἰς τὴν θάλασσαν ἔρριψε τὴν ἐκεῖσε,
καίπερ λαβὼν παρὰ πατρὸς ὅπως αὐτὸν φυλάσσοι.
Ἑκάβης αἰχμαλώτου δὲ οὔσης ἐν Χερρονήσῳ,
ἐκεῖ γὰρ καὶ τὸ στράτευμα ὑπῆρχε τῶν Ἑλλήνων,
ἵναρ φανεὶς Πολύδωρος τῇ σφῇ μητρὶ Ἑκάβῃ,
ὅπως αὐτὸν ἀπέκτεινεν ὁ Πολυμήστωρ λέγει,
καὶ τὰ λοιπὰ δὲ σύμπαντα λεπτομερεῖ τῷ λόγῳ.
οὕτω κατ' ἔπος λέγει δὲ διὰ τοῦ Εὐριπίδου,
ἥκω νεκρῶν κευθμῶνα τε καὶ πύλας ἀφεὶς σκότου,
ἔκτοτε τοῖς φυγοῦσι δὲ δεινοῖς ἐξ ἀρρωστίας,
ὡς ἐγερθεὶς ἐκ τῶν νεκρῶν λέγομεν τὰ τοιαῦτα·
τοῖς μὴ μαθοῦσι γράφομεν, οὐ τοῖς μαθοῦσι ταῦτα.

Τοῦ Χορτασμένου.

Κἀντεῦθεν ἆν κατίδοι τις τοῦ ζωτικοῦ τὴν φύσιν
καὶ τὴν σπουδὴν τὴν ἄμετρον, ἣν ἔχει περὶ λόγους·
τοῦ γὰρ βιβλίου τουτουὶ μηδενὸς στερουμένου,
μηδ' ἐνδεῶς τυγχάνοντος ὥνπερ προσῆκεν ἔχειν,
τὸν Εὐριπίδην τὸν σοφὸν ποιητικῆς τὸ κλέος,
ὁ δ' ὥσπερ οὐκ ἀρκούμενος τοῖς ὧδε γεγραμμένοις,
καὶ τοὺς παρόντας τουτουσὶ γραμματικοῦ τοῦ Τζέτζου
στίχους προσέθηκεν αὐτῷ μηδόλως ἀμελήσας,
μηδ' ἀνασχόμενος εἰπεῖν τινὰ τῶν περὶ λόγους,
ὡς ἄρα τούτου κάλλιον ἐκτήσατο βιβλίον.

2. Tzetzae versus edo ex parte recenti codicis (B.) Parisini 2713. Versus undecim primos ex Fl. 33. ediderat Matthiae vol. 6. p. 3.
7. φυλάσσοι] φυλάττῃ Fl.
8. δὲ] τε Fl.
11. ὅπως] τὸ πῶς Fl.
14. σκότος] Aut σκότους scripsit aut σκότου.

IV.

Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ Μανουὴλ τοῦ Μοσχοπούλου περὶ τοῦ εἰδώλου.

Ἐπειδὴ περὶ τοῦ εἰδώλου προεθέμεθα εἰπεῖν, τοῦτο δὲ τὸ ὄνομα γλώσσαις μὲν ἁπάσαις προβέβληται, οὐδέπω δὲ σεσαφήνισται, ἀλλ᾽ ἔστιν οἷ καὶ διαφόρως ἐννοίαις ἐκφέρεται, χρεὼν εἰπεῖν τί ποτε τοῦτό ἐστι καὶ πόθεν εἴληφε τὴν συνθήκην. πῇ μὲν γὰρ εἴδωλα τῶν σωμάτων φαμὲν τὰς ψυχάς, καὶ ῥήτορα εἰδωλοποιὸν ὀνομάζομεν τὸν ταῖς ἀπελθούσαις τῶν σωμάτων ψυχαῖς λόγους περιτιθέμενον. φιλόσοφοι δὲ ξύμπαντες τὰ χείρονα εἴδωλα τῶν κρειττόνων φασίν. οὕτω γὰρ κἀπὶ τῆς συνηθείας ἔστιν εἰδεῖν· οὗτος μὲν γὰρ ὁ χαλκοῦς ἀνδριὰς Ἡρακλέους εἴδωλον, ὁδε δὲ Θησέως· καὶ ἡ χαλκῆ λύκαινα, ἡ τοὺς μαστοὺς ὑποτιθεῖσα τοῖς βρέφεσι, ποιήματα μὲν παλαιᾶς ἐργασίας, εἴδωλα δὲ ἀληθείας, καθ᾽ ἣν Ῥῆμος καὶ Ῥώμυλος ὑπὸ τοῦ Φαιστύλου ῥιφέντες ἐπὶ τὴν ἀκτὴν τῆς ζώσης λυκαίνης τοὺς μαστοὺς εἵλκυσαν. τίς οὖν ὁ τῆς διαφορᾶς λόγος; ἐγὼ γοῦν φημι λογισάμενος καὶ ἐκτιθέμενος ὡς ἡ ψυχὴ οὐ πέφυκεν εἴδωλον, ἀλλὰ τὸ σῶμα τῆς ψυχῆς, ὡς χεῖρον κρείττονος· ἐπεὶ δὲ αἱ ψυχαὶ φανταζόμεναι σωματικοῖς τυποῦνται μορφώμασι πρὸς τὴν τῶν ὁρώντων δύναμιν, ἀσαφέσι μέντοι καὶ συγκεχυμένοις, καὶ τὸ ὅλον σκιώδεσι, διὰ ταῦτα λέγονται τῶν σωμάτων εἴδωλα· σῶμα μὲν γὰρ καὶ τὸ σχῆμα ὄρθιον καὶ τὴν ἀφὴν στερρὸν καὶ ἀντιτυπές, καὶ τὸ χρῶμα ἔνι λευκὸν καὶ βαρὺ καὶ γεῶδες καὶ ἀέρι μὴ ἐπισχύμενον, ἡ δὲ τοῦ Πολυδώρου ψυχὴ οὐχ οὕτω τῇ Ἑκάβῃ ἐφαίνετο, ἀλλὰ ζοφερὸν καὶ σκιᾷ παρόμοιον καὶ δυσείκα-

2. Moschopuli περὶ τοῦ εἰδώλου disputatio, Hecubae, in qua Polydori εἴδωλον in scenam producitur, praefixa in codicibus Byzantinis multis legitur, primum edita ab Aldo post Moschopuli Vitam Euripidis: unde inscriptum ei est τοῦ αὐτοῦ περὶ εἰδώλου. Inscriptio ab me posita ex codice sumta est Dresdensi (D. 22.) de quo dixi ad Scholia in Sophoclem vol. 2. p. 408. Habet etiam codex Parisinus (B.) 2713. in parte ab manu seculi quinti decimi scripta, post Tzetzae versus supra appositos, cum lemmate περὶ τοῦ εἰδώλου. Pars postrema inde ab verbis τῶν σωμάτων μὲν Πλάτων usque ad ἐπεφημίσθη εἴκασμα legitur etiam in codice Guelferbytano in initio scholiorum ad Hecubam.

12. ὅδε δὲ B. et Dresd. ὁ δὲ Ald.
14. Ῥῆμος Musgr. pro Ῥᾶμος.
15. μαστοὺς] μαζοὺς Dresd.
21. ὄρθιον B. Dresd. ὄρθριον Ald.
22. καὶ βαρὺ] καὶ om. B.

στιν· διὰ γοῦν τὴν τοιαύτην μορφὴν, τὴν ἀσαφῆ καὶ συγκεχυμένην. εἰδωλά φασιν οἱ σοφοὶ τὰς ψυχὰς τῶν σωμάτων· καὶ Πλάτων γοῦν ἐν τῷ Φαίδωνι τὰ ἐν τοῖς τάφοις φαινόμενα σκιοειδῆ φαντάσματα ψυχὰς φιλοσωμάτους ἐνόμασεν, ὡς μηδὲ μετὰ τὴν ἐντεῦθεν ἀπόδημίαν πρὸς τὸ καθαρὸν ἀνιοῦσας φῶς. ἀλλ' ἔτι τῶν σωμάτων ἐχομένας, ἃ δὴ διὰ τὰς ἀνθρωποειδεῖς ἠγαπήκασιν ἡδονάς· διὰ ταῦτα μὲν οὖν εἴδωλον σωμάτων ἡ ψυχὴ, αὖθις δὲ σῶμα ψυχῆς εἴδωλον, ὅτιπερ ὁ τούτῳ ἐφθαλμὸς, ἐκείνῃ ὁ νοῦς· καὶ ὃ τούτῳ ἀφὴ, ἐκείνῃ πάλιν ἐξεταστικὴ· καλλίων δὲ νοῦς ἐφθαλμοῦ καὶ κρείττων ζήτησις δυνάμεως ἁπτικῆς· διὰ ταῦτα πάλιν εἴδωλον τὸ σῶμα τῆς ψυχῆς. τὸ δὲ ὅλον τοῦτο ὁ Χριστιανῶν ἐμυσάχθη θεσμὸς, ὅτι δὴ τοῖς Ἑλληνικοῖς θεοῖς ἐπεφημίσθη εἶκασμα.

3. φαντάσματα] πλάσματα Gu
4. ἐντεῦθεν] ἐνταῦθα Gu.
6. ἃ] ἃ Gu.

ΔΗΜΗΤΡΙΟΥ ΤΡΙΚΛΙΝΙΟΥ

ΠΕΡΙ ΜΕΤΡΩΝ ΕΚΑΒΗΣ.

1.—58. Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ μονοστροφικῆς περιόδου· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι νή, ὧν ὁ τελευταῖος "φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας." ἐπὶ τῷ τέλει κορωνίς.

59.—99. Τὰ τοιαῦτα εἴδη καλεῖται συστήματα ἐξ ὁμοίων κατὰ περιορισμοὺς ἀνίσους. σύστημα δέ ἐστιν, ὡς Ἡφαιστίων φησὶ, μέτρων συναγωγὴ ἤτοι δύο, ἢ πλειόνων, ἢ ὁμοίων, ἢ ἀνομοίων. ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν, Λακωνικὸν καλούμενον διὰ τὸ τὸν Λάκωνα Ἀλκμᾶνα τούτῳ πρῶτον χρήσασθαι. εἰσὶ δὲ τὰ μὲν τῶν κώλων δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων καταληκτικὰ δίμετρα, ἤτοι ἐφθημιμερῆ. ἢ μέτρον καλεῖται παροιμιακὸν, διὰ τὸ πολλὰς παροιμίας τούτῳ τῷ μέτρῳ γεγράφθαι. τὸ μέντοι ιϛ′ κῶλον, τὸ

9. Ἡφαιστίων] Cap. 4. p. 119. ed. Gaisf. secundae.

10. Λακωνικὸν] Hoc nomen Hephaestio c. 8. p. 50. tetrametris tribuit anapaesticis qui spondeum ante catalexin habeant, cujus hoc affert exemplum, ἄγετ', ὦ Σπάρτας ἔνοπλοι κοῦροι, ποτὶ τὰν Ἄρεος κίνασιν, quem versum Alcmanis esse conjecit Valckenarius apud Santen. ad Terent. Maur. p. 79., alii Tyrtaeo tribuunt, collatis versibus quos ex Λακωνικοῖς ἐμβατηρίοις attulit Dio Chrys. vol. 1. p. 92. ἄγετ', ὦ Σπάρτας εὐάνδρου | κοῦροι πατέραν πολιητᾶν etc. quos Tyrtaei esse colligi potest ex iis quae Dio ib. p. 82. de versibus Tyrtaei ὑπὸ φάλαγγος ἐνόπλου cantatis dixit: unde factum ut versibus loco altero allatis scholiasta ab Morello memoratus adscriberet, παρακλητικὰ ἐκ τῶν Τυρταίου, et Tzetza Histor. 1, 696. eos Tyrtaeo tribueret, praeeunte, ut ait, Dione Chrysostomo, etsi ab hoc sine nomine poetae sunt appositi.

13. πολλὰς παροιμίας] Proverbia metro paroemiaco scripta collegit Meinekius in Appendice ad Theocritum p. 454.—469.

14. ιϛ′] ις^{ον} B. (ut mox λξ^{ον} et λς^{ον} pariterque in scholio v. 100.) ἑκκαιδέκατον I. qui numeros modo plene scriptos exhibet modo literis expressos. De quo semel monemus. Hic autem vitiosum est ιϛ′, etsi incerta est correctio, quum nesciamus quomodo dactylos, qui in hoc

λδ′ καὶ τὸ λς′ μονόμετρά ἐστιν ἀκατάληκτα, ὃ καὶ ἀναπαιστικὴ ὀνομάζεται βάσις, τὰ δὲ πάντα κῶλα τοῦ συστήματος εἰσὶ λή, ὧν τελευταῖον "πέμψατε, δαίμονες, ἱκετεύω." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ τῷ τέλει κορωνίς. B.I.

93. Οὕτω δὲ χρὴ γράφειν καὶ ταῦτα τὰ κῶλα, ἵν' ᾖ δίμετρα, ὡς τὰ πολλά. ἐν γὰρ τοῖς ἀναπαιστικοῖς μονόμετρα μόνον διὰ μέσου εὕρηται, οὐ μὴν καὶ δίμετρα καταληκτικά, ἀλλ' ἐν μόναις ταῖς ἀποθέσεσι. διὰ τοῦτο οἶν οὕτως ὠρθώθη παρ' ἡμῶν· εἰ δέ τις μέμφοιτο τὰς προθέσεις, ἀλλ' ἴστω ὡς οὐκ ἂν ἔχοι τις ἄλλως ταυτὶ διορθώσασθαι.

100.—154. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται συστήματα ἐξ ὁμοίων κατὰ περιορισμοὺς ἀνίσους, ὡς εἴρηται. ἔστι δὲ καὶ τοῦτο τὸ μέτρον ἀναπαιστικόν, Λακωνικὸν καλούμενον. εἰσὶ δὲ τὰ μὲν τῶν κώλων δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων καταληκτικά, ἤτοι ἐφθημιμερῆ, ὃ μέτρον καλεῖται παροιμιακόν, ὡς εἴρηται. τὸ μέντοι ις′ κῶλον, τὸ κέ, τὸ μ′, τὸ ν′ καὶ τὸ νέ μονόμετρά εἰσιν ἀκατάληκτα. τὰ δὲ πάντα κῶλα τοῦ συστήματος νς′, ὧν τὸ τελευταῖον "δειρῆς νασμῷ μελαναυγεῖ." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

155.—177. Σύστημα κατὰ περικοπὴν ὁμοιομερές· ἐξ ὁμοίων γὰρ σύγκειται ἀναπαιστικῶν κώλων. ἔστι δὲ καὶ τοῦτο κατὰ περιορισμοὺς ἀνίσους. τὰ δὲ κῶλα πάντα αὐτοῦ κγ′, ὧν τελευταῖον "σᾶς ψυχᾶς ἀΐω φάμαν." εἰσὶ δὲ τὰ μὲν δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν

carmine anapaestis sunt interpositi, in versus vel breviores vel longiores diviserit Triclinius. Monometros λδ′ et λς′ manifestum est dici verba v. 95. φάντασμ' Ἀχιλέως et v. 97. τινὰ Τρωϊάδων. In praecedentibus duo reperiuntur monometri, v. 83. ἔσται τι νέον et v. 86. ῥῖσσει, ταρβεῖ, eo loco positi ut manifestum sit numerum denarium, quem praebet ἑκκαιδέκατον vel ις′, in vicenarium esse mutandum. Itaque corrigendum videtur, τὸ μέντοι κγ′ καὶ κς′ κῶλον—.

5. Οὕτω δὲ χρὴ—] Haec annotatio in I. adjuncta est scholio v. 88. post verba οἷον τίς γένωμαι καὶ πῆ τράπωμαι, errore manifesto. Kingius inseruit scholio v. 93. post verba καὶ τόδε ὃ μέλλω εἰπεῖν φόβημά ἐστιν, nec dubitandum quin ad κῶλα pertineat verbis οἰκτρῶς καὶ τόδε μοι δεῖμα finita, etsi nescimus quomodo Triclinius haec in ordinem redigere sit conatus.

6. πολλά] Temere King. λοιπά. Nam τὰ πολλὰ dicit Triclinius quia versus hujus carminis non omnes sunt anapaestici.

15. τὸ μέντοι—καὶ τὸ νέ] Versus dicit qui sunt in editione nostra 115. 124. 139. 149. 153.

16. εἰσιν] ἔστιν B.

ἀποθέσεων καταληκτικά. τὸ μέντοι ζ΄ κῶλον καὶ τὸ ιζ΄ μονόμετρά ἐστιν ἀκατάληκτα, τὸ δὲ ιε΄ τροχαϊκὸν ἰθυφαλλικόν. τίθευται γὰρ καὶ τὰ τοιαῦτα συστήματα ἐν μέσῳ τῶν ἀναπαιστικῶν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει ὡσαύτως. B.I.

163. ποίαν—: οὕτω δὲ χρὴ γράφειν ταῦτα τὰ κῶλα καὶ τὰ ἑξῆς ὡς διωρθώθη παρ' ἡμῶν, ἵν' ἔχῃ πρὸς μέτρον ὀρθῶς.

178.—215. Σύστημα ἕτερον κατὰ περικοπὴν ἀμοιβαῖον, ὁμοιομερές· ἐξ ὁμοίων γὰρ σύγκειται ἀναπαιστικῶν κώλων. εἰσὶ δὲ πάντα τὰ κῶλα λθ΄, ὧν τελευταῖον "κρείσσων συντυχί" ἐκύρησεν." εἰσὶ δὲ τὰ μὲν δίμετρα ἀκατάληκτα. τὰ δὲ τῶν ἀποθέσεων καταληκτικά. τὸ δὲ δ΄ καὶ τὸ ια΄, τὸ ιδ΄, τὸ ις΄, τὸ κζ΄, καὶ τὸ λγ΄ μονόμετρα καὶ πενθημιμερῆ· τὸ μέντοι ε΄ τροχαϊκόν ἐστι πενθημιμερὲς καὶ τὸ λδ΄ ὁμοίως ἑφθημιμερές. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς· τέλος γὰρ ἔχει τὰ ἀναπαιστικά. B.I.

200. λώβαν: οἱ γράφοντες "λώβαν ἐχθίσταν" ἀγνοοῦσι τὰ μέτρα· σὺ δὲ μαθὼν μὴ γράφε τοῦτο· δίμετρον γὰρ ὀφείλει εἶναι τὸ κῶλον, ὡς καὶ τὰ λοιπά· διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ.

216—437. Αἱ περίοδοι αὗται πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σκή, ὧν τελευταῖος "αἴσχιστα Τροίαν εἶλε τὴν εὐδαίμονα." ἐπὶ τῷ τέλει μὲν τῶν ἀποθέσεων παράγραφος, ἐπὶ τῷ τέλει δὲ πάντων τῶν στίχων κορωνὶς, ἐξιόντων τῶν ὑποκριτῶν.

444.—465. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν. κατὰ σχέσιν δέ ἐστιν, ὡς Ἡφαιστίων φησὶν, ὅσα δουλεύων ὁ ποιητὴς ἀνταποδόσει καὶ ἀνακυκλήσει γράφει. εἰσὶ δὲ τὰ παρόντα δύο στροφαί. τῆς μὲν οὖν πρωτέρας στροφῆς τὰ κῶλα ια΄, καὶ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α΄ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς Φερεκράτειον, ἐξ ἐπιτρίτου α΄ καὶ βακχείου. τὸ β΄ ὅμοιον δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου δ΄, διιάμβου καὶ συλλαβῆς ἀδιαφόρου. τὸ γ΄ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ

2. ἰθυφαλλικὸν] φαλικὸν I.
5. οὕτω δὲ—] Praecedit in I. scholion τοῦτο λέγει—ἐπικαλέσεται.
9. συντυχί] ξυντυχί B.
19. σκή] Immo σκς΄.
22. κατὰ σχέσιν. κατὰ σχέσιν δέ] κατάσχεσις. κατάσχεσις δέ I. Correxit Kingius.
23. Ἡφαστίων] C. 7. p. 122.
24. ἀνταποδόσει] ἀνταποδώσει I. Correctum ex Heph.
ib. γράφει additum ex Heph.
25. πρωτέρας στροφῆς—ἀντιστροφῆς] V. 444.—454. et 455.—465.

ἰωνικοῦ ἀπὸ μείζονος, τροχαϊκῆς συζυγίας, ἤτοι διτροχαίου. καὶ ἰωνικοῦ ἡμίσεως· ἐν μέντοι τῷ τῆς στροφῆς κώλῳ παίωνα β' ἔχει ἀντὶ ἰωνικοῦ. τὸ δ' δίμετρον ὑπερκατάληκτον· καλεῖται δὲ περίοδος διὰ τὸ συγκεῖσθαι ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας· ἔστι δε τῶν ἀσυναρτήτων. τὸ ε' ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ τροχαϊκῆς συζυγίας, ἤτοι διτροχαίου. τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ' ἰωνικὸν ὅμοιον τῷ ε'. τὸ η' ὅμοιον δίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β', καὶ συλλαβῆς μιᾶς. τὸ θ' χοριαμβικὸν δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερὲς, ἐκ χοριάμβου καὶ ἀναπαίστου, ἤτοι τρι-βραχέος διὰ τὴν ἀδιάφορον. τὸ ι' χοριαμβικὸν ὅμοιον ἡμιόλιον, ἐκ χοριάμβου, ἤγουν ἐπιτρίτου β', καὶ τροχαίου διὰ τὴν ἀδιάφορον. τὸ ια' τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ τῆς ἀντιστροφῆς παράγραφος μόνη.

454. πεδία λιπαίνειν: οὐ χρὴ "πεδία λιπαίνειν" γράφειν, ἀλλὰ "τὰς γύας," ἵν' ᾖ τροχαϊκὸν τὸ κῶλον, ὡς καὶ τῆς ἀντιστροφῆς. Bar. 74.

466.—483. Τῆς β' ταύτης στροφῆς τὰ κῶλα θ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α' ἰωνικὸν δίμετρον καταληκτικὸν ἐφθημιμερὲς, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου. τὸ β' ὅμοιον κατὰ πάντα. τὸ γ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, Γλυκώνειον καλούμενον, ἐξ ἐπιτρίτου δ' καὶ ἰαμβικῆς συζυγίας, ἤτοι διιάμβου. τὸ δ' δίμετρον ἀκατάληκτον, προσῳδιακὸν καλούμενον, ἀσυνάρτητον ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάττονος. τὸ ε' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ δισπονδείου. τὸ ς' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐκ χοριάμβου καὶ βακχείου. τὸ ζ' ὅμοιον, ἐξ ἐπιτρίτου γ', ἢ δισπονδείου, καὶ ἀναπαίστου· δύναται δὲ εἶναι καὶ ἀντισπαστικόν. τὸ η' ἀντισπαστικὸν

9. χοριαμβικὸν] Syllabas dicit (v. 453.)—στῶν ὑδάτων πατέρα.

12. τὸ ια'] Versum dicit 454. τὰς γύας λιπαίνειν. Nam sic Triclinius pro πεδία λιπαίνειν correxit, ut apparet ex annotatione proxima, feminino τὰς γύας more Byzantino indocte pro τοὺς γύας posito. Euripides in stropha haud dubie scripserat φασὶν Ἀπιδανὸν πεδον (vel γύας) λιπαίνειν, in antistropha, χρυσᾶν ἄμπυκα τέξα τ' εὐλογήσω, versu hendecasyllabo.

22. Γλυκώνειον scripsi pro Γλυκώνιον. Recta forma servata ad Phoen. 103. et alibi. Mox προσῳδιακὸν I.

δίμετρον, καταληκτικόν. τὸ θ′ δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ′, εἰ δὲ βούλει, δισπονδείου, καὶ χοριάμβου. ἔχει δὲ τὸ τῆς ἀντιστροφῆς κῶλον τὸν πρῶτον πόδα πεντασύλλαβον. ἐπὶ μὲν τῷ τέλει τῆς στροφῆς κορωνὶς, δηλοῦσα τέλος σχεῖν τὰς τοῦ χορεῦ ᾠδὰς καὶ στροφάς.

484.—628. Αἱ περίοδοι αἵδε πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρμέ′, ἂν ὁ τελευταῖος "ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν." ἐπὶ ταῖς ἀπαθέσεσι παράγραφος, ἐπὶ τῷ τέλει κορωνὶς, ἐξιόντων τῶν ὑποκριτῶν.

620.—646. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικά. ἐπῳδικὰ δέ ἐστιν, ὡς Ἡφαιστίων φησὶν, ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται· ἐπ' ἔλαττον μέντοι τοῦ τῶν τριῶν ἀριθμοῦ, ἤτοι στροφῆς, ἀντιστροφῆς καὶ ἐπῳδοῦ, οὐκ ἂν γένοιτο τὸ τοιοῦτον, ἐπὶ πλεῖον δὲ οὐδὲν κωλύει ἐκτείνεσθαι· γίνεται δὲ, ὥσπερ τριὰς ἐπῳδικὴ, οὕτω καὶ τετρὰς καὶ πεντὰς καὶ ἐπὶ πλεῖον. ἔστι δὲ τὰ παρύντα τριὰς ἐπῳδικὴ, καὶ εἰσὶ τῆς μὲν στροφῆς τὰ κῶλα θ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α′ ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου α′ καὶ ἰάμβου. τὸ β′ ὅμοιον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου α′, διιάμβου καὶ συλλαβῆς. τὸ γ′ ὅμοιον ἐξ ἐπιτρίτου δ′ καὶ διιάμβου καὶ συλλαβῆς. τὸ δ′ δίμετρον ἀκατάληκτον πολυσχημάτιστον, πριάπειον καλούμενον. ἐξ ἀντισπάστου καὶ χοριάμβου. τὸ ε′ τροχαϊκὸν, διὰ τὸ ἑξῆς, πεντημιμερὲς, ἐκ δύο χορείων, ἤτοι τριβραχέων, καὶ συλλαβῆς. τὸ ϛ′ τροχαϊκὸν ἰθυφαλλικὸν, ἤτοι δίμετρον βραχυκατάληκτον. τὸ ζ′ ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος τρίτου, διιάμβου καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς ἐκ δύο ἀναπαίστων καὶ ἰάμβου καὶ συλλαβῆς. τὸ η′ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ θ′ χοριαμβικὸν ἡμιό-

1. δίμετρον—δισπονδείου ap. King. δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ′, εἰ δὲ βούλει σπονδείου I.

3. πεντασύλλαβον] Decepit Triclinium scriptura vitiosa θεράπαιναν (v. 482.) pro θεράπναν.

4. σχεῖν] ἔχειν ap. King.

11. Ἡφαιστίων] C. 8. p. 125.

12. μέντοι] μὲν King.

19. ἐπιτρίτου δ′ King. δ′ om. I

23. δίμετρον βραχυκατάληκτον. τὸ ζ′ Kingius. δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τρίτου, διιάμβου καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς ἐκ δύο ἀναπαίστων καὶ ἰάμβου· εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ′ I.

26. ἰάμβου—τὸ θ′ Kingius. ἰάμβου, εἰ δὲ βούλει ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ θ′ I.

λιον, εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

647.—656. Τοῦτο καλεῖται ἐπῳδὸς, διὰ τὸ ἐπᾴδεσθαι τῇ τε στροφῇ καὶ τῇ ἀντιστροφῇ, ἤγουν μετὰ τὴν στροφὴν ᾄδεσθαι. ἱστέον δὲ ὅτι τὴν μὲν στροφὴν κινούμενοι πρὸς τὰ δεξιὰ οἱ χορευταὶ ἦδον, τὴν δὲ ἀντιστροφὴν πρὸς τὰ ἀριστερὰ, τὴν δὲ ἐπῳδὸν ἱστάμενοι ἦδον. ἐδήλου δὲ, ὥς φασιν, ἡ μὲν στροφὴ τὴν οὐρανοῦ ἐκ τῶν ἑῴων πρὸς τὰ δυτικὰ μέρη κίνησιν, ἡ δὲ ἀντιστροφὴ τὴν τῶν πλανητῶν, ὡς ἀπὸ δυσμῶν πρὸς ἕω γινομένην, ἡ δὲ ἐπῳδὸς τὴν τῆς γῆς στάσιν, ἱσταμένων τῶν χορευτῶν ᾀδομένων. ἔστι δὲ τῆς παρούσης ἐπῳδῆς τὰ κῶλα ια'. τὸ α' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος γ' ἀντὶ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας, ἤτοι διτροχαίου, καὶ ἰάμβου. τὸ β' ἀναπαιστικὸν μονόμετρον. τὸ γ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δ' δακτυλικὸν, ἢ ἀναπαιστικὸν πενθημιμερές. τὸ ε' παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων δευτέρων δύο. τὸ ς' τροχαϊκὸν πενθημιμερές. τὸ ζ' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος γ' ἀντὶ τοῦ ἰωνικοῦ ἀπ' ἐλάττονος, ἰαμβικῆς συζυγίας, ἤτοι διιάμβου, καὶ συλλαβῆς. τὸ η' ἐπιχοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐκ διιάμβου, χοριάμβου καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ θ' τροχαϊκὸν ἰθυφαλλικὸν, ἤτοι δίμετρον βραχυκατάληκτον. τὸ ι' ἰωνικὸν ἡμιόλιον, εἰ δὲ βούλει, παιωνικὸν ἐκ παίωνος β' καὶ δύο συλλαβῶν. τὸ ια' ὅμοιον, δίμετρον καταληκτικὸν, ἐκ παίωνος δ' καὶ βακχείου· εἰ δὲ βούλει, τροχαϊκὸν ἰθυφαλλικὸν, τοῦ α' ποδὸς χορείου. ἐπὶ τῷ τέλει κορωνὶς, εἶτα παράγραφος. ταῦτα γὰρ τοῦ τέλους τῆς ἐπῳδοῦ σημεῖα.

688.—692. Τὰ τοιαῦτα εἴδη καλεῖται ἀνομοιόστροφα. ἀνομοιόστροφα δέ εἰσιν, ὡς Ἡφαιστίων φησὶν, ὅσα πάντως διαιρεῖται, ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χορεῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν. καὶ διαιρεῖται εἰς δύο, ἢ εἰς πλείονα. εἰ μὲν οὖν εἰς δύο διαιρεῖται, καλεῖται ἑτερόστροφον, εἰ δὲ εἰς πλείω, ἀλλοιόστροφον. εἰσὶν οὖν τὰ παρόντα ἀλλοιόστροφα. τῆς πρώτης δὲ στροφῆς ταύτης τὰ κῶλα ς'.

9. γινομένην] κινομένων Kingius. Voluit κινουμένων, quod posuit Musgr.
13. ἰαμβικὸν King. ἰωνικὸν I.
19. καὶ ἰάμβου King. καὶ διάμβου I.
20. ἤτοι addidit King.
27. Ἡφαιστίων] C. 9. p. 130.
31. πρώτης King. δευτέρας I.

τὸ α' στίχος ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β' παιωνικὸν ἡμιόλιον. ἐκ παίωνος πεντασυλλάβου καὶ ἰάμβου· διαιροῦνται γὰρ αἱ μακραὶ τῶν τοιούτων ποδῶν εἰς δύο βραχείας. τὸ γ' ὅμοιον καθαρόν, ἐκ παίωνος δ' καὶ ἰάμβου. τὸ δ' ὅμοιον, δίμετρον καταληκτικόν, ἐκ παίωνος α' καὶ δακτύλου. τὸ ε' τροχαϊκὸν ἀκατάληκτον. τὸ ϛ' ὅμοιον τροχαϊκὸν ἐφθημιμερές. οὕτω διηρημένα χρὴ ταῦτα τὰ κῶλα, καὶ τὰ ἑξῆς, ὡς ἡμῖν διήρηται. ἵν' εὐχερῶς καὶ τίνος εἴη μέτρου ἔχωμεν γνῶναι· ἐπὶ τῷ τέλει παράγραφος.

693.—696. Δευτέρα αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. τὸ β' καὶ γ' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ σπονδείου. τὸ δ' δακτυλικὸν πενθημιμερές.

697.—701. Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων τριῶν καὶ κώλου, ὃ τρίτον κείμενον δακτυλικόν ἐστι πενθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος.

702.—708. Ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ ζ'. τὸ α' τροχαϊκὸν μονόμετρον. τὸ β' ὅμοιον ὑπερκατάληκτον ἐκ χορείων. τὸ γ' ὅμοιον ἐφθημιμερὲς καθαρόν. τὸ δ' τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ε' παιωνικὸν δίμετρον, ἐκ παίωνος α' καὶ παλιμβακχείου. τὸ ϛ' ἀναπαιστικὸν ἐφθημιμερὲς, τοῦ β' ποδὸς δακτύλου. τὸ ζ' παιωνικὸν δίμετρον, ἐκ παίωνος α' καὶ κρητικοῦ. ἐπὶ τῷ τέλει παράγραφος.

710. 711. Ἡ δ' αὕτη στροφὴ κώλων ἐστὶ δ', ὧν τὸ α' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ β' ὅμοιον δίμετρον ἀκατάληκτον, ἐκ παίωνος α' καὶ κρητικοῦ. τὸ γ' καὶ τὸ δ' ὅμοιον τῷ πρώτῳ. ἐπὶ τῷ τέλει παράγραφος.

716.—720. Ἡ ε' αὕτη στροφὴ κώλων ἐστὶν ἕξ. τὸ α' παιωνι-

4. παίωνος δ' King. παίωνος δὲ I.

7. μέτρου ἔχωμεν Barn. μέτρον ἔχομεν I.

16. ὑπερκατάληκτον King. ἐφθημιμερές I.

ib. τό γ'] Versum dicit ὁμμάτων ἐμῶν ἄψιν, non offensus syllaba ante catalexin longa, quae brevis esse deberet. Nihilo peritius verba proxima οὔ με παρέβα φάσμα pro versu ithyphallico habet.

18. τὸ ϛ'—δακτύλου] Haec non conveniunt versui ut nunc in libris scriptus legitur. Kingius, qui scholion totum ex cod. se correxisse ait, pro τὸ ϛ' ἀναπαιστικὸν ἐφθημιμερὲς scripsit τὸ ϛ' τροχαϊκὸν ἰθυφαλλικόν, εἰσεῖδον (nam sic codices) in εἶδον mutato, ita ut quintus versus esset μελανόπτερον, ἂν εἶδον, sextus ἀμφὶ σ', ὦ τέκνον, οὐκέτ'.

23. ἐκ παίωνος α' King. pro ἐκ παίωνος δ'. Metri dochmiaci ignarus Triclinius Θρῄκιος legit ut est in codicibus, quum Θρῇκιος scribere deberet.

κὶν ἰαμβίων. ἐκ παίωνος α' καὶ σποndείου. τὸ β' χοριαμβικὸν ἡμιόλιον καθαρόν. τὸ γ' ὅμοιον τῷ α' ἐκ παίωνος δ' καὶ ἰάμβου. τὸ δ' ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ ε' ὅμοιον τῷ τρίτῳ. τὸ ς' ὅμοιον τῷ δ'. οὕτω χρὴ γράφειν καὶ ταῦτα ὡς διήρηται καὶ τὰ ἄνω, ἵν' εἴῃ καὶ τὰ μέτρα εὐγνωστα. ἐπὶ τῷ τέλει παράγραφος.

721.—604. Αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρξϐ', ὧν τελευταῖός "κακόν τι πάσχειν τὸν δὲ χρηστὸν εὐτυχεῖν." μετὰ τὸν γμγ' κῶλον τμῆμα τὸ φεῦ. ἐπὶ ταῖς ἀπισθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει κορωνίς.

605.—622. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικά. ἔστι δὲ τὰ πασόντα πεντὰς ἐπῳδική, ἤτοι στροφὴ καὶ ἀντιστροφή, καὶ πάλιν στροφὴ καὶ ἀντιστροφὴ καὶ ἐπῳδός. εἰσὶν οὖν τῆς α' στροφῆς τὰ κῶλα θ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον. ἐκ παίωνος γ' αὐτὶ τοῦ ἰωνικοῦ καὶ ἰάμβου. τὸ β' τροχαϊκὸν ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον, ἢ ληθάιον. τὸ γ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. ἐκ χοριάμβου καὶ δισπονδείου· εἰ δὲ βούλει, δακτυλικὸν ἑφθημιμερές. τὸ δ' προσῳδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ συλλαβῆς. τὸ ε' ἀναπαιστικὸν πενθημιμερές. τὸ ς' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος γ' αὐτὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, διπλάσιον καὶ συλλαβῆς. τὸ αὐτὸ δύναται καὶ ἰαμβικὸν εἶναι ἑφθημιμερές, τῶν πρώτων ποδῶν ἀναπάστων. τὸ ζ' ἰωνικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ η' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον καθαρόν, ἐξ ἐπιτρίτου ϐ'. διπλάσιον καὶ συλλαβῆς. τὸ θ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον καθαρόν, ἐξ ἀντισπάστου. διπλάσιον καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει τῆς στροφῆς παράγραφος.

923.—932. Τῆς β' ταυτησὶ στροφῆς τὰ κῶλα ι' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ β' καὶ γ' ποδὸς χορείου. τὸ δ' ὅμοιον καθαρόν. ὃ καλεῖται Ἀνακρεόντειον ρξζ'.

8. τὸν—κῶλου τμῆμα scripsi pro τῶν—κῶλων τὸ τμῆμα. Sic κῶλου τμῆμα dixit ad Orest. 316. 1018.

17. προσῳδιακὸν] προσῳδιακὸν I.

20. ἐκ παίωνος King. καὶ παίωνος I.

25. ἀντισπαστικὸν addidit King.

1. Addidi α' post ἐκ παίωνος. Tertiam adjectivi κατάρατε syllabam pro brevi habuit.

2. Addidi δ' post παίωνος.

6. συστηματικαὶ Barnes. συστικαί I.

7. ρξϐ'—γμγ' scripsi pro ρξη'—

τειον. τὸ γ' ὅμοιον πενθημιμερές. τὸ δ' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἢ ἐπιωνικὸν ἐξ ἐπιτρίτου γ', ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ συλλαβῆς. τὸ ε' ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς βάσεως καὶ ἰαμβικοῦ πενθημιμεροῦς. τὸ ς' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τριῶν χορείων καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ζ' ὅμοιον καθαρὸν ἰαμβικόν. τὸ η' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἐπιτρίτου β' καὶ α' καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ θ' χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ β' χοριάμβων καὶ ἀναπαίστου· εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον. τὸ ι' ἰαμβικὸν ἐφθημιμερὲς καθαρόν. ἐπὶ τῷ τέλει τῆς ἀντιστροφῆς παράγραφος.

942.—952. Τῆς ἑπῳδοῦ ταύτης τὰ κῶλα ι. τὸ πρῶτον ἐπιωνικὸν τρίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου γ', ἰωνικοῦ ἀπὸ μείζονος καὶ δακτύλου. τὸ β' ἀντισπαστικὸν ἡμίλιον ἐξ ἐπιτρίτου δ' καὶ σπονδείου· εἰ δὲ βούλει, τροχαϊκὸν ἰθυφαλλικόν. τὸ γ' χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀναπαίστου. τὸ δ' ἰαμβικὸν πενθημιμερές. τὸ ε' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον, ἐκ σπονδείου καὶ τροχαίων. τὸ ς' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ' ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου δ', χοριάμβου καὶ συλλαβῆς. τὸ η' ἰαμβικὸν ἐφθημιμερὲς, τοῦ β' καὶ γ' ποδὸς χορείου. τὸ θ' παιωνικὸν ἡμόλιον, ἐκ παίωνος δ' καὶ δύο συλλαβῶν. τὸ ι' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου, ἐπιτρίτου α' καὶ τροχαίου. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

953.—1022. Αἱ περίοδοι αὗται στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ὁ', ὧν τελευταῖος "ξὺν παισὶν οὓπερ τὸν ἐμὸν ᾤκισας γόνον." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

1024.—1034. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται μονοστροφικά. μονοστροφικὰ δέ εἰσιν, ὡς Ἡφαιστίων φησὶν, ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται. εἰσὶ δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα ιβ'. τὸ α' ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ ἰάμβου. οὕτω δὲ χρὴ γράφειν τὰ κῶλα, ὡς ὑφ' ἡμῶν διῃρέθη, ἵν' ἔχωμεν γνῶναι τίνος εἰσὶ μέτρου. τὸ γ' ἀντισπαστικὸν ἡμιόλιον, ἐξ ἐπιτρίτου γ' καὶ ἰάμβου. τὸ δ' ὅμοιον τῷ β'.

13. δ' King. τρίτου ἢ δ' I.
27. Ἡφαιστίων] C. 8. p. 125.
30. οὕτω—μέτρου] Haec aptius in finem scholii rejecit King. correcto quod in I. est μέτρα.

τὸ ε' ὅμοιον τῷ γ', ἐξ ἐπιτρίτου δευτέρου καὶ ἰάμβου. τὸ ς' καθαρὸν ἀντισπαστικὸν ἡμιόλιον. τὸ ζ' ὅμοιον τῷ β'. τὸ η' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἀντισπάστου, ἐπιτρίτου δ' καὶ συλλαβῆς. τὸ θ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α' καὶ β' ποδὸς χορείου. τὸ ι' ἴαμβος τρίμετρος. τὸ ια' παιωνικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παιώνων δ' δύο καὶ κρητικοῦ. τὸ ιβ' ὅμοιον κατὰ πάντα. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

1035.—1055. Σύστημα κατὰ περικοπὴν ἀμοιβαίων στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κά'. ἐπὶ τῷ τέλει παράγραφος.

1056.—1084. Τὰ τοιαῦτα εἴδη καλεῖται μυοστροφικὰ, ὡς εἴρηται· καλεῖται δὲ καὶ μετρικὰ ἄτακτα, διότι μέτρῳ μὲν γέγραπται, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν. εἰσὶ τὰ παρόντα καὶ συστηματικὰ κατὰ περιορισμοὺς ἀνίσους, τὰ κῶλα δὲ πάντα λγ'. τὸ α' μονόμετρον χοριαμβικόν. τὸ β' ὅμοιον δίμετρον καταληκτικόν, εἰ δὲ βούλει, δακτυλικὸν ἐφθημιμερὲς ἐκ σπονδείων. τὸ γ' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ', ἀντισπάστου καὶ διιάμβου. τὸ δ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ α' ποδὸς ἐξασυλλάβου. τὸ ε' δακτυλικὸν ἑξάμετρον καταληκτικὸν εἰς συλλαβὴν ἐκ σπονδείων. τὸ ς' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ' ἐπιχοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος α', χοριάμβου καὶ β' συλλαβῶν ἀδιαφόρων. καλεῖται δὲ καὶ προσῳδιακὸν, τὸν παίωνα ἔχον ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. τὸ η' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου γ' καὶ ἰάμβου. τὸ θ' ὅμοιον ἐκ παίωνος α' καὶ ἐπιτρίτου δ' καὶ ἰάμβου· εἰ δὲ βούλει, ἔστω ἰωνικοῦ· ὁ γὰρ παίων οἰκεῖος μᾶλλον τοῖς ἰωνικοῖς. τὸ ι' ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον, ἤτοι πενθημιμερές· εἰ δὲ βούλει, ἀναπαιστικὴ βάσις. τὸ ια' χοριαμ-

1. τὸ ς' King. τὸ ς' ὅμοιον I.

5. ἀκατάληκτον] καταληκτόν King.

12. ἀνακύκλοσιν (sic) I. Restitui ἀνακύκλησιν, ut supra dixit ad v. 444.

14. ὅμοιον δίμετρον καταληκτικόν] Haec verba cum proximis εἰ δὲ βούλει delevit King. non animadvetens Triclinium de choriambis in molossos contractis somniasse. Fortasse igitur post δίμετρον addendum ἐκ μολοσσῶν.

22. προσῳδιακὸν scripsi pro προσωδικόν. Recta forma alibi non raro servata. προσῳδικὸν I. p. 216, 6.

ib. τὸ η' ἀντισπαστικὸν King. τὸ η' ὅμοιον ἐκ παίωνος τρίτου α', καὶ ἐπιτρίτου ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου καὶ ἰάμβου, εἰ δὲ βούλει, ἀντισπαστικὸν I.

24. παίωνος α' King. παίωνος τρίτου α' I.

βικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ ἰάμβου. τὸ ιβ′ ὅμοιον δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ ιγ′ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ὑπερκατάληκτον. ἐκ παίωνος γ′ ἀντὶ ἰωνικοῦ, τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς ἀδιαφόρου. τὸ ιδ′ χοριαμβικὸν, ὅμοιον τῷ ια′· εἰ δὲ βούλει, καὶ δακτυλικὸν πενθημιμερὲς Ἀρχιλόχειον. τὸ ιε′ δακτυλικὸν τρίμετρον. τὸ ις′ προσῳδιακὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τὸ ιζ′ χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν· εἰ δὲ βούλει, καὶ δακτυλικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη′ παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος α′ καὶ σπονδείου. τὸ ιθ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ′ καὶ δισπονδείου· εἰ δὲ βούλει, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ κ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτων δ′ δύο καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ κα′ χοριαμβικὸν ἡμιόλιον καθαρόν. τὸ κβ′ δίμετρον ἀντισπαστικὸν καταληκτικὸν Φερεκράτειον, ἐξ ἀντισπάστου καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου. τὸ κγ′ ἰαμβικὴ βάσις, ἤτοι μονόμετρον. τὸ κδ′ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ κε′ ὅμοιον. τὸ κς′ ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ γ′ ποδὸς χορείου. τὸ κζ′ ἰωνικὸν ἀπ᾽ ἐλάττονος καὶ κρητικοῦ. τὸ κη′ δακτυλικὸν ἑφθημιμερὲς ἐκ σπονδείων. τὸ κθ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου β′, ἀντισπάστου καὶ συλλαβῆς. τὸ λ′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ λα′ ἰωνικὸν ἀπ᾽ ἐλάττονος ἡμιόλιον. τὸ λβ′ ἰαμβικὸν δίμετρον, βραχυκατάληκτον. τὸ λγ′ ὅμοιον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ὁμοίως καὶ ἐπὶ τῷ τέλει.

1088.—1106. Καὶ τὰ τοιαῦτα κῶλα ὅμοιά ἐστι τοῖς εἰρημένοις, μονοστροφικὰ καὶ μετρικὰ ἄτακτα. εἰσὶ δὲ τὰ κῶλα τῆς ὅλης στροφῆς κβ′. τὸ α′ ἰαμβικὸν μονόμετρον. τὸ β′ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου α′ καὶ ἰωνικοῦ ἀπὸ μείζονος. τὸ γ′ προσῳδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος,

3. ἐκ παίωνος—ἀδιαφόρου King. ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου I.

11. δισπονδείου King. σπονδείου I.

12. ἐξ ἐπιτρίτων δ′—ἀναπαίστου King. ἐξ ἐπιτρίτου δ′ δύο καὶ ἀναπαίστων I.

15. ἀντισπάστου King. ἀντισπάστων I.

27. δίμετρον—τὸ γ′ Kingius ex Bar. μονόμετρον. τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου α′ καὶ ἰωνικοῦ ἀπὸ μείζονος. μονόμετρον τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου α′, ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἀμφιβραχέος. τὸ γ′ I. verbis pluribus ab typotheta per errorem repetitis.

28. προσῳδιακὸν] προσοδιακὸν I.

χοριαμβικοῦ πεντασυλλάβου καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ δ' ἰαμβικὸν πενθημιμερές. τὸ ε' ὅμοιον. τὸ ς' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ γ' ποδὸς ἀναπαίστου. τὸ ζ' δακτυλικὸν δίμετρον. κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικά, ὥς φασιν οἱ μετρικοί. τὸ η' ἰωνικὸν ἀπ' ἐλάττονος ἡμιόλιον, εἰ δὲ βούλει, παιωνικόν. τὸ θ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ ς', τοῦ β' ποδὸς ἀναπαίστου. τὸ ι' ἰαμβικὸν μονόμετρον. τὸ ια' ἰαμβικὸν ἐφθημιμερές. τὸ ιβ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. καλεῖται δὲ ταῦτα, ὡς Ἡφαιστίων φησὶν, Ἀνακρεόντεια καὶ ἀμφότερα. τὸ ιγ' περίοδος· δύο γάρ εἰσι τροχαῖοι καὶ δύο ἴαμβοι. καὶ καλεῖται τοῦτο τὸ κῶλον περίοδος, εὕρηται δὲ καὶ ἀντεστραμμένον. τὸ ιδ' χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ σπονδείου, εἰ δὲ βούλει, δακτυλικὸν ἐφθημιμερές, ὃ καλεῖται Ἀλκμανικόν. τὸ ιε' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ις' ἀσυνάρτητον ἐκ τροχαϊκῆς καὶ ἀναπαιστικῆς βάσεως. τὸ ιζ' παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων πρώτων δύο. τὸ ιη' τροχαϊκὸν ἐφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον, ἢ ληκύθιον. τὸ ιθ' δακτυλικὸν ἐφθημιμερὲς Ἀλκμανικόν. τὸ κ' ἰαμβικὸν ἐφθημιμερὲς, τοῦ α' ποδὸς ἀναπαίστου. τὸ κα' παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ δύο παιώνων πρώτων, τοῦ α' πεντασυλλάβου, καὶ τροχαίου. τὸ κβ' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς, ἐκ χοριάμβου καὶ κρητικοῦ. ἐπὶ ταῖς ἀπιθέσεσι παράγραφος· ἐπὶ τῷ τέλει κορωνίς.

1107.—1292. Αἱ ἑξῆς αὗται περίοδοί εἰσιν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρπς'. ὧν τελευταῖος "ἔχεντ' ἴδοιμεν τῶνδ' ἀφειμένοι πόνων." μετὰ δὲ τὸν θ' στίχον κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον. ἐπὶ ταῖς ἀπιθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει κορωνίς

2. ὅμοιον. τὸ ς' King. ὅμοιον τῷ ς' I.

5. τὸ η'—βούλει, παιωνικόν] τὸ η' παιωνικὸν ἡμιόλιον King.

6. τοῦ β' ποδὸς scripsi pro τοῦ γ' ποδός. Triclinius syllabas τις ἢ οὐ— (in versu 5, 1094. κλύει τις, ἢ οὐδεὶς ἀρκέσει) pro anapaesto habuit, non animadversa synizesi literarum ἤ et οὐ.

8. ἰαμβικὸν addidit King.

ib. Ἡφαιστίων] C. 5. p. 32.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΗΝ ΕΚΑΒΗΝ.

1—58. ΠΑΡΑΦΡΑΣΙΣ. Ἐγὼ ὁ Πολύδωρος, ὁ γεγονὼς υἱὸς τῆς Ἑκάβης, τῆς θυγατρὸς τοῦ Κισσέως, πατρός τε τοῦ Πριάμου, ἦλθον ἄρτι, ἀφεὶς τὸν ἀπόκρυφον τόπον τῶν νεκρῶν, καὶ τὰς πύλας τοῦ ἀφεγγοῦς τόπου, ὅπου ὁ Ἅιδης ᾠκισμένος ἐστὶν, ὡς ἀπὸ μερισμοῦ δηλονότι, ἄνευ τῶν οὐρανίων θεῶν. ὅστις ὁ Πρίαμος, ἐπεὶ κατέλαβε τὴν Τροίαν φόβος καὶ ὑποψία καταβληθῆναι ὑπὸ τοῦ Ἑλληνικοῦ πολέμου, φοβηθεὶς ἔξω ἔπεμψεν ἐμὲ τῆς Τρωϊκῆς γῆς πρὸς τὸ οἴκημα τοῦ Πολυμήστορος, τοῦ φίλου τοῦ Θρᾳκικοῦ, ὃς Πολυμήστωρ γεωργεῖ τὴν ἀρίστην καὶ ἐπαινετὴν πεδιάδα τῆς Χερρονήσου, τὸν ἱππικὸν καὶ πολεμικὸν λαὸν διεξάγων διὰ τοῦ δόρατος. πολὺν δὲ χρυσὸν ἐξέπεμψεν ὁ πατὴρ σὺν ἐμοὶ κρυφίως, ἵνα, ἐάν ποτε καταβληθείη τὰ τείχη τῆς Τροίας, μὴ εἴη τοῖς ζῶσι παισὶ στέρησις καὶ ἔνδεια τοῦ βίου, ἤγουν τῶν συντελούντων πρὸς τὴν ζωήν. νεώτατος δ' ἦν τῶν παίδων τοῦ Πριάμου, διὸ καὶ κρυφίως ἔξω ἔπεμψεν ἐμὲ τῆς γῆς· οὔτε γὰρ δυνατὸς ἦν βαστάζειν ὅπλα οὔτε ἔγχος διὰ τοῦ ἁπαλοῦ καὶ τρυφεροῦ βραχίονος. ἐν ὅσῳ οὖν χρόνῳ τὴν ὀρθίαν εἶχεν θέσιν τὰ ὁρθέσια τῆς γῆς, οἱ πύργοι τε τῆς Τρωϊκῆς χθονὸς ἦσαν ἀκατάβλητοι, καὶ ὁ Ἕκτωρ, ὁ ἐμὸς ἀδελφὸς, κὐτύχει ἐν τῷ πολέμῳ, καλῶς παρὰ τῷ Πολυμήστορι, τῷ πατρικῷ φίλῳ, ἐν τροφαῖς, καθά τις κλάδος, κὐξανόμην ὁ τάλας. ἐπεὶ δὲ ἡ Τροία ἀπώλετο, καὶ ἡ ζωὴ τοῦ Ἕκτορος ἀπώλετο, κατὰ κοινοῦ, καὶ ἡ οἰκία ἡ πατρικὴ ἠφανίσθη, αὐτός τε ὁ πατὴρ, ὁ Πρίαμος ἔπεσεν, ἤτοι ἐφονεύθη, ἐν τῷ βωμῷ τῷ θεοκατασκευάστῳ, σφαγεὶς ἐκ τοῦ παιδὸς τοῦ Ἀχιλλέως τοῦ Ἄγαν φονικοῦ, τοῦ Νεοπτολέμου δηλονότι, ἔκτεινεν ἐμὲ τὸν ταλαί-

πωρον ὁ πατρικὸς φίλος ἕνεκα τοῦ χρυσοῦ, καὶ κτανὼν ἔρριψεν εἰς τὸ κῦμα τῆς θαλάσσης, ὅπως ἔχῃ τὸν χρυσὸν ἐν τοῖς δόμοις. κεῖμαι δὲ ἐν τῷ αἰγιαλῷ ἄλλοτε ἐν τῷ κλυδωνίῳ καὶ τῇ ταραχῇ τοῦ πόντου, φερόμενος πολλοῖς δρόμοις κυμάτων, ἄταφος, ἤτοι ἐστερημένος ταφῆς. νῦν δὲ ὁρμῶ, ἤτοι φέρομαι, ἐπάνω τῆς μητρὸς τῆς Ἑκάβης τῆς προσφιλοῦς, ἔρημον ἀφεὶς τὸ ἐμὸν σῶμα, μετεωριζόμενος τρίτην ταύτην ἡμέραν ἤδη, ὅσονπερ ἦμαρ δηλονότι ἐν τῇδε τῇ γῇ τῇ Χερρονησίᾳ πάρεστιν ἡ ἐμὴ μήτηρ ἐκ τῆς Τροίας ἡ ἀθλία. πάντες δὲ οἱ Ἀχαιοί, ἔχοντες καὶ οἰκοῦντες τὰς ναῦς, κάθηνται ἡσύχως ἐπὶ ταῖς ἀκταῖς τῆς χθονὸς τῆς Θρᾳκικῆς. ὁ υἱὸς γὰρ τοῦ Πηλέως, ὁ Ἀχιλλεύς, φανεὶς ἐπάνω τοῦ ἑαυτοῦ τάφου, ἐκράτησε πάντας τοὺς Ἕλληνας, κινοῦντας πρὸς τὸν οἶκον τὴν κώπην τὴν θαλασσίαν· ζητεῖ δὲ τὴν Πολυξένην σφάγιον ἐπὶ τῷ τάφῳ, ἤτοι ἐπάνω τοῦ τάφου, φίλον καὶ προσφιλές, αὐτῷ δηλονότι. καὶ ἐπιτυχὴς γενήσεται τοῦδε, οὐδὲ ἔσται ἀγέραστος παρὰ τῶν ἀνδρῶν τῶν φίλων, ἤτοι τῶν Ἑλλήνων. ἡ μοῖρα δὲ συνελαύνει καὶ φέρει θανεῖν ἀδελφὴν τὴν ἐμὴν κατὰ ταύτην τὴν ἡμέραν. θεάσεται δὲ ἡ μήτηρ δύο σώματα νεκρὰ δύο παίδων, ἐμοῦ καὶ τῆς κόρης τῆς δυστήνου. φανήσομαι δὲ ἐν τῷ αἰγιαλῷ ὁ ἄθλιος, ἔμπροσθεν τῶν ποδῶν τῆς βούλης, ἵνα τύχω ἐνταφιασμοῦ· τοὺς γὰρ ἐν τῷ Ἅιδῃ δυναμένους Πλούτωνα καὶ Περσεφόνην ἐξῃτησάμην καὶ ἱκέτευσα ἐπιτυχεῖν τύμβου, ἤτοι ἐνταφιασμοῦ, καὶ πεσεῖν εἰς τὰς χεῖρας τῆς μητρός. τὸ ἐμὸν μὲν, ὅσονπερ ἤθελον τυχεῖν, ἔσται, ὥστε τυχεῖν τούτου δηλονότι. ὑποχωρήσω δὲ μακρὰν τῇ γεραιᾷ Ἑκάβῃ. διαπερᾷ γὰρ καὶ κινεῖ αὕτη τὸν πόδα ὑποκάτω τῆς σκηνῆς τοῦ Ἀγαμέμνονος, φοβουμένη τὸ ἐμὸν φάντασμα, τουτέστι τὸ ὄναρ, ὃ εἶδε περὶ ἐμοῦ. φεῦ, ὦ μῆτερ, ἤτις ἐκ τῶν βασιλικῶν οἴκων εἶδες ἦμαρ δούλειον, ἤτοι δουλείαν, λίαν δυστυχεῖς, ὅσονπερ ποτὲ εὐτύχεις δηλονότι· ἀντιστραθήσας δέ τις τῶν θεῶν ἀπὸ τῆς πρότερον εὐτυχίας ἔφθειρε σέ. I.

1. Ἀφεὶς ὁ Πολύδωρος τὸ σῶμα ἑαυτοῦ καὶ μόνη ψυχὴ ὢν αἰωρεῖται ἐπάνω τῆς μητρὸς αὐτοῦ καὶ λέγει εἰς ἐπήκοον αὐτῆς τήν τε σφαγὴν αὐτοῦ καὶ τὴν ἐσομένην τῇ ἀδελφῇ αὐτοῦ Πολυξένῃ ὑφ' Ἑλλήνων. ἐποίησε δὲ τοῦτο ὁ ποιητὴς ἐξεπίτηδες, ἵνα δῆλα πᾶσι ποιήσῃ τὰ κατὰ τὸν Πολύδωρον, ὃ καὶ ἐν ἀρχῇ πάντων τῶν αὐτοῦ δραμάτων ποιεῖν εἴωθεν. B.I.

1. ἦκω: τὸ ἥκω Ἀττικόν ἐστιν· οἱ γὰρ Ἀττικοὶ ἀντὶ τοῦ εἰπεῖν ἧκον ἥκω λέγουσιν. ῥέπει δὲ τοῦτο πρὸς τὸ παρεληλυθός, καθόσον τὸ εἶμι πρὸς τὸ μέλλον. Gu. I.

ἦκω: οἱ ῥήτορες τὸν ἐνεστῶτα ἀντὶ παρῳχημένου λαμβάνουσιν. ἢ διὰ τὸ ἀεικίνητον τῆς ψυχῆς. Fl. 25.

κευθμῶνα: ἤγουν τὸν ἀπόκρυφον τόπον. Gr.

σκότου: γρ. καὶ σκότους. M. γράφεται καὶ τὸ σκότος οὐδετέρως καὶ ὁ σκότος· καὶ τῷ μὲν οὐδετέρῳ χρῶνται οἱ κοινοί, τῷ δ' ἀρσενικῷ οἱ Ἀττικοί. B.I. καὶ σκότος κατὰ τὸ ἐντελὲς καὶ σκότου κλινόμενον. δηλοῖ δὲ τὸ μὴ διαλυόμενον σκότος τῆς νυκτός. Fl. 25. ἔρχομαι τῶν νεκρῶν τὸ κατοικητήριον ἀπελιμπάνων, τὰ τοῦ Ἅιδου χωρία. Fl. 33. ἤτοι τὴν εἰς Ἅιδου κατοίκησιν. Gr.

2. ἵν': ὅπου. M. Ἅιδης: ἢ διὰ τὸν ἐν Ἅιδου τόπον νοητέον, ἵν' ᾖ τὸ ἵκισται ἀντὶ τοῦ κατῳκίσθη ὑπὸ τῶν νεκρῶν καὶ τοῦ Πλούτωνος καὶ Περσεφόνης, ἢ ἀντὶ τοῦ ὁ Πλούτων· Ἅιδης γὰρ καὶ Πλούτων ὁ αὐτὸς λέγεται. τὸ δὲ ἵκισται ἢ ἀντὶ τοῦ κατῳκίσθη, ἢ ἀντὶ τοῦ κατοικεῖται, κατὰ ἀντιχρονισμὸν, ὅπερ κατοικεῖται εἴποις, εἰ τόπον τὸν Ἅιδην μόνον νοήσεις. B.I. Ἅιδης ὁ περὶ τὴν γῆν σοτεινὸς ἀήρ. Fl. 34. 59. 76. χωρὶς ἵκισται: κεχωρισμένος ἤγουν ᾠκισμένος ἐστὶ τῶν οὐρανίων. Gr.

3. Πολύδωρος Ἑκάβης παῖς: προλογίζει Πολύδωρος Ἑκάβης ὢν γνήσιος παῖς, ὃν Πολυμήστωρ ὁ τῆς Θρᾴκης βασιλεὺς ἀνεῖλεν. τὴν δὲ Ἑκάβην Ὅμηρος Δύμαντος, οἱ πολλοὶ δὲ Κισσέως. ἔνιοι δὲ γράφουσιν "Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως" καὶ στοχάζονται ἀπὸ γένους τινὸς τῆς Φρυγίας ἢ κώμης οὕτως αὐτὴν προσαγορεύεσθαι, ὡς καὶ Φιλόχορος ἐν τῇ πρὸς Ἀσκληπιάδην ἐπιστολῇ. M.

τὰ περὶ τὴν Πολυξένην ἔστι καὶ παρὰ Σοφοκλεῖ εὑρεῖν. M.

1. τὸ ἥκω—ῥέπει δὲ] ἥκω ἀντὶ τοῦ ἦλθον. πρέπει γὰρ Gu. Sic etiam B., nisi quod ῥέπει δὲ τοῦτο habet. De scholiis codicis A. ad v. 1—57. vide quae in Praefatione diximus.

5. τὸ ἀεικίνητον τῆς ψυχῆς] Conf. schol. v. 503.

22. ὃν Cobetus. ὁ M.

23. Addidi Ὅμηρος (Il. 16, 718.)

24. Κισσέως] Diversa quam notare voluit scriptura haud dubie Κισσίας fuit: quod vidit Kirchhoffius. Idem vitium est infra ubi hoc scholion repetitur in A.M. γρ. τῆς κισσέως. καὶ ὑπονοοῦσιν ἀπὸ γενεᾶς τινος φρυγίας εἰρῆσθαι ἢ ἀπὸ κάμης, ὡς φιλόχορος ἐν τῇ πρὸς ἀσκληπιάδην ἐπιστολῇ:—

26. Φιλόχορος] φιλόχωρος M., frequenti in libris vitio de quo non ubique monebo.

27. Πολυξένην — εὑρεῖν Cobetus. ξένην—εὑρεῖν καὶ περὶ πολυξένην M.

Ἑκάβης παῖς γεγὼς Πριάμου: Φερεκύδης γράφει οὕτως "Πρίαμος δὲ ὁ Λαομέδοντος γαμεῖ Ἑκάβην τὴν Δύμαντος τοῦ Ἠϊονέως τοῦ Πρωτέως ἢ Σαγγαρίου τοῦ ποταμοῦ καὶ Νηΐδος νύμφης Εὐαγόρας." Γλαυκίππην δ' ἔνιοι τὴν Ξάνθου τῆς Ἑκάβης παρέδοσαν μητέρα. Νίκανδρος δὲ Εὐριπίδῃ συνδραμὼν τὴν Ἑκάβην φησὶ Κισσέως·

> Ἔνθ' Ἑκάβη Κισσηΐς, ὅτ' ἐν πυρὶ δέρκετο πάτρην
> καὶ πόσιν ἑλκηθεῖσα παρασπαίροντα θυηλαῖς,
> εἰς ἅλα ποσσὶν ὄρουσε καὶ ἣν ἠλλάξατο μορφὴν,
> γρήϊον Ὑρνακίδεσσιν ἐειδομένην σκυλάκεσσιν. M.

Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως: τὰ περὶ τοῦ ὀνόματος τῆς Ἑκάβης διαφόρως ἱστόρηται. Φιλόχορος μὲν γὰρ ἐν τῷ περὶ τραγῳδιῶν συγγράφων Χοιρίλην αὐτήν φησι καλεῖσθαι, ἴσως δὲ διὰ τὸ πολύπαιδα γεγενῆσθαι. ἡ γὰρ χοῖρος πολλὰ τίκτει, καὶ ἐν τοῖς Ὀρφικοῖς οἱ χοῖροι ἑκάβαι προσαγορεύονται. οἱ δὲ λοιποὶ τῷ κυρίῳ αὐτὴν ὀνόματι προσηγόρευσαν. πολλάκις δὲ ὁ Εὐριπίδης αὐτοσχε-

1. Φερεκύδης] Partem hujus scholii ediderat Fulv. Ursinus in Virgil. Collect. script. Gr. illustr. p. 404. Tzetza Exeg. in Iliad. p. 38, 11. Πρίαμος ὁ Λαομέδοντος καὶ Λευκίππης υἱὸς, κατὰ Φερεκύδην τὸν Σύρον (Λέριον dicere dicebat) ἱστορικὸν, γήμας Ἑκάβην τὴν Δύμαντος τοῦ Ἠϊονέως πολλοὺς μὲν υἱοὺς, πολλὰς δὲ θυγατέρας ἐσχήκει.

2. Ἠϊονέως] ἰονέως M. Correxi ex Tzetza.

3. Νηΐδος νύμφης Εὐαγόρας] Scribendum Εὐαγόρης, ut Εὐαγόρη una ex Nereidibus appellata fuit. Εὐνόη dicitur ab schol. Hom. Il. 16, 718. qui ipse quoque Pherecyde auctore utitur, Δύμαντος καὶ Εὐνόης νύμφης, ὡς Φερεκύδης. Metopam nominat Apol. 3, 12, 5. Πρίαμος—ἔγημεν Ἑκάβην τὴν Δύμαντος, ἢ ὥς τινές φασι Κισσέως, ἢ ὡς ἕτεροι λέγουσι Σαγγαρίου ποταμοῦ καὶ Μετώπης.

4. παρέδοσαν Cobetus. πάριδος ἂν M.

7. Ἔνθα non τοπικῶς, sed χρονικῶς dictum esre monet O. Schneiderus ad Nicandri Fragm. p. 67.

8. ἑλκηθεῖσα — θυηλαῖς Cobetus. ἑλκηθεῖσαν—θηλαῖς M.

9. ποσσὶν ὄρουσε Cobetus. πόσιν (sic) ὤρουσεν M.

10. γρήϊον Ὑρνακίδεσσιν ἐειδομένην] γρηιονυρνακίδεσιν ἐειδόμενον M. Correxit Hermannus in Schneidewini Philologo vol. 2. p. 134., praecedente ἣν ἠλλάξατο in ἀντηλλάξατο mutato. Quo servato Schneiderus proposuit Ὑρνακίδεσσι δ' ἐειδομένη σκυλάκεσσιν (scil. etiamnum versi potest in saxum conversa.)

11. τοῦ ὀνόματος om. M. Sumsi ex A. Tum τῆς ἑκάβης uterque codex, non τὴν ἑκάβην ut apud Cobetum.

12. διαφόρως A. διάφορον M.

13. καλεῖσθαι] κεκλῆσθαι A.

14. καὶ A. ὡς M.

15. λοιποὶ A. λυποὶ M.

ib. τῷ] Sic A.M., non πάντες ut apud Cobetum.

16. αὐτοσχεδιάζει obscurum in A. αὐτοσχεδιάζειν M.

διάζει ἐν ταῖς γενεαλογίαις, ὡς καὶ ἑαυτῷ ἐνίοτε ἐναντία λέγειν, καὶ νῦν Κισσέως ἔφη θυγατέρα τὴν Ἑκάβην μετενεγκὼν τὸν πατέρα Θεανοῦς, περὶ οὗ φησιν Ὅμηρος " Κισσῆς τόν γ' ἔθρεψε δόμοι; ἔνι τυτθὺν ἐόντα μητροπάτωρ, ὃς τίκτε Θεανὼ καλλιπάρῃον." A.M.

τὸ ἐξῆς, ἦκω Πολύδωρος ὁ παῖς Ἑκάβης τῆς Κισσέως. ἔνιοι Ἡετίωνος καὶ Ἱπποθόης τῆς Ἐριχθονίου. Κισσέως φασὶ γενέσθαι οὕτως καὶ Τηλεκλείας τῆς Ἰλίου Ἑκάβην καὶ Θεανώ. M.

τὸ χ ὅτι ἴδιον Κισσέως τὴν Ἑκάβην, Ὁμήρου Δύμαντος αὐτὴν εἰρηκότος " αὐτοκασίγνητος, υἱὸς δὲ Δύμαντος." M.

γεγώς: γενηθείς. γίγνομαι, γενήσομαι, γέγενα, καὶ κατὰ συγκοπὴν γέγωα· ἡ μετοχὴ ὁ γεγὼς, τοῦ γεγονότος. Fl. 21.

4. ὅς μ' ἐπεὶ Φρυγῶν πόλιν: τὸ χ ὅτι οἱ νεώτεροι συγχέουσι Φρυγίαν καὶ Τροίαν, Ὅμηρος δὲ διαιρεῖ. M.

ὅς μ', ἐπεί: ὅστις ἀφ' οὗ τὴν τῶν Φρυγῶν πόλιν μοῖρα ἀπόνοια ἔλαβε ὑπὸ τῷ Ἑλληνικῷ ξίφει, φοβηθεὶς ἔπεμψέ με τῆς Τρωϊκῆς γῆς. Fl. 33. τὸ ἐπεί καὶ χρονικὸν καὶ αἰτιατικόν ἐστι. Gr.

5. κίνδυνος: κινδυνεύω αὐτὶ τοῦ ἐν δεινῷ εἰμι· καὶ κινδυνεύω ποιεῖν τόδε, ὅπερ οὐ θέλω δηλονότι, ἀλλ' ὑπό τινος ἀνάγκης εἰς τοῦτο συνελκόμενος. καὶ κινδυνεύω πείσεσθαι τόδε, ἀφ' οὗ κίνδυνος ἐπὶ τῶν δύο τούτων σημαινομένων· κίνδυνος γὰρ αὐτὸ τὸ δεινὸν, καὶ κίνδυνος πείσεσθαι τινὰ τόδε, ὅπερ οὐκ αὐτὸ δηλοῖ τὸ δεινὸν, ἀλλὰ τὴν ἐπὶ τὸ δεινὸν συνελαύνουσαν ἀνάγκην. B.I.

κίνδυνος: μοῖρα. M. ἀνάγκη, ὑποψία. ἔσχε: ἐκράτησε. πε-

3. θεανεῖς περὶ οὗ φησὶν A. θεανὸς (sic) φησὶν M.

ib. Ὅμηρος] Il. 11, 223.

6. Κισσέως] οἱ δὲ Κισσέως Cobetus.

7. οὕτως] Abundat nec satis aptum ὄντως. Schol. Homeri Il. 16, 718. Ἀθηνίων Κισσέως καὶ Τηλεκλείας (φησί), et, ἡ διπλῆ ὅτι Ὅμηρος τὴν Ἑκάβην Δύμαντος, ὁ δὲ Εὐριπίδης Κισσέως.

ib. Ἑκάβην Cobetus. ἑκάβης M.

8. ἴδιον] Fort. ἰδίως. Post Κισσέως in M. vocula quae legi non potest. Ceterum in M. lemma ὅς μ' ἐπεὶ φρυγῶν πόλιν, quod pertinet ad v. 4. ubi lemma in M. nullum est.

ib. Ὁμήρου] Il. 16, 718.

13. Τροίαν] τροι M., obliterato compendio syllabae αν. " Aristonicus ad Iliad. 2, 862. ἡ διπλῆ ὅτι οἱ νεώτεροι τὴν Τροίαν καὶ τὴν Φρυγίαν τὴν αὐτὴν λέγουσιν, ὁ δὲ Ὅμηρος οὐχ οὕτως. Idem ad 3, 184. ἡ διπλῆ ὅτι διαφέρει ἡ Φρυγία τῆς Τροίας καθ' Ὅμηρον, οἱ δὲ νεώτεροι συγχέουσιν. Vide eundem ad 16, 719. 18. 291." COBET.

16. αἰτιατικὸν Matth. pro ἀττικόν.

18. ὑπό τινος] ὑπὸ τῆς I.

23. ὑποψίας Matth. pro ἐποψίας.

σεῖν: πολέμῳ καταστραφῆναι. Gr. δορί: ἤγουν δυνάμει Ἑλληνικῇ. Fl. 21.

6. ὑπεξέπεμψε: ἤγουν λάθρα ἔπεμψεν. Fl. 21. ἡ ὑπό τὸ λάθρα δηλοῖ, ἡ δὲ ἐξ τὸ ἔξω. Fl. 18. 76. Gr. ὑπό καὶ ἡ ἐκ πρόθεσις δηλοῖ τὴν λαθραίαν ἐκ τῶν ἰδίων ὅρων πομπήν. Fl. 25.

7. δῶμα: πρὸς τὸ δῶμα τοῦ Θρακικοῦ φίλου, τὸ τοῦ βασιλέως τῆς Θράκης. Fl. 21.

Θρηκίου: ὁ Θρᾷξ τοῦ Θρᾳκὸς, καὶ ἀπὸ τούτου Θρηίκιος, κατὰ παραγωγὴν ἐκφωνουμένου τοῦ ι, καὶ τρεπομένου τοῦ α εἰς η. ξένου: ξένος κυρίως ὁ φίλος, ὃν ἐπὶ τῆς πατρίδος τις ποιήσεται ἀπὸ ξένης ἐλθόντα, ἁπλῶς δὲ καὶ ὁ φίλος. B. Gu. I.

8. πλάκα: χώραν. "ἣ δυσγενὴς ὢν πλουσίαν ἀροῖ πλάκα." περιφραστικῶς τὴν Χερρόνησον, ἣ ἀ..... ἡ δὲ Χερρόνησος πόλις Θράκης, ἧς ὁ βασιλεὺς Πολυμήστωρ. M.

πλάκα: πλὰξ οὐ μόνον ἡ πετρώδης γῆ, ἀλλὰ καὶ ἁπλῶς πᾶσα γῆ, ὥσπερ καὶ ταῦθα· οὐ γὰρ οἷόν τε ἀρίστην αὐτὴν προσειπεῖν, εἰ πετρώδης ἦν. ἀλλ' ἔστι τὸ πλάκα ἀντὶ τοῦ γῆν. δῆλον δὲ ἐκ τοῦ σπείρει. B.I. πεδιάδα γῆν. Gr.

8. 9. ὃς—δορί: ὅστις τὴν ἔνδοξον Χερρόνησον γῆν διοικεῖ, ἰθύνει, κρατεῖ, καὶ τὸν πολεμικὸν λαὸν διευθύνων αἰχμῇ. Fl. 33.

9. σπείρει: διοικεῖ. M. γεωργεῖ, κατοικεῖ. Gr. φίλιππον: ἱππικόν. Gr.

φίλιππον: ἀντὶ τοῦ ἱππικόν. M. ἀντὶ τοῦ τὸν ἵππον φιλοῦντας παρορμᾶν. Fl. 21. εὐθύνων: παρορμῶν ἐπὶ πόλεμον. M. τὸν στρατὸν διεξάγων ἐν τῷ πολέμῳ. Fl. 21. ἄγων. Gr.

10. σὺν ἐμοί: μετ' ἐμοῦ, χάριν ἐμοῦ. Gr. ἐκπέμπει: δηλονότι ὁ ἐμὸς πατὴρ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει κρυφίως, ὅπως, ἐάν ποτε τὰ τῆς Ἰλίου τείχη πέσῃ, ὑπάρχῃ τοῖς ζῶσιν αὐτοῦ παισὶν ὁ χρυσὸς, μὴ ὁ βίος ὀλιγοστὸς ᾖ. Fl. 33.

11. πέσοι: καταστραφῇ. Gr.

12. τοῖς ζῶσιν: τουτέστιν ἐμοί. Fl. 34. Gr. σπάνις βίου: ἔνδεια περιουσίας. M. στέρησις, ἔνδεια ζωῆς. Gr. σπάνις: ὑστέρησις. βίου: ζωῆς. Fl. 56. βίου: περιουσίας. Fl. 21. Βίος

9. ἐκφ.—η] ἐκφ. τοῦ αι εἰς η Gu. Stheneboea versus: v. Arist. Ran. 1217. cum annotatione scholiastae.
12. ἣ δυσγενὴς—] Euripidis ex

σημαίνει πέντε· τὴν τέχνην, ὡς τὸ "ἐμπορικὸν βίον, ἢ φιλόσοφον ζῆ" τὸν τρόπον, ὡς τὸ "χρηστοῦ βίου ἐστί· τὸν παρόντα ἑνὸς ἑκάστου χρόνον τῆς ζωῆς· τὴν περιουσίαν, καὶ τὰς πρὸς τὸ ζῆν συντελούσας τροφάς. Gu. I.

13. νεώτατος δ' ἦν: μικρότατος δ' ἦμην τῶν ἐμῶν ἀδελφῶν. M. μικρότατος δὲ ἦμην Πριαμιδῶν, τουτέστι τῶν ἐμῶν ἀδελφῶν, δι' ὃ καὶ ἐξέπεμψεν ἐμὲ Τρωϊκῆς γῆς. Fl. 21. διὰ τὸ ὄντα με νεώτατον τῶν Πριάμου παίδων τῷ τοιούτῳ τρόπῳ κἀμὲ τῆς ἰδίας γῆς ὑπεξέπεμψεν. Fl. 33.

ὃ καὶ με γῆς: τοῦτο οὕτω νοήσεις· ὅπερ, τὸ εἶναί με νεώτατον τῶν ἀδελφῶν, ὑπεξέπεμψε τῆς γῆς, ἀντὶ τοῦ τοῦτο γέγονεν αἴτιον τοῦ ἐκπεμφθῆναί με. B. Bar. 74. ὃ καί: διό. Gr.

14. 15. οὔτε γάρ: καὶ γὰρ οὐκ ἦν οἷος, ἤγουν ἄξιος, δυνατός. Fl. 21. οὔτε ὅπλα οὔτε κοντάριον φέρειν ἴσχυεν νέος ὤν. Fl. 33.

14. φέρειν: κινεῖν. φέρειν ὅπλα: ἤγουν ὁπλίζεσθαι. Gr. ὅπλα: τὰ φυλακτήρια, οἷον θώραξ, κράνος· ἔγχος δὲ καὶ σπάθη ἀμυντήρια. B. Gu. I.

15. ἔγχος: ξίφος. Gr. νέῳ βραχίονι: δυνατὸς ἦμην. M. τῷ ἐμῷ βραχίονι, χειρί. Fl. 21. βρεφικῇ χειρί. Gr.

16—20. ἕως οὖν τῆς ἐμῆς γῆς σῶα ἦσαν τὰ τείχη καὶ οἱ πύργοι ἄθραυστοι τῆς Τρωϊκῆς γῆς, καὶ ὁ ἐμὸς ἀδελφὸς Ἕκτωρ εὐτύχει τῷ δορὶ ἐν τῷ πολέμῳ, καλῶς καὶ ἐγὼ ὁ τάλας ταῖς τροφαῖς, ὡς οἷά τις κλάδος νεαρὸς, ηὐξανόμην παρὰ τῷ Θρακικῷ ἀνδρὶ καὶ πατρῴῳ φίλῳ. Fl. 33.

16. ἕως: μέχρις ὅτου. Fl. 21.

ἕως μὲν οὖν γῆς: δεύτερον προείμιον. τὸ γῆς μὴ νομίσῃς διὰ τὴν περὶ τὴν Τροίαν γῆν, ὡς εἴρηταί τινες κακῶς, ἀλλὰ δι' αὐτὴν τὴν Τροίαν, ἵν' ᾖ τὰ ὁρίσματα ἀντὶ τοῦ οἱ πύργοι· περιορισμὸς γὰρ τῆς ἐν τῇ πόλει γῆς οἱ πύργοι· ὥστε τὸ γῆς ὁρίσματα καὶ τὸ πύργοι Τρωϊκῆς χθονὸς ταυτόν ἐστιν. ὅτι δέ ἐστι ταυτὸν καὶ οὐχ ὡς ἐκεῖνοί

1. πέντε] ς Gu.
ib. ὡς τὸ—ζῆ om. Gu.
2. ὡς τὸ—ἐστί om. Gu.
ib. τὸν παρόντα—ζωῆς] τὴν ζωὴν τινὸς ἑκάστου, ὁποῖον φασὶ καὶ ἐνταῦθα Gu.
3. περιουσίαν] τὴν καθόλου ζωὴν add. Gu.
4. τροφάς] πρὸς τὸ ζῆν συντεινούσας τροφὰς, ὁποῖον εἶναι μᾶλλον εἰπεῖν ἐνταῦθα Gu.
28. περιορισμὸς—πύργοι om. B.

φασι, μαρτυρεῖ τὸ "ἐπεὶ δὲ Τροία," ὃ ἐπέφερε πρὸς τὰ δύο, δηλῶν ὡς ταυτοσήμαντά ἐστιν. ἔκειτο δὲ εἶπεν, ἐπειδὴ οἱ θεμέλιοι τῶν τειχῶν ἐν τῇ γῇ κεῖνται. B.I.

ὄρθ': ἄθραυστα καὶ ἀνάρρηκτα. Fl. 21. ὀρθίαν εἶχεν θέσιν. Fl. 18. 34. 56. 59. 76. Gr. ἔκειθ': ἵστατο. Fl. 10. ὁρίσματα: ἀντὶ τοῦ τὰ τείχη καὶ ὁροθέσια. M. Fl. 21. οἱ ὅροι. Gr.

17. πύργοι: τὰ τείχη. ἄθραυστοι: ἀσάλευτοι. Gr.

18. κὐτύχει: εὐοδοῦτο. δορί: τῷ πολέμῳ. Gr.

19. καλῶς: ἐπίκρισις. ἐπιμελῶς. Gr. πατρῴῳ ξένῳ: πατρῴῳ φίλῳ. M.

20. τροφαῖσιν κὐξόμην: ἀντὶ τοῦ ἀνετρεφόμην. B.I. τάλας: ὁ ἄθλιος. Fl. 21. Gr.

21. ἐπεὶ δὲ Τροία: συνεκδοχή. Gr. τοῦτο λέγεται συνεκδοχὴ ἀπὸ τοῦ ἑπομένου τὸ προηγούμενον. Gu. ἀπώλετο: ἀλώβη, ἐφθάρη. Fl. 21. ἡ ἀπώλεια σημαίνει δύο, τὴν παντελῶς ἀφάνισιν καὶ τὴν ἀπὸ τόπου εἰς τόπον μεταβολήν. Fl. 25. ἀφ' οὗ δὴ ἡ Τροία καὶ ἡ τοῦ Ἕκτορος ψυχὴ ἀπώλετο, καὶ ἡ πατρικὴ οἰκία κατηφανίσθη, καὶ ὁ ἐμὸς πατὴρ Πρίαμος ἐν τῷ θεοκτίστῳ βωμῷ πίπτει, σφαγεὶς δηλονότι ὑπὸ τοῦ μιαιφόνου παιδὸς τοῦ Ἀχιλλέως—Νεοπτόλεμος ἦν ὁ αὐτός· μετὰ γὰρ τὴν σφαγὴν Ἀχιλλέως Πύρρος καὶ Νεοπτόλεμος ἐλθόντες ἐν Τροίᾳ πολλοὺς ἔκτειναν καὶ ἕν τινι ναῷ καταλαβὼν Νεοπτόλεμος τὸν Πρίαμον ἀνεῖλεν. Fl. 33.

22. ψυχή: ἤγουν ἡ ζωή. Gr. πατρῴα: ἡ τοῦ πατρός· τὸ κτητικὸν ἀντὶ μόνης τῆς γενικῆς, ἵν' ᾖ καλῶς ἔχον τὸ ἐπαγόμενον, αὐτὸς δέ. B.I.

ἑστία: ἑστία λέγεται ἡ ὅλη κατοικία, ἀπὸ μέρους τὸ πᾶν, ἀπὸ τοῦ εὖω τὸ φωτίζω καὶ φλογίζω, ἢ ἀπὸ τοῦ ἕζω τὸ κάθημαι. I. ἤγουν ἡ οἰκία θεὰ τῆς ἠρίνης (sic). Fl. 21. ἑστία λέγεται ὁ τόπος ἔνθα ἅπτεται τὸ πῦρ, ὅς ἐστι κυριώτερος παντὸς τοῦ οἴκου. ἀναφέρεται τοὔνομα τοῦτο τῇ θεᾷ τῇ Ἑστίᾳ. ὅθλιον καὶ οἱ παλαιοὶ ἐν αὐτῷ τὴν θυσίαν ἐτέλουν αὐτῇ. Fl. 25.

6. καὶ ὁροθέσια om. M.
24. κτητικὸν] ἀττικὸν B.
ib. γενικῆς pro κτητικῆς est e Gr. Fl. 18. 56. 59. 76. nisi quod Fl. utrumque conjungunt γενικῆς καὶ κτητικῆς. Iidem cum Gu. om. μόνης τῆς et pro ἵν' ᾖ κ. ἔχον legunt ἵνα κ. ἔχῃ.
25. αὐτὸς δὲ om. B.

23. αὐτός: ὁ πατὴρ ὁ ἐμὸς ὁ Πρίαμος ἐν τῷ βωμῷ λίθῳ κατεσκευασμένῳ πίπτει, ἐνταφιάζεται. Fl. 21. βωμῷ: βωμὸς καλεῖται τόπος ἐν ᾧ τὰ θύματα ἔσφαζον, τετραγωνοειδὴς ὢν καὶ μέρος τοῦ ἱεροῦ· ἐσχάρα δὲ ὁ λάκκος ἐν ᾧ τὰ ἱερὰ ἔκαιον. Gu. πρὸς λιθοδμήτῳ: γρ. πρὸς θεοδμήτῳ. M. θεοδμήτῳ: οὐχ ὅτι θεόδμητος ἦν ὁ βωμὸς τῆς Ἀθηνᾶς, διὰ τοῦτο θεοδμήτῳ λέγει, ἀλλὰ τῷ τῇ θεᾷ παρὰ τῶν Τρώων δομηθέντι· ἢ τῷ θείως καὶ θαυμαστῶς κτισθέντι. B.I. θεοκατασκευάστῳ. Fl. 6. τῷ δομηθέντι διὰ τοὺς θεούς. Gr. πιτνεῖ: ἀντὶ τοῦ ἔπεσε, τουτέστιν ἐφονεύθη. B.I.

24. Ἀχιλέως: διὰ τὸ μέτρον ἀφῃρέθη τὸ ἐν λ. ὅμως καὶ σὺν τοῖς δύο γράφεται, καὶ ἔστι συνίζησις. I. παιδός: Πύρρου καὶ Νεοπτολέμου. Fl. 59. μιαιφόνου: αἱμοχαροῦς. Fl. 6. τοῦ μιαροῦ. Fl. 21. παρανόμου. Gr.

25. κτείνει: ἀντὶ τοῦ φονεύει. Fl. 17. 18. ἀντὶ τοῦ ἔκτεινε. Gr. ἕνεκεν δηλονότι τοῦ χρυσοῦ ὁ πατρικὸς φίλος ἐμὲ τὸν ταλαίπωρον ἔκτεινε, καὶ κτείνας εἰς τὸ κῦμα τῆς θαλάσσης ἀφῆκεν, ὅπως αὐτὸς τὸν ἡμέτερον χρυσὸν ἐν τοῖς ἑαυτοῦ οἴκοις κατέχῃ. Fl. 33. ταλαίπωρον: τὸν ἄθλιον. Fl. 6. 17.

26. ξένος πατρῷος: ἐν εἰρωνείᾳ εἶπε "ξένος πατρῷος," ἤτοι ὁ πατρικός μου φίλος, κατὰ ἀντίφρασιν, ὡς ἀποκαλεῖ ὁ Ὅμηρος κύνας ἀργοὺς τοὺς ταχυτάτους. A.

κτανών: φονεύσας εἰς τὸ κῦμα τῆς θαλάσσης ἔρριψεν, ὅπως ὁ Πολυμήστωρ δηλονότι τὸν χρυσὸν ἐν τοῖς οἴκοις ἔχῃ. Fl. 21.

οἴδμ': οἴδμα ἀπὸ τοῦ οἴδομαι τὸ ἐξογκοῦμαι. Fl. 9. εἰς τὴν θάλασσαν αὐτὸς ἔρριψεν. Fl. 17. κῦμα. Gr

μεθῆχ': ἀφῆκεν. M. ἤγουν ἔρριψεν. Gr.

28. ἄλλοτ': ἐπίρρημα. Fl. 21. ἄλλοτε μέν· ἐπάγεται γὰρ τὸ νῦν δέ. Gr. Fl. 56. 59. 76. κατάκειμαι ἐν τοῖς αἰγιαλοῖς καὶ τῇ τῆς θαλάσσης ταραχῇ, πολλαὶς δὲ συστροφαῖς κυμάτων φερόμενος, καὶ ἄταφος καὶ ἄκλαυστος. Fl. 33.

29. διαύλοις κυμάτων: δίαυλα λέγονται κύματα ἐξερχόμενα καὶ πάλιν εἰσερχόμενα. διαύλοις οὖν ταῖς παλιρροίαις τῶν κυμάτων. δίαυλοι δὲ τὰ ἔνθεν καὶ ἐκεῖθεν τοῦ ἱππικοῦ. ἀπὸ μεταφορᾶς οὖν εἴρηται, πρὸς ὃ καὶ τὸ χ πρὸς τὴν διαφοράν. κυρίως γὰρ δίαυλον

5. θεοδμήτῳ] Doctius de hoc v. scholion codicis A. vide in Præfatione.

δρόμον ἀπελθεῖν καὶ ἐλθεῖν. οἷον παλινδρομίαις πολλαῖς ἐν τῇ θαλάττῃ κεχρημένος, τουτέστιν ἐνταῦθα κἀκεῖσε ὑπὸ τῶν κυμάτων φερούμενος καὶ πολλοὺς σταδίους τῇ βίᾳ τῶν κυμάτων ἀνύσας. A.M.

πολλοῖς διαίλοις κυμάτων: παλιρροίαις καὶ στροφαῖς, ἤγουν δρόμοις. ὥσπερ ἑρμηνεία ἐστὶ πρὸς τὸ πόντου σάλῳ. οὐδὲν γὰρ ἄλλο ἐστὶν ἡ τῆς θαλάττης ταραχὴ ἀλλ' ἢ συνεχεῖς κυμάτων στροφαί. B.I. δίαυλα λέγονται τὰ κύματα τὰ εἰσερχόμενα καὶ ἐξερχόμενα. διαύλους τὰς παλιρροίας τῶν κυμάτων. κυρίως δὲ διαύλους, ὅσον οἱ ὁρμεῖς διέρχονται ἐν τῷ ἀπελθεῖν καὶ ἐλθεῖν, ὅθεν καὶ δίαυλοι τὰ ἔνθεν καὶ ἔνθεν τοῦ ἱππικοῦ. Fl. 25. 6.

ῥορούμενος: ἀπὸ μεταφορᾶς τῶν κυμάτων, ὁ πολλοὺς σταδίους τῶν κυμάτων τῇ βίᾳ ἀνύσας. δίαυλος ἐπὶ ξηρᾶς, κέλευθος ἐπὶ θαλάσσης. κυρίως δὲ λέγεται ὁ στενομήκης τόπος τοῦ ἱππιδρομίου, ἔνθα τὴν αὐτὴν καὶ ὁμοίαν ὁδὸν ἀνέρχονται καὶ κατέρχονται οἱ κέλητες. οὐκ ἀπεικότως δὲ εἰρήκει διαύλους τὰ κύματα τῆς θαλάσσης. Fl. 6. 25. ἀγόμενος. Fl. 17. 59. κομιζόμενος. Fl. 21.

30. ἄκλαυστος: χωρὶς κλαυθμοῦ καὶ τάφου εἰμὶ, χωρὶς ἐνταφιασμοῦ. Fl. 21.

ὑπὲρ μητρὸς φίλης: ὑπὲρ τῆς κεφαλῆς τῆς μητρός· ὅ ἐστιν ὄναρ αὐτῇ φαίνομαι. ἔμπροσθεν, φησὶ, τῆς μητρὸς ὁρμῶ τὸ σῶμα καταλιπὼν, οἷον φάντασμα ποιήσας, ἐπὶ τρεῖς ἡμέρας μετεωριζόμενος, ὅσας ἔχει καὶ ἡ ἐμὴ μήτηρ ἐν τῇ Χερρονήσῳ, ὡς τρεῖς ἡμέρας οὔσης τῆς Ἑκάβης ἐκεῖ. A.M.

ὑπέρ: ἀντὶ τοῦ ὑπεράνω τῆς μητρός. Gr. φίλης: τῆς ἠγαπημένης. Fl. 21. νῦν δὲ ὑπὲρ τῆς προσφιλεστάτης μου μητρὸς Ἑκάβης ὁρμῶ, ὅπως τὸ ἐμὸν σῶμα καταλείψω καὶ ἡσυχάσω, ἤγουν ταφῶ. Fl. 33.

31. αἴσσω: ὁρμῶμαι. Fl. 2. ὁρμῶ. Gr.

ἐρημώσας: καταλείψας τὸ ἐμὸν σῶμα ἔρχομαι εἴδωλον. M. ἤγουν ἔρημον ἀφείς. Gr.

32. τριταῖον: ἀφ' οὗ τέθνηκε τριταῖός φησιν εἶναι. τοσοῦτον δὲ χρόνον καὶ ἡ Ἑκάβη παραβαλοῦσα ἦν ἐν Χερρονήσῳ. ἤδη τρίτην ἡμέραν ἔχων καὶ φερόμενος ἐν τῇ θαλάσσῃ· μαθὼν γὰρ ὁ Πολυμήστωρ ἐκεῖσε

4. παλιρρ.—ῥόμους desunt in B.I. Gu. supra διαύλους scripta. MATTH. add. King. ἤγουν δρόμοις gl. est in 6. ἀλλ' ἢ] ἀλλ' αἱ I.

τοὺς Ἕλληνας ἐλθόντας, φοβούμενος μὴ ἀπαιτηθῇ τὰ χρήματα, ἔσφαξε τὸν Πολύθωρον καὶ ἔρριψεν εἰς τὴν θάλασσαν. τρίτην γὰρ εἶχον ἡμέραν οἱ Ἕλληνες ἐκεῖσε. Ἄλλως. ἐπειδὴ τρεῖς ἡμέρας εἶχον οἱ Ἕλληνες ἐν τῇ Χερρονήσῳ, τοσαύτας ὅσας εἶχεν ἀπὸ σφαγῆς ὁ Πολύδωρος. A.M.

τριταῖον: τὰ τρία καὶ τέτταρα καὶ ἑξῆς ὀνόματα ἀριθμοῦ δηλωτικά, τὸ τρίτον δὲ καὶ τέταρτον καὶ ἑξῆς ὀνόματα τάξεως δηλωτικά· ἔστι γὰρ τρίτον μὲν τὸ ἔχον ὄπισθεν ἑαυτοῦ πρῶτον καὶ δεύτερον, τέταρτον δὲ τὸ ἔχον ὄπισθεν πρῶτον καὶ δεύτερον καὶ τρίτον. εἰσὶ δὲ ταῦτα τριγενῆ, ἀπὸ τῶν θηλυκῶν τούτων, τριταῖος καὶ τεταρταῖος παράγωγα, ὡς Ἀθηναῖος, Μυκηναῖος, ἢ τοιοῦτόν τι. ἔστιν οὖν ἄλλο τρίτον καὶ ἄλλο τριταῖον, ὥσπερ ἄλλο Ἀθῆναι καὶ ἄλλο Ἀθηναῖος· ἐνταῦθα δὲ τὸ τριταῖον ἀντὶ τοῦ τρίτον λέγεται. λαμβάνεται δὲ τὸ τρίτον, τὸ τέταρτον καὶ τὰ τῆς ἀκολουθίας ταύτης καὶ ἐπὶ μορίων, ἃ ἁρμοδιώτερον λέγεται ἔχοντα ἐν συνθέσει τὸ μόριον, οἷον τριτημόριον, τεταρτημόριον καὶ ἑξῆς. ἔχουσι δὲ ἐρωτηματικὰ τὸ πόσα, τὸ πόστον, τὸ ποσταῖον καὶ τὸ ποστημόριον. καὶ πρὸς μὲν τὸ πόσα ἀπαντᾷ τὸ τρία τυχὸν ἢ τέσσαρα· πρὸς δὲ τὸ πόστον τὸ τρίτον ἢ τέταρτον ἐπὶ τάξεως· πρὸς δὲ τὸ ποσταῖον τὸ τριταῖον ἢ τεταρταῖον· οἷον πρὸς τὸ "ποσταῖος ἀπ' οὐρανοῦ πάρει;" ἀπαντήσει τὸ τριταῖος τυχὸν ἢ τεταρταῖος, ἢ τρίτην ἡμέραν ἔχω ἀφ' οὗ πάρειμι, ἢ τετάρτην· πρὸς δὲ τὸ ποστημόριον τὸ δυοστὸν, τὸ τρίτον, τὸ τέταρτον ἐπὶ μορίων, ἢ τὸ δυοστὸν, τὸ τριτημόριον, τὸ τεταρτημόριον, ζητεῖ δὲ τὸ μὲν πόσα διωρισμένων ποσῶν, τὸ δὲ πόστον τάξιν, τὸ δὲ ποσταῖον συμβαῖνόν τι ἐν τάξει, τὸ δὲ ποστημόριον μέρος. ἐπεὶ δὲ τὸ ποσὸν διαιρεῖται, καὶ τὸ μὲν αὐτοῦ ἐστι συνεχὲς, τὸ δὲ διωρισμένον, εὗρεν ἡ φύσις καὶ ἐπὶ τοῦ συνεχοῦς ἕτερον ἐρωτηματικὸν, τὸ πηλίκον. ὥστε πρὸς μὲν τὸ πόσα ἀπαντᾷ διωρισμένον ποσὸν, πρὸς δὲ τὸ πηλίκον συνεχές. Gu. I. ἤγουν τρίτον. Fl. 17. 34. 56. 59. 76. Gr. ἤγουν τρεῖς ἡμέρας, τῇ τρίτῃ ἡμέρᾳ ὑβριούμενος καὶ φερόμενος ἢ φανταζόμενος. Fl. 21.

ἤδη: ἄρτι. Fl. 56. φέγγος: ἤγουν ἡμέραν. αἰωρούμενος: φανταζόμενος. A.M. κρεμάμενος, ἢ ὅπερ καὶ κρεῖττον, ὑπὲρ τῆς

6. τρία καὶ] τρίτα τὰ Gu.
8. ἑαυτοῦ et τέταρτον δὲ—τρίτον om. I.
11. τοιοῦτον] τοιοῦτο I.
14. ἃ ἁρμοδιώτερα—ἔχοντα] ὃ ἁρμοδιότερον (sic)—ἔχον Gu.

μητρὸς αἰωρούμενος. A. κρεμάμενος. Gr. ἐν ἀέρι φερόμενος. Fl. 2. 6. τρία γὰρ νυχθήμερα ταῦτ' ἔχω ταλαιπωρούμενος. Fl. 33.

33. ὅσον: χρόνον. Fl. 59. ἐν γῇ: πάρεστιν, ἥγουν ἐλθοῦσα ἐστίν. Fl. 2. ἐνταῦθα. Fl. 59. τοσοῦτον ἐν τῇδε Χερσονήσῳ γῇ. Fl. 33.

34. πάρα: πάρεστι. ποιητικὸν δὲ τὸ πάρα. Fl. 21. ἡ ἐμὴ μήτηρ ἡ κακοτυχὴς ἐκ Τροίας πάρεστιν. Fl. 33.

35. Ἀχαιοί: οἱ Ἕλληνες. Fl. 21.

ἔχοντες: ἐμπαρασκεύου, ὀκλονότι, κρατοῦντες. Fl. 21. ἥγουν εἰκοῦντες. Gr. ἥσυχοι: ἡσύχως. Gr. οἱ δὲ πάντες Ἀχαιοὶ ἥσυχοι μένουσιν ἐν ταῖς ἑαυτῶν ναυσί. Fl. 33.

36. θάσσουσ': κάθηνται ἐν τοῖς αἰγιαλοῖς ταύτης τῆς Θρᾳκικῆς γῆς. Fl. 33. προσμένουσι. Fl. 21. καθέζονται. Fl. 10. ἥγουν κάθηνται. Gr.

37. ὑπέρ: ὑπεράνω τοῦ τύμβου φαντασθείς. Fl. 21. ἄνω τοῦ τάφου αὐτοῦ. Gr.

38. κατέσχ': ἐκράτησεν τοῦ προσμεῖναι ὅλον. Fl. 21. καὶ ὁ τοῦ Πηλέως παῖς Ἀχιλλεὺς εἰς τὸν ἑαυτοῦ τάφον ἀναφανεὶς καὶ ἐκράτησεν ὅλον τὸν Ἑλληνικὸν στρατόν. Fl. 33.

Ἑλληνικόν: γρ. καὶ Ἀχαϊκόν. A.M.

39. εὐθύνοντας: ἥγουν ἀπευθύνοντας· πρὸς τὸ σημαινόμενον δὲ ἀποδίδοται. B.I. ταχέως κινοῦντας. Fl. 21. διεξάγοντας. Fl. 17. πρὸς οἶκον διευθύνοντας εἰς τὴν θαλασσίαν κώπην. Fl. 33.

πλάτην: τὴν κώπην, ἀπὸ μέρους καὶ τὴν ναῦν, καὶ ἀπὸ μιᾶς τὰς πάσας παρέλαβεν. A.M.

40. αἰτεῖ: ζητεῖ τοῦ σφαγῆναι. Fl. 21. καὶ δι' ὀνείρου αἰτεῖ τὴν ἐμὴν ἀδελφὴν Πολυξένην σφαγιασθῆναι, καὶ τὸν προσφιλέστατον αὐτοῦ τάφον ῥαντισθῆναι τῷ αἵματι. ἵνα λάβῃ γέρας παρ' αὐτῶν. Fl. 33.

41. τύμβῳ φίλον πρόσφαγμα: ὑπὸ Νεοπτολέμου φασὶν αὐτὴν σφαγιασθῆναι Εὐριπίδης καὶ Ἴβυκος. ὁ δὲ τὰ Κυπριακὰ ποιήσας φησὶν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἐν τῇ τῆς πόλεως ἁλώσει τραυ-

15. ὑπέρ] V. scholion A. in Praef.
31. ὁ δὲ τὰ Κυπριακὰ ποιήσας] Conf. schol. Androm. 898. COBET.
32. τραυματισθεῖσαν ἀπολέσθαι] τραυματισθῆναι εἰσαναπολεῖσθαι M. Correctum ex A. de quo v. Praefat.

ματισθεῖσαν ἀπολέσθαι, ταφῆναι δὲ ὑπὸ Νεοπτολέμου, ὡς Γλαῦκος γράφει. A.M. *ἄλλοι δέ φασι συνθέμενον Πριάμῳ τὸν Ἀχιλλέα περὶ τοῦ Πολυξένης γάμου ἀναιρεθῆναι ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἄλσει.* M.

5 *φίλον*: *ἠγαπημένον.* Fl. 17. *προσφιλές.* Gr. *πρόσφαγμα*: *θῦμα.* Fl. 2. *ἤγουν σφάγιον.* Gr. *γέρας*: *τιμήν·* Fl. 17. 21. 59. Gr.

42. *τεύξεται*: *ἐπιτύχῃ.* Gr. *λάβῃ, ἐπιτύχῃ.* Fl. 21. 59. *ἐπιτύχοι.* 56. *καὶ τεύξεται δῆλον τύχῃ τῆς τιμῆς παρὰ τῶν ἰδίων* 10 *φίλων· καὶ ἔσται παρὰ τῶν ἀνδρῶν τετιμημένος.* Fl. 33.

ἀδώρητος: *ἄνευ δώρων.* Fl. 21. *χωρὶς δώρων.* Fl. 33. *ἤγουν ἀγέραστος.* Gr. *φίλων*: *Ἀγαμέμνονος καὶ Μενελάου.* Fl. 21.

43. *πεπρωμένη*: *ἡ τύχη.* Fl. 2. 17. 21. *ἡ μοῖρα.* Gr. *ἄγει*: *ἐλαύνει.* Gr.

15 44. *θανεῖν*: *ἀποθανεῖν τὴν Πολυξένην.* Fl. 17. 21. *καὶ ἡ ἐμὴ ἀδελφὴ τῇδε τῇ ἡμέρᾳ θανεῖται.* Fl. 33.

τὴν ἐμὴν τῇδ' ἡμέρᾳ: *γρ. τῷδ' ἐμὴν ἐν ἤματι.* M.

45. *δυοῖν*: *τοὺς δύο νεκροὺς τῶν παίδων.* M. *καὶ ἡ ἐμὴ μήτηρ Ἑκάβη δύω νεκρὰ σώματα τῶν δύο παίδων αὐτῆς κατόψεται, ἐμοῦ* 20 *τοῦ Πολυδώρου, καὶ τῆς ἐμῆς πολυστενάκτου ἀδελφῆς Πολυξένης.* Fl. 33. *δυοῖν ἐπὶ γενικῆς καὶ δοτικῆς, δυεῖν δὲ ἐπὶ γενικῆς.* Viteb.

46. *κόρης*: *τῆς θυγατρός.* Fl. 36. 59. 76.

47. *φανήσομαι*: *τὸ ἐξῆς, φανήσομαι γὰρ δούλης ποδῶν πάρι-* 25 *θεν, ὅπως ἂν τάφου τύχω.* M. *ὀφθήσομαι, εὑρεθήσομαι, ἵνα τύμβου ἐγὼ ὁ ἄθλιος ἐπιτύχω.* Fl. 21. *ἐπιφανήσομαι, ὡς ἐκ τάφου ἐρχόμενος ὁ πολλὰ ὑπομείνας, ἵνα τύχω δηλονότι ταφῆς.* Fl. 33. *ὡς τάφου*: *ἵνα ἐνταφιασμοῦ.* Gr.

48. *ἐν κλυδωνίῳ*: *ἐν αἰγιαλῷ μελλούσης ὕδωρ ἀποφέρειν εἰς τὰ* 30 *λουτρὰ τῆς Πολυξένης.* M. *κλυδώνιον τὸν αἰγιαλὸν λέγει· ἐν τούτῳ γὰρ τὴν ταραχὴν ἐξερεύγεται ἡ θάλασσα.* B. *κλυδώνιον τὸ κῦμα τῆς θαλάσσης, ὃ παρὰ τῷ αἰγιαλῷ εἰθίας οὔσης ἐπικλύζεται.* B Gu. I.

πάροιθεν: *ἤγουν μακρὰν, ἔμπροσθεν ἐν τῷ αἰγιαλῷ τῷ παραθα-*

17. *γρ.*—] Ad *τὴν ἐμὴν πολιξένην* v. 40. rettulit librarius in M.

21. *δυοῖν*] V. Lob. ad Phryn. p. 211.

29. V. scholion A. in Praef.

λασσίῳ. Fl. 21. ἔμπροσθεν τῶν ποδῶν τῆς ἐμῆς μητρὸς, τῆς δούλης γενησομένης ἐν τῷ κλυδωνίῳ, δῆλον ἐπὶ τῇ ἁλώσει τῆς Τροίας. Fl. 33.

49. κάτω: εἰς τὸν Ἅιδην. Fl. 59. σβένυντας: βασιλεύοντας, Πλούτωνα καὶ Περσεφόνην. M. τοὺς θυναμένους κάτω, ἤγουν τοὺς καταχθονίους ἐξήτησα θεούς. Fl. 21. ἐγὼ τοίνυν ὁ Πολύδωρος τοὺς κάτω βασιλεύοντας, ἤγουν Πλούτωνα καὶ Περσεφόνην, αἰτήσας τάφου ἐπιτυχεῖν καὶ εἰς τὰς χεῖρας τῆς μητρὸς πεσεῖν. Fl. 33. ἐξητησάμην: καθικέτευσα. Gr.

50. κυρῆσαι: τυχεῖν. Gr. πεσεῖν: εὑρεθῆναι. Fl. 21.

51. τεὰμόν: τὸ ταφῆς ἀξιωθῆναι παρὰ τῆς μητρός. M. βούλημα. Gr. τὸ ἐμὸν, ἤγουν τὸ τυχεῖν τάφου. Fl. 21. θέλημα. Fl. 59. κἀγὼ ὅσον ἤθελον εὑρεῖν, εἴληφα. Fl. 33.

τυχεῖν: τάφου τυχεῖν. M. τὸ τυχεῖν ἀεὶ γενικῇ συντάσσεται. ἐνταῦθα δὲ τὸ ὅσου οὐ πρὸς τὸ τυχεῖν λέγεται, ἀλλὰ πρὸς τὸ προηγησάμενον τὸ ἐμόν. B. Gu. I.

52. γεραιᾷ: τὸ γεραιᾷ οὐ πρὸς τὸ ἐκποδὼν ἐστιν. ὡς οἴονταί τινες, ἀντίπτωσιν ποιοῦντες, ἐπειδὴ τὸ ἐκποδὼν γενικῇ συντάσσεται, ἀλλὰ πρὸς τὸ χωρήσομαι. ὥσπερ γὰρ φαμὲν, ἀφαιρῶ σοι χρήματα, οὐ πρὸς τὸ χρήματα συντάσσοντες τὸ σοί, ὥς τινες τῶν ἀμαθῶν οἴονται, ἀλλὰ πρὸς τὸ ἀφαιρῶ,—τὴν γὰρ ἀφαίρεσιν σοι ποιῶ·—οὕτω καὶ τὸ χωρήσομαι τῇ Ἑκάβῃ ἐκποδὼν αὐτὶ τοῦ τὴν ὁρμὴν τῆς ἀποστασίας ποιῶ. περᾷ δὲ ὑπὸ τὴν σκηνὴν τοῦ Ἀγαμέμνονος, ἵν' αὐτόθι τῇ Κασάνδρᾳ ἐντύχῃ, ἥτις μαντεύσεται αὐτῇ περὶ τοῦδε τοῦ φαντάσματος. B.I.

ἐκποδών: ἐπίρρημα τοπικόν· μακρὰν δηλονότι. Fl. 21. τῇ δὲ γεραιᾷ μητρὶ ἐκποδὼν διαχωρισθήσομαι. Fl. 33. χωρήσομαι: ἀναχωρήσω, ἀπέλθω. Fl. 21. 56. 76. αὐτὶ τοῦ ὑποχωρήσω. Gr.

53. περᾷ: ὁρᾷ γὰρ Ἑκάβην προϊοῦσαν ἐκ τῆς σκηνῆς τοῦ Ἀγαμέμνονος καί φησι, μὴ βούλομαι φανῆναι αὐτῇ, ἵνα μὴ ἐκφοβηθῇ τὸ εἴδωλον ὁρῶσα τοῦ παιδὸς τοῦ δυκοῦντος σώζεσθαι. M. περᾷ γὰρ ἦδ' ὑπὸ σκηνῆς πόδα Ἀγαμέμνονος: εἰ κατὰ τὸν Εὐριπίδην ἴδιαι γυναικῶν αἰχμαλώτων στέγαι ἦσαν, πῶς ἐκ τῆς σκηνῆς Ἀγαμέμνονος

21. σοι om. I. ib. οὕτω καὶ τὸ] οὕτως τὸ B.

ἐξήει ἡ Ἑκάβη, πῶς δὲ καὶ ἐκείνας ἐξιοῦσα ἐξ . . το λόγον "πῦ ποτε Κασάνδραν ἐσίδω, Τρῳάδες," τῆς Κασάνδρας τῷ Ἀγαμέμνονι συνοικούσης; νυκτέον δὲ τὴν Ἑκάβην τῷ φάσματι ταραχθεῖσαν προελθεῖν ἐκ τῆς σκηνῆς τῶν αἰχμαλωτίδων, εἰσελθεῖν δὲ εἰς τὴν σκηνὴν Ἀγαμέμνονος εἰς ζήτησιν τῆς Κασάνδρας. ἵνα αὐτῇ κρίνῃ τὸν ὄνειρον, καὶ μὴ εὑροῦσαν αὐτὴν διὰ τὸ ἴσως τὴν κόρην μετὰ τὴν κοίτην τοῦ Ἀγαμέμνονος καθαρμοῦ χάριν ἔωθεν εἰς τὴν θάλασσαν ἀπολυμηναμένην πάλιν ἐξελθεῖν τὴν Ἑκάβην τῆς βασιλικῆς σκηνῆς· ἣν ἰδὼν ὁ Πολύδωρος ἔφη "περᾷ γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα Ἀγαμέμνονος." A.M.

περᾷ: ἐκβαίνει ἡ Ἑκάβη. Fl. 21. συνεχῶς ἐστι περᾷ τὸν πόδα. Fl. 21. ἀπέχεται γὰρ καὶ αὕτη καὶ τὸν πόδα κινεῖ πρὸς τὴν τοῦ Ἀγαμέμνονος σκηνήν. Fl. 33.

54. φάντασμα: τὸν ὄνειρον. ἐμόν: ἤγουν ὅπερ εἶδε περὶ ἐμοῦ. Gr. δειμαίνουσ': φοβουμένη τὴν ἐμὴν φαντασίαν. καὶ γὰρ κατ' ὄναρ ἐκείνῃ ὤφθη. Fl. 21. τὸ ἐμὸν φάντασμα φοβοῦσα. δειλιῶσα. Fl. 33.

55. φεῦ: θαυμαστικόν. Fl. 17. βαβαί, ὦ μῆτερ, ἢ φεῦγε, ὦ μῆτερ, ἐκ τῶν βασιλικῶν οἴκων. Fl. 33. ἥτις: σὺ οὖσα. Fl. 21. ἐκ τυραννικῶν δόμων: ἤγουν μετὰ βασιλικοὺς οἴκους. Gr.

56. δούλειον: δουλικὴν ἡμέραν ἔγνως. Fl. 21. δουλοσύνης ἡμέραν ὑπέστης καὶ κακῶς πράττεις. Fl. 33. ὡς: λίαν δυστυχήσεις. Fl. 21. λίαν ἐν δυστυχίᾳ ἐξετάζῃ. M. πράσσεις: διάκεισαι. πράσσεις κακῶς: ἀντὶ τοῦ δυστυχεῖς. B. Fl. 56. 59. 76. Gr.

57. ὅσονπερ: ὅσον, ὁπόσον εὖ ποτε πρότερον ἔπραττες, νῦν κακῶς πράσσεις. Fl. 21.

ἀντισηκώσας: ἀντισταθμήσας. Gr. ἀνακινῴσας σέ τι; θεῶν. Fl. 21. ἀναμετρήσας. Fl. 2. 6. ὅσον ποτὲ εὖ καὶ καλῶς εἶχες, νῦν δὲ δυστυχίαν ὑπομένεις. τίς ἐκ τῶν θεῶν τῆς προτέρας ἡμῶν εὐπραξίας διέφθειρε καὶ ἠφάνισεν. Fl. 33.

58. φθείρει: ἤγουν ἔβλαψεν, ἔσφαλεν. Gr. φθείρειν τὸ ἀφανίζειν καὶ τὸ βλάπτειν· καθὸ λέγεται ἐφθάρθαι τὰ δικαστήρια. B.

1. πῦ ποτε—] V. 88.
7. ἀπολυμηναμένην] ἀπο...λυμ... M.
De Scholiis A. v. Praefat.
10. ἐκβαίνει] ἐκβάλλει (sic) Fl. 21.
30. φθείρειν—καὶ τὸ βλάπτειν] φθείρειν γὰρ—καὶ βλάπτειν Gu.

Gu. I. ἔβλαψεν. Fl. 17. 34. 56. 59. 76. εὐπραξίας : εὐπραγίας. Fl. 56. 59. 76. Gr. εὐτυχίας. Gr.

59—100. Παράφρασις. ὦ παῖδες, ὦ δοῦλαι, ἄγετε τὴν γραῦν, ἐμὲ δηλονότι, πρὸ τῶν δόμων, ἤτοι ἔξω τῶν οἴκων ἄγετε, ὦ Τρῳάδες, ὀρθοῦσαι, ἀντὶ τοῦ ἀνορθοῦσαι καὶ ἀναβαστάζουσαι, τὴν ὑμόδουλον ὑμῖν νῦν, πρόσθεν δὲ καὶ πρότερον ἄνασσαν. λάβετε, ὡς γραῦν δηλονότι, φέρετε, ὡς ἄψυχον τρόπον τινὰ, πέμπετε, ἀντὶ τοῦ παραπέμπετε, ὡς ἄνασσαν δηλονότι, ἀείρετε, ἀντὶ τοῦ αἴρετε καὶ ἀνακουφίζετε, τὸ δέμας ἐμοῦ, προσλαζύμεναι, ἤτοι λαμβανόμεναι καὶ ἐχόμεναι, τῆς γεραιᾶς χειρὸς, ἐμοῦ δηλονότι. καὶ ἐγὼ ἐρειδομένη καὶ στηριζομένη διὰ τῆς χειρὸς σκίμπωνι σκολιῷ, ἤτοι ῥάβδῳ ἐπικαμπεῖ καὶ βακτηρίᾳ ἐπερειστικῇ, σπεύσω, πρυτιθεῖσα καὶ ποιοῦσα ἦλυσιν καὶ πορείαν τῶν ἄρθρων, καὶ τῶν ἁρμονιῶν, ἤτοι τῶν ποδῶν, βραδύπους καὶ ὀργήν. ὦ στεροπὰ καὶ ἀστραπὴ Διὸς, ἀντὶ τοῦ ὦ ἡμέρα, ὦ νὺξ σκοτία καὶ σκοτεινὴ, τί ποτε, ἀντὶ τοῦ διὰ τί ἆρα, αἴρομαι καὶ μετεωρίζομαι ἔννυχος καὶ νυκτερινὴ ἐν δείμασι, καὶ ἐν φόβοις, ἐν φάσμασι, καὶ φαντάσμασιν. ὦ χθὼν πότνια καὶ σεβασμία. μῆτερ τῶν ὀνείρων τῶν μελανοπτερύγων καὶ ἀφανῶν, ἀποπέμπομαι καὶ ἀποδιώκω τὴν νυκτερινὴν ὄψιν (λέγει δὲ τὸ ὄναρ,) ἣν εἶδον διὰ τῶν ὀνείρων περὶ τοῦ παιδὸς, ἤγουν ἕνεκα τοῦ παιδὸς, τοῦ φυλαττομένου κατὰ τὴν Θρᾴκην, καὶ περὶ τῆς Πολυξένης, τῆς προσφιλοῦς θυγατρός. εἶδον γὰρ ὄψιν φοβερὰν, ἤτοι φόβου ποιητικὴν, ἐμαθον, ἐδάκην, ἀκριβῶς ἔγνων. ὦ θεοὶ χθόνιοι, ἀντὶ τοῦ καταχθόνιοι ἢ ἐγχώριοι, σώσατε τὸν ἐμὸν παῖδα, ἤγουν τὸν Πολίδωρον, ὃς ἄγκυρά τε ὢν μόνος, ἤτοι στήριγμα, καὶ φύλαξ τῶν ἐμῶν οἴκων, κατοικεῖ τὴν δυσχείμερον Θρᾴκην, ἐν ἐπιτρήσεσι τοῦ φίλου τοῦ πατρῴου καὶ πατρικοῦ, ἤτοι τοῦ Πολυμήστορος. ἔσται καὶ γενήσεταί τι παράδοξον, ἐμῖν δηλονότι. ἦξει τι μέλος γοερὸν, καὶ θρηνῶδες, ταῖς γοεραῖς, ἡμῖν δηλονότι. εὔποτε, ἀντὶ τοῦ οὐδέποτε, ἡ ἐμὴ γνῶσις οὕτως, ὑπῆρξε δηλονότι, ἄφυκτος φρίσσει, ταρβεῖ. ποῦ ἄρα θεάσομαι, ὦ Τρῳάδες, τὴν θείαν ψυχὴν τοῦ Ἑλένου, περιφραστικῶς ἀντὶ τοῦ τὸν Ἕλενον, ἢ τῆς Κασάνδρας, ἵνα διακρίνωσιν ἐμοὶ τὼς ὀνείρους; εἶδον γὰρ ἔλαφον κατάστικτον, καὶ ταχεῖαν, σφαζομένην ἐν ὄυχι λύκου αἱματηρᾷ, ἀποσπασθεῖσαν τῶν ἐμῶν γονάτων, ἀφαιρεθεῖσαν σὺν ἀνάγκῃ καὶ βίᾳ οἰκτρῶς, καὶ ἐλεεινῶς. καὶ

13. ἁρμονιῶν Matth. ἁρμονικῶν I. Conf. p. 236, 12.

τοῦδε, καὶ τοῦτο, λέγω τὸ φάντασμα τοῦ Ἀχιλλέως, ὑπὲρ τῆς ἄκρας κορυφῆς τοῦ τύμβου, δεῖμα καὶ φόβος ἦλθεν ἐμοί. I.

59. ἐγερθεῖσα ἡ Ἑκάβη τεταραγμένη ἀπὸ τοῦ ὀνείρου ταῦτά φησιν. Gu. προϊοῦσα ἡ Ἑκάβη ἀπὸ τῆς σκηνῆς Ἀγαμέμνονος ταῦτά φησι χειραγωγουμένη ὑπὸ τῶν Τρῳάδων διὰ τὸ ἀδυνάτως βαδίζειν ὑπό τε τῆς δυστυχίας καταπονηθεῖσα καὶ τοῦ γήρως. A.M. Fl. 33. ἄγετε: ἐπιρρηματικῶς, κομίσατε. Fl. 21. φέρετε. Fl. 56. ἐκβάλλετε. Fl. 59. παῖδες: παιδίσκαι. Fl. 56. γραῦν: τὴν ἀσθενῆ. Fl. 56. πρὸ δόμων: ἤγουν ἔξω τῶν σκηνῶν. Fl. 21. ἤγουν ἔξω τοῦ δόμου τοῦ ἐμοῦ καὶ ἔμπροσθεν τῶν δόμων τοῦ Ἀγαμέμνονος. Fl. 59.

60. ὀρθοῦσαι: ὑψοῦσαι, ὑπερείδουσαι. Fl. 21. ἤγουν ἐπὶ τῶν ποδῶν ἱστᾶσαι. Fl. 17. κυφίζουσαι. Fl. 59. ἀντὶ τοῦ ἀνορθοῦσαι. Gr.

ὁμόδουλον: τὴν μεθ' ὑμῶν δοῦλον οὖσαν. Fl. 21. νῦν ὑποστηρίζεσθε τὴν ὁμόδουλον ὑμῖν, τὴν ἔμπροσθεν δὲ βασίλισσαν. Fl. 33. ἐμὲ δηλονότι, τὴν ποτὲ μὲν δέσποιναν οὖσαν, νῦν δὲ διὰ τὴν αἰχμαλωσίαν ὁμόδουλον ὑμῖν. λέγει γὰρ ταῦτα πρὸς τὰς ἀπὸ τῆς Τροίας αἰχμαλώτους γυναῖκας. Gr.

61. Τρῳάδες: παῖδες ἐκ τῆς Τροίας. Fl. 21. ὦ γυναῖκες. Fl. 56. πρόσθε: πρότερον δὲ οὖσαν ἄνασσαν ὑμῖν, ἤγουν βασίλισσαν. Fl. 21. καὶ πρότερον δέσποιναν. Fl. 17. πρότερον οὖσαν δέσποιναν ὑμῶν. Fl. 59.

62. λάβετε: κρατήσατέ με. Fl. 56. 59. Gr. φέρετε: βαστάζετε. Fl. 56. 59. Gr. πέμπετ': ἤγουν ἀποπέμπετε, ἔξω φέρετε. Fl. 21. ὀδοποιήσατε. Fl. 6. ὁδηγεῖτε. Fl. 59. ἀείρατε: ἤγουν αἴρετε, ὑψώσατε, ἀναβαστάζετε. Fl. 6. 59. ἀείρετέ μου: λείπει τὸ σῶμα, ἐπαίρετέ μου τὸ σῶμα τῆς χειρὸς λαβόμεναι. Ἄλλως. ἄγετέ μου τὸ σῶμα τῆς χειρὸς λαβόμεναι, καὶ ἐγὼ τῷ βάκτρῳ διὰ τῆς χειρὸς ἐπαιρομένη τῷ οὐκ ὀρθῷ, ἀλλ' ἐπικαμπεῖ πορεύσομαι. A. πέμπετ', ἀείρετε: ἀνακυφίσατε. λείπει τὸ σῶμα.

2. ἦλθεν ἐμοί] His addidit King.: ἐζήτει δὲ, ὥσπερ δῶρον, τινὰ ἀπὸ τῶν πολυπαθῶν Τρωϊάδων. ἀπ' ἐμῆς οὖν, ἀπ' ἐμῆς τῆς θυγατρὸς τοῦτο ἀποδιώξετε, ὦ δαίμονες, παρακαλῶ, fortasse ex Bar.

4. Ἀγαμέμνονος om. Fl. 33. Idem τῶν τρῳάδων δουλίων διὰ—ὑπὸ τοῦ γήρως καὶ τῆς δυστυχίας.

12. ὑπερείδουσαι] ὑπερέουσαι Fl. 21. ὑπηρετοῦσαι Matth.

Gr. δέμας: σῶμα. Fl. 17. 59. ἐπιλάβετε καὶ ἁπάρατε, κυφίσατέ μου τῆς ἀδυναμίας. Fl. 33. τὸ σῶμα ἐπαιρόμενον, τὸ σῶμα τῆς χειρὸς λαβομεναι. M.

64. γεραιᾶς χειρός: ἤγουν διὰ τῆς χειρὸς ἐμοῦ τῆς γεραιᾶς λαμβανόμεναι, ἐχίμεναι, ἁπτόμεναι. Fl. 6. 21. Gr. τὴν χεῖρα ἐμὴν τὴν γεραιάν. Fl. 17. χείρ. χειρὸς ἢ χερός Αἰολικῶς. Gu.

προσλαζύμεναι: ἔστι καὶ λάζυμαι καὶ λάζημαι, τὸ λαμβάνω, τὸ μὲν ἀπὸ τοῦ λάζυμι, τὸ δὲ ἀπὸ τοῦ λάζω. τὸ δὲ λάζω δύο σημαίνει. τὸ λαμβάνω καὶ τὸ ὑβρίζω. καὶ τὸ μὲν λαμβάνω γίνεται ἀπὸ τοῦ ἔλω τὸ λαμβάνω, καὶ τοῦ ἄγω ἄξω. ἢ ὄηλεῖ τὸ φέρω. καὶ τριπῇ τοῦ διπλοῦ εἰς διπλοῦν, ἐλάζω καὶ λάζω. τὸ δὲ ὑβρίζω ἀπὸ τοῦ ἐπιτατικοῦ μορίου καὶ τοῦ ξέω· ἔστι δὲ Αἰολικόν. ἀπὸ γοῦν τοῦ λάζυμαι παθητικοῦ, τοῦ δηλοῦντος τὸ λαμβάνω, γίνεται τὸ λαζυατο παρὰ τῷ ποιητῇ, οἷον "ὀδὰξ λαζύατο γαῖαν." καὶ ὄηλον ἐντεῦθεν ὅτι διαφορεῖται κατὰ τὴν σύνταξιν. I. ἰψεύμεναι. Fl. 21. προσλαβόμεναι, Αἰολικῶς ἔτρεψε τὸ β εἰς ζ, τὸ δὲ ο εἰς υ. Fl. 25. 6. λήβω, ὁ μέλλων λήψω, καὶ ἐξ αὐτοῦ ἄλλο ῥῆμα λαβίζω, καὶ κατὰ συγκοπὴν λάζω, λάξω, τὸ λαμβάνω. Fl. 6. 25.

64. σκίπωνι: τῷ κέντρῳ διὰ τῆς χειρὸς ἐπαιρομένῃ καὶ ἐπερειδομένῃ. Καὶ ἄλλως. τῷ οὐκ ὀρθῷ βάκτρῳ, ἀλλ' ἐπικαμπεῖ, ὡς διὰ πτωχείαν καὶ τούτου αὐτῆς ἀπορούσης. A.M.

σκιλῷ σκίμπωνι: λαξῷ ῥάβδῳ. Fl. 34. 56. 59. 76. Gr. ἐν καμπτῷ ῥάβδῳ. Fl. 21. ἐπερειστικῷ βακτηρίᾳ. Gr. σκίπων λέγεται ἡ ῥάβδος. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ σκιὰν ποιεῖν, ἢ ἀπὸ τοῦ σκεδαννύειν τὰ βλάπτοντα. δι' αὐτῆς γὰρ σκεδάννυμεν τὰ καθ' ἡμῶν διά τινα βλάβην ἐπερχόμενα. Fl. 6. 25. καὶ ἐγὼ ἐπικαμπεῖ βακτηρίᾳ διὰ χειρὸς λαβοῦσα. Fl. 33.

65. διερειδομένα: ἡ διά πρὸς τὸ χειρός. ἐπιστηριζομένη, διερει-

4. διὰ et ἁπτόμεναι om. Gu.

9. Verba καὶ τὸ μὲν λαμβάνω—λάζω sunt etiam in Flor. 6. 25. nisi quod in 6. ἐλάζω καὶ λάζω, in 25. tantum ἐλάζω καὶ desunt. Ex iisdem verba τὸ δὲ ὑβρ.—Αἰολικόν desumta sunt, quum in editis schol. tantum esset, τὸ δὲ ὑβρίζειν ἀπὸ τοῦ λίαν ζέειν. MATTH.

14. ποιητῇ] Il. 2, 418.

ib. διφορεῖται] διαφορεῖται I.

15. ἰψεύμεναι] ὑψόμεναι Fl. 21.

17. καὶ ἐξ αὐτοῦ ἄλλο ῥῆμα] καὶ ἐξ αὐτοῦ ἄλλος μέλλων λαβάζω Fl. 25.

19. σκίπωνι—ἄλλως om. A.

20. ὀρθῷ βάκτρῳ, ἀλλ'] ὀρθῷ καὶ A.

δομένη, στηριζομένη, διαναπαυομένη. M. ἀναπαυομένη. Fl. 21. ἤγουν διὰ τῆς χειρὸς στηριζομένη. Gr.

βραδύπους ἤλυσιν ἄρθρων: τὴν βραδεῖαν ἔλευσιν καὶ πορείαν τῶν ἄρθρων προσταθεῖσα τῷ σκίπωνι. M. βραδύπους, ὁ βραδὺς τοὺς πόδας. ἐνταῦθα δὲ τὴν κίνησιν λέγει βραδύπουν, τὸν πόδα τιθεὶς ἀντὶ τῆς πορείας. B. Gu. I. βραδύπουν: ἀργὴν διὰ τὸ γῆρας. Bar. 74. βραδεῖαν, τὴν βραδυκίνητον. Fl. 59. στηριζομένη σπουδάσω τὴν βραδεῖαν ἔλευσιν ἐνδυναμοῦσα. Fl. 33.

67. ἤλυσιν: πορείαν. εἰώθασιν οἱ ποιηταὶ μετατιθέναι τοὺς χρόνους· τὸ γὰρ ὀλουμένην οὐλομένην λέγουσιν, οὕτω καὶ τὴν ἔλευσιν ἤλυσιν. I. ἤλυσιν: πόρευσιν. Fl. 59. σπεύσω τὴν κίνησιν τὴν βραδύπουν διὰ τῶν ἐμῶν ποδῶν ἁρμονιῶν. Fl. 21. προτιθεῖσα: ἐμαυτὴν καὶ διερειδομένη. Fl. 21. προβιβάζουσα. Fl. 6. 59. καὶ πορείαν τῶν ἐμῶν μελῶν προσθήσω διὰ τὴν συμφοράν. Fl. 33.

68. τὸ ὦ στεροπὴ Διός ἀντὶ τοῦ ὦ ἡμέρα, ἡ δίκην ἀστραπῆς λάμπουσα· ἢ ἐπειδὴ πρὸς τὴν τοιαύτην ὄψιν ἐδυσχέραινε, ποιεῖ τὸν λόγον πρὸς τὴν ἀστραπὴν τοῦ Διός, ἵνα ἀποτρέψῃ αὐτὴν καὶ ἀφανίσῃ. B.I. ὦ στεροπά: ἤγουν ὦ ὄνειρον. Fl. 59. αὐτὸν τὸν Δία ἐπικαλεῖται. A.M. Fl. 22. Gr. στεροπὴν ἐνταῦθα τὸν ὄνειρον κατὰ τὴν ἀστραπὴν...ταχέως ἀφανίζεται, ἢ διὰ τὸ καταπληκτικὸν, ὥσπερ καὶ ἡ ἀστραπή. Fl. 59.

σκοτία: μέλαινα. Fl. 21. ὦ ἀστραπὴ τοῦ Διός, ὦ σεβασμία νύξ· καὶ οὕτως· ὦ σελήνη, ἡ δίκην ἀστραπῆς καταυγάζουσα τὸν νυκτερινὸν καιρόν. Fl. 33.

69. τί ποτ': τίνος ἕνεκεν, πῶς. Fl. 17. 21. αἴρομαι: μετεωρίζομαι. M. ἀντὶ τοῦ ἐπαίρομαι καὶ μετεωρίζομαι καὶ ὥσπερ ἀνάστατός εἰμι. ἔννυχος δ' εἶπε πρὸς τὸ αἴρομαι, δέον ἐννύχως εἰπεῖν. B.I. αἰωροῦμαι, ἐπαίρομαι. Fl. 6. ἐκφοβοῦμαι. Fl. 59. φαν-

1. In A. τὸ δὲ διερειδομένη, ἐπιστηριζομενη, μετεωριζομενη.

6. τιθεὶς] συντιθεὶς B. Gu. unde fortasse συντιθεὶς scribendum cum Musgravio: quo significatur adjectivum βραδὺς cum πούς esse compositum, non cum πορείας vocabulo, i. e. βραδύπους dictum esse pro βραδύπορος.

10. ὀλουμένην Matth. pro ὀλομένην. Accusativum οὐλομένην posuit grammaticus respiciens ad Iliadis versum secundum.

15. τὸ ὦ] τὸ om. I., Διὸς om. B.

17. ἀφανίσῃ] Pergunt B.I. τὸ δὲ αἴρομαι—(schol. v. 69.)

τάζομαι, μετεωρίζομαι ἀπὸ τοῦ καθεστηκότος. Id. διὰ τί ποτε φαντάζομαι ἐν τῇ νυκτὶ οὕτως. Fl. 33.

70. δείμασι, φάσμασιν: ἤτοι ἀντὶ τοῦ δεινοῖς φάσμασιν ἢ δείμασι φασμάτων. ὁ δὲ νοῦς, τί μετεωρίζομαι ἐν τούτοις τοῖς φάσμασι. A.M. φόβοις φασμάτων· ἡ ὀτικὴ ἀντὶ γενικῆς. Fl. 6. 17. 56. 59. 76. ἐν δείμασι φαντασμάτων ἐχρῆν εἰπεῖν, ἀλλ' ὅμως ἀντὶ γενικῆς ἡ ὀτικὴ φέρεται. Fl. 21. τὸ δείμασι φαντάσμασιν, ἢ ἐν φαντάσμασι καὶ ὀνείροις, δείμασι καὶ δειματοποιοῖς, ὥσπερ καὶ σχέτλιος ὁ σχετλιοπουὶς, συντακτέον, ἢ καὶ οὕτως, ἤγουν ἐν δείμασι καὶ φοβήμασι, καὶ ἐν φαντάσμασιν. Fl. 59. φοβερισμοῖς, φαντασίαις. Fl. 33. φοβήμασι, ἐνυπνίοις. Gr.

ὦ πότνια χθών: γρ. νύξ. M. ὦ σεβασμία γῆ. A. Fl. 17. 21. 33. 59. Gr. ἢ οὕτως· ὦ μητρικὴ γῆ, τί δή μοι ὧδε τὰ σκοτεινὰ ὄνειρα καὶ δι' ὅλης νυκτὸς ἀποπλανῶμαι διὰ τὴν τῶν ὀνείρων θεωρίαν. Fl. 33.

71. μελαναπτερύγων: ἐπειδὴ ἐν νυκτὶ προσπελάζουσι. καὶ Ἡσίοδος περὶ τῆς νυκτὸς λέγων ἐπιφέρει "ἔτικτε δὲ φῦλον ὀνείρων." οἱ δὲ γράφουσι χθών· οὕτως εἶπεν, ἐπειδὴ ἐκ τῆς γῆς λέγονται ἀναπέμπεσθαι οἱ ὄνειροι. M. Ἄλλως. τὴν γῆν εἶπεν, ἐπειδὴ ἐξ Ἅιδου λέγονται οἱ ὄνειροι ἀναπέμπεσθαι. Ἡσίοδος δὲ Νυκτὸς τοὺς ὀνείρους φησίν. A.M.

μελαναπτερύγων: διὰ τοῦτο τὴν χθόνα μητέρα τῶν ὀνείρων φασὶν ἢ διότι τὰ βρώματα ἐξ αὐτῆς ἐστι, δι' ὧν οἱ ὄνειροι, ἢ διότι ἐξ αὐτῆς ἡ νὺξ εἶναι δοκεῖ, ὑπὸ γῆν ὄντος τοῦ ἡλίου. μελαναπτέρυγα δὲ τὰ ὀνείρατα λέγεται ἢ ὡς ἐν τῇ νυκτὶ γινόμενα καὶ ταχέως εἰς λήθην ὄντα, ἢ ὅτι σκοτεινὸν ἔχει τὸν κατ' αὐτὰ νοῦν, καὶ οὐδεὶς δύναται αὐτὰ διακρῖναι. B. μητέρα τῶν ὀνείρων εἶπε τὴν γῆν, ἢ ὅτι ἐξ ἀντιφράξεως τῆς σκιᾶς αὐτῆς ἡ νὺξ γίνεται, καθ' ἣν καθεύδοντες οἱ ἄνθρωποι τοὺς ὀνείρους βλέπουσιν, ἢ καθ' ἑτέρους, ὅτι ἐκ μὲν τῆς γῆς αἱ τροφαὶ, ἐκ δὲ τῶν τροφῶν οἱ ὕπνοι, ἐκ δὲ τῶν ὕπνων οἱ ὄνειροι· τῆς

4. τούτοις τοῖς] τοιούτοις A.
5. φόβοις—] Gu. οἷον φασμάτων. ἡ ὀτικὴ ἀντὶ γενικῆς ὀνείρασι φάσμασιν ἔρασιν. in quo scholio, rubrica scripto, verba φασμάτων—γενικῆς uncis atramento pictis seclusasunt. MATTH.
17. Ἡσίοδος] Theog. 212.
19. Ἄλλως om. A.
20. δὲ Cobetus. γὰρ M.
28. ἀντιφράξεως] ἀντιφράσεως B. Gu.
ib. κ. οἱ ἄ.] οἱ ἄ. κ. I.
30. τῆς γῆς ἄ. οἱ ὄνειροι om. Gu.

γῆς ἄρα οἱ ὄνειροι. μελανοπτέρυγας δὲ τοὺς ὀνείρους εἶπεν, ὅτι ἐν τῷ σκότει δοκοῦσιν ἵπτασθαι· ἄστατοι γάρ εἰσι. B. Gu. I.

μελανοπτερύγων: διὰ τὸ τὴν νύκτα ἔρχεσθαι μέλανοι καλοῦνται. Fl. 21. τῶν μελαίνας πτέρυγας ἐχόντων. Fl. 17. μελάνων, ἀφανῶν καὶ σκοτεινῶν. Fl. 59. πτέρυγας τιθέασιν οἱ Ἕλληνες πᾶσι τοῖς σύντονον ἔχουσι κίνησιν. Gr.

μᾶτερ: αἰτία. Fl. 17. δημιουργή. Fl. 6.

72. ἀποπέμπομαι: ἀπ' ἐμαυτῆς ἐκβάλλομαι τὴν νυκτερινὴν θέαν, τὸ φάντασμα. Ἄλλως. ἀποτροπιάζομαι τὴν νυκτερινὴν φαντασίαν καὶ τὴν θέαν τοῦ ὀνείρου. ἥντινα εἶδον περὶ τοῦ ἐμοῦ παιδὸς Πολυδώρου τοῦ σωζομένου κατὰ Θρῄκην καὶ τῆς Πολυξένης. τὸ δὲ εἶδον λείπει. A.M. νυκτερινὴν ὄψιν. ἀντὶ τοῦ, εἶδε πόρρω ἀπ' ἐμοῦ γένηται ἡ ὄψις αὕτη. A. ἀποδιώκω, μισῶ. A. ἤγουν ἀποτροπιάζομαι. Fl. 6. 17. 34. 56. 76. 59. Gr. ἤγουν ὁρῶ καὶ κεῖμαι εἰς νυκτερινὸν φάντασμα. Fl. 21. ὄψιν: θέαν. Fl. 17. ὄνειρον. Fl. 59.

74. τοῦ σωζομένου: οὐκ εἶπε τοῦ ὄντος, ἀλλὰ τοῦ σωζομένου· ὃ γὰρ ἠβούλετο, τὸ σώζεσθαι τὸν παῖδα δηλονότι, τοῦτο καὶ λέγει. B. Gr. I. ἤγουν τοῦ τρεφομένου. Fl. 21.

κατὰ Θρῄκην: τοῦτο ὥσπερ οὐκ ἐν Θρᾴκῃ οὖσά φησι, τῆς σκηνῆς ὑποκειμένης ἐν Χερρονήσῳ. ῥητέον δὲ ὅτι ποιητικὸν ἔθος τὸ τοιοῦτον. Ὅμηρος "υἱεῖ δὲ Σπάρτηθεν Ἀλέκτορος ἦγετο κούρην." ἐν Σπάρτῃ γάρ ἐστιν ὁ Μενέλαος. A.M. κατά: εἰς. Fl. 21. τοῦ κατὰ τὴν Θρῄκην φυλαττομένου. Fl. 33.

75. ἀμφί: ἀπὸ κοινοῦ τὸ εἶδον. M. ὁμοῦ καὶ περὶ τῆς Πολυξένης· ἀπὸ κοινοῦ ὑπακούεται τὸ εἶδον. ἀμφί ποιητικόν, ἡ περί κοινόν. Gu. φίλης: ἀγαπητικῆς. Fl. 59. καὶ περὶ τῆς προσφιλεστάτης μου θυγατρὸς Πολυξένης διὰ τῶν νῦν ὀνείρων καὶ φαντασμάτων. Fl. 33. δι' ὀνείρων: ἀπὸ κοινοῦ τὸ ὄψιν. M.

2. εἰσι] Post hoc scholion in Flor. 59. subjicitur hujusmodi figura:



8. ἐκβάλλομαι om. A.

9. θέαν, τὸ φάντασμα] ὄψιν, ὅ ἐστι θέαν A. Tum Ἄλλως et postrema ἥντινα—λείπει om. M.

16. τοῦ—τοῦ] Utrumque τοῦ om. Gu., alterum B.

17. τὸ—λέγει] τοῦτο καὶ λέγει, τὸ σώζεσθαι δηλονότι τὸν παῖδα Gu. δηλονότι σ. τὸν παῖδα, τοῦτο καὶ λέγει B.

21. Ὅμηρος] Od. 4, 10. ubi schol. ἰδίως δὲ εἴρηκεν. ἐν Σπάρτῃ γὰρ ὄντος αὐτοῦ φησι Σπάρτηθεν.

76. εἶδον: ἐθεασάμην. Fl. 59. ἐθεάθην γὰρ φιβερὰν θεωρίαν καὶ ἔγνων. Fl. 33. τὸ εἶδον τὸ ὄπισθεν καὶ τοῖς ἔμπροσθεν ἐπεκτείνεται. Gr. φιβεράν: φόβον ἐμποιοῦσαν. Fl. 6. 17. θαυμασίαν. Fl. 21. ἔμαθον, ἐδάην: ἐκ παραλλήλου, ἐνόησα. Fl. 6. τί ἐστί. Fl. 21. ἐδάην: ἐδιδάχθην. Fl. 6. 21. τὸ αὐτό. Fl. 17. ἐδιδάχθην, ἤγουν ἐπιστημονικῶς ἔμαθον. Fl. 59. ἔμαθον ἐπιστημόνως. Gr.

77. χβόνιοι: καὶ οἱ ἐπιχθόνιοι, ἤτοι οἱ ἐπάνω τῆς γῆς, τουτέστιν οἱ ἐγχώριοι καὶ ἐντόπιοι, καὶ οἱ ὑποχθόνιοι, ἤτοι οἱ ὑποκάτω τῆς γῆς. I. γήϊοι. Fl. 21. Τρωϊκοί. Fl. 56. ὑπόγειοι. Gr. Πλεύτων καὶ Περσεφόνη. Fl. 59. Gu. σώσατε: (ζῶντα. Gr.) φυλάξατε. Fl. 17. 59. Gr. ὦ καταχθόνιοι θεοί, διασώσατε τὸν ἐμὸν παῖδα Πολύδωρον. Fl. 33.

78. ὃς μόνος: ὅστις ἐπὶ τῶν ἐμῶν οἴκων ἄγκυρα ὑπολειπόμενος τὴν Θράκην οἰκεῖ ἐν τοῖς ἀτυχήμασι σωζόμενος. A.M. Ἄλλως. οἴεται ζῆν αὐτὸν, μετ' οὐ πολὺ δὲ γινώσκει ὅτι τέθνηκε, καὶ γίνεται διπλοῦν τὸ πάθος τῆς τραγῳδίας, πῆ μὲν Πολυξένην ὀδυρομένης τῆς Ἑκάβης, πῆ δὲ Πολύδωρον. A. ἢ πρὸς τὸ μόνος ὑποστικτέον, ἵν' ᾖ τὸ τε οὐκ ἀργόν, οὕτως· ὃς μόνος ὑπάρχων ἐμοὶ ἀπὸ τῶν ἐμῶν παίδων, καὶ ἄγκυρα τῶν ἐμῶν οἴκων, ἐπειδὴ ἐλπίς ἐστιν αὐτὸν ἀνακτήσασθαι τὴν ἡμῶν ἀρχὴν, κατέχει τὴν χιονώδη Θράκην· ἢ τὸ ἄγκυρα πρὸς τὸ οἴκων καὶ πρὸς τὸ ἐμῶν ἐκληπτέον, οὕτως· ὃς μόνος ἄγκυρα ὢν τῶν οἴκων, καὶ τῶν ἐμῶν, ἤτοι τῶν κατ' ἐμὲ πραγμάτων, κατέχει τὴν Θράκην. B.I. οἴκων ἄγκυρα: τουτέστι τελευταία ἄγκυρα, ἀπὸ μεταφορᾶς τῶν ναυτιλλομένων, οἳ τὰς ἄλλας ῥίπτοντες ἀγκύρας, ἂν μηδὲν δι' αὐτῶν ἀνύσωσιν, ἐπὶ τῇ τελευταίᾳ τὰς ἐλπίδας ἔχουσιν. B. Gu. I. ἀσφάλεια, βασιλεία. M. Fl. 21. στερέωμα. Fl. 17. ἄγκυρα καὶ στήριγμα καὶ ῥίζα. Fl. 59. ὅστις μόνος ἤλπιζον ὑπάρχειν τῶν ἡμετέρων οἴκων κληρονόμος. Fl. 33.

79. χιονώδη: τὴν ψυχρὰν, τὴν ὑψηλὴν καὶ χειμερινὴν καὶ χειμαζομένην. A. τὴν ψυχράν. Fl. 6. 17. 56. 59. 76. Gr. τὴν συνεχῶς χειμάζουσαν. Fl. 21. κατέχει: κατοικεῖ. A. ἀντὶ τοῦ ἔχει (οἰκεῖ Fl. 6. 17. Gr.). ἡ κατά περισσή. Fl. 6. 56. 59. 76. Gr. κατέχων αὐτὸς καὶ φυλάττων εἰς τὴν χιονώδη Θράκην. Fl. 33.

18. ἐλπίς] εἰκός I.
19. ἀνακτήσασθαι] ἀνακτίσασθαι I.
22. οἴκων] ἢ οἶκον I. In Gu. praemissa sunt ista: ὃς καὶ ἄγκυρα ὢν μόνος τῶν ἐμῶν οἴκων τὴν χιονώδη Θράκην κατοικεῖ· τοιαύτη γὰρ ἡ Θράκη διὰ τὸ εἶναι βόρειος καὶ ὑψηλοτέρα· τουτέστιν τελ. etc.

80. φυλακαῖσιν: ἐν συντηρήσεσιν. A. Fl. 21. ἀσφαλείαις. Fl. 59. ἐν ταῖς τηρήσεσι τοῦ πατρικοῦ φίλου ἦν. Fl. 33. ἐπιτηρήσεσι. Gr.

83. ἤξει τι νέον: νέον, τὸ νεαρὸν καὶ τὸ χαλεπὸν, ὡς ἐνταῦθα. I. ἔσται τι νέον: γενήσεται ὃ οὐ γινώσκομεν. τὸ νέον λαμβάνεται καὶ ἐπὶ καινοῦ τινὸς καὶ ἐπὶ δεινοῦ. Fl. 6. 25. ἔσεται πρᾶγμα μάταιον. Fl. 21. νεοστόν. Fl. 56. γενήσεται καινόν. Fl. 59. τὸ νέον ἀντὶ τοῦ δεινόν· τὸ νεωστὶ, τὸ ἰσχυρὸν, τὸ ἄπαλὸν καὶ τὸ παράδοξον, ὅπερ καὶ ἐνταῦθα. Fl. 59.

84. γοερόν: τὸ γοερὸν καὶ ὁ γόος καὶ τὸ κωκύειν πασαὶ φωναί εἰσι, καὶ ταὐτά εἰσὶ τῇ τ' ἐννοίᾳ καὶ τῇ προφορᾷ. συγγενῆ γάρ ἐστι τό τε γ καὶ κ. μέσον γάρ ἐστι τὸ γ τοῦ κ καὶ χ. B. Gu. I. μέλος γοερόν: θρῆνος θρηνῶδες. B. Fl. 6. λυπηρὸν, θλιβερὸν ἐν ἡμῖν ταῖς ἀθλίαις. Fl. 21. πασαὶ φωναί. Fl. 17. ἐλεύσεται θρῆνος θρηνητικὸν ἡμῖν ταῖς θρηνούσαις. Fl. 59. παραγενήσεταί τι μέλος θρηνητικὸν ἡμῖν. A.M. Fl. 33. γοεραῖς: ἡμῖν ταῖς γοεραῖς. M.

85. οὔποτ' ἐμὰ φρήν: οὔποτε, φησὶν, ἡ ἐμὴ φρὴν οὕτω φρίσσει. εἶτα ἐπάγει ἁλίαστος, ἤγουν ἄφυκτος, τουτέστιν, ὃ φοβεῖται ἡ ἐμὴ φρὴν, οὐ δύναται τοῦτο φυγεῖν. τὸ ταρβεῖ δὲ ταυτὸν τῷ φρίσσει. ἢ οὔποτε ὁ ἐμὸς λογισμὸς ταρβεῖ, ὡς ἔξω φόβων καὶ κακῶν εἶναι. B. Gu. I. οὔποτ': φησὶν ἡ Ἑκάβη ὅτι οὐδέποτε δεδίττω τι καὶ γίνομαι ἄφυκτος ἐκείνου. Ἄλλως. οὐδέποτε ἡ ἐμὴ ψυχὴ ἀχώριστος μένει φόβου, τουτέστιν, ἀεὶ ἐν κακοῖς εἰμί. Fl. 25. οὐδέποτε, φησὶν, ἡ ἐμὴ ψυχὴ ἢ ἡ ἐμὴ διάνοια ὧδε φόβου ἀχώριστός ἐστιν, ἀλλ' ἀεὶ τρέμει καὶ φοβεῖται. οἱονεὶ ὅτι φοβοῦμαι καὶ ὑπονῶ λέγεται. Fl. 33. ἁλίαστος: ἀμετακίνητος. A. ἀνέκφευκτος· ἀπὸ τοῦ λιάζω τὸ ἐκφεύγω, τουτέστιν, οὐδέποτε ἐκφεύγει ἡ δεινία ἀπὸ τῆς ἐμῆς ψυχῆς. Fl. 25. ἀμέτοχος. Fl. 17. ἤρεμος, ἀτάραχος. Gr.

86. φρίσσει, ταρβεῖ: θαυμάζει, δειμαίνει. Fl. 21. τὸ μὲν

10. καὶ τὸ] τὸ om. Gu.
11. ταυτά εἰσι] ταυτόν ἐστι B. Gu.
12. ἐστι τό τε γ καὶ κ B. εἰσὶ τὸ γ καὶ τὸ κ Fl. 6. I.
18. εἶτα—ἄφυκτος om. B.
ib. ἄφυκτος] ἀφύκτως φρίσσει Gu.
19. τὸ ταρβεῖ—φρίσσει] ταρβεῖν—φρίσσειν I. τὸ ταρβεῖ—κακῶν εἶναι om. Gu.
24. ἢ ἡ ἐμὴ Matth. pro ἡ ἐμοί.
28. ἀτάραχος est etiam gl. in M., ex quo praeterea ad ταρβεῖ enotatum τινὲς τὸ ταρβεῖν ἀντὶ τοῦ ἀτάραχος.
29. θαυμάζει—] Pars hujus scholii est in Fl. 25. sic finita, ὁ δὲ νοῦς, οὐ-

φρίσσει καὶ ταρβεῖ ταυτόν ἐστιν· ὁ δὲ νοῦς, οὐδέποτε ἡ ἐμὴ ψυχὴ ἀχώριστος φόβου μένει, τουτέστιν ἐν κακοῖς ἀεὶ μένει. ἢ οὕτως· οὐδέποτε ἡ ἐμὴ ψυχὴ ὑπονοεῖ τι καὶ τούτου ἀχώριστος γίνεται. ἢ, οὐδέποτε ἀχώριστος φόβου ἡ ἐμὴ ψυχὴ γίνεται. τινὲς οὕτως· οὐδέποτε ἡ ἐμὴ ψυχὴ φρίσσει καὶ φοβεῖταί τι ἢ ὑπονοεῖ καὶ τούτου ἀχώριστος γίνεται, οἷον, εἴ τι φοβοῦμαι καὶ ὑπονῶ, τοῦτο καὶ γίνεται. A.M.

87. τοῦ ποτε θείαν: ἀοίστην, τοῦ ἐμοῦ υἱοῦ τοῦ μάντεως ψυχήν. Fl. 21. ἄρα μαντικὴν, τουτέστι τὸν Ἕλενον· ἔζη γάρ. Fl. 6. 56. 59. 76. Gr. τουτέστι τὸν Ἕλενον. ἀπὸ τοῦ κρείττονος μέρους αὐτὸν ὀνομάζει, ὥσπερ καὶ ἡμεῖς ἀντὶ τοῦ τὸν θεῖνα εἰπεῖν τὴν ἱερὰν λέγομεν κεφαλήν. Fl. 59. ὁ Ἕλενος καὶ ἡ Κασάνδρα μαντικοὶ ἦσαν, δι' ὃ λέγει, ποῦ μοι ὁ Ἕλενος καὶ ἡ θεία αὐτοῦ ψυχὴ, καὶ ἡ Κασάνδρα, ἵνα μοι κρίνωσι τοὺς ὀνείρους. Fl. 33.

ποῦ ποτε θείαν Ἑλένου ψυχάν: ἔζη γὰρ Ἕλενος, καὶ ὡς μέν τινες ἱστορῆσιν, ἠτιμώλησεν, ὡς δέ τινες, ὑπὸ τῶν πολεμίων ἐλήφθη. ὁ δὲ νοῦς, ποῦ μοι ἄρα ἡ τοῦ Ἑλένου ψυχὴ καὶ ἡ μαντικὴ Κασάνδρα. περιφραστικῶς δὲ εἶπε ποῦ μοι ἄρα ὁ Ἕλενος καὶ ἡ Κασάνδρα, ἵνα μοι ὡς μάντεις ὄντες κρίνωσι τοὺς ὀνείρους. A.M.

Ἑλένου ψυχάν: Ἑλένου καὶ Κασάνδρας ἐν ναῷ Ἀπόλλωνος ὄντων, ἐλθόντες ὄφεις, καὶ τὰ αὐτῶν περιλείξαντες ὦτα, οὕτως ὀξυνκόους εἰργάσαντο ὡς μόνους τὰς τῶν θεῶν ἀκούειν βουλὰς καὶ μάντεις ἄκρους εἶναι. εἶπε δὲ τὸ ψυχὴν Ἑλένου, ἐπειδὴ τεθνηκὼς ἦν, Κασάνδραν δὲ καὶ οὐ Κασάνδρας, ἐπειδὴ ζῶσα ἦν. B.I.

Κασάνδρας: τὴν θείαν ψυχήν. Fl. 59. τῆς ἐμῆς θυγατρός. Fl. 21. ἐσίδω: θεάσω. Fl. 6. θεάσομαι. Gr. ὄψομαι. Fl. 21. οὐκ εἶπεν ὄψομαι ὁριστικῶς, ἀλλ' ἐσίδω ὑποτακτικῶς· ἀεὶ γὰρ τὰ ἀπορηματικὰ, τουτέστι τὰ ἀπορίαν ἐμφαίνοντα, ὑποτακτικοῖς συντάσσονται, οἷον τίς γένωμαι, καὶ πῇ τράπωμαι. B. Gu. I.

δέποτε ἡ ἐμὴ ψυχὴ ὑπονοεῖ τι καὶ τούτου ἀχώριστος γίνεται: — versibus sex perscriptum in fine defectis, ποῦ ποτε θείαν ἑλένου ψυχὰν κ... | καὶ ὡς μέν τινες ἱστορῆσιν ἠτιμ... ὁ ἀπ..... | ὑπὸ τῶν πολεμίων ἐλήφθη. ὁ δὲ νοῦς... | ἡ τοῦ ἑλένου ψυχὴ καὶ ἡ μαντικὴ κασάνδρα. . | εἶπε ποῦ μοι ἄρα ὁ ἕλενος καὶ ἡ κασάν | δρα, ἵνα μοι ὡς μάντεις ..... | ὄνείρους:—Postrema scholii pars paullo aliter scripta in A. ἡ τοῦ ἑλένου ψυχὴ ἡ μαντική. περιφραστικῶς δὲ ποῦ ἐστιν ἕλενος ὁ μάντις ἢ ἡ κασάνδρα, ὅπως ὡς μάντεις etc.

15. ποῦ ποτε—] Hoc scholion in M.

23. τὸ add. B.

89. ὡς: ἵνα. M. κρίνωσιν: ἵνα διαλύσωσι, ἤγουν διακρίνωσιν. ὅθεν καὶ ὀνειροκρίτης. Fl. 6. 21. 56. 59. 76. διερμηνεύσωσιν· ὅθεν καὶ ὀνειροκρίτης. Gr.

90. εἶδον γάρ: ἐξήγησις τοῦ ὀνείρου. Fl. 21. ἐθεασάμην. Fl. 59. βαλίαν: γράφεται καὶ βαλιά καὶ βαλία. διαφέρει δὲ· βαλία μὲν γὰρ λέγεται ἡ ταχεῖα παρὰ τὸ λίαν βαίνειν, βαλιὰ δὲ ἡ κατάστικτος καὶ φολιδωτός. Ἄλλως. εἶδον γὰρ βαλίαν ἔλαφον σφαζομένην ἐν ἀνάγκῃ τῷ αἱματοποιῷ ὄνυχι τοῦ λυκοῦ ἀναρπασθεῖσαν ἀπὸ τῶν ἐμῶν γονάτων οἰκτρῶς. A.

βαλιάν: βαλιὰ ἀπὸ τοῦ βάλλω. Fl. 9. τὴν ὀξεῖαν καὶ οἷον σύντονον τῷ σώματι, ἀπὸ τοῦ λίαν βαίνειν· ἢ βαλιὰν ἐνεργὸν τῷ βήματι, ἢ τὴν κατάστικτον καὶ ποικίλην. βαλιὰ ἡ κατάστικτος ἔλαφος λέγεται, καὶ βαλιὰ ἡ δρομικωτάτη, ἡ βαίνουσα λίαν. Fl. 25. τὸ βαλιὰν ἢ τὸ ταχεῖαν ἀπὸ τοῦ λίαν βαίνειν, ἢ τὴν κατάστικτον ὀξυτόνως, ἀπὸ τοῦ τὰς στίξεις αὐτῆς βολαῖς καὶ τρώσεσιν ἐοικέναι, ἤγουν αἱματώδεις καὶ κοκκίνους. Fl. 59. βαλιάν: ἔλαφος ἡ τελεία καὶ ὀξεῖα ἐκ τοῦ βαίνειν λίαν. Fl. 33.

αἵμονι χαλᾷ: τῇ φονικῷ, τῇ αἱματοποιῷ ὄνυχι. M. αἱματηρῷ ὄνυχι. Fl. 17. 21. Gr. χαλᾷ: διὰ ὄνυχος. Fl. 6. χεῖλος τὸ τοῦ ἀνθρώπου ἀπὸ τοῦ χέω διὰ διφθόγγου· χηλὴ δὲ ὁ ὄνυξ ἀπὸ τοῦ χαλῶ. Fl. 9.

91. σφαζομέναν: συνάπτεται τοῦτο πρὸς τὸ οἰκτρῶς. Fl. 6. ὑπὸ λύκου κατάστικτον διὰ τῶν χηλῶν ἤγουν ὀνύχων σφαζομένην. Fl. 33.

ἀπ' ἐμῶν: τὸ σχῆμα πρωθύστερον. Fl. 59. σπασθεῖσαν: τῇ ἀνάγκῃ ἀποσπασθεῖσαν μετὰ βίας τῶν ἐμῶν γονάτων. M. ἁρπασθεῖσαν μετὰ ἀνάγκης, βιαίως. Fl. 17. 21. 34. 56. 76. ἁρπασθεῖσαν καὶ ἑλκυσθεῖσαν, ἤγουν σὺν βίᾳ. Fl. 59. καὶ ἀπὸ τῶν ἐμῶν κόλπων ἀποσπασθεῖσαν δι' ἀνάγκης δδυνηρῶς. Fl. 33. ἤγουν ἁρπασθεῖσαν. Gr. ἀφαιρεθεῖσαν. Gu.

5. βαλιά καὶ βαλία] Recta scriptura βαλιά est ὀξυτόνως, nomen vero proprium equi Βαλίος apud Homerum paroxytonum est, ut alia hujusmodi nomina, de quibus dixit Lehrs. de Aristarcho p. 281. Conf. quae in Thesauro dicta sunt vol. 2. p. 80. et 8. p. 613.

10. τὴν ὀξεῖαν—] Haec partim in M. sic, ὀξεῖαν ἀπὸ τοῦ λίαν βαίνειν τὴν ἔλαφον, οἷον σύντονον τῷ βήματι. καὶ ἄλλως. Βαλιὰν τὴν λίαν ἐνεργῆ τῷ βήματι:—Idem in gl. interl. ποικίλην nt rec. ταχεῖαν.

93. οἰκτρᾶς: ἤγουν οὕτως, ὥστε ἐλεῆσαι τινὰ ἰδόντα καὶ καμφθῆναι. Cant. ἐλεεινᾶς. M. Gr. ἀνηλεᾶς. M. Fl. 21. 56.

καὶ τόδε δεῖμα: καὶ τοῦτο τὸ φάντασμα τοῦ Ἀχιλλέως πλέον με φοβεῖσθαι ποιεῖ· συντείνει γὰρ εἰς τὸν ὄνειρον, καὶ εἰς ἐμὲ ἐτράπη τὰ κατὰ τοῦ Ἀχιλλέως γέρας αἰτοῦντος τοὺς Ἕλληνας μίαν τῶν Τρωϊκῶν γυναικῶν εἰς σφαγήν· οὐ γὰρ ἰδικῶς τὴν Πολυξένην ᾐτήσατο, ἀλλὰ μίαν τῶν αἰχμαλωτίδων κάλλει ὑπερφέρουσαν. M. Fl. 25.

καὶ τόδε δεῖμα: καὶ τόδε, ὃ μέλλω εἰπεῖν, φόβημά ἐστιν, τὸ φάντασμα τοῦ Ἀχιλλέως, τὸ φανὲν δηλονότι ὑπὲρ τῆς ἄκρας κορυφῆς τοῦ τύμβου, δεῖμα καὶ φόβος ἦλθεν ἐμοί. I. δεῖμα: φόβος. Gu. τὸ φόβημα. Fl. 6. 17. τόδε: ὅπερ εἶδον. Gr.

94. ὑπὲρ ἄκρας: ἄνω ὑπὲρ τοῦ ἄκρου τῆς κορυφῆς τοῦ τύμβου. Fl. 6. 21. 56. 59. 76. τοῦ ἐν Χερρονήσῳ κενοταφίου. ἐτάφη γὰρ ἐν Τροίᾳ φονευθεὶς ὑπὸ Πάριδος ἐν τάξει εἰς τὸν τῆς Ἀθηνᾶς νεών, ὅτε τοῦτον ἔμελλε Πρίαμος Πολυξένῃ συνάψαι. εἰκότως δὲ ταύτην σφάγιον ᾔτησεν, ὅτι δι' αὐτὴν πεφόνευται. τὸ δὲ ποιεῖν κενοτάφιον ἔθος ἦν τοῖς Ἕλλησιν εἰς τιμὴν καὶ μνήμην τῶν ἀποιχομένων. Gu.

95. φάντασμ': τὸ φανὲν δηλονότι καὶ τὸ εἴδωλον. Fl. 17. 59. καὶ τὸ τειοῦτον δεῖμα καὶ φόβισμα ἦλθεν ὑπὸ τῆς κορυφῆς καὶ ἄκρας τοῦ Ἀχιλλέως τάφου, δῆλον τὸ ὅραμα. Fl. 33. φάντασμα: διὰ τό. Gr. εἴδωλον. Gu.

96. γέρας: τιμήν. Fl. 21. Gr. εἰς τιμήν. Fl. 17. πολυμόχθων: τῶν πολλὰ κοπιασάντων. Fl. 17. δυστυχῶν. Fl. 59. δυστυχεστάτων. Gr. πολυπαθῶν. Gu.

97. Τρωϊάδων: γυναικῶν δηλονότι. Fl. 21. καὶ ἐζήτει τιμὴν μίαν ἐκ τῶν Τρωϊκῶν γυναικῶν τῶν ὑπομενουσῶν πολλὰ κακά. Fl. 33.

98. ἀπ': μακράν. τὸ δευτερολογεῖν ἢ ἐπὶ χαρᾶς ἢ ἐπ' ἐκπλήξεως, ὡς ἐνταῦθα, ἢ ἐπὶ θλίψεως. Gr. τόδε: ἤγουν τὸ αἴτημα. Gr. τὴν τοῦ γέρους αἴτησιν ἢ τὸ δεῖμα.) Gu. αἴτησιν τῆς Πολυξένης. Fl. 6. τὸ φάντασμα καὶ τὸ δεῖμα. Fl. 21. 56. τὸ ζήτημα τοῦ Ἀχιλλέως. Fl. 59.

3. πλέον] πλεῖον M.
4. εἰς τὸν] εἰς τὸ M.
ib. καὶ εἰς] ἢ οὕτως ἢ εἰς M.
5. τοῦ om. Fl.
ib. αἰτοῦντος] ζητοῦντος Fl.
6. γυναικῶν — αἰχμαλωτίδων] γυναικῶν ἰδικῶς τὴν πόλιν ᾐτήσατο, ἀλλὰ μίαν τῶν αἰχμαλώτων Fl.

99. πέμψατε: ἀποπέμψατε, ὦ θεοί, δεομένης μου ὑπακούοντες, ἀποπέμψατε, ὦ θεοί, τοῦτο τὸ φάντασμα τῆς ἐμῆς θυγατρὸς δεομένης μου ἐπακούοντες. M. ἀποστήσατε. Fl. 17. ἀποπέμψατε, ὦ θεοί. Fl. 21. 17. ἀποδιώξατε. Gr. ὦ θεοί, ἱκετεύω ἐκβῆναι τὸν ὄνειρον ἐπ' ἀγαθῷ. Fl. 33.

100. Ἑκάβη: ὁ χορὸς ἐκ Τρῳάδων αἰχμαλώτων γυναικῶν. ὁ δὲ λόγος, ὦ Ἑκάβη, πρὸς σὲ ὡρμήθην μετὰ σπουδῆς τὰς δεσποτικὰς σκηνὰς τοῦ Ἀγαμέμνονος καταλιποῦσα. A.M. ἔοικεν οὐ διασωθῆναι Ἑκάβην μέχρι τῆς σκηνῆς Ἀγαμέμνονος, ἐμποδισθεῖσαν παρὰ τοῦ χοροῦ, ἀλλ' ἀπελθεῖν εἰς τὴν σκηνὴν Πολυξένης. Gu. χορὸς ἐκ Τρωϊάδων αἰχμαλωτίδων γυναικῶν. χορὸς διαιρεῖται εἰς τρία, εἰς στάσιμα, εἰς παρῳδικὰ καὶ εἰς κωμικά. Fl. 25. ὁ χορὸς ἐκ τῶν Τρωϊκῶν γυναικῶν τῶν αἰχμαλωτισθεισῶν συνέστη. Fl. 33. ὁ δὲ λόγος, ὦ Ἑκάβη, πρὸς σὲ ἐλιάσθην, ἤγουν ἐξώρμημαι καὶ παρεγενόμην, μετὰ σπουδῆς, τὰς δεσποτικὰς σκηνὰς τοῦ Ἀγαμέμνονος λιποῦσα. Fl. 25. σπουδῇ: σπουδαίως. Fl. 59. ἀντὶ τοῦ μετὰ ταχυτῆτος. Gr. σπουδαίως. ἀπὸ ὀνόματος τὸ ἐπίρρημα. Gu. ἐλιάσθην: ὡρμήθην, παρεγενόμην. οὕτως Εὐριπίδης. M. προσέφυγον, ἦλθον. γίνεται δὲ ἀπὸ τοῦ ἅλῶ, τὸ πλανῶ καὶ ἐκκλίνω· ὅθεν ἁλίζω, καὶ κατὰ μετάθεσιν λιάζω· ὁ παθητικὸς πρῶτος ἀόριστος ἐλιάσθην. I. ἐλιάσθην; προσέφυγον, ἦλθον πρὸς σὲ, οὐδὲν ἀπὸ τῶν παθέων, ὧν ἔχεις δηλονότι, κουφιζουσα. Baroc. προσῆλθόν σοι, προσέφυγον· σύναπτε δὲ τοῦτο πρὸς τὸ παθέων, τὰ δ' ἄλλα διὰ μέσου. Gu. ἤγουν ἔφυγον. Gr. ἀπὸ τοῦ λίαν, αἴσσω καὶ ὁρμῶ. Gu. ἤγουν ἔφυγον, προσῆλθον. Fl. 6. 59. ἔφυγον, ἦλθον, ὡρμίσθην, ἐπαραγενόμην. ἕλομαι τὸ πλανῶμαι. Fl. 21. ἦλθον συντόμως. Fl. 17. ἐκλίνθην. Havn.

100.—124. Ἑκάβη, σπουδῇ πρός σ' ἐλιάσθην: ὁ χορός φησιν ὅτι σπουδῇ ἐχωρίσθην ἀπὸ τῆς σκηνῆς Ἀγαμέμνονος οὐκ ἐπὶ τῷ κουφίσαι τι τῶν κακῶν σου, ἀλλὰ καὶ ἐπισάξαι διὰ τῶν λεγομένων ὑπ' ἐμοῦ. Ἄλλως. Ἑκάβης σπουδῇ ἦλθον πρὸς σὲ, λιποῦσα τὰς δεσποσύνους σκηνὰς Ἀγαμέμνονος, ὅπου ἐτάχθην φυλάττειν ἀπελ-

8. καταλιποῦσα] Pergit A. ἄλλως. ὁ χορός φησιν ὅτι etc. quae vide infra ad v. 100.—124.

13. αἰχμαλωτισθεισῶν scripsi pro αἰχμαλωτισθέντων.

21. κουφίζουσα] ἐλαφρύνουσα Gu. qui incipit ab πρὸς σέ.

θοῦσα, ἐκβληθεῖσα ἀπὸ τῆς Τροίας, τοῦ κοπτικοῦ στόματος τῆς λόγχης παρὰ τῶν Ἀχαιῶν γενομένη δοριθήρατος. ἦλθον δὲ οὐ μέλλουσά τι εὐφραντὸν μηνῦσαί σοι ἢ ἀποκυφίσαι σὲ ἀπὸ τῶν θλίψεων, ἀλλὰ μᾶλλον αἰρομένη καὶ φέρουσα μέγα βάρος ἀγγελίας, ἀντὶ τοῦ μεγάλην λύπην. ἐν γὰρ τῷ συναθροίσματι τῶν Ἑλλήνων λέγεται δόξαν γενέσθαι, εἴτ' οὖν θέλησιν, τὴν σὴν παῖδα Πολυξένην σφάγιον θέσθαι τῷ Ἀχιλλεῖ. γινώσκεις γὰρ καὶ αὐτὴ ὡς ὁ Ἀχιλλεὺς θυσίαν ἐζήτησεν, ὅτε ἐφάνη σὺν ὅπλοις χρυσοῖς ἐπιβὰς τοῦ τύμβου, ἐκώλυε δὲ τὰς ποντοπόρους ναῦς ἐπερειδομένας, ἐχούσας τὰ ἱστία ἐν τοῖς σχοινίοις, ταῦτα βοῶν καὶ λέγων, ποῖ ἀπέρχεσθε, Δαναοί, λιπόντες τὸν ἐμὸν τάφον ἀγέραστον; δόξα δὲ διπλῆ ἦν ἐν τῷ πολεμικωτάτῳ στρατῷ τῶν Ἑλλήνων. τοῖς μὲν γὰρ ἤρεσκε διδόναι καὶ ποιεῖν σφάγιον ἐν τῷ τοῦ Ἀχιλλέως τύμβῳ, τοῖς δὲ οὐδαμῶς τοῦτο καλὸν ἐδόκει. ἦν δὲ σπουδάζων καὶ θέλων τὸ σὸν καλὸν, ἤγουν τὸ μὴ σφαγιασθῆναι τὴν Πολυξένην, ὁ Ἀγαμέμνων ὁ ἀνέχων τὰς κοίτας τῆς μαντικῆς Κασάνδρας καὶ σὺν αὐτῇ κοιμῶν. Α.

100—154. Παράφρασις. ὦ Ἑκάβη, σὺν σπουδῇ ὥρμησα πρὸς σὲ, καταλιποῦσα τὰς δεσποτικὰς σκηνὰς, ὅπου διὰ κλήρου ἐδόθην καὶ ἐτάχθην δούλη, ἀποδιωκομένη ἀπὸ τῆς πόλεως τῆς Ἰλιάδος τῇ ἐξύντι τοῦ δόρατος, δοριάλωτος γενομένη παρὰ τῶν Ἀχαιῶν. ἐλιάσθην δηλονότι κατὰ κοινοῦ, οὐδὲν ἀπὸ τῶν παθῶν ἐλαφρύνουσα καὶ ἐλαττοῦσα, ἀλλὰ ἐπιφέρουσα μέγα βάρος μηνύματος, σοί τε, ὦ γύναι, ἦλθον κῆρυξ καὶ ἄγγελος ἀχέων καὶ θλίψεων. ἐν γὰρ τῇ συνελεύσει τῶν Ἀχαιῶν τῇ πεπληρωμένῃ περιᾴδεται καὶ φημίζεται κυρωθῆναι, θέσθαι καὶ ποιῆσαι τὴν σὴν θυγατέρα θῦμα τῷ Ἀχιλλεῖ. γινώσκεις δὲ ὅτι ἐπιβὰς, ὁ Ἀχιλλεὺς δηλονότι, τοῦ τύμβου τοῦ ἑαυτοῦ, ἐφάνη σὺν ὅπλοις χρυσοῖς, ἐπέσχε δὲ τὰς ναῦς τὰς ἐν τῷ πόντῳ τὴν πορείαν ποιουμένας, ἐπερειδούσας τὰ ἄρμενα ἐν σχοινίοις, τάδε βοῶν, ὦ Δαναοί, ποῦ πορεύεσθε, ἀφέντες τὸν ἐμὸν τύμβον ἄτιμον; συνέβη δὲ, καὶ ἐπῆλθε, ταραχὴ πολλῆς φιλονεικίας, δόξα δὲ, καὶ γνώμη καὶ ὑπόληψις, ἐχώρει καὶ ἐκινεῖτο εἰς τὸν στρατὸν τὸν πολεμιστήν. τοῖς μὲν δοκοῦν, ἦν δηλονότι, διδόναι σφάγιον τῷ τύμβῳ, τὴν θυγατέρα δηλονότι, τοῖς δὲ οὐχί. (οἱ δὲ νεώτεροι συντάσσουσιν οὕτως· τοῖς μὲν δοκοῦν, ἀντὶ τοῦ δοκοῦντος, ἤτοι ἀρεστοῦ ὄντος, διδόναι τῷ τύμβῳ

34. ἀρεστοῦ Matth. pro ἀρίστου.

σφάγιον, τὴν Πολυξένην δηλονότι, τοῖς δὲ οὐχί.) ἦν δὲ ὁ μὲν σπεύδων εἰς τὸ σὸν ἀγαθὸν ὁ Ἀγαμέμνων, ἅτε τιμῶν τὴν κοίτην τῆς μαντικῆς Κασάνδρας· οἱ υἱοὶ δὲ τοῦ Θησέως, Ἀκάμας καὶ Δημοφῶν, οἱ κλάδοι τῶν Ἀθηνῶν, ἦσαν δημηγόροι λόγων διπλῶν. συνέτρεχον δὲ βουλῇ μιᾷ, ὥστε στεφανοῦν τὸν τάφον τοῦ Ἀχιλλέως ἐν αἵματι προσφάτῳ καὶ παρθενικῷ. τὴν δὲ κοίτην τῆς Κασάνδρας οὐκ ἔλεγον προτιμήσειν τῆς ἀνδρείας τοῦ Ἀχιλλέως. αἱ ἄμιλλαι δὲ τῶν κατατεινομένων λόγων, ἤτοι τῶν ἀγωνιστικῶς λεγομένων καὶ ἐριστικῶς, πῶς καὶ κατὰ τινὰ τρόπον ἦσαν ἴσαι, μέχρις οὗ κατέπεισε τὴν στρατιὰν ὁ Ὀδυσσεὺς ὁ ποικίλα φρονῶν, ὁ κόπις καὶ ὁ λάλος, ἤτοι ὁ ῥήτωρ ὁ ἡδὺς κατὰ τοὺς λόγους, ὁ τῷ δήμῳ χαριζόμενος, λέγων δηλονότι, μὴ τὸν ἄριστον πάντων τῶν Ἀχαιῶν, Ἀχιλλέα, ἀποδιώκειν καὶ παραβλέπειν χάριν σφαγίων δουλικῶν, μηδέ τινα τῶν ἀποθανόντων στάντα πλησίον τῆς Περσεφόνης εἰπεῖν ὅτι οἱ Δαναοὶ ἀπῆλθον τοῦ τόπου τῆς Τροίας, κακοὶ καὶ ἀχάριστοι φανέντες τοῖς Ἕλλησι, τοῖς ἀποθανοῦσιν ὑπὲρ τῶν Ἑλλήνων. παραγενήσεται δὲ συντόμως ὁ Ὀδυσσεύς, ἀποσπάσων τὴν πῶλον, ἤτοι τὴν Πολυξένην, ἀπὸ τοῦ σοῦ κόλπου, καὶ παρορμήσων καὶ παρακινήσων ἐκ τῆς γεραιᾶς χειρὸς τῆς σῆς. ἀλλ' ἄπιθι πρὸς ναοὺς, ἴθι πρὸς βωμούς, κάθησο παρακλήτρια τοῦ Ἀγαμέμνονος διὰ τῶν γονάτων αὐτοῦ δηλονότι. ἐπικαλοῦ τούς τε ἐν τῷ οὐρανῷ θεοὺς, τούς τε ὑποκάτω τῆς γῆς. ἢ γὰρ αἱ λιταὶ ἐμποδίσουσιν ἔσεσθαι ἐστερημένην παιδὸς μελέας, καὶ ἀθλίας, ἢ ἀπόκειται ἰδεῖν τὴν παρθένον προκειμένην τοῦ τύμβου, βαπτομένην ἐκ τῆς χρυσοφόρου δειρῆς ἐν ῥεύματι μελαναυγεῖ, καὶ μέλαιναν ὄψιν ἔχοντι αἵματος. I.

101. δεσποσύνους: τὰς τῶν δεσποτῶν. δεσπόσυνος δὲ κυρίως ὁ τοῦ δεσπότου υἱός. κατεχρήσατο οὖν οὕτως εἰπών. ἦν γὰρ ἡ Ἑκάβη ἐν τῇ τοῦ Ὀδυσσέως σκηνῇ, ὁ δὲ χορὸς ἐν τῇ τοῦ Ἀγαμέμνονος. διὰ τοῦτο λέγει τὰς δεσποσύνους, τουτέστι τοῦ Ἀγαμέμνονος, ὅπου ἐκλήρωθη εἶναι δούλη. M.

2. ἅτε τιμῶν] ἀτιμῶν I.

21. Quae leguntur a vv. ἢ γὰρ αἱ λιταὶ, eadem fere habet Gu. ad v. 150 sqq. ἢ γὰρ διακωλύσουσι καὶ ἐμποδίσουσι σὲ αἱ παρακλήσεις τοῦ εἶναί σε ὀρφανὴν τῆς ἀθλίας παιδὸς, ἢ ἀπόκειταί σοι θεάσασθαι τὴν παρθένον θυγατέρα προπετῆ καὶ ἔμπροσθεν κειμένην τοῦ τάφου τοῦ Ἀχιλλέως καὶ φοινισσομένην καὶ βαπτομένην ἐν νασμῷ καὶ ἐν ῥείσει μελαναυγεῖ καὶ σκοτεινῷ τοῦ αἵματος τοῦ ἐκ τῆς χρυσοφόρου δειρῆς ἤγουν τοῦ χρυσᾶ φοροῦντος ποτὲ τραχήλου.

δεσποσύνους: δεσπόσυνον κατὰ ποιητὰς τὸ τοῦ δεσπότου κτῆμα, παρ' ἡμῖν ὁ τοῦ δεσπότου υἱός. Gr. δεσποσύνους: δεσποτείας. Fl. 21. Plut. 32. τὰς δεσποτικάς. περιφραστικῶς τὰς τοῦ Ἀγαμέμνονος. Fl. 10. Gu. δεσπόσυνος δὲ κυρίως ὁ τοῦ δεσπότου υἱός. κατεχρήσατο οὖν δεσποσύνους τὰς τῶν δεσποτῶν σκηνάς· ἦν γὰρ Ἑκάβη ἐν τῇ τοῦ Ὀδυσσέως σκηνῇ, ὁ δὲ χορὸς ἐν τῇ τοῦ Ἀγαμέμνονος, τὸ πλεῖον δὲ, διότι ἦν ἡ Κασάνδρα ἐν τῇ τοῦ Ἀγαμέμνονος. διὰ τοῦτο οὖν λέγει τὰς δεσποσύνους, τουτέστι τοῦ Ἀγαμέμνονος. Fl. 25. σκηνάς: τέντας. Fl. 17. κατοικίας. Fl. 59. προλιποῦσα: ἀντὶ τοῦ λιποῦσα. Cant. Gr. λέγεται ἡ πρόθεσις περισσὴ καὶ ἐν πεζῷ λόγῳ. Cant. Gr. ἀφεῖσα. Fl. 59.

102. ἵν' ἐκληράθην: ὅπου ἐκ κλήρου ἔλαχον. Fl. 6. 17. 56. 59. ὅπου, εἰς ἃς σκηνάς. Fl. 21. ὅπου διὰ κλήρου κατέστην. Fl. 21. plut. 32. Gu. προσετάχθην ἀντὶ τοῦ ἐτάχθην καὶ ὡρίσθην εἶναι δηλονότι. Fl. 59. ὅπου εἰς κλῆρον ἐδόθης καὶ παρεδόθης δούλη. Fl. 33. καὶ ἐκληράθην. Gr. ἐγενόμην, ὡρίσθην. ἡ πρὸς ὑστεροχρόνιος ἐνταῦθα. Gu.

103. ἀπελαυνομένα: διωκομένη τῆς σῆς πόλεως Ἰλιάδος. Fl. 33. ἐξελθοῦσα καὶ διωκομένη. Gr.

104. λόγχης αἰχμῇ: ἤγουν τῷ δόρατι, τουτέστι τῷ πολέμῳ. Cant. λόγχης: τοῦ λόχου, τοῦ πολέμου. Fl. 17. ἤγουν τοῦ δόρατος. Fl. 6. 21. 56. 59. 76. νόμῳ πολέμου. M. rec. Fl. 21. αἰχμῇ: τῷ ξίφει. Fl. 6. 21. 56. 59. 76. διὰ τῶν Ἑλληνικῶν δοράτων αἰχμαλωτισθεῖσα. Fl. 33.

105. δοριθήρατος: αἰχμάλωτος. Fl. 21. plut. 32. ἤγουν δοριάλωτος. Gr. αἰχμάλωτος γενομένη δηλονότι. Gu.

106. οὐδὲν παθέων: ἐλιάσθην πρὸς σὲ οὐδὲν ἀπὸ τῶν παθῶν, ὧν ἔχεις δηλονότι, κουφίζουσα. B. Fl. 6. 21. 56. 59. 76. οὐδὲν τῶν περιεχόντων σε κακῶν ἀποκουφίζουσα, καὶ θεραπεύουσα. Ἄλλως. ἐν ὑπερβατῷ, σπουδῇ προσελιάσθην. σπουδῇ, φησὶν, ἐχωρίσθην ἀπὸ τῆς

10. ἡ πρὸ πρόθεσις περισσὴ καὶ ἐν π. λ. tantum habet Fl. 59. δὲ ἡ Cant.

20. ἤγουν τῷ δόρατι] ἤγουν τοῦ δόρατος. τῷ ξίφει, ἤγουν τῷ δόρατι τουτέστι τῷ πολέμῳ Gr.

29. σε κακῶν—θεραπεύουσα] ἀποκουφίζουσα ἤγουν τῶν κακῶν θεραπεύουσα Fl. 25.

ib. θεραπεύουσα] ἐλαττοῦσα addit Fl.

30. προσελιάσθην] οὐδὲν παθέων ἀποκουφίζουσα addit M.

σκηνῆς τοῦ Ἀγαμέμνονος, οὐκ ἐπὶ τῷ κουφίσαι τι τῶν κακῶν σου, ἀλλὰ καὶ ἐπισάξαι τοῖς λεγομένοις ἀπ᾽ ἐμοῦ. M. οὐδὲν παθέων ἀποκουφίζουσα: οὐδὲν τῶν περιεχόντων σε κακῶν θεραπεύουσα καὶ ἀποκουφίζουσα, ἀλλὰ τοὐναντίον ἐπιτιθεῖσα βάρος ἀγγελίας, τοῦτέστιν ἕτερα πρὸς οἷς ἔχεις κακοῖς ἀπαγγέλλω κακά. A.M. Ἄλλως. παρεγνόμην δὲ οὐκ ἐλαττοῦσά σου τὰς συμφοράς, ἀλλὰ μᾶλλον καὶ παραίξουσα διὰ ταύτης τῆς ἀγγελίας. M. καὶ οὐδὲν τῶν παθέων ἀνακωχὴν ἔχουσα. Fl. 33.

107. ἀλλ᾽ ἀγγελίας: μᾶλλον δὲ μηνύματος φορτίον ἐπιφέρουσα. Fl. 17. διὰ τῆς φήμης. Fl. 59. μηνύσεως. Fl. 6.

ἀραμένα: ἀντὶ τοῦ ἐπιτιθεῖσα μέγα βάρος. γέγραπται δὲ καὶ αἰρομένη, ἤγουν φέρουσα καὶ βαστάζουσα. Baroc. ἀραμένη: ἐπιτιθεῖσα. Fl. 6. 21. 56. 59. 76. ἀλλὰ βάρος μέγα φέρουσα ἀγγελίας. Fl. 33. ἐπιτιθεῖσα, ἤτοι ἕτερα, πρὸς οἷς ἔχεις κακοῖς, ἀπαγγέλλω σοι κακά. Fl. 10. αἰρομένη: κομίζουσα, φέρουσα. γρ. ἀραμένη, ἤγουν ἐπιτιθεῖσα. Gr. προστιθεῖσα, ἐπιτιθεῖσα, φορτίζουσα. Gu.

108. σοί τε: καὶ ἦλθον. Gu. γύναι, κῆρυξ: ὦ Ἑκάβη, ἐγενόμην κήρυξ σοι τῶν θλίψεων. Fl. 21. ἄγγελος λυπῶν καὶ θλίψεων. Fl. 6. 17. 56. 59. 76. Gu. ἀχέων: θλίψεων. M. rec. ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου καὶ τοῦ χάνω. Fl. 9. τοὐναντίον ἐπιτίθεις σαυτῆς. σὺ, ὦ γύναι, ὑπάρχεις κήρυξ τῶν Ἑλλήνων. Fl. 33.

109. πλήρει ξυνόδῳ: ἐκκλησίᾳ. M. συναθροίσει. Fl. 6. ἐν πεπληρωμένῃ ἐκκλησίᾳ. Fl. 21. ἐν τῇ συναγωγῇ. Fl. 56. πεπληρωμένη συνάξει. Fl. 59. τὴν πολὺ πλῆθος ἀνθρώπων ἔχουσαν. Fl. 17. ἐπὶ γὰρ τῶν Ἑλληνικῶν συνόδων σῶαι λέγονται εἶναι αἱ συμβουλαί. Fl. 33. πλήρει: τῇ πολλῇ. Gr. πεπληρωμένῃ καὶ τελείᾳ. Gu. σύνοδος κυρίως ἡ ἀπὸ πάντων συνέλευσις· ἐκκλησία δὲ ἡ ἀπὸ τῶν ἐκλεκτῶν. Gr.

110. δόξαι: ψηφισθῆναι. Fl. 21. ἀρεστὸν φανῆναι, ἤγουν κυρωθῆναι. Fl. 59. καὶ εἰνομισθεῖ (sic) τὴν σὴν παῖδα σφάγιον θῦσαι τῷ Ἀχιλλεῖ. Fl. 33. ἤγουν κυρωθῆναι. Gr. ἀρεστὸν φανῆναι, ἐπεψηφίσθαι τῇ βουλῇ. Gu.

111. σφάγιον: πρόσφαγμα. Fl. 21. θυσίας γέρας. Fl. 59.

1. τοῦ Ἀγαμέμνονος] Hic desinit Fl. 25.

βέσθαι: ἤγουν ποιῆσαι (ποιήσασθαι, γενέσθαι.) Gu. τύμβου: τοῦ ἑαυτοῦ τύμβου γὰρ ἐπαναστάς. Fl. 6. τοῦ ἑαυτοῦ τύμβου γὰρ ἐπιβὰς καὶ πορευθείς. Fl. 59. τοῦ τάφου τοῦ ἑαυτοῦ στάς. Fl. 17. τὸ δὲ ἀντὶ τοῦ καὶ γὰρ ἐπαναβὰς ἐπὶ τοῦ αὐτοῦ τύμβου. Fl. 21. ἐπίβαινε ἐν τῷ τάφῳ αὐτοῦ δῆλον ὅ Ἀχιλλεὺς ὄναρ ἐπιστὰς ἐζήτει τὸ αἴτημα. Fl. 33. ὅτι τὸ ἐπιβαίνειν ἐνίοτε μὲν γενικῇ συντάσσεται, ὡς ἐνταῦθα· τύμβου δ' ἐπιβάς, ἐνίοτε δὲ δοτικῇ, ὡς ἐν τούτοις· τὸν πρῶτον ἐπιβάντα Ἀθηναίων τῇ νήσῳ ἄκριτον ἀποθνήσκειν. Gu.

112. οἶσθ': γινώσκεις τοῦτο δηλονότι. Fl. 17. 21. γινώσκεις ὅτι ὁ Ἀχιλλεὺς ἐπάνω στὰς τοῦ αὐτοῦ τύμβου σὺν ὅπλοις χρυσοῖς ἐπεῖχε τὰς ναῦς, οὖριον ἐχούσας τὸν πλοῦν. A.M. Fl. 25. συντακτέον οὕτως· οἶσθα δὲ, ἤγουν οἶσθα γὰρ καὶ γινώσκεις, ὅτε καὶ ὁπότε ἐφάνη ὁ Ἀχιλλεὺς σὺν ὅπλοις χρυσέοις ἐπὶ τοῦ τύμβου καὶ ἐπάνω τοῦ τύμβου βὰς καὶ πορευθείς, καὶ τὰ ἑξῆς. Fl. 59. ἐφάνη: ὁ Ἀχιλλεὺς δηλονότι. Fl. 17. 59.

113. τὰς ποντοπόρους: τὰς ἐν τῷ πόντῳ τὴν πορείαν ποιουμένας, ἢ τὰς περώσας τὸν πόντον. Fl. 21. τὰς πορευομένας ἐν τῷ πόντῳ. Gu. ἔσχε: ἐκράτησεν. Fl. 21. ἐκώλυσεν. Fl. 6. 17. 36. 59. 76. Gr. κατέσχε. Gu. σχεδία: σχεδία κυρίως ἡ πρὸς τάχος γενομένη ναῦς, καὶ σχέδος. M. ναῦς ἀκατασκεύαστος, ἀπὸ ξύλων μόνων ἀπερίττως συντεθειμένη· νῦν δὲ τὰς ναῦς τῶν Ἑλλήνων λέγει σχεδίας. B. Gr. I. σχεδία δὲ κατὰ τοὺς παλαιοὺς ἡ σὺν τάχει γενομένη ναῦς. I.

114. λαίφη: τὰ ἄρμενα τοῖς σχοινίοις ἐντεταμένα ἐχούσας πρὸς τὸ πλεῖν. M. Fl. 6. 10. 25. ἤγουν διὰ τῆς λαίφης, μέρος νεώς. Fl. 21. πρυτόνοις: πρότονος τὸ σχοινίον, δι' οὗ δεσμοῦσι τὸν ἱστόν. Gr. I. τὸ δὲ ἐπερειδομένας ἀντὶ τοῦ ἐπερειδούσας σχοινίοις τὰ λαίφη, στηριζομένας, ὡς ἤδη πλευσεῖσθαι. ἔστι δὲ τὸ λαίφη καὶ τὸ ἐπερειδομένας καθ' ὅλον καὶ μέρος. οὐ γὰρ πᾶσα ἡ ναῦς ἐρείδεται τοῖς

10. ὅτε—αὐτοῦ] ὅταν—ἰδίου Fl. 25.

21. ἀπερίττως atramento suprascriptum in Gr.

ib. λέγει hoc loco B., ante τῶν Ἑλλήνων Gr. I.

24. σχοινίοις M. ἱστίοις ceteri.

ib. ἐχούσας addidi ex M.

28. στηριζομένας—ἔστι δὲ e Gu. addidi, e quo etiam postea dedi οὐ γὰρ πᾶσα ἡ ν. et δι' ὧν αὐτὴ φ. pro αὐτη. Idem ἐμπίπτοντος pro ἐπιπνέοντος. MATTH. Verba σχοινίοις—ἔστι δὲ om. B. in quo τὸ λαίφη—ἐπιπνέοντος rubrica scripta sunt.

προτόνοις, ἀλλὰ μόνα τὰ λαίφη, δι' ὧν αὐτὴ φέρεται ἀνέμου ἐπιπνέοντος. Gu. I. ἐπερειδομένας: συνδεδεμένας. Fl. 21. ἐκτεινούσας. M. Fl. 21. ἐπιστηριζομένας. Fl. 17. 56. μετὰ πολλοῦ στηριγμοῦ ἐχούσας. Fl. 59. τὰ ἄρμενα καὶ σχοινία τῶν πλοίων ἐντεταμένα ἔχουσι. Fl. 33.

115. τάδε θωΰσσων: ταῦτα λέγων. κυρίως δὲ ὑλακτῶν. τὸ δὲ ἑξῆς, ἐφάνη τάδε θωΰσσων. M. ταῦτα λέγων, ἤγουν βοῶν ὁ Ἀχιλλεύς. Fl. 6. 17. 21. 56. 59. 76. ταῦτα βοῶν, λέγων δηλονότι ὁ Ἀχιλλεύς. Fl. 33. ἤγουν θηριωδῶς (μεγάλως Gu.) βοῶν. Gr.

116. Δαναοὶ ἀπὸ Δαναοῦ τινὸς βασιλεύσαντος αὐτῶν. Fl. 17.

117. στέλλεσθε: ἀποπλέετε· κυρίως δὲ ἀποστέλλειν ἐστὶ τὸ διὰ νεὸς ἐκπέμπειν, ὅθεν καὶ στόλος λέγεται ὁ πολλῶν νεῶν ἀπόπλους. καταχρηστικῶς δὲ ἀποστέλλειν λέγεται καὶ τὸ δι' ἑτέρου τινὸς ἐκπέμπειν. A.M. πορεύεσθε. τὸ στέλλω σημαίνει δ'· στέλλω τὸ κοσμῶ, ἀφ' οὗ καὶ στολή· στέλλω τὸ πέμπω, ἀφ' οὗ καὶ ἀποστολή· στέλλω τὸ πλέω, ἀφ' οὗ καὶ στόλος, ὁ πολλῶν ἀπόπλους νεῶν· στέλλω καὶ τὸ κρύπτω, ἀφ' οὗ καὶ τὸ περιστείλαντες, ἀντὶ τοῦ κατὰ γῆν κρύψαντες, ἤγουν θάψαντες. I. στέλλεσθε: ποῖ ἀποπλέετε. κυρίως δὲ τὸ ἀποστέλλεσθαι ἐπὶ νεώς. ἔστι δὲ καὶ τὸ δι' ἑτέρου, ἢ ἐκπλεῖν ἢ ἐκπέμπειν. Fl. 25. ὦ Ἕλληνες, τὸν ἐμὸν τάφον ἀποπλέετε καὶ ἄτιμον ἐᾶτε. Fl. 33. ἀγέραστον: ἄτιμον. ἀφέντες: καταλείψαντες. Gu.

118. πολλῆς δ' ἔριδος: πολλῆς φιλονεικίας συνέκρουσε ταραχή. I. συνέπεσε, ἤγουν συνέκρουσε, συνῆλθε μετὰ ταραχῆς. Fl. 59. τὸ συνέπεσεν ἤγουν συνῆλθεν, ἐγένετο. Fl. 59. συνέβη, συνῆλθε. μεταφορικῶς ὅρα διὰ τὸ δίνγρον τοῦ λόγου. Gu. κλύδων: ταραχή. Gr. θόρυβος. Fl. 56. 59. μετὰ δὲ φιλονεικίας ἐγένετο ταραχή. Fl. 33.

119. δόξα: δόκησις διττή. M. δόγμα. Fl. 6. 17. 56. 59. 76. δόκησις. Fl. 10. 21. δόξα, ἤγουν δόκησις, βουλή. Fl. 59. ἤγουν δόγμα. Gr. ὑπόληψις, θέλησις. Gu. ἐχώρει, ἐπορεύετο. Fl. 21. ἤγουν ἐκινεῖτο. Gr. ἐφημίζετο, ἅρμα. Gu. δίχ': διχῶς. Fl. 6. 21.

1. αὐτὴ] αὕτη B. 19. γῆν] γῆς Matth.
25. Simile est in Fl. 21. MATTH.

76. διπλῶς. Fl. 56. 59. Gu. ὑπονοίᾳ ψῆφος ἐχώρει διπλῶς ἐν τοῖς Ἕλλησι, καὶ εἰς τὸν πολεμικὸν στρατόν. Fl. 33.

120. αἰχμητήν: πολεμικόν. Fl. 6. 17. 21. 56. 76. Gr. πολεμικὸν, στρατιωτικόν. Fl. 59. τοῖς μὲν διδόναι: δοκοῦν καὶ ἀρέσκον ἦν κατὰ ἐπαναστροφὴν διδόναι σφάγιον τῷ τύμβῳ, τοῖς δὲ οὐχὶ δοκοῦν καὶ ἀρέσκον ἦν συνουσίαν. Fl. 59. καὶ οἱ μὲν διδόναι ἔθεντο τὸ σφάγιον πρὸς αἰτήσεως Ἀχιλλέως, οἱ δὲ οὔ· ἤγουν δόκησις διττὴ ἐγένετο περὶ τούτου. Fl. 33.

121. σφάγιον: θῦμα. Fl. 17. δοκοῦν: ἀντὶ τοῦ δοκοῦντος καὶ οὐκ ἐδόκει. Fl. 56. ἀντὶ τοῦ δοκοῦντος, ἀρέσκον ἦν. Fl. 59. φαινομένου. Fl. 17. δοκοῦντος καὶ φαινομένου καὶ ἀρέσκοντος. Gu.

122. τὸ μὲν σόν: ἦν δὲ ὁ Ἀγαμέμνων τὸ σὸν συμφέρον σπεύδων διὰ τὸ τιμᾶν αὐτὸν τὰ λέκτρα τῆς Κασάνδρας. A.M. χαριζόμενος τῇ Κασάνδρᾳ διὰ τὴν πρὸς αὐτὴν κοινωνίαν ὁ Ἀγαμέμνων οὐκ ἐβούλετο σφαγῆναι τὴν Πολυξένην. M. ἤγουν τὸ σοὶ σύμμετρον. Fl. 17. τὸ σὸν ἀγαθόν: τὸ μὴ τὴν σὴν θυγατέρα σφαγῆναι, ἀλλὰ ἄλλην τινὰ τῶν αἰχμαλωτίδων. Gu. σπεύδων: σπουδὴν ποιούμενος, ἤτοι ἔσπευδεν. σπεύδω ἐγὼ, ἐπισπεύδω ἕτερον. I. σπεύδων: ὁ βοηθῶν. B. rec. ἤγουν ὁ συντείνων καὶ σπουδάζων. Fl. 59. ἦν δὲ ὁ Ἀγαμέμνων εἰς τὸ σὸν συμφέρον, καὶ σπεύδει σῶσαι τὴν σὴν παῖδα Πολυξένην, διὰ τὸ ἔχειν λέκτρα, ἤγουν κοίτην, συνουσίαν, μετὰ τῆς Κασάνδρας, τῆς ἀδελφῆς αὐτῆς. Fl. 33. σπεύδων: σπουδάζων. σπεύδω ἐγώ· ἐπισπεύδω δὲ ἕτερον. Gr. ἀγωνιζόμενος, συναγωνιζόμενος. Gu.

123. τῆς μαντιπόλου βάκχης: ἤγουν τῆς μαντικῆς. Gr. χρησμῳδοῦ. Gu. ἤγουν τῆς Κασάνδρας. τὸ βάκχης λέγει, ἐπειδὴ οἱ μαντευόμενοι ἔνθεοι ὑπὸ θεῶν γενόμενοι μαντεύονται, καθάπερ αἱ Βάκχαι τῷ Διονύσῳ πλεκτεῖσαι ἄνω καὶ κάτω φέρονται, ὥσπερ μαινόμεναι. Gu. I. μαντιπόλου: τῆς ἀναστρεφομένης ἐκ τῆς μαντείας. Fl. 6. βάκχης: ἡ ἐκκεχυμένη τὴν βάσιν ἢ τὴν βοήν. Gu. ἀνέχων: ἤγουν τιμῶν καὶ περιποιούμενος. καὶ γὰρ οἱ ἀνέχοντες καὶ ἀνακουφίζοντές τι, φροντί-

12. ἦν δὲ—σπεύδων] Haec etiam Fl. 25.

26. ἤγουν τῆς Κασάνδρας Gr. τῆς μαντικῆς Κασάνδρας I.B. incipit ab τὸ βάκχης λέγειν (sic), ἐπειδὴ etc.

30. ἤγουν add. B.

31. τι hoc loco Gu., post ἀνέχοντες B.I. Tum τὸ φροντίδος B. et ἔχουσιν pro ἀνέχουσιν. I.

δος τοῦτο ἀξιοῦντες. ἀνέχευσιν. B. Gu. ἀνέχω τὸ ἀναδίδωμι, ὡς τὸ "ἀνέσχεν ἡ γῆ βοτάνας" καὶ "ἀνέσχεν ὁ ἥλιος," ἀντὶ τοῦ ἀνέτειλε, καὶ ἀνέχειν ἐπὶ προσευχῆς τὰς χεῖρας ἀντὶ τοῦ ἀνατείνειν. I. ἀνέχων: τιμῶν, αἴξων. M. ὁ τιμῶν τὴν κοίτην τῆς Κασάνδρας, τῆς μαντι-
5 πόλου, τῆς περὶ τὰ μαντεῖα πολυΐσης. Fl. 25. μαντικὴν καὶ βάκχην τὴν Κασάνδραν λέγει, διότι αὕτη θυγάτηρ ἦν Ἑκάβης, καὶ πρὸ τοῦ ἁλωθῆναι τὴν Τροίαν ἐμαντεύετο τὰ γινόμενα. Fl. 33.

125. τὸ Θησείδα δ'. ζῶ Ἀθηνῶν: τοὺς Θησέως παῖδας ἔνιοί φασι μὴ ἡγεμόνας στρατεύεσθαι ἐπὶ Ἴλιον μηδὲ τῆς συμμαχίας
10 χάριν, ἀλλὰ ἀπολησμένους τὴν Αἴθραν. διὸ καὶ τὸν Ὅμηρον λέγειν τὸν Μενεσθέα ἡγεῖσθαι τῶν Ἀθηναίων. Διονύσιος γοῦν ὁ τὸν Κύκλον ποιήσας φησί· Δημοφῶν δὲ ὁ Θησέως ἐδεῖτο αὐτῶν δοῦναι Αἴθραν τὴν Πιτθέως τὴν τοῦ πατρὸς μητέρα, ὅπως αὐτὴν κομίσωσιν οἴκαδε. Μενέλαος δὲ πρὸς Ἑλένην πέμπει Ταλθύβιον κελεύσας
15 ἄγειν Αἴθραν καὶ Ἑλένη δωρησαμένη Αἴθραν παντοδαπῷ κόσμῳ ἀποστέλλει πρὸς Δημοφῶντα καὶ Ἀκάμαντα. Ἑλλάνικος δέ φησιν αὐτοὺς ἐστρατευκέναι, ὅπως εἰ μὲν ἕλοιεν Ἴλιον λάφυρον αὐτὴν λάβοιεν, εἰ δὲ μή, κἂν λυτρώσαιντο δώροις. ἦσαν δὲ καὶ μετὰ Χαλκώδοντος τοῦ Ἄβαντος ἐν Εὐβοίᾳ. A.M. οἱ δὲ τοῦ Θησέως παῖδες
20 Ἀκάμας καὶ Δημοφῶν, οἳ ἦσαν κλάδοι τῶν Ἀθηναίων, οἳ καὶ ἐστρατεύσαντο ὑπὸ Ἴλιον, οὐχ ἡγούμενοί τινων, ἀλλ' ἐπὶ τὴν ἀπολύτρωσιν τῆς Αἴθρας· ἕνεκεν γὰρ ταύτης ἐστρατευκέναι τούτους φασίν. M.

τὸ Θησείδα: οἱ τοῦ Θησέως παῖδες, Ἀκάμας καὶ Δημοφῶν, οἳ ἦσαν Ἀθηναῖοι τὸ γένος, ἐστράτευσαν ἐπὶ τὸ Ἴλιον, οὐχ ἡγούμενοι
25 τινῶν. διὸ ὁ καὶ Ὅμηρος λέγει τὸν Μενεσθέα μόνον ἡγεῖσθαι τῶν Ἀθηναίων, ἀλλ' ἐπὶ τὴν ἀπολύτρωσιν τῆς Αἴθρας τούτους ἐστρατευκέναι φασίν. Ἑλλάνικος δὲ λέγει διὰ τοῦτο αὐτοὺς ἀπελθεῖν ἐκεῖσε, ὥστε, εἰ μὲν ἕλοιεν Ἕλληνες τὴν Τροίαν, λάφυρον αὐτὴν καὶ γέρας λαβεῖν, εἰ δὲ μή, κἂν λυτρώσασθαι δώροις, καὶ μὴ ἐᾶσαι ταύτην ὑπὸ
30 τούτων κατασκαφῆναι. B. Gu. I.

11. Ἀθηναίων Cobetus pro Ἀθηνῶν.
19. οἱ δὲ τοῦ—] Haec in M. post γνάμψη ἔχοντες (schol. v. 126.)
19. τοῦ Ἄβαντος om. M. Fuit rex Abantum.
20. Ἀθηναῖον] Praestat Ἀθηνῶν.
24. ἐστράτευσαν] ἐστράφησαν B.
ib. ἐπὶ τὸ] ἐπ' Gu.
25. Ὅμηρος] Il. 2, 552.
26. Αἴθρας] ἔχθρας B. ἔθρας Gu.
28. ὥστε Gu. ὅπως B.I.
ib. τὴν om. B. Gu.
29. λαβεῖν B. Gu. λάβωσιν I.
ib. καὶ μὴ—κατασκαφῆναι om. I.

ὄζω: οἱ ὄζοι, ἤγουν οἱ κλάδοι. Fl. 6. 17. 21. 56. 59. 76. Gr. οἱ δὲ δύο υἱοὶ τοῦ Θησέως, οἱ κλάδοι τῶν Ἀθηνῶν. Fl. 33.

126. δισσῶν μύθων: οἱ δύο λέγοντες καὶ ῥητορεύοντες ἦσαν εἰς ταυτὸ, συνέτρεχον μίαν γνώμην ἔχοντες. M. ἤγουν διπλῶν, ὡς οὔτε ἀνηλεῶς δεῖ πρὸς τὴν παῖδα διατεθεῖσθαι·—ἀρκεῖ γὰρ τὸ αἰχμάλωτον εἶναι—οὔτ' αὖ τὴν Ἀχιλλέως παιδεῖν αἴτησιν, μεγάλα τὸν στρατὸν ὠφεληκότος, ἀλλὰ προθύμως τελέσαι. B. Gu. I.

δισσῶν: διπλῶν· ἤγουν τῷ ἐνὶ ἐδόκει τὸ ναὶ, καὶ τῷ ἑτέρῳ τὸ οὐ. Fl. 21. δισσῶν—συνεχωρείτην: ἤγουν οἱ μὲν λόγοι διττοὶ ἦσαν, ἐπεὶ καὶ δύο οἱ λέγοντες Θησεῖδαι· συνέτρεχον δὲ καὶ συνέβαλλον ἐν μιᾷ βουλῇ, ἤγουν τὴν Πολυξένην τῷ Ἀχιλλεῖ γέρας γενέσθαι ἔλεγον. Fl. 59.

127. γνώμῃ δὲ μιᾷ: μιᾷ διαθέσει, σκοπῷ, βουλήματι. I. συνεχωρείτην, συνέτρεχον, συνήρχοντο, συνεφώνουν. I. ἐν μιᾷ γνώμῃ καὶ ψήφῳ προσετέθη. A.M.

128. στεφανοῦν: ἤγουν τιμᾶν. B. Gr. I. στεφανῶσαι καὶ κοσμεῖν. ἀπὸ μεταφορᾶς τῶν νικώντων καὶ ἐστεφανωμένων. Gu. I.

στεφανοῦν: ἀπὸ τοῦ πλεονάζοντος τοῦτο λέγεται, ὥσπερ τὸ καταλιθοῦν τοῖς μήλοις. B. Fl. 6. 21. 56. 59. 76. τὸν τοῦ Ἀχιλλέως τάφον στεφανῶσαι αἵματι νέας παιδός. Fl 33.

129. αἵματι χλωρῷ: νέας παιδὸς αἵματι, ἢ ὑγρῷ, ὡς καὶ τὰ χλωρὰ φυτὰ ὑγρὰ λέγεται. τινὲς δὲ νεαρῷ. M. νεαρῷ, παρθενικῷ. M. προσφάτῳ, νεαρῷ. I. χλωρῷ: νέῳ. Fl. 17. 59. νεαρὸν, ὑγρὸν, αἰξητικόν. Fl. 33. ἤγουν νεάζοντι. Gr. νέῳ καὶ παρθενικῷ ὑγρῷ, νεορρύτῳ νέας παρθένου. Gu.

τὰ δὲ Κασάνδρας: ἔλεγον δὲ τὰ τῆς Κασάνδρας λέκτρα οὐκ

1 οἱ ὄζοι Gr. ἤγουν ὄζοι Florr.

2. οἱ θησεῖδαι ἤγουν οἱ υἱοὶ τοῦ θησέως ὁ ἀκάμας καὶ ὁ δημοφῶν Gr.

6. αὖ τὴν] αὐτὴν I.

ib. μεγάλα] μεγάλως I.

7. ἀλλὰ π. τελέσαι om. I.

13. βουλήματι addit Fl. 17. βουλῇ Gu.

14. συνέτρεχον—συνεφώνουν] Primum est in Fl. 10. 33. alterum in 2. 6. 56. 59. 76. Pro ultimo in Gu. est, sed ab alia m. συνεχώρουν. MATTH.

16. ἤγουν B. ὥστε I. om. Gr. In M. nihil praeter τιμᾶν, ἀπὸ μεταφορᾶς τῶν νικώντων καὶ ἐστεφανωμένων μετὰ τιμῆς.

ib. στεφανῶσαι καὶ κοσμεῖν e Gu. accesserunt. Idem στεφανουμένων pro ἐστεφ. MATTH.

18. πλεονάζοντος] δὲ add. B.

19. τοῖς μήλοις] ἐν μύλοις B.

ὀφείλειν προκριθῆναι τῆς Ἀχιλλέως ἀρετῆς. A.M. ὁ γὰρ Ἀγαμέμνων εἰς τιμὴν Κασάνδρας συνεμάχει Πολυξένῃ. M. τὸ συγκαθεύδειν τὴν Κασάνδραν τῷ Ἀγαμέμνονι (ἀπὸ τοῦ ὀργάνου τὸν ἐνεργοῦντα) οὐ δέον εἶναι ἔλεγον προτιμήσειν τῆς ἀνδρείας τοῦ Ἀχιλλέως. I. τὰ δὲ Κασάνδρας: ἤγουν οὐ συνεχώρησαν προτιμῆσαι τὴν Κασάνδραν τὴν κατεχομένην παρ' Ἀγαμέμνονος εἰς ἄλοχον. Fl. 21. μηδαμῶς δὲ διὰ τῆς Κασάνδρας τὴν κοίτην ἄτιμον ἐάσομεν τὴν ἀνδρείαν καὶ γενναιότητα τοῦ Ἀχιλλέως. Fl. 33.

130. λέκτρ' : ἀπὸ τοῦ λέχω τὸ κοιμῶμαι, ἢ ἀπὸ τοῦ λέχω τὸ φροντίζω. Gu.

131. πρόσθεν θήσειν : προτιμήσειν, ποιήσειν, ἤγουν προτιμήσασθαι. Fl. 59. προτιμῆσαι καὶ προκρῖναι. Fl. 21. λόγχης : τῆς δυνάμεως τοῦ Ἀχιλλέως. Fl. 21. ἤγουν τῆς πολεμικῆς δυνάμεως. Gr. ἀπὸ συμβόλου τὸ κύριον. Gu.

132. σπουδαί : (ἤγουν) ἀντιλαβαί. M. Fl. 21. ἤγουν ἅμιλλαι. Gr. ἀγῶνες, κρίσεις, μελέται. Gu. λόγων: λέξεων. κατατεινομένων: ἤγουν ἀντιτεινόντων. Fl. 6. 21. 56. 76. γινομένων. Fl. 17. πολλαὶ δὲ σπουδαὶ λόγων διατεινομένων ἐν ἰσότητι πάντων εὑρέθησαν. Fl. 33. ἤγουν ἀντιτεινόντων. Gr. σφοδρῶς καὶ σπουδαίως φερομένων, διϊσχυριζομένων καὶ ἐνστατικῶς λεγομένων, σπουδαζομένων. Gu.

133. πρίν : ἀντὶ τοῦ πρὸ τοῦ. Fl. 21. 17. ἀντὶ τοῦ πρὶν Ὀδυσσεὺς μιᾷ γνώμῃ καὶ ψήφῳ προσετέθη. M. Fl. 21.

ποικιλόφρων : ἤγουν ὁ πολυμήχανος. Gr. ὁ ποικίλος τὸν νοῦν καὶ φρόνιμος. ἰδίωμα τῶν ῥητόρων τὸ ποικίλως φρονεῖν. Gu. ὁ πανοῦργος. Fl. 17. πολύβουλος. Fl. 6. ὁ συνετόβουλος. M. Fl. 21. ποικιλόβουλος. Fl. ὁ ποικίλος τῇ φρονήσει καί. Fl. 33. φρόνιμος. I.

134. κόπις : ὁ λάλος ὄθεν καὶ κόβαλος ὁ κομψός "καὶ μὴν κόβαλά γ' ἐστὶν, ὡς καὶ σοὶ δοκεῖ." κοπίδας τε τὰς τῶν λόγων τέχνας ἄλλοι τε καὶ Τίμαιος οὕτως γράφει· ὥστε καὶ φαίνεσθαι μὴ τὸν Πυθαγόραν εὑράμενον τῶν ἀληθινῶν κοπίδων μηδὲ τὸν ὑφ' Ἡρακλείτου κατηγορούμενον, ἀλλ' αὐτὸν Ἡράκλειτον εἶναι τὸν ἀλαζονευόμενον. τὰ περίεργα γὰρ τῶν λόγων καὶ τὰ κατεστωμυλμένα κόβαλα

11. προτιμήσασθαι]ἤγουν προτιμήσειν Gr. cujus ultimae syllabae ab altera m. suprascriptum est σασθαι.

27. καὶ μὴν] Arist. Ran. 1021.

32. περίεργα] πάρεργα esse videtur in M.

ib. κατεστωμυλμένα Cobetus pro κατεστωμυλημένα.

ἔλεγον, ὡς Ἀριστοφάνης ἐν Βατράχοις "κόβαλά γ' ἐστὶν, ὡς καὶ σοὶ δοκεῖ." M.

κόπις: ῥήτωρ. I. κόπις, ὁ λάλος, ἔθεν καὶ κόβαλος, καὶ κομιδὸς, κοβάλαι δὲ καὶ κωπιάδες αἱ τῶν ἀλόγων τέχναι. Bar. σύντομος καὶ ὀξὺς καὶ ἡδὺς τῷ λόγῳ. M. Fl. 21. ἡδύνων, γλυκαίνων τοῖς λόγοις. Fl. 17. γλυκυλόγος τῷ πλήθει. Gu. δημεχαριστής: τῷ δήμῳ χαριζόμενος ἐν τῷ λέγειν. I. ὁ τῷ δήμῳ κεχαρισμένα λέγων. κόπις, ἡδυλόγος: λάλος, ἡδυλόγος, καὶ τῷ δήμῳ κεχαρισμένος. Fl. 33.

135. Λαερτιάδης: ὁ υἱὸς τοῦ Λαερτίου. Fl. 6. 17. 21. 56. 59. 76. εἰώθασιν οἱ ποιηταὶ πατρωνυμικῶς. Fl. 56. πείθει: ἀντὶ τοῦ ἔπεισε. Fl. 6. 17. 56. 59. 76. πρὸ τοῦ πεῖσαι. Fl. 21.

στρατιάν: στρατιὰ δέ ἐστι τὸ ἄθροισμα τῶν στρατιωτῶν, στρατεία δὲ αὐτὸς ὁ πόλεμος καὶ ἡ ἐν πολέμῳ τάξις. A.M.

136. τὸν ἄριστον: ἤγουν τὸν κρείττονα, τὸν ἀνδρειότατον τῶν Ἑλλήνων. Fl. 17. μηδαμῶς τὸν ἔνδοξον Ἑλλήνων πάντων. Fl. 33. τὸν κρείττονα. Gr. εὐδοκιμώτερον. Gu.

137. δούλων: αἰχμαλώτων. Fl. 59. σφαγίων: θυμάτων. Fl. 17. σφαγμάτων, ἤγουν τῆς Πολυξένης. Fl. 21. ἀπωθεῖν: ἀποδιώκειν ἀφ' ἡμῶν τὸν Ἀχιλλέα, ἤγουν μὴ ἐχθρὸν ἡμῖν αὐτὸν ποιῆσαι. Fl. 59. παραβλέπειν. Gr. παραλογίζεσθαι, ἀποπέμπειν ἀγέραστον, ἀποστρέφεσθαι, ἀτιμάζειν. Gu.

138. παρά: ἀπέναντι τῆς Περσεφόνης. Fl. 21.

139. φθιμένων: ἀπὸ τῶν τεθνηκότων ἐν Τροίᾳ. Fl. 6. 17. 56. 59. 76. Gr. τῶν ἀποθανόντων στάντα παρὰ τῇ θυγατρὶ τῆς Δήμητρος, τῇ ἀλόχῳ τοῦ καταχθονίου θεοῦ Πλούτου τοῦ κρίνοντος τοὺς τεθνηκότας. Fl. 21.

140. ὡς ἀχάριστοι: ὡς ἀπέβησαν ἀπὸ τῶν πεδίων τῶν Τρωϊκῶν

4. κωπιάδες ex κόπιδες corruptum, κοβάλαι ex κοβαλεῖαι, ut videtur. Glossam Etym. Gud. p. 332, 3. comparavit Lobeck. Aglaoph. p. 1322. ubi κόβαλος ἀπὸ τῆς κοπίδος, κοπίβαλός τις ὤν, derivatur.

5. καὶ ἡδὺς om. M.
ib. τῷ λόγῳ] τῶν λόγων Fl.
8. ὁ τῷ δ. κ. λ. ex M. Gu. Fl. 6. 21. 56. 59. 76. in quibus subjicitur τὸ εὔσχημον ἐπισπᾶσθαι παρ' αὐτῶν.

13. στρατιὰ δὲ (γὰρ M.)—] In A.M. haec leguntur post προσετέθη (schol. v. 127.) καὶ—τάξις om. A.

15. ἀνδρειότατον scripsi ex Fl. 56. pro ἀνδρείων (sic).

18. αἰχμαλωτῶν Fl. αἰχμαλωτικῶν Matth.

Δαναοὶ ἀχάριστοι τοῖς Δαναΐς τῶν τεθνηκότων Ἑλλήνων ἐγένοντο, ὅ ἐστιν, ἀχάριστοι οἱ Ἕλληνες ἐγένοντο εἰς τοὺς τελευτήσαντας ὑπὲρ τῶν Ἑλλήνων. M. ὅτι ἀγνώμονες γενόμενοι. Fl. 6. 17. 21. 56. 59. 76. ὅτι ἀγνώμονες. Gr. γινόμενοι, μὴ διδόντες τὴν χάριν. Gu.

5 Δαναί: ἰστέον ὅτι Δαναοὶ, Ἀχαιοὶ καὶ Ἕλληνες ταὐτά ἐστι. Fl. 9. μηδὲ ἀχάριστοι γένοιντο οἱ Ἕλληνες τῶν φονευομένων καὶ ἀπολλυμένων Ἑλλήνων. Fl. 33.

141. οἰχομένοις: φθαρεῖσιν. Fl. 59. τοῖς τεθνηκόσιν. M. Fl. 21. τοῖς Ἕλλησι τοῖς φθειρομένοις ὑπὲρ τῶν Ἑλλήνων. Fl. 33.

10 τοῖς ἀποθανοῦσιν. Gr. ἀπολωλόσιν. Gu.

142. Τροίας πεδίων: ἀντὶ τοῦ Τροίας περιφραστικῶς. ἀπὸ τῶν χωρίων ἀπῆλθον. Fl. 17. πεδίων: τῶν ἀρουρῶν, χωρίων. Fl. 6. 21. 56. 59. 76. τῆς Τρωϊκῆς γῆς ἀπέβησαν. Fl. 33. ἀπέβησαν: ἀπήλθοσαν. Gr. ἀπῆλθον, ἀπέπλευσαν, ἀπεχώρησαν. Gu.

15 143. ἥξει: ἐλεύσεται ἐνταῦθα. Fl. 59. τὰ τοῦ χοροῦ ῥήματα. Fl. 21. ὅσον οὐκ ἤδη: ὅσον οὐδέπω, μετ' οὐ πολύ. M. ἀντὶ τοῦ ὅσον οὔπω, ταχέως. Fl. 17. 21. 59. 76. ἀντὶ τοῦ ὅσον οὔπω, πρὸ ὀλίγου. Fl. 6. ἔρχεται Ὀδυσσεὺς οὐ μετὰ πολλὸν, ἀλλὰ ἀρτίως. Fl. 33. ἀντὶ τοῦ ὅσον οὔπω. Gr. μετ' ὀλίγον, ταχέως, παραυτίκα. Gu.

20 144. πᾶλον: ἀντὶ τοῦ παρθένον. M. τὴν παῖδα λέγει μεταφορικῶς. Gr. I. πᾶλον: ἥγουν τὴν θυγατέρα. Fl. 59. ἀφέλξων: ἀφέλκω, ὁ μέλλων ἀφέλξω, καὶ ἡ μετοχὴ ὁ ἀφέλξων. Fl. 17. ἥγουν ἀποσπάσων. Gr. ἀφελκύσων. Gu. μαζῶν: εἰκότως πρὸς τὸ πῶλον ἐπήγαγε τὸ ἀπὸ μαζῶν· οἱ γὰρ πῶλοι γάλακτι τρέφονται. ἢ τὸ ἀπὸ

25 μαζῶν ἀντὶ τοῦ ἀπὸ τοῦ σοῦ στήθους, καὶ τῆς σῆς πρὸς αὐτὴν φύσεως, ἢ φυσικῆς προσπαθείας. B. Gu. I. μαστὸς καὶ μασθὸς διαφέρει· μαστὸς ὁ γυναικεῖος ἀπὸ τοῦ μεστὸς εἶναι γάλακτος, μασθὸς δὲ ὁ τῶν ἀνδρῶν ἀπὸ τοῦ μὴ ἐσθίεσθαι. I. μαζῶν: ἥγουν ἀπὸ τοῦ σοῦ κόλπου παρακινήσων. Cant. μαστὸς ἐπὶ γυναικὸς, ὡς ὁ τοιοῦτος

30 ἀλλαχοῦ λέγει "ὦ στέρνα μαστοί μ' ἐθρέψαθ' ἡδέως·" μαζὸς δὲ ἐπὶ

1—3. οὐχ ἁπλῶς λέγει τῶν ἀποθανόντων καὶ ἐν Ἅιδου ὄντων, ἀλλὰ τῶν Ἑλλήνων τῶν ἐν τῇ Τροίᾳ ἐν τῷ ἀριστεύειν καὶ τῶν ἄλλων προμάχεσθαι ἀναιρεθέντων. ἀχάριστοι δὲ οἱ Ἕλληνες ἐγένοντο εἰς τοὺς τελευτήσαντας ὑπὲρ αὐτῶν ἐν Ἰλίῳ Ἕλληνας, ἢ λίαν ἀχάριστοι οἱ ἐν Ἰλίῳ Ἕλληνες τοῖς τεθνηκόσιν: —A.

25. φύσεως ἢ om. Gu.

30—p. 257. l. 1. Hec. 424. et Hom. Il. 4, 123.

ἀνδρὸς, ὡς τὸ "νευρὴν μαζῷ πέλασε" παρ' Ὁμήρῳ εὕρηται, καὶ μαζὸς ἐπὶ θήλεος καταχρηστικῶς καὶ ὡς ἐνταῦθα καὶ παρὰ Θεοκρίτῳ "ἦ ῥα λεαίνης μαζὸς θήλασδε." φασὶ μὲν οἱ τεχνικοὶ, ἐπὶ μὲν θήλεος διὰ τὸ στ ἐκφέρεται, οἱονεὶ μασητόν, ἐπὶ δὲ ἀνδρὸς διὰ τὸ σθ, οἷον ὁ μὴ ἐσθιόμενος. Fl. 56. ἀντὶ τοῦ τὴν σὴν θυγατέρα, τὴν παρθένον, τὴν νεάνιδα, ἀπὸ τῶν σῶν μαστῶν ἀποσπάσει, αἴρει. Fl. 33. μαζὸς ἐπὶ ἀνδρὸς, ὡς παρ' Ὁμήρῳ "νευρὴν μὲν μαζῷ πέλασεν" μαστὸς δὲ ἐπὶ γυναικὸς, οἱονεὶ μασητός τις ὤν. ἐνταῦθα γοῦν ἀπὸ μαζῶν εἴρηκεν ἀντὶ τοῦ στήθους, δεικνὺς τὴν φυσικὴν προσπάθειαν ὁ ποιητής. Gu. ἀπὸ μαστῶν: ἤγουν ἀπὸ τοῦ σοῦ κόλπου. Gr.

145. χειρός: ἀπὸ τῆς σῆς εὐτίμης χειρὸς ἀφαιρήσει. Fl. 33. ὁρμήσων: ἐξορμήσων αὐτὴν τῆς χειρὸς, τουτέστιν ἀφαιρησόμενος. M. παρορμήσων, παρακινήσων, ἀφαιρησόμενος. Bar. Gr. ἔξω ἐκβαλῶν. Gu. καὶ ἐλεύσεται συνεδοχικῶς ἐξορμήσων καὶ μέλλων ἐκβαλεῖν ἀπὸ τῆς γεραιᾶς χερὸς τὴν πῶλον. Fl. 59.

146. ἀλλ' ἴθι ναούς: ἀλλὰ ἄπελθε εἰς τοὺς ναούς· ἐπαναφορὰ, ἄπιθι πρὸς τοὺς βωμούς. διαφέρει δὲ ναὸς βωμοῦ. ναὸς μὲν, ἔνθα τὰ εἰδωλά εἰσι, βωμὸς δὲ, ἔνθα αἱ θυσίαι γίνονται. I. ἴθι πρὸς βωμούς: ἤγουν ἐπικαλοῦ τοὺς θεοὺς τοὺς βοηθῆσαι τὴν σὴν πῶλον. Fl. 21. ἔρχου πρὸς τοὺς ναοὺς καὶ εἰς τοὺς θεϊκοὺς βωμούς. Fl. 33. βωμοὺς, θυσιαστήρια. Fl. 59.

147. ἴζ': πίπτε. Fl. 6. κάθισον. Fl. 17. κάθιζε καὶ δέου τοῦ Ἀγαμέμνονος. Fl. 21. 76. ἱκέτις: ἱκετικῶς. Fl. 17. καὶ γίνου παρακλήτωρ τοῦ Ἀγαμέμνονος. Fl. 33. γονάτων: ἀπτομένη δηλονότι. Gr. γονάτων ἥπτοντο οἱ καθικετεύοντες καὶ γενειάδος καὶ δεξιᾶς χειρός. Gr. διά. Gu. οὕτω λαμβανομένη ἔξωθεν ἡ διὰ συντακτέον· οὐ γὰρ τὰ γόνατα ἔμελλε παρακαλεῖν, ἀλλὰ δι' ἐκείνων ἱκετεύσειν ἐκεῖνον. οὕτω νοεῖ τὰ περὶ τούτου ὁ κύριος Μάξιμος. Gu.

148. κήρυσσε: ἐπικαλοῦ. Gr. I. ἀνακάλει, μεγάλως. Gu. οὐρανίδας: ἤγουν τοὺς οὐρανίους, τὸν Δία, τὸν Ἑρμῆν καὶ τοὺς ἄλλους. Fl. 59. ἐπικαλοῦ βοηθούς σοι γενέσθαι τοὺς οὐρανίους καὶ καταχθο-

2. Θεοκρίτῳ] 3, 15.
8. μαστὸς Matth. μαζὸς Gu.
32. β. σοι γενέσθαι post θεούς Fl.
33. addito καὶ ante ἐπικαλοῦ.

νίους θεούς. M. Fl. 33. *τοὺς οὐρανίους.* Gr. *πατρωνυμικῶς, ἤτοι τοὺς υἱοὺς τοῦ Οὐρανοῦ, τὸν Κρόνον καὶ τὴν Ῥέαν. πατρωνυμικὸν ἀντὶ τοῦ ἁπλοῦ.* Gu.

149. *τούς θ' ὑπὸ γαῖαν*: *κάτω τῆς γῆς.* Gr. I. *τοὺς ὑπογθονίους.* Fl. 59. *τὸν Πλούτωνα τὴν καὶ Περσεφόνην.* Gu. Fl 59.

150. *λιταί*: *αἱ παρακλήσεις αἱ εἰς τοὺς θεούς.* Fl. 17. 56. 59. *αἱ ἱκεσίαι.* Fl. 21. *ὅπως αἱ σαὶ λιταὶ διακωλύσουσι τὴν σφαγὴν τῆς σῆς θυγατρός.* Fl. 33. *διακωλύσουσ'*: *ἐὰν ποιήσῃς ὅπερ λέγω.* Fl. 59.

ἢ γὰρ διακωλύσουσι καὶ ἐμποδίσουσί σε αἱ παρακλήσεις τοῦ εἶναί σε ὀρφανὴν τῆς ἀθλίας παιδός, ἢ ἀπόκειταί σοι θεάσασθαι τὴν παρθένον θυγατέρα προπετῆ καὶ ἔμπροσθεν κειμένην τοῦ τάφου τοῦ Ἀχιλλέως καὶ φοινισσομένην καὶ βαπτομένην ἐν νασμῷ καὶ ῥείσει μελαναγγεῖ καὶ σκοτεινῷ τοῦ αἵματος τοῦ ἐκ τῆς χρυσοφόρου δειρῆς, ἤγουν τοῦ χρυσᾶ φοροῦντός ποτε τραχήλου. Gu.

151. *ὀρφανόν*: *ἔρημον, ὡς "κλυτὸς Ἱππεδάμεια."* M. *στερουμένην.* M. *ἀντὶ τοῦ ὀρφανὴν. Ἀττικῶς, ὡς καὶ Ἀριστοφάνης "οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν."* *οὐ χρὴ τοίνυν ὀρφανὰν γράφειν, ὡς ἔν τισιν εὕρηται· οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ.* I.

ὀρφανόν: *κατὰ τοὺς παλαιοὺς ὀρφανὸς ἐλέγετο καὶ πατὴρ ἐπὶ στερήσει παιδός, καὶ οἶκος ὀρφανὸς ἐπὶ στερήσει οἰκήτορος· παρ' ἡμῖν ὀρφανὸς ἐπὶ στερήσει γονέων, ὅθεν καὶ ὀρφανικὰ χρήματα τὰ εἰς παρακαταθήκην τιθέμενα ἀτελῆ ὄντος τοῦ παιδός.* Gr.

μελέας: *ματαίας.* M.

152. *ἤ*: *ἢ δεῖ σ' ἐπιδεῖν τὴν παρθένον ἐγγὺς τοῦ τύμβου κειμένην ἐκ χρυσοφόρου δειρῆς φοινισσομένην νασμῷ μελαναγγεῖ, ὅ ἐστι τῇ ῥύσει τοῦ αἵματος.* A.M. *ἀπόκειται θεάσασθαι.* Gr. *τὴν θυγατέρα.* Gu. *τὸ ἤ διαλυτικόν ἐστιν ἀντὶ τοῦ εἰ δὲ μή.* Fl. 21. *προπετῆ*: *προνενευκυῖαν.* M. *προκειμένην.* I. *προνενευμένην.* Fl. 21. *φανερῶς κειμένην.* Gr. *ἔμπροσθεν κειμένην.* Gu.

153. *φοινισσομένην*: *ῥαντομένην.* Fl. 59. *ἐπὶ τὸν τάφον πορευομένην αἵματι φοινισσομένην.* Fl. 33. *ἤγουν βαπτομένην.* Gr. *ωλυνομένην.* Gu.

16. κλυτὸς Ἱππεδάμεια] Hom. Il. 2, 742.

17. Ἀριστοφάνης] Nub. 53. Annotatio est Triclinii.

154. χρυσοφόρου: τῆς ποτε χρυσοφόρου δειρῆς, ὡς τὸ "ἐϋμμελίῳ Πριάμοιο." M. Fl. 21. ἅτοι ἐκ τραχήλου φέροντος κόσμια χρύσεα. οἱ παλαιοὶ γὰρ, ὅταν ἔμελλον σφαγιάσαι τινὰ γυναῖκα ἐπὶ τάφῳ τινὸς, ἐκόσμουν αὐτὴν διὰ χρυσέων κόσμων ὥσπερ νύμφην. A. τὴν νεόνυμφον δεδεμένην ἐκ τῆς ποτε χρυσοκοσμημένης. Fl. 33.

155. δειρῆς: τοῦ τραχήλου. Fl. 6. 21. 56. 59. Gu. δειρὴ τὸ ἔμπροσθεν τοῦ τραχήλου. λέγεται δὲ κυρίως ἐπὶ τῶν ἀλόγων ζώων διὰ τὸ ἐκεῖθεν ἐκδέρεσθαι. Gr. νασμῷ: ῥεύματι. I. χύσει αἵματος μελανιεῖ. Fl. 57. τῇ ῥύσει τοῦ μέλανος αἵματος. M. Fl. 10. 21. ἤγουν μέλαιναν ὕλην ἔχοντι. Gr. μέλανι, σκοτεινῷ. τὸ ἐρυθρὸν μᾶλλον πλησιάζει τῷ μέλανι ἢ ἄλλῳ ὁτῳοῦν χρώματι. Gu.

155.—162. Παράφρασις. οἳ ἐγὼ μελέα: φεῦ μελέα εἰμὶ ἐγὼ δηλονότι, τί ἄρα βοήσω; ποίαν κραυγὴν, ποῖον θρῆνον; δειλαία εἰμὶ δηλονότι ἕνεκα τοῦ ἀθλίου γήρως, ἕνεκα τῆς δουλείας τῆς οὐ φορητῆς. ὤμοι μοι, τίς βοηθήσει ἐμοί; ποῖον τέκνον, ποία πόλις; ἀφανὴς ὁ Πρίαμος, ἀφανεῖς οἱ παῖδες. I.

οἳ ἐγὼ μελέα: φεῦ. οἴμοι καὶ οἳ ἐμοί κοινὸν, οἳ ἐγώ μετ' εὐθείας ποιητικόν. ταῦτα λέγουσιν ἄνθρωποι δυσφορεῖν τες, ὅτι πλῆθος κακῶν ἔχουσιν. Gr. οἳ: φεῦ μοι. Fl. 21. μελέα: ἀθλία. Fl. 6. 17. 21. 56. 59. 76. ἀπύσω: εἴπω. Fl. 59. φρονήσω. Fl. 21. οὐαί μοι τῆς ἀθλίας, καὶ τί δὴ βοήσω. Fl. 33. ἤγουν βοήσω. Gr. φωνήσω, πρὸς τὸ παρὸν ἄκουσμα. Gu.

156. ἠχῷ: ἀντὶ τοῦ βοήν: τινὲς δὲ περισπῶσι τὸ ἀχῷ, ἵν' ᾖ ὁποίαν ἠχήσω βοήν. M. ἀχῷ: θλίψιν. Fl. 59. φωνήν. Fl. 17. βοήν. Fl. 6. 21. τραγῳδίαν. Fl. 56. ἢ περισπωμένως, ἀχῶ. Fl. 10. ὀδυρμόν: κλαυθμόν. Fl. 17. ποίαν ἠχὴν ἤγουν βοὴν καὶ ποῖον κλαυθμόν. Fl. 33. ἤγουν θρῆνον. Gr.

157. δειλαία δειλαίου: λείπει τὸ ἕνεκα. ἐγὼ ἀθλία εἰμὶ ἕνεκα τοῦ δυστυχοῦς γήρως. M. ἀθλία εἰμὶ ἀθλίου ἕνεκα. Fl. 6. 21. 56. 59. 76. ἀθλία εἰμὶ ἕνεκεν τοῦ δυστυχοῦς καὶ ἀθλίου γήρως. Fl. 17. ἡ ἄθλιος καὶ ταλαίπωρος τοῦ δυστυχουμένου καὶ ταλαιπώρου μου γήρως. Fl. 33.

158. τλατᾶς: φεῦ τῆς δουλείας ταύτης τῆς οὐ τλητῆς οὐδὲ φορητῆς. καρτερικῆς, οὐ φορητῆς. M. τῆς ἀνυποίστου, τῆς οὐχ

1. ἐϋμμελίῳ Πριάμοιο] Hom. Il. 4, 165.

ὑπομονητῆς. Fl. 6. 17. 56. 59. 76. Gr. ἕνεκα τῆς ἀπίστου. Fl. 21. καὶ δουλοσύνης τῆς ἀνυπομονήτου καὶ ὑπερηφάνου ποτέ. Fl. 33.

159. οὐ φερτᾶς: οὐ φορητῆς. ποιητικὸν φερτὸν, κοινὸν φορητόν. φορυτὸς δὲ ὁ συρφετὸς, ἤγουν ἡ πολλὴ ἀχρεία εἰς ἓν συνηγμένη. Gr.

160. ἀμύνῃ: ἤγουν βοηθήσῃ. Fl. 6. 21. 56. 59. 76. ἀμύνει: ἤγουν βοηθήσει. Gr. βοηθεῖ. Gu. ἀμύνω τὸ ἐκδικῶ καὶ βοηθῶ ὁτικῆ, ἀμύνομαι τὸν ἐχθρόν μου ἀντὶ τοῦ κολάζω, ἀεὶ αἰτιατικῆ. ἐκ τούτου λέγεται καὶ ἄμυνα ἐπὶ θηλυκοῦ, καὶ ἀμυντήρια ὅπλα, οἷον ξίφος ἢ δόρυ ἢ τόξον ἢ ἄλλο τι τοιοῦτον. διὸ οὗ ἀναστέλλομεν μηκόθεν τὸν πολέμιον. Gr. μετὰ ὁριστικοῦ καὶ εὐκτικοῦ τὸ τίς καλόν ἐστι. Gu.

πoία γένννα: τῶν τέκνων. Fl. 17. καὶ γὰρ καὶ τὰ πεντήκοντα φρεῦδά εἰσιν. Fl. 21. τίς βοηθήσει μοι ἢ τίς ἀνταμείψεται τοὺς ἠδικηκότας: πoία γενεά. Fl. 33. ἤγουν ποῖον τέκνον. γέννα ἡ ἐκ τῆς μήτρας ἔκπτωσις τοῦ ἐμβρύου καὶ τὸ γεννηθέν. οὕτω καὶ τόκος. Gr. πoία δὲ πόλις: ἀμύνῃ μοι δηλονότι. Fl. 17. 21.

162. φρεῖδος: ἀφανὴς, πρὸ ὁδοῦ. Fl. 6. 21. 56. 59. 76. Gr. πρέσβυς: ὁ γέρων ὁ Πρίαμος. Fl. 17. ἄφαντα, ἀβέβαια τὰ ἐμὰ πάντα, ἀφανὴς ὁ ἀνὴρ, ἤγουν ὁ Πρίαμος, εἰ παῖδες. Fl. 33.

163.—177. ποίαν, ὁδὸν δηλονότι, πορευθῶ; ἢ ταύτην ἢ ἐκείνην: ποῖ δὲ ἧσα καὶ ὁρμήσω; ποῦ τις ἀπὸ τῶν θεῶν ἢ ἀπὸ τῶν δαιμόνων ἔσται βοηθός: ὦ Τρῳάδες, αἱ ἀπαγγείλασαι κακὰ, ὦ Τρῳάδες, αἱ ἐνεγκοῦσαι κακὰ πήματα, ὠλέσατε καὶ ἐφθείρατε ἐμὲ δηλονότι· οἰδαμῶς ἐστι μοι ἐν τῷ φωτὶ βίος θαυμαστός. ὦ τλῆμον πούς, ὁδηγὸς γενοῦ ἐμοὶ τῇ γραίᾳ πρὸς τὴν τῶν αἰχμαλώτων σκηνήν. ὦ τέκνον, ὦ παῖ μητρὸς ἀθλιωτάτης, ἔξελθε ἀπὸ τῶν οἴκων, ἄκουε, ὦ τέκνον, τὴν φωνὴν τῆς σῆς μητρὸς, ἵνα ἀκούσῃς εἴαν ἀγγελίαν ἀκούω περὶ τῆς σῆς ψυχῆς, ἕνεκα τῆς σῆς ζωῆς. I.

πoίαν: ποίαν ὁδὸν βοηθείας παραγίνομαι. M. τοῦτο λέγει ἀπορεῦσα τί ποιήσει, καὶ τίνα θεῶν βοηθὸν πρὸς τὰ παρόντα ἐπικαλέσεται. Gu. l. οὕτω δὲ χρὴ γράφειν ταῦτα τὰ κῶλα καὶ τὰ ἑξῆς

30. τοῦτο] τοῦτο δὲ Gr.
31. θεῶν om. I.
32. οὕτω — ὀρθῶς] Scholion Triclinii, quod continuatur verbis τὸ δὲ ἔστ' etc.

ὡς διωρθώθη παρ' ἡμῶν, ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς. I. ποίαν: εἰς ποίαν βοήθειαν παραγενήσομαι. Fl. 33. ὁδὸν δηλονότι. τοῦτο λέγουσιν ἐξαπορούμενοι καὶ ἐν ἀφύκτοις ὄντες πράγμασιν ἄνθρωποι. Gr.

164. στείχω: ὁδεύσω. Fl. 17. βαδίσω. Fl. 59. ἤγουν πορευθῶ. Gr. πορεύσομαι, ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος. Gu. ἰστέον ὅτι ὑποτακτικὸς ἐνεστὼς μέλλοντος καὶ ἐνεστῶτος σημασίαν ἔχει· τὸ στείχω γὰρ ἐνεστὼς ὢν ἐνταῦθα μέλλοντα ἐμφαίνει· ὁ δὲ παρακείμενος καὶ ἀόριστος μέλλοντα μόνον. Gu.

ἧσω: ὁρμήσω. ἵημι, τὸ ὁρμῶ καὶ πορεύομαι, ὁ μέλλων ἥσω, καὶ ψιλοῦται, ἵημι δὲ τὸ πέμπω δασύνεται. I. ἧσω: εἰς ποίαν βοήθειαν ὁρμήσω. M. Fl. 21. ποῦ πέμψω, ἤγουν εἰς τίνα ἄνθρωπον, πέμψω ὥστε βοηθῆσαί με. Fl. 59. ποῦ ἔλθω· πότε τις ἐκ τῶν θεῶν βοηθήσει μοι. Fl. 33. ἥσω, ἤγουν πορευθῶ ὁρμήσω. Gr. ἵημι, ἧσω. Gu.

165. θεῶν ἢ δαιμόνων: θεοὺς ὑψηλότερόν τι τάγμα ἠγοῦντο τῶν δαιμόνων· ὃν γὰρ λόγον ἔχουσιν οἱ ἥρωες πρὸς τοὺς λοιποὺς ἀνθρώπους, ὑψηλότεροί τινες δοκοῦντες καὶ ὑπερέχοντες, τὸν αὐτὸν λόγον καὶ οἱ θεοὶ πρὸς τοὺς δαίμονας, ὑψηλότεροί τινες δοκοῦντες τούτων εἶναι. λέγονται δὲ καταχρηστικῶς θεοὶ καὶ οἱ δαίμονες. I. τοῦτο διὰ τὸν Δία λέγει· οὗτος γὰρ μόνος οὐ λέγεται δαίμων, ἀλλὰ θεός· οἱ δὲ ἕτεροι καὶ θεοὶ καὶ δαίμονες. Gr.

τὸ δὲ ἔστ' ἐπαρωγός δύναται καὶ ἀντὶ τοῦ ἔστιν εἶναι καὶ ἀντὶ τοῦ ἔσται· ἡ γὰρ ἀπόστροφος, ὡς φασι, καὶ ἀντὶ δύο τίθεται φωνήεντων, ὡς τὸ "βούλομ' ἐγώ," καὶ ἀνθ' ἑνός, οἷον "τοῦτ' ἔστιν." I. ἐπαρωγός. ἤγουν βοηθὸς ἔσται δηλονότι. Gr

166. κακά: δεινά. Fl. 17. ἐνεγκοῦσαι: ὑπομένουσαι. Fl. 17. ἤγουν διακομίσασαι. Gr. Fl. 76. ἀπαγγείλασαι, ἢ ὑπομείνασαι καὶ παθοῦσαι. Fl. 10. ἤνεγκα ἀντὶ τοῦ ἐκόμισα καὶ ἤνεγκα ἀντὶ τοῦ ὑπέμεινα. Gr. Τρῳάδες: Τρῶς, ὃ κλίνεται Τρῳὸς, καὶ Τρωαὶ γυναῖκες, αἳ καὶ Τρῳάδες λέγονται καὶ Τρωϊάδες ποιητικῶς. I.

Τρῳάδες: κόραι δηλονότι. Fl. 17. ὦ κακὰ πήματα καὶ βλάβας ἀπαγγείλασαί μοι, Τρωϊκαὶ γυναῖκες. Fl. 33.

167. πήματα: βλάβας. Gr. Fl. 17. 21. 56. 59.

168. ὠλέσατ': ἀπώλεσα ἀντὶ τοῦ ἔφθειρα καὶ ἀντὶ τοῦ κοινῶς

11. ὁρμήσω ante εἰς ποίαν Fl. 21.

ἐχάωσα. Fl. 6. 21. 56. 59. 76. Gu. οὐκέτι: εἰς τὸ ἔξῃς. Fl. 59. βίος: ἤγουν διαγωγή. Fl. 59. οὐδ' ἔτι μοι: οὐδ' ἔτι μοι φορητὸς ἢ θαυμαστὸς καὶ ἀποδεκτὸς ὁ βίος ἐν τῇ ζωῇ γενήσεται, ἀλλ' ἐκ τῶν ἐναντίων ἐπαχθής. A.M.

169. ἀγαστός: θαυμαστός, ἤγουν οὐκέτι μοι τὸ ζῆν περισπούδαστον. Fl. 6. Gu. θαυμαστός, ποθητός, ἀλλ' ἐκ τῶν ἐναντίων. M. Fl. 21. ἤγουν θαυμαστός. Gr. ποθητός, ἀποδεκτός, ζηλωτός. Gu. φάει: ἡμέρᾳ. Fl. 17. καὶ τῷ φωτὶ, τῇ ζωῇ. Fl. 21. 59. καὶ ἀμφότερα μικρὰ γράφει ὁ κύριος Μάξιμος. οὐκ εἰς τὸ μετὰ ταῦτα ὁ βίος καὶ ἡ διαγωγὴ ὁ ἐν τῷ φάει καὶ τῷ φωτὶ ἤγουν τῇ ζωῇ ἀγαστὸς καὶ ποθεινὸς, ἤγουν οὐ θέλω ζῆν, ἀλλὰ θανεῖν. Fl. 59. εὐδαμῶς μοι ὁ βίος θαυμαστὸς καὶ φωτοφανὴς, ἀλλ' ἐπαχθὴς καὶ ἀπολεσμένος. Fl. 33. ἐν φάει: φωτί. Gr. ἐν τῇ ἡμέρᾳ. Gu.

170. τλᾶμον: ὦ τλήμων πούς. ἀπεχθής. M. ὦ ταλαίπωρε. Gr. Fl. 59. 76. ἀθλία. Fl. 17. ἔνδον ἐβούλετο εἰσελθεῖν πρὸς τὴν τῶν αἰχμαλωτίδων σκηνήν. βούλεται γὰρ συντυχεῖν τῇ Πολυξένῃ καὶ μηνῦσαι τὸν ἐσόμενον αὐτῇ θάνατον. M. Fl. 10. ἄγησαι: καθήγησαι. M. ἤγουν ἡγεμόνευσον. Gr. Fl. 6. 21. 56. 59. 76. ὁδηγὸς γενοῦ. Gr. ὑπούργησον. Fl. 17. ὦ τλήμον, ἐλεινὴ, ἀθλία βύγατερ θανατοῦσαι ἢ μήνυσαί μοι τῇ γραίᾳ τὰ ἐπελθόντα σοι. Fl. 33.

172. πρὸς τάνδ' αὐλάν: πρὸς τήνδε τὴν αὐλὴν, ὦ παῖ τῆς ἀθλιωτάτης καὶ ταλαιπώρου μητρός. Fl. 33. ἡ πρός καὶ ἐπὶ ἐμψύχου καὶ ἀψύχου. ὡσαύτως καὶ ἡ εἰς. Gr. αὐλάν: ἐν ᾗ πάρεστιν ἡ Πολυξένη. Cant. Gu.

ὦ τέκνον, ὦ παῖ: ἐκ παραλλήλου τὸ αὐτό. λέγεται δὲ ἐκ παραλλήλου, ὅτε συνέλθωσι διάφοροι φωναὶ τῆς αὐτῆς ἐννοίας δηλωτικαί. Gr.

173. ματέρος ποιητικὸν, μητρὸς κοινόν. οὕτω καὶ πατρὸς καὶ θυγατρός. Gr. ἔξελθ', ἔξελθ': ἐκ δευτέρου καὶ τρίτου λέγεται ὁ αὐτὸς λόγος, ἢ δι' ὑπερβάλλουσαν χαρὰν, ὡς ἐν τῷ "ἐγκαίνια ἐγκαίνια," ἢ δι' ὑπερβάλλουσιν λύπην, ἢ διὰ κατεπείγουσαν ἀνάγκην. Gr. ἔξελθε ἐκ τῶν οἴκων καὶ ἄκουσον τῆς σῆς μητρὸς τὴν φωνὴν, ὦ τέκνον. Fl. 33.

175. εἰδῆς: μάθῃς. Fl. 6. 21. 56. 69. 76. ἤγουν μάθῃς. Gr.

15. τὴν τῶν] τῶν om. Fl. 10.

ἀκούσῃς, αἴσθησις ἀντὶ αἰσθήσεως. ὃ καὶ μετάληψις αἰσθήσεως λέγεται, ἀντὶ τοῦ ἄκουε. Gu.

176. *εἶαν*: *εἶαν ἤκουσα φωνὴν ἢ φήμην περὶ τῆς σῆς ψυχῆς, ἤγουν περὶ τοῦ σοῦ θανάτου.* M. Fl. 21.

177. *σᾶς ψυχᾶς*: *ψυχὴ λέξις ὁμώνυμος οὖσα σημαίνει τὴν ἐν τῷ ἀνθρώπῳ λογικὴν ψυχὴν καὶ τὴν ἐν τοῖς ζώοις τοῖς ἀλόγοις καὶ τοῖς φυτοῖς, ἔτι δὲ τὴν ζωὴν, ὡς ἐνταῦθα Εὐριπίδης φησὶ, καὶ ἀλλαχοῦ "ἐπεὶ δὲ Τροίᾳ θ' Ἕκτορός τ' ἀπάλετο ψυχή," ἤγουν ἡ ζωή· καὶ τὴν φύσιν, ὡς παρὰ Σοφοκλεῖ "ὅστις τῆς ἐμῆς ψυχῆς γεγώς" ἤγουν τῆς ἐμῆς φύσεως.* B.I. *ψυχᾶς*: *ζωῆς.* Fl. 6. 21. 56. 59. 76. Gr. *καθὼς ἤκουσα λέγων περὶ τῆς ψυχῆς, ἤγουν περὶ τοῦ σοῦ θανάτου.* Fl. 33.

ἰώ: *ἀντὶ τοῦ ἰοὺ θρηνικὸν, ἢ οὐαὶ μῆτερ, τί βοᾷς.* Fl. 33. *νέον*: *παράδοξον.* Gr. *πρόσφατον, ὃ πρώην οὐκ ἐγινώσκομεν.* Gu.

178.—180. *ὦ μῆτερ, διὰ τί βοᾷς, διὰ τί νεωστὶ κηρύξασα καὶ βοήσασα ἐκπτῆναι ἐποίησας, ἤτοι συντόμως ἐξελθεῖν ἐμὲ τῶν οἴκων τῷδε τῷ βάμβει καὶ ταύτῃ τῇ ἐκπλήξει, ὡς καὶ καθὰ ὄρνιν.* I.

179. *καρύξασ'*: *εἰποῦσα.* Fl. 59. *βοήσασα.* Gu. *τί νεωστὶ κακὸν εἰσεληλυθὸς ἐκήρυξας;* A.

180. *θάμβει*: *τῷ θαύματι καὶ τῇ ἐκπλήξει, οἷς κατασχεθεῖσαν ὑπὸ τοῦ σοῦ λόγου πετασθῆναί με ἐποίησας.* I. *ἀντὶ τοῦ φοβεῖσθαι πεισῆς.* Fl. 17. *τῷ φόβῳ.* Gu. *ἐξέπταξας*: *ἐκ τῶν οἴκων ὥσπερ ὄρνιν ἐξέπτηξάς με τούτῳ τῷ φόβῳ. ἢ καταπτῆξαι καὶ δειλιάσαι ἐποίησας.* A.M. *ἐφόβησας.* Fl. 17. *ἐδειλίασας.* Fl. 10. *τῷ τοιούτῳ φόβῳ ἐξέπτηξάς με καὶ καταπτῆξαι καὶ δειλιάσαι πεποίηκας.* Fl. 33. *ἐξέπτηξας· ἢ μᾶλλον σὺν φόβῳ ἐξέβαλες. οὕτω λέγεται καὶ ἐπὶ τοῦ ἐναντίου ὑποπτήσσει ἀντὶ τοῦ σὺν φόβῳ κρύπτεται.* Gr. *πετασθῆναι ἐποίησας, ἐθρόησας, ἐφόβησας.* Gu.

181. *ἰώ μοί μοι τέκνον*: *διὰ τί δυσφημεῖς καὶ ἐλεεινολογεῖς ἐμὲ, λέγουσα δηλονότι ἐμοὶ κακὰ προοίμια.* I.

ἰὼ μοι: *ὁ λόγος τῆς Ἑκάβης οὐ πρὸς τὴν ἐρώτησιν τῆς Πολυ-*

3. *φωνὴν ἢ* om. M.
ib. *σᾶς* om. Fl. 21.
4. *ἤγουν* om. M.
7. *ἀλλαχοῦ*] Hec. 21.
9. *Σοφοκλεῖ*] Electr. 765.
10. *ἤγουν* B. *ἀντὶ τοῦ* I.
21. *οἷς κατασχεθεῖσαν*] *οἷς κατεσχέθην* Gu. reliquis omissis.

ξένης, ἀλλὰ καθ' ἑαυτὴν κλαυθμος ἐστι διὰ τὴν ὑπερβάλλουσαν λύπην. Gr.

182. δυσφημεῖς: βλᾶς. Fl. 17. τί με δύσφημα φθέγγῃ. M. Fl. 6. 21. 10. τί με δύσφημα καὶ κακόφημα φθέγγῃ, καὶ προοίμιά μοι κακὰ προλέγεις; Fl. 33. δυσφημῶ κυρίως τὸ κακῶς λέγω, ἐνταῦθα δὲ ἀντὶ τοῦ λέγω ἁπλῶς· οὕτω γὰρ συμβιβασθείη καλῶς. Fl. 59. φροίμια: προοίμια. M. Gr.

183. αἲ αἲ: δυσφημῶ δηλονότι περὶ τῆς σῆς ψυχῆς, ἤτοι ἕνεκα τῆς σῆς ζωῆς. I. αἲ αἲ: οὐαὶ οὐαὶ τῆς σῆς ψυχῆς. Fl. 33.

184. ἐξαίδα: ἐξάγγελλε καὶ φανερῶς λέγε, μὴ κρύψῃς ἐπὶ πολύ. I. μὴ κρύψῃς: ὅρα ἵνα. Fl. 6. 17. 21. 56. 59. 76. ἔξειπε, λέξον, μή μοι κρύψῃς ἐπὶ πολὺ, ἢ ἐπιδήλωσον. Fl. 33. τὸ μή μετὰ τῶν ἄλλων χρόνων προστακτικῶς λέγεται, μὴ τύπτε, μετὰ δὲ τοῦ ἀορίστου ὑποτακτικῶς, μὴ τύψῃς ἀντὶ τοῦ μὴ τύψον, μετὰ δὲ τῶν πληθυντικῶν τοῦ ἀορίστου προστακτικῶς. Gr.

185. δειμαίνω: φοβοῦμαι, ὦ μῆτερ, διὰ τί ἄρα ἀναστενάζεις. I.

δειμαίνω: δέδοικα. Fl. 6. 21. 56. 59. 76. φοβοῦμαι, μῆτερ. Fl. 33.

186. ἀναστένεις: στενάζεις. Fl. 17. 59. στένεις. Fl. 21. τί δήποτε στενάζεις, ὦ τέκνον ἀθλίας μητρός. Fl. 33. ἤγουν μεγάλως στενάζεις. Gr. ἐπειδὴ ἡ ἀνιά τὸ ἐπάνω δηλοῖ, ἢ ἐκ δευτέρου στενάζεις, ἐπειδὴ καὶ τὸ ἐκ δευτέρου δηλοῖ ἡ πρόθεσις. Gr.

187. ὦ τέκνον: ὦ τέκνον μητρὸς ἀθλίας. I. μελέας: ἀθλίας. Gr. ματαίας. Gu.

188. τί τόδ' ἀγγέλλεις: διὰ τί ἀγγέλλεις καὶ μηνύεις, ἤτοι λέγεις τόδε, τουτέστι τί ἐστι τόδε ὃ ἀγγέλλεις. I. τί τόδ': τί ἐστι τόδε ὃ λέγεις. Fl. 17. τί ἐστι τόδε ὃ ἀγγέλλεις καὶ μηνύεις. Fl. 56. 59. 76. διὰ τί λέγεις τόδε. Fl. 6. διὰ τί φθέγγεις. Fl. 21. τί δὴ ὅπερ ἀγγέλλεις; Fl. 33. ἀγγέλλεις: λέγεις. Gr.

189. σφάξαι σ': τὸ ἐξῆς, σφάξαι σε Πηλείδα γέννα, ὅ ἐστι Πηλέως γενεᾷ, ἀντὶ τοῦ Πηλέως παιδὶ Ἀχιλλεῖ. πατρωνυμικὸν ἀντὶ πρωτοτύπου Πηλέως γέννῃ. M. τῷ Πηλέως παιδὶ Ἀχιλλεῖ, ἢ ἀντὶ τοῦ Πηλέως, πατρωνυμικὸν ἀντὶ πρωτοτύπου. M. ἡ γέννα

3. φθέγγῃ M. φθέγγεις ceteri, ut lin. 29.

τοῦ Πηλείδου, ἤγουν ὁ υἱὸς τοῦ Ἀχιλλέως ὁ Νεοπτόλεμος, κοινῇ γνώμῃ τῶν Ἀργείων συντείνει καὶ σπεύδει σφάξαι σε πρὸς τὸν τάφον τοῦ πατρὸς αὐτοῦ δηλονότι. οὕτω συντακτέον, ἡ κοινὴ γνώμη τῶν Ἀργείων συντείνει σφάξαι σε πρὸς τὸν τύμβον τοῦ Πηλείδου, ἤγουν τοῦ Ἀχιλλέως. B. Gu. I. τὸ γένναι ἢ κλητικὴν διὰ τὴν Πολυξένην νοητέον, ἀντὶ τοῦ ὦ θύγατερ, ἢ δοτικὴν πρὸς τὸ Πηλείδα. κρεῖττον δέ ἐστι τὸ πρῶτον. B. Gu. I. κοινά: ἡ κοινὴ τῶν Ἑλλήνων γνώμη συντείνει, ἤτοι προκρίνει τοῦ σφάξαι σε πρὸς τὸν τάφον τοῦ Πηλείδου, δῆλον τοῦ Ἀχιλλέως, ὅς ἐστι τοῦ Πηλέως γενεά. Fl. 33.

190. συντείνει: συνέρχεται, ὁμοφωνεῖ. Gr. συντρέχει ἢ ἐπισπεύδει ἡ κοινὴ γνώμη τῶν Ἀργείων συντείνει τῇ γέννᾳ τοῦ Πηλείδα σφάξαι σε πρὸς τύμβαν. Gu. γνώμα: βουλή. ἀλλαχοῦ ἡ προαίρεσις. ὅθεν καὶ εὐγνώμων καὶ κακογνώμων. Gr. γνώμα: ἀντὶ τοῦ βουλή. M. γνώμη ὁ τρόπος, ὁ λογισμὸς καὶ ἡ ψῆφος. B. rec.

191. γέννᾳ: τῇ γέννᾳ καὶ τῇ γενεᾷ τῶν Ἀργείων, ἤγουν τοῖς Ἀργείοις, συντείνει καὶ συντρέχει γνώμη καὶ βουλὴ καὶ αἵρεσις κοινὴ, ἤγουν τῶν ὅλων, ὥστε σφάξαι σε πρὸς τὸν τύμβον καὶ τὸν τάφον τοῦ Ἀχιλλέως, δηλονότι τοῦ Πηλείδου καὶ τοῦ υἱοῦ τοῦ Πηλέως· ἢ ἡ γέννα τῶν Ἀργείων, ἤγουν οἱ Ἀργεῖοι, συντείνει καὶ συντρέχει ἐν κοινῇ γνώμῃ καὶ βουλῇ, λεγούσῃ σφάξαι σε πρὸς τὸν τύμβον τοῦ Πηλείδου Ἀχιλλέως. Fl. 59. ὁ Πύρρος. Fl. 21.

192. οἴμοι, μᾶτερ: γρ. παῖ. M. οἴμοι, ὦ μῆτερ, πῶς φθέγγῃ ἀμέγαρτα καὶ ἀφθόνητα τῶν κακῶν — ἀφθόνητα διὰ τὸ εἶναι λίαν κακά· τοῖς γὰρ τοιούτοις οὐδεὶς φθονεῖ.—μήνυσόν μοι, ἀντὶ τοῦ εἰπὲ, ὦ μῆτερ. I.

φθέγγῃ: λέγεις. Fl. 17. 56. 59. φθέγγομαι τὸ λέγω, ἀποφθέγγομαι δὲ τὸ βραχέα καὶ συνεσταλμένα λέγω· ὅθεν καὶ ἀποφθέγματα οἱ βραχεῖς λόγοι, ὡς τὸ "οἱ πλείους κακοί." B. rec.

193. ἀμέγαρτα: ἀφθόνητα, οἷς οὐκ ἄν τις φθονήσειε. λέγονται καὶ ἀμέγαρτα τὰ μεγάλα, ἀπὸ τοῦ μὴ ἀγείρεσθαι. Cant. ἀνέλ-

3. οὕτω συντακτέον om. Gu. In I. est Ἄλλως. κοινὴ γνώμη τῶν ἀ. συντείνει πρὸς τύμβον γνώμα ἢ σπεύδει σφάξαι σε etc.
ib. ἡ κοινὴ] ἡ om. B.
4. σφάξαι—Πηλειδου] τῇ γέννᾳ τοῦ πηλείδα σφάξαι σε πρὸς τύμβον Gu.
ib. ἤγουν τοῦ Ἀχιλλέως om. B.
5. τὸ γένναι ἢ κλητικὴν—δοτικὴν] ἢ τὸ γέννα κλητικὴ—δοτικὴ Gu.
6. κρεῖττον δέ ἐστι τὸ πρῶτον om. Gu.

πιστά μοι κακὰ. ἢ ἄφθονα κακά μοι ἐπαγγέλλεις· τὰ γὰρ κακὰ οὐδεὶς φθονεῖ. Fl. 33. μέγιστα, ὄφελ καὶ μέγαρα, τὰ ἔνοικα οἰκήματα. Gr. ἀμέγαρτα κακῶν: ἀφθόνητα. ἐκ τοῦ ἃ καὶ μεγαίρω, ὃν οὐκ ἄν τις τοῖς ἔχουσι φθονῇ διὰ τὸ εἶναι κακά. B. Gu. τοῖς γὰρ κακοῖς οὐδεὶς ἐπίφθονος. Gu.

μάνυσον: δήλωσον. Fl 6. 17. 21. 56. 59. 76. φανέρωσον. Fl. 17. λέγε μοι, λέγε μοι. Fl. 33. τὸ μηνύειν παρὰ τοῖς ποιηταῖς ἀντὶ τοῦ ἁπλῶς λέγειν ἐστὶ, παρὰ δὲ τοῖς κοινοῖς τὸ πέμπειν μεθ' ἑτέρου τινὸς πρός τινας λόγους περί τινος. καὶ μηνυτὴς ὁ τούτοις διακομίζων, ἀλλὰ καὶ ὁ πέμπων. εἰπέ. Gr. ἄγγειλεν ταῦτα τὰ κακά. Gu.

195. αὐδᾷ. παῖ: λέγω, παῖ, φήμας δυσφήμους, ἤτοι πράγματα κακὴν φήμην καὶ ἀγγελίαν ἔχοντα. ἀγγέλλουσιν ἐμοὶ κυρωθῆναι τῇ ψήφῳ τῶν Ἀργείων ἕνεκα τῆς σῆς ζωῆς. I. αὐδᾷ: λέγω. Fl. 6. 17. 56. λέξω. Fl. 21. αὐδᾷ κυρίως ἐπὶ μόνων ἀνθρώπων λέγεται. σύγκειται δὲ ἐκ τοῦ αὖω τὸ φωνῶ, καὶ τοῦ δέω τὸ δεσμεύω, ἡ συνδεδεμένη καὶ ἔναρθρος φωνή. Gu. δυσφήμους φάμας: οὐ καλὰς φήμας ἐχούσας. Fl. 17. ἤγγειν πράγματα οὐ καλὴν φήμην ἔχοντα καὶ λόγους. Fl. 6. 9. 21. 56. 59. 76.

190. ἀγγέλλουσ᾽: τὸ ἐξῆς, ἀγγελλουσί μοι δόξαι ταῖς τῶν Ἀργείων ψήφοις δυσφήμους φήμας περὶ τῆς σῆς ψυχῆς. ἀντὶ τοῦ ἀπαγγέλλουσί μοι αἱ ψῆφοι περὶ τῆς σῆς ψυχῆς δόξαν τῇ ψήφῳ τῶν Ἑλλήνων. δηλονότι ἀποθανεῖν. M. μηνύουσιν. Fl. 17. 56. δόξαι καὶ βουλαὶ ἐκ τῶν Ἑλλήνων ἀγγελλουσί μοι. Fl. 33. δόξαι ψήφῳ: ἤγγειν ἐκκλησιάσαντες οἱ Ἀχαιοὶ κακὰ περὶ σοῦ ἐψηφισαντο. Gu. I. δόξαι: κυρωθῆναι. Gr.

197. ψήφῳ: τῇ κρίσει, τῇ ἀποφάσει. Fl. 6. 9. 17. 21. 56. 59. 76. ψήφῳ καὶ κρίσει περὶ τῆς σῆς ψυχῆς, ἤγγειν περὶ τοῦ σοῦ θανάτου. Fl. 33. τὸ μοι σχετικόν. Gr. περισσόν. Gu. ψυχᾶς: τῆς ζωῆς. Gr. οὐ περιπυήσασθαι, ἀλλ' ἀφαιρεῖσαι· ἤμελξε γὰρ εἰπεῖν μᾶλλον περὶ τοῦ σοῦ θανάτου. Gr. περί μοι ψυχᾶς: περὶ τοῦ σοῦ θανάτου. λείπει κρίνασαι. M.

198 δ᾽ δεινὰ παθοῦσ᾽: ὦ παθοῦσα δεινὰ καὶ χαλεπὰ, ὦ παντλή-

3. ἐκ—μεγαίρω om. Gu. 27. τῇ κρίσει] κρίσει gl. Gu., τῇ βουλῇ gl. Gr.

μων καὶ παναθλία, ὦ μῆτερ, ἕνεκα τῆς δυστήνου καὶ ἀθλίας βιοτῆς καὶ ζωῆς. I.

ὦ δεινὰ παθοῦσ': βαβαὶ, φοβερὰ ὑπομένουσα, ὦ παναθλία, ἐλεινή. Fl. 33. ὦ δυστυχεστάτη. Fl. 10. πολυπαθεστάτη. Gr. ὑπομείνασα. γραμματικὸν τὸ ἦθος καὶ ῥητορικόν. Gu. δεινὸν τὸ χαλεπὸν ἀπὸ τοῦ δέος ὁ φόβος· δεινὸν τὸ ἐπιτήδειον ἀπὸ τοῦ δέον τὸ πρέπον. B. rec. παντλάμων: τλήμων παρ' Ὁμήρῳ ὁ καρτερικός· "τλήμονα θυμὸν ἔχοντες." παρὰ δὲ τοῖς τραγικοῖς τλήμων ὁ δυστυχής. B. rec.

199. δυστάνου μᾶτερ βιοτᾶς: πάλιν Ἀττικῶς λείπει τὸ ἕνεκα, ὦ δυστυχὴς μῆτερ ἕνεκα τῆς ἀθλίας ζωῆς σου. A.M.

200.—201. οἵαν, οἵαν: θαυμαστικόν. λώβην καὶ ὕβριν ἐχθίστην καὶ λίαν μεμισημένην, ἀρρήτην καὶ ἄρρητον, ἤτοι πολλὴν καὶ μεγάλην, ἐπήγαγέ σοι δαίμων τις. οὐδαμῶς ἔστι σοι ἡ παῖς ἥδε, ἤγουν ἐγώ. οὐκέτι δὴ συνδουλεύσω ἡ ἀθλία τῷ γήρᾳ, τῷ σῷ δηλονότι. I. οἵαν, οἵαν: τίς δὲ ἐκ τῶν θεῶν πάλιν σοι βλάβην μεμισημένην καὶ ἐχθροτάτην καὶ ἀνέκφραστον διήγειρεν; Fl. 33. λώβαν: οἱ γράφοντες "λώβαν ἐχθίσταν" ἀγνοοῦσι τὰ μέτρα. σὺ δὲ μαθὼν μὴ γράφε τοῦτο· δίμετρον γὰρ ὀφείλει εἶναι τὸ κῶλον, ὡς καὶ τὰ λοιπά· διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. I. λώβαν: βλάβην. Gr. τὴν ἑαυτῆς στέρησιν λώβην καλεῖ ἀπὸ μεταφορᾶς τῆς νόσου. Gr. ἐχθίσταν: μισητήν. Gr.

201. ἀρρήταν: μὴ δυναμένην ῥηθῆναι. Fl. 17. μεγάλην. Gr. ἣν οὐ δύναταί τις εἰπεῖν διὰ τὸ μέγεθος, μὴ δυναμένην ῥηθῆναι. Gu. ἄρρητον τὸ μὴ δυνατὸν ῥηθῆναι καὶ τὸ μὴ ἄξιον ῥηθῆναι, ἢ ὡς ἀποτροπαῖον, ἢ ὡς αἰσχρὸν, ἢ ὡς μυστηριῶδες. ἄρρητον ὑπερβολικῶς καὶ τὸ μέγα ἢ τὸ πολύ. B. rec.

202. ὦρσε: ἐπήνεγκε. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐνέβαλεν. Fl. 21. διήγειρε. Gr. ἐνέβαλε, παρώρμησε. ὄρω τὸ διεγείρω· ὁ μέλλων κοινῶς ὀρῶ, Αἰολικῶς δὲ ὄρσω, ὡς τὸ σπείρω, σπερῶ, σπέρσω, καὶ κείρω, κερῶ, κέρσω. ὄρσω γοῦν ὁ μέλλων, ὁ ἀόριστος ὦρσα, ὦρσας, ὦρσε. Gu. δαίμων: κακοποιὸς θεός. Fl. 59.

203. οὐκέτι: εἰς τὸ ἑξῆς. Fl. 59. οὐχ ὑπάρχει σοι παῖς αὕτη οὐδαμῶς. Fl. 33. ἅδ': ἀντὶ τοῦ ὧδε. M.

γήρᾳ: ἐγὼ ἡ δειλαία τῷ δειλαίῳ σου γήρᾳ οὐκέτι συνδου-

7. τλήμονα—] Il. 5, 670. 16. λώβαν—ἐμοῦ] Scholion Triclinii.

λεύσω. M. τῷ ταλαιπώρῳ γήρει, καὶ οὐκέτι συνδουλεύσω σοι ἐγὼ ἡ ἀθλία. Fl. 33.

συνδουλεύσω: ἤγουν συγκακοπαθήσω, ἤγουν οὐκέτι σοι ἔσομαι γηροτρόφος. Bar. 74. Gu. οὐκέτι σοι συνδουλεύσω, οὐ μήν σοι ἀποδώσω τὴν κεχρεωστημένην τοῖς πατράσι περὶ τῶν παίδων τιμήν. Gu.

204. σκύμνον γάρ: σκύμνος τὸ τῶν λεόντων γέννημα, μόσχος τὸ τῶν βοῶν, νεβρὸς τὸ τῶν ἐλάφων, ἀρνειὸς τὸ τῶν προβάτων. λέγει δὲ οὕτως, ὡς σκύμνον γὰρ καὶ ὡς οὐριθρέπτην μόσχον ὄψει με, ὦ δειλαία, τὴν δειλαίαν αἰφνιδίως ἁναρπασθεῖσαν τῆς σῆς χειρὸς, καὶ ὑπὸ τὸν σκότον τῆς γῆς τοῦ Ἅιδου πεμπομένην ἀπολαιμότομον, ἤγουν ἀποτετμημένην τὸν λαιμόν. B. Gu. I. σκύμνον: ὡς σκύμνον. τὸ ὡς ἀπὸ κοινοῦ. Fl. 6. 9. 21. 56. 59. 76. σκύμνον λέγει διὰ τὸ βασιλικὸν, διότι καὶ ὁ λέων τῶν ἄλλων ζώων βασιλεύει. Fl. 59. ὥσπερ τινὰ σκύμνον ἢ μόσχον ἐν ὄρει τρεφόμενον ὄψει με, ὦ δειλαία, τὴν ταλαίπωρον ἁρπαζομένην, καὶ λαιμοτόμον ὄψει· οἷον, ὄψει με τῷ Ἅιδῃ πεμπομένην οὐ κοινῷ θανάτῳ, ἀλλὰ τῷ ξίφει θανατουμένην, καὶ ἀποπεμπομένην εἰς τὸν τῆς γῆς σκότον, κἀκεῖ μετὰ νεκρῶν ἀταλαιπωρήτως κατοικήσομαι. Fl. 33.

οὐριθρέπταν: οὐριθρέπταν μόσχον ἀντὶ τοῦ νέαν· τὸ γὰρ μόσχον οἱ παλαιοὶ ἀντὶ τοῦ νέου παραλαμβάνουσιν. M. ὄψει γάρ με τὴν μόσχον, ὅ ἐστι τὴν νέαν, ἀπὸ τῆς σῆς χειρὸς ἁρπαζομένην ὥσπερ σκύμνον ἐν ὄρει τεθραμμένον. ἀπὸ κοινοῦ δὲ τὸ εἰσόψει με λαιμότομον πεμπομένην τῷ Ἅιδῃ εἰς τὸν ὑπὸ γῆς σκότον, οἷον εἰσόψει με οὐ κοινῷ θανάτῳ ἀποθνήσκουσαν, ἀλλὰ τῷ διὰ σφαγῆς. A.M.

205. τὸ μόσχον ἢ πρὸς τὸ δειλαίαν σύναπτε, ἢ πρὸς τὸ σκύμνον, ἵν' ᾖ λευκώδη μόσχον· εἶπε δὲ τὸ μόσχον διὰ τὸ νέον, σκύμνον δὲ διὰ

7. τῶν λεόντων B. τοῦ λέοντος I. Verba σκύμνος—οὕτως, ὡς om. Gu.
8. ἀρνειὸς,—προβάτων om. B.
ib. λέγει δὲ οὕτως add. B.
9. ὡς σκύμνον] ὡς om. B.
ib. οὐριθρέπτην om. B.
ib. ὦ δειλαία post τὴν δειλαίαν B.
10. ἁναρπασθεῖσαν] ἁρπασθεῖσαν Gu.
11. ἀπολαιμότομον (sic etiam in in textu) ἤγουν add. B.
25. ἀποθνήσκουσαν A. ἀποθνησκομέναν M. θανατονομένην est in scholio codicis Flor. 33.
26. τὸ μόσχον] τὸ om. I.
27. λ. μόσχον· εἶπε δὲ τὸ μόσχον διὰ Gu. λ. σκύμνον διὰ I.
ib. σκύμνον δὲ] δὲ om. Gu.

τὸ βασιλικόν. ἔστι δὲ τὸ Ἅιδα καὶ τὸ σκότῳ τῆς γῆς ταυτόν. Gu. I.
μόσχον: νέαν. Fl. 10. 59. οἱ παλαιοὶ ἐπὶ παντὸς νέου παρελάμβανον. Fl. 6. μοσχάριον. Fl. 11. ἁπαλόν. Gr. μόσχος λέγεται παρ' ἡμῖν τὸ μοσχάριον, παρὰ δὲ τοῖς παλαιοῖς τὸ νεογνὸν γέννημα, ὡς ἐνταῦθα. Gr. δειλαία δειλαίαν: ἀθλία τὴν ἀθλίαν. Fl. 17.

206. εἰσόψει: θεάσει. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀναρπαστάν: ἡ ἀνὰ τὴν ἄνω σχέσιν δηλοῖ, ἤγουν ἐλαφρῶς, εὐκόλως ἁρπασθεῖσαν. Gr.

207. ἀπολαιμότομον: τὸ λαιμότομον ἤγουν τὸν λαιμὸν κεκομμένην, ὅ ἐστι πεφονευμένην. Fl. 59. ἐν τῷ λαιμῷ τμηθεῖσαν. Fl. 10. λαιμοτόμος ὁ κόπτων τὸν λαιμόν, λαιμότμος δὲ ὁ τμηθεὶς τὸν λαιμόν. Gu. ἀναστρεφή. Gr.

208. ὑποπεμπομέναν: πορευομένην. Fl. 59. ὑπερβατόν. Gu. σκότου, τὸν σκοτεινὸν τόπον. Fl. 59. ἔνθα: εἰς ὃν τάφον, ὅπου. Fl. 21. ὅπου. Fl. 59. ἔνθα ἐπίρρημα τοπικὸν καὶ χρονικόν· τοπικὸν μὲν ὡς ἐνταῦθα, χρονικὸν δὲ ὡς παρ' Ὁμήρῳ "ἔνθ' αἶ Τυδείδῃ Διομήδει Παλλὰς Ἀθήνη" καὶ τὰ ἑξῆς, ἀντὶ τοῦ τότε δή. B. rec.

211. καὶ σὲ μέν: ἀντὶ τοῦ, περὶ σοῦ ἢ ἐπὶ σοί, ὥσπερ καὶ θαῦμά σου φασὶν ἀντὶ τοῦ ἐπὶ σοί. τινὲς δέ φασι λείπειν τὸ χάριν, ἢ ἀπὸ κοινοῦ τὸν βίον, ἢ κλαίω σου τὸν βίον. M. καὶ σὲ μέν, ὦ μῆτερ ἀθλία, κλαίω ἐν θρήνοις παγκλαύστοις, τὸν ἐμὸν δὲ βίον καὶ τὴν ζωὴν, ὕβρει καὶ βλάβῃ οἶσαν, οὐ θρηνῶ, ἀλλ' ἡ συντυχία, ἤγουν ἡ συνάντησις τοῦ θανεῖν, ἐκύρησε καὶ ὑπῆρξεν ἐμοὶ κρείσσων ταύτης τῆς ζωῆς. I.

καὶ σέ: σὲ δὲ, μῆτερ ταλαίπωρε', θρηνῶ πανολεθρίοις κλαυθμοῖς. Fl. 33. θέσις ῥητορικὴ καὶ κατάφασις φιλόσοφος. Gu.

212. κλαίω: κλαίω τὸν δεῖνα καὶ κλαίω ἀμετάβατον. Gr. πανδύρτοις: τοῖς νικῶσι πάντα τὸν ὀδυρμόν. Fl. 6. πλείστοις. Gr.

1. τὸ σκότῳ—ταυτόν Gu. τῷ σκότῳ—τὸ αὐτό I.

12. ἀναστροφή] Hoc scriptum in textu super ἀπολαιμότομον. Legit igitur ἄπο λαιμότομον. In fine versus post Ἅιδα adscriptum in Gr. οὐ πατρωνυμικὸν, ἀλλ' ὡς πατρωνυμικόν.

16. Ὁμήρῳ] Il. 5, 1.

26. θέσις—φιλόσοφος] Idem scholion in Gu. ad v. 213. ubi ἄρνησις pro θέσις.

27. Scholia versuum 212—256. nulla sunt in A., amisso folio uno.

παγκλαύστους. Gu. θρῆνος καὶ κλαυθμὸς τὸ αὐτό· πένθος ἢ διὰ λύπην μελανειμονία. καὶ ἡ κουρὰ. καὶ ἡ εἴκελ ἀπόκλεισις καὶ ὅσα τοιαῦτα. Gr.

213. τὸν ἐμὸν δὲ βίον: τὴν ἐμὴν ζωὴν ἐπὶ βλάβην καὶ λύμην οὖσάν μοι οὐ κλαίω. M. λύμαν: λοιμικήν. M. τὴν ἐμὴν δὲ ζωήν, ἀπολλυμένην δηλονότι. τὴν βλάβην καὶ τὴν φθορὰν τὴν ἐμὴν, οὐ μόνον οὐ μεταβαλλομένη κλαίω. ἀλλὰ καὶ τὸ ἀποθανεῖν παρ' ἐμοὶ συνάντημά ἐστι κρεῖττον τῆς ζωῆς δηλονότι. Gu. I. τὸν ἐμὸν δὲ βίον: τὸν δὲ ἐμὸν βίον, ἤγουν τὴν στέρησιν τῆς ἐμῆς ζωῆς, καὶ τὴν βλάβην καὶ τὴν λύμην τὴν ἐμὴν, ἤγουν τὴν στέρησιν τοῦ θανάτου, οὐ κλαίω. Fl. 59. τὸν δὲ ἐμὸν βίον τὸν βλαβερὸν καὶ ἐπικίνδυνον οὐ θρηνῶ. Fl. 33. ἀπολλύμενον δηλονότι. Gr. τὴν ἐμὴν ζωήν. Gu. λώβαν: τὸν ὕστα ὕβριν καὶ βλάβην. Fl. 17. 21. 36. τὴν ἐμὴν βλάβην. Fl. 59. λώβη ἡ ὕβρις, λύμη ἡ βλάβη. Fl. 33. βλάβην. Gr. ὕστα. Gu. βίος ἡ τοιάδε ζωὴ καὶ ὁ περιεκτικὸς τοιῶνδε ζώων, οἷον "πεύκη τις βιότειο τάμει τρίβον;" καὶ ἡ ἀντικειμένη τῷ θανάτῳ ζωὴ, ὡς Εὐριπίδης ἀλλαχοῦ φησιν "ἥδ' ἡμέρα θάνατον ἢ βίον φέρει," ἤγουν ζωήν· βιὸς δὲ ὀξυτόνως τὸ τόξον. B. rec.

214. μετακλαίομαι: οὐ κλαίομαι, ἀντὶ τοῦ οὐκ ὀδύρομαι. M. Fl. 21. ἤγουν οὐ κλαίω μετὰ τὸ κλαίειν σέ. Gr. τὸ κλαίω, τὸ σφάττω, τὸ ὑβρίζω καὶ ἕτερα τοιαῦτα ῥήματα πάθος ἔχοντα ἐν τοῖς ἐνεργητικοῖς ἔμφυτον οὐκ ἔχουσι τὰ παθητικὰ ἀντ' ἐνεργητικῶν, οἷον κλαίομαι τὸν δεῖνα ἢ ὑβρίζομαι ἢ σφάττομαι τὸν δεῖνα. ἀλλὰ κλαίομαι ὑπὸ τοῦ δεῖνος ἢ σφάττομαι ἢ ὑβρίζομαι. παρὰ δὲ τῇ ποιητικῇ αὐτονομίᾳ λαμβάνονται καὶ τὰ τοιαῦτα παθητικὰ ἀντ' ἐνεργητικῶν. ὡς ἐνταῦθα, μετὰ προθέσεων, καὶ τὸ ἀνακλαίομαι, μετακλαίομαι, ἐπικλαίομαι καὶ ἀποκλαίομαι. Gr. μετα—: περισσή. Gu.

ἀλλὰ θανεῖν μοι: ἀλλ' ἡ τοῦ ἀποθανεῖν μοι δυστυχία βελτίων ἐφάνη τοῦ ζῆν ἀτίμως. τοῦτο δὲ λέγεται παρ' ὅσον μετὰ τὴν πόρθησιν τῆς Τροίας καὶ τὸν τῶν ἀδελφῶν θάνατον καὶ τοῦ πατρὸς καὶ

17. ἀλλαχοῦ] Soph. Aj. 802. καθ' ἡμέραν τὴν νῦν, ὅτ' αὐτῷ θάνατον ἢ βίον φέρει.

ἄλλων μυρίων αὐτὴ γενομένη αἰχμάλωτος καὶ δουλεύειν ἔμελλε καὶ τὰ αἴσχιστα ὑπομένειν, ὧν φησι προτιμότερον εἶναι τὸν θάνατον. M. ἀλλὰ τὸ τοῦ νῦν θανάτου σύμβαμα προτιμότερον ἐμοὶ συνέβη τῆς ζωῆς. καὶ εἰ μὲν τὸ ἐκύρησε διὰ τοῦ υ ψιλοῦ καὶ ἡ γράψεις, οὕτως ἐρεῖς· εἰ δὲ διὰ τοῦ η καὶ υ ψιλοῦ, οὕτως· ἀλλὰ ἡ ξυντυχία καὶ ἡ νῦν ξύμβασις ἐκήρυξε, καὶ δίκην κήρυκος προσέταξεν ἐμοὶ κρεῖσσον τὸ θανεῖν. δέον δὲ ἐκήρυξεν εἰπεῖν, ἐκήρισσεν εἶπε κατὰ ἀντιχρονισμόν. οὕτω δὲ λέγων ἢ ω μέγα τὸ κρεῖσσον γράψεις πρὸς τὸ πρῶτον, ἢ ο μικρὸν πρὸς τὸ δεύτερον. Gu. I. συντυχία: δυστυχία. Fl. 10. ἤγουν τὸ σὺν αὐτῇ μοι κρεῖσσον ὑπῆρξ' ἐμοὶ ὥστε θανεῖν. Fl. 17. ἤγουν ἡ συμφορὰ τοῦ θανάτου κρείσσων ὑπῆρξεν ἐμοὶ τῆς ζωῆς δηλονότι. Fl. 6. 9. 21. 56. 59. 76. ἀλλὰ κρείσσων ἐκύρησεν, ἤγουν κυρεῖ καὶ ὑπάρχει ἐμοὶ ἡ ξυντυχία. ἡ ἐπιτυχία, ἡ συνέλευσις τοῦ θανάτου τῆς ζωῆς δηλονότι. ἐπιτυγχάνει δέ τις τοῦ θανάτου, ἤγουν ἀποθνήσκει. τοῦ θανεῖν δὲ ἤγουν τοῦ θανάτου. Fl. 59. ἀλλὰ ἡ τοῦ θανάτου δυστυχία κρείσσων μοι φαίνεται τοῦ ζῆν ἀτίμως. Fl. 33. ἡ συνάντησις. Gr. ἐπέλευσις. Gu. ἐκύρησεν: ἤγουν ἐγένετό μοι κρείσσων ὁ θάνατος τῆς ἀτίμου ζωῆς. Fl. 33. ἐφάνη. Fl. 10. ἐγένετο. κυρέω κυρῶ ποιητικῶς τὸ ὑπάρχω, κυρῶ κυρῶ κοινῶς τὸ βεβαιῶ, ἐπὶ διαθήκαις ἢ ψήφου ἀποφάσει νόμου καὶ συμβολαίων τιθέμενον. Gr. συνέπεσεν, ἐφάνη, ἐψηφίσθη. Gu.

216. μήν: καὶ μὴν, ὦ Ἑκάβη, ἔρχεται ὁ Ὀδυσσεὺς σὺν σπουδῇ ποδὸς, σημανῶν καὶ δηλώσων, ἤτοι λέξειν μέλλων πρὸς σὲ ἔπος τι νέον. I. καὶ μήν: καὶ δὴ ἔρχεται ταχύδρομος, ὦ Ἑκαβη. Fl. 33. τὸ καὶ μήν τίθεται ἐπὶ μεταπτώσει προσώπων καὶ ὑποθέσεων, ἢ ἐπὶ ἐναντιώσει, οἷον ὑβρίζεις με· καὶ μὴν ἐγὼ ἐπαινῶ σε. Gr. τὸ μήν βεβαιωτικὸν, ἔστι δὲ ὃ καὶ ἐναντιωματικόν. Gu. σπουδῇ ποδός: μετὰ σπουδῆς τοῦ ποδός. M. ἀντὶ τοῦ ἐν σπουδῇ. Gr.

217. νέον: ἤτοι καινὸν ἢ δεινόν. Μένανδρος "νεώτερόν τί σοι συμβέβηκεν." M. χαλεπόν. Fl. 6. δεινόν. Fl. 10. λυπηρόν. Gr. καινὸν, κακὸν, δεινόν. Gu. σημανῶν ἔπος: χρέος, πρᾶγμα. M. λέξων λόγον. Fl. 33. δηλώσων λόγιον. Gr. ἔπος παρὰ τοῖς ποιηταῖς τὸ λόγιον καὶ ὁ ἔμμετρος στίχος, παρὰ δὲ τοῖς ῥήτορσιν οὐδ'

1. μυρίων] ὧν δὲ (sic) addit M. 6. ἐκήρυξε—δέον δὲ om. I.
7. ἐκήρισσεν] ἐκήριξεν I.

ὅλως ἐστὶν ἡ λέξις ἐν χρήσει πλὴν ὅσον οὕτως εἰπεῖν καὶ ὡς ἔπος εἰπεῖν ἀντὶ τοῦ ἐν ὀλίγῳ εἰπεῖν ἤγουν συντόμως. τοῦτο γὰρ, ὡς ἂν εἴποι τις, εἰς παροιμίαν ἔπεσεν. B. rec.

218. γύναι: νομίζω σε, ὦ γύναι, γινώσκειν τὴν ψῆφον καὶ τὴν ἀπόφασιν τοῦ στρατοῦ, τὴν κυρωθεῖσαν καὶ τελειωθεῖσαν. ἀλλ' ὅμως λέξω. I.

δοκῶ: ὑπολαμβάνω, νομίζω. Fl. 6. Gu. γνώμην: τὴν βουλήν. Fl. 9. 17. 21. Gu. τὴν δόξαν. Fl. 21. 56. 59. 76. Gu. ὦ γύναι, ὑπολαμβάνω γινώσκειν σε τὴν γνώμην καὶ βουλὴν τοῦ στρατοῦ. Fl. 33.

219. ψῆφον: ἤγουν τὴν κρίσιν. Fl. 6. 9. 10. 17. 21. 56. 59. 76. καὶ τὴν προκριθεῖσαν ψῆφον, ἀλλ' ὅμως λέξω. Fl. 33. τὴν κραθεῖσαν: κιρνῶ ἐνεστὼς, κεράσω μέλλω, κεκέρακα παρακείμενος, ἐκράθην δεύτερος ἀόριστος, κραθεὶς μετοχή. λέγεται δὲ κρᾶσις ἐπὶ τῶν ὑγρῶν, οἷον οἴνου καὶ ὕδατος καὶ τῶν τοιούτων, μίξις δὲ ἐπὶ ξηρῶν, σίτου, κριθῆς καὶ τῶν ὁμοίων. I. κραθεῖσαν: τὴν κυρωθεῖσαν. M. Gr. τελειωθεῖσαν. Gu. ἑνωθεῖσαν, ἀπὸ μεταφορᾶς τῶν συγκιρνωμένων καὶ εἰς ἓν ἡνωμένων ὑγρῶν, οἴνου καὶ ὕδατος, ὄξους καὶ μέλιτος. καὶ ἡ βουλὴ ἐξ ἐναντιουμένων καὶ ἀμφοτερογνωμόνων ἑνοῦται καὶ συνδοξάζεται. Gu.

220.—221. ἔδοξ' Ἀχαιοῖς: ἀρεστὸν ἐφάνη τοῖς Ἕλλησι σφάξαι τὴν σὴν παῖδα πρὸς τὸν ὑψηλὸν τάφον τοῦ Ἀχιλλέως, ἐμὲ δὲ πομπὸν καὶ ἀγωγὸν τῆς κόρης ἔταξαν ὑπάρχειν· ἡγεμὼν δὲ καὶ σφαγεὺς τοῦ σφαγίου τοῦδε ὁ Νεοπτόλεμος, ὁ παῖς τοῦ Ἀχιλλέως. I.

ἔδοξ': ἐφάνη. Fl. 17. 33. ἤρεσε. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐκρίθη δίκαιον, ἐκυρώθη, ἤρεσε. Gu.

221. ὀρθόν: ὑψηλόν. Gr. χῶμα: ἀντὶ τοῦ μνῆμα. M. μνῆμα, τὸν τάφον. Gu. ἤγουν πρὸς τὸν ὑψηλὸν τάφον, ἀντὶ τοῦ πρὸς τὸ μνῆμα. Fl. 21. θυσιάσαι πρὸς τὸ μέγα ἢ φανερὸν μνῆμα τοῦ Ἀχιλλέως. Fl. 33.

222. ἡμᾶς δέ: ἐμὲ, Ἀττικόν. Gr. πομπούς: ὁδηγούς. Fl. 6. 9. 17. 21. 56. 59. 76. προπομπούς. Gr. ἀγωγοὺς, ὁδηγούς. Gu. κομιστῆρας: ἀρχηγούς. M. ἐκ παραλλήλου. Fl. 17. Gu. ἐπιμελητάς. Fl. 56. ἵνα κομίσομεν. Fl. 21. κόρης: τῆς Πολυ-

24. τοῦδε King. τοῦδε ἔγωγε I. 31. προπομπούς et ὁδηγούς etiam M.

ξένης, ἢ τῆς παρθένου ἢ τῆς θυγατρός σου. Fl. 59. ἡμᾶς δὲ μανθαταφόρους καὶ ἀποκομιστὰς ἔταξαν εἶναι. Fl. 33. κόρη ἡ ἄγαμος καὶ ἡ γαμηθεῖσα, εἰ τύχῃ νέα εἶναι, καὶ τοῦ ὀφθαλμοῦ, τὰ μὲν πρῶτα ἀπὸ τοῦ κορῶ τὸ ἐπιμελοῦμαι, τὸ δὲ δεύτερον ἀπὸ τοῦ κορὶν τὸ μέλαν. κόρρη ἡ παρειὰ διὰ δύο ρρ. Gr. ὅπερ ἐπὶ γυναικὸς ἡ κόρη, τοῦτο ἐπὶ ἀνδρὸς ὁ κοῦρος. ἔστι δὲ παιγνιτικόν. B. κόρη ἡ νέα καὶ ἡ θυγάτηρ· κόρρη ἡ παρειὰ διὰ δύο ρ̄. B. rec. τάσσουσιν: καθιστῶσιν. Gr. ἔταξαν. ῥητορικῶς ἐνεστὼς ἀντὶ παρῳχημένου. Gu.

223. ἐπιστάτης: οἰκονόμος. Fl. 17. ἡγεμὼν, πράκτης, ὁ τελειωτὴς· ἤγουν ὁ Νεοπτόλεμος. Fl. 59. δεσπότης. M. Fl. 21. ἐνεργός. Gr. οἰκονόμος, δεσπότης, ἡγεμών. Gu.

224. ἱερεύς: σφαγεύς. Gr. θύτης. κυρίως ἱερεὺς ὁ σφαγεὺς καὶ ἱέρευσις ἡ σφαγή. Gu. εἰκότως τὸν Νεοπτόλεμον θύτην τῆς Πολυξένης ἔταξαν, ὑπερπονοῦντα τοῦ πατρὸς καὶ λύπην ὑπὲρ τούτου ἔχοντα μείζονα. Gu. ἐπέστη: ἐτάχθη. Fl. 17. ἐτάγη, ἐχειροτονήθη. M. Fl. 21. Gu. παῖς Ἀχιλλέως: ὁ υἱὸς, ὁ Νεοπτόλεμος. Fl. 17. ἤγουν ὁ Νεοπτόλεμος ὁ καὶ Πύρρος καλούμενος. B. rec. Fl. 6. 9. 21. 56. 59. 76. καὶ ἱερεὺς, ἤγουν θυσιαστὴς, ἦλθεν ὁ Νεοπτόλεμος, ὁ τοῦ Ἀχιλλέως παῖς. Fl. 33.

225.—228. οἶσθ' οὖν: γίνωσκε οὖν ὃ ποιήσεις· ὅρα ἵνα μὴ ἀφαιρεθῇς τὴν κόρην βίᾳ, μήτε ἔξω τοῦ πρέποντος εἰς ἀγῶνα καὶ ἔριν τῶν ἐμῶν χειρῶν ἔλθῃς. γίνωσκε δὲ τὴν δύναμιν τὴν ἐμὴν, ἢ τὴν τῶν ἀρχόντων ἰσχὺν καὶ τὴν ἐπέλευσιν τῶν σῶν κακῶν. συνετόν ἐστι καὶ ἐν τῇ δυστυχίᾳ φρονεῖν ἃ πρέπει. I.

εις
δρᾶσον: τὰ καλὰ τῶν ἀντιγράφων δρᾶσον ἔχει. M. οἶδας οὖν τί δρᾶσαι ὀφείλεις. M. οἶσθ' οὖν ὃ δρᾶσον: οἱ Ἀττικοὶ χρῶνται τοῖς προστακτικοῖς ἀντὶ ὑποτακτικῶν ἀπαγορευτικῶν, καὶ αὐτοῖς τοῖς προστακτικοῖς ἀντὶ ὁριστικῶν. τοῦ μὲν οὖν πρώτου τὸ Ἀριστοφάνους ἐν Θεσμοφοριαζούσαις παράδειγμα "μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἡμέρας." τοῦ δευτέρου δὲ Μένανδρος "οἶδ' ὅ τι ποίησον" ἀντὶ

21. ποιήσεις Matth. pro ποιήσῃς.
26. δρᾶσον, superscripto εις, in textu habet M. In Gr. est τὰ ἀκριβέστερα τῶν ἀντιγράφων οἶσθ' οὖν ὃ δρᾶσον ἔχεισιν.
27. οἱ Ἀττικοὶ —] Scholion ex Greg. Cor. p. 14. compositum.
30. Θεσμοφ.] 870. ubi ἐπιούσης ἐλπίδος.

τοῦ ὅ τι ποιήσεις. τὸν αὐτὸν τρόπον καὶ Εὐριπίδης "οἶσθ' οἷν ὃ δρᾶσον" ἀντὶ τοῦ δράσεις ἐξήνεγκεν. I.

οἶσθ': γινώσκεις. Fl. 17. δρᾶσον: ποιήσεις. Fl. 17. πράξεις. Fl. 56. ἐν οἷς μέλλεις ποιήσειν, ἢ ὅπερ βούλῃ ποίει. Fl. 33. γινώσκεις τί δρᾶσαι ὀφείλεις. Gr. ἀποσπασθῇς: μὴ ἀφαιρεθῇς. M. ἀποσπάσῃς: γέγραπται καὶ ἀποσπασθῇς, ἤγουν ἀφαιρεθῇς, τὴν κόρην δηλονότι. Cant. ἀφαιρεθῇς, τῆς παιδός. Gu. τῆς Ἑλλυξένης. Gr. βίᾳ: δυνάμει. Gu. βίᾳ: βία ἐστὶν ἡ παρὰ φύσιν φορά· βία καὶ ἡ ἰσχύς. B. rec.

226. ἄμιλλαν: συνάντησιν. Fl. 56. μάχην. Gr. ἀγῶνα, ἔριν, βίαν. ἀπὸ τοῦ ἅμα καὶ τοῦ εἰλῶ τὸ συστρέφω. Gu. ἐξέλθῃς ἐμοί: ἔξω τοῦ προσήκοντος ἔλθῃς. Fl. 6. 9. 21. 56. 59. 76. ἐξενεχθῇς τοῦ προσήκοντος. Fl. 34. μήποτε ἐμοὶ εἰς τῶν ἐμῶν χειρῶν ἔριν καὶ ἀγῶνα ἔλθῃς. Fl. 33. ἀντιστῇς ἐμοὶ διὰ τῆς χειρὸς, ἔξω τοῦ προσήκοντος ἔλθοις. Gu.

227. ἀλκήν: γίνωσκε τὴν ἐμὴν ἰσχὺν, σαυτῆς δὲ ἀσθένειαν. M. τὴν σὴν δύναμιν δηλονότι. Fl. 21. γίνωσκε τὴν ἐμὴν δύναμιν. Fl. 33. Gr. ἀρχήν. Fl. 10. παρουσίαν κακῶν: διὰ τὴν ἐμὴν ἀρχήν. M. καὶ τὰ παρόντα κακά. Fl. 21. ἐπιδημίαν. Gr. ἐπέλευσιν. Gu.

228. σοφόν: φρόνιμον. Fl. 17. γνῶσις Gr. φρόνιμον ὑπάρχει, συνετόν. Gu. κἀν κακοῖς: ἐν δυστυχήμασιν (συμφοραῖς Gu.). ὡς ἐπὶ τὸ πλεῖστον δυστυχοῦντες ἄνθρωποι ἐξίστανται τοῦ καλῶς φρονεῖν. Gr. ἃ δεῖ φρονεῖν: ἐπίθετον τοῦτό ἐστι τὸ ἐν τοῖς κακοῖς μὴ ἐπαίρεσθαι καὶ παρεξύνεσθαι. M. Gu. μὴ παρεξύνεσθαι. Fl. 10. τὸ δεῖ σημαίνει τὸ ἐλλείπει καὶ τὸ δεσμεῖ καὶ τὸ πρέπει καὶ τὸ χρεία ἐστί. καὶ τὸ μὲν δεῖ ἀντὶ τοῦ πρέπει μετὰ ἀπαρεμφάτου, τὸ δὲ δεῖ ἀντὶ τοῦ λείπεται μετὰ γενικῆς, οἷον πολλοῦ γε καὶ δεῖ. ὁμοίως καὶ τὸ δεῖ ἀντὶ τοῦ χρεία ἐστὶ μετὰ γενικῆς, οἷον "δεῖ δὴ χρημάτων." B. rec.

229.—233. αἲ αἲ παρέστηχ': φεῦ. φεῦ ἐνέστηκε καὶ ἐπῆλθεν, ὡς φαίνεται, ἀγωνία μεγάλη, ἔμπλεως, θρήνων καὶ οὐκ ἀμέτοχος.

4. ποιήσειν Matth. pro ποιήσει.
17. τὴν ἐμὴν ἰσχύν est in Fl. 17. et καὶ σαυτῆς ἀσθένειαν in Fl. 10.
23. μὴ] τὸ μὴ Gu., omissis prioribus ἐπίθετον—κακοῖς.
29. δεῖ δὴ χρημάτων] Verba Demosthenis p. 15, 2.

ἀλλὰ πεπληρωμένη, δακρύων. καὶ γὰρ ἐγὼ οὐκ ἔθανον, ὅπου χρεία ἦν ἀποθανεῖν, ἤγουν εἰς τὴν εὐδαιμονίαν, ἣν εἶχον πρώην, οὐδ' ἐφθειρέ με ἡ μοῖρα, ἀλλὰ σώζει με, ὅπως βλέπω ἕτερα κακὰ μείζονα τῶν κακῶν ὧν εἶδον. I.

παρέστηχ': φαίνεται. Fl. 17. οἰαὶ οἰαί, ἐπέστη μοι μεγάλη ἀγωνία. Fl. 33. ἦλθε, ἐνέστηκεν. Gu. ἀγὼν μέγας: κίνδυνος. Gr. ἀγωνία μεγάλη. Gu.

ἔοικ': τὸ ἔοικε λαμβάνεται ποτὲ μὲν ἀντὶ τοῦ φαίνεται, ποτὲ δὲ ἀντὶ τοῦ ὅμοιός ἐστι. καὶ ὅτε μὲν ἀντὶ τοῦ φαίνεται, συντάσσεται ἀπαρεμφάτῳ, ὡς τὸ "ἔοικεν εἰληφέναι δῶρα παρὰ Φιλίππου." ὅτε δὲ ἀντὶ τοῦ ὅμοιός ἐστι, συντάσσεται δοτικῇ, ὡς τὸ "βασιλῆι γὰρ ἀνδρὶ ἔοικας." ἔστι καὶ ἔοικεν ἀντὶ τοῦ πρέπει ποιητικῶς ἀναπόλυτον, ὡς παρ' Ὁμήρῳ "ἐπεὶ οὐδὲ ἔοικεν." B.

230. πλήρης: πεπληρωμένος. Fl. 17. 21. γεγεμισμένος. Gr. πλήρης στεναγμῶν: θέσις. (κατὰ θέσιν). Gu. οὐδὲ δακρύων: ἄρσις. (κατὰ ἄρσιν). Gu. κενὸς, ἐστερημένος. Fl. 17. καὶ στεναγμάτων γέμουσα καὶ οὐκ ἄμοιρος δακρύων. Fl. 33. διὰ τοῦ στεναγμοῦ καὶ τῶν δακρύων τὸν θρῆνον δηλοῖ. Gu.

231. ἐχρῆν: ἔπρεπεν. Fl. 17. 21. διὰ τί οὐ κἀγὼ ἔθνησκον, ὅτε με ἔπρεπε ἀποθανεῖν, ἤγουν ὅτε ἐπολιορκήθη ἡ Τροία. Fl. 33. ὅπου με ἔδει τεθνάναι οὐκ ἀπέθανον, ὅ ἐστιν ἐν Τροίᾳ. M. θανεῖν: ἐν τῇ Τροίᾳ. Fl. 10. Gr. ὅπου. λέγω δὴ εἰς τὴν πρώτην εὐδαιμονίαν. Gu.

232. οὐδ' ὤλεσε: εἰς τὸ τέλος τῆς ζωῆς ἔφερέ με. Gu. Ζεύς: ἡ μοῖρα. Gu. τρέφει: αὔξει. M. φυλάσσει. Gr. σώζει. Gu. τρέφει ἀντὶ τοῦ ἀνατρέφει καὶ παιδαγωγεῖ καὶ ἀντὶ τοῦ τροφὴν παρέχει καὶ ἀντὶ τοῦ φυλάσσειν, ὡς ἐνταῦθα. Gr. τρέφει εἶπεν ἀντὶ τοῦ διατηρεῖ με. Fl. 33. ὅπως: ἵνα. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀλλὰ τρέφει με ὁ Ζεὺς, ἤγουν ἡ εἱμαρμένη, ὅπως βλέπω. Fl. 33.

233. κακῶν: τῶν προτέρων. Fl. 17. Gu. τάλαιν': ἡ ἀθλία. Fl. 17. καὶ ἄλλα κακὰ μείζονα τῶν προτέρων κακῶν ἡ ταλαίπωρος ἐγώ. Fl. 33.

234—237. εἰ δ' ἔστι: εἰ δ' ἔξεστι τοῖς δούλοις τοὺς ἐλευθέρους ἐρωτᾶν, μὴ λυπῇ μηδὲ δάκνῃ καρδίαν τῶν ἀκουόντων. M. εἰ δ' ἔξεστι τοῖς δεδουλωμένοις ἐρωτῆσαι τοὺς ἐλευθέρους, ἤγουν τοὺς δεσπότας, μὴ λυπηρὰ καὶ τὴν καρδίαν δάκνοντα, σοὶ μὲν, ἤτοι πρὸς

σὲ, χρεὼν καὶ πρέπον ἐστὶν εἰρῆσθαι ὑπ' ἐμοῦ δηλονότι, ἡμᾶς δὲ τοὺς ἐρωτῶντας ἀκοῦσαι ταῦτα. ἢ οὕτως· σοὶ μὲν κείνοις ἀποκρίνασθαι πρέπον ἐστὶν, ἡμᾶς δὲ ἀκροᾶσθαι τοὺς ἐρωτῶντας ταῦτα. I.

ἔστι: ὑπάρχει. Fl. 17. ἀντὶ τοῦ ἔξεστιν, ἐκδεδομένον ἐστίν. Fl. 3. 21. 56. 59. 76. Gr. ἐλευθέρους: ἀντίκειται τῷ δούλῳ ὁ ἐλεύθερος. Fl. 6. 9. 21. 56. 59. 76. Gu. εἰ δ' ἔξεστι τοῖς δούλοις λέγειν τοὺς ἐλευθέρους. Fl. 33. τοὶς δούλοισι (ἡμῖν) τοὺς ἐλευθέρους τοὺς δεσπότας (ὑμᾶς). Gr. προδιόρθωσις καὶ προπαρασκευή. Gu.

235. δηκτήρια: ἀπὸ τοῦ δάκνω. Fl. 21. ὅσα μὴ λυπεῖ τὴν καρδίαν, καὶ μὴ τιτρώσκει καὶ δάκνει. Fl. 33. δακνηρὰ (λυπηρά). Gr.

236. ἐξιστορῆσαι: ἀντὶ τοῦ ἐρωτῆσαι, ἀκοῦσαι. σοὶ μὲν πρέπει ἀπολογεῖσθαι πρὸς τὰ ἐρωτώμενα. M. ἱστορῶ τὸ πολὺν τόπον διέρχομαι. καὶ ἱστορῶ τὸ τὰ παλαιὰ πράγματα ἀφηγοῦμαι, καὶ τὸ ἐρωτῶ ποιητικῶς. B. ἱστορῶ τὸ ἐρωτῶ, τὸ μανθάνω, τὸ διηγοῦμαι, τὸ βλέπω, καὶ τὸ ζωγραφῶ. Cant. ἱστορῆσαι. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἱστορῶ κατὰ τοὺς τραγικοὺς τὸ ἁπλῶς ἐρωτῶ, ὡς ἐνταῦθα· κατὰ δὲ τοὺς κοινοὺς τὸ παρελθοῦσαν ὑπόθεσιν γράφω, ὅθεν καὶ ἱστορικός· καὶ ἱστορῶ τὸ εἰκόνας γράφω, ὅθεν καὶ ἱστορογράφος. Gr. σοὶ μέν: πρὸς σέ. Gu. εἰρῆσθαι: ἀποκρίνεσθαι. Gr. λεχθῆναι, ἀπολογεῖσθαι πρὸς τὰ ἐρωτώμενα ὑπ' ἐμοῦ. Gu. σοὶ μὲν πρέπει πρὸς τὸ ἐρώτημα ἀπολογήσασθαι. Fl. 21. σοὶ μὲν λέγειν ἁρμόζει τὰ ἐρωτώμενα, ἐμοὶ δὲ ἐρωτᾶν καὶ ἀκούειν παρὰ σοῦ. M. σοὶ μὲν λέγειν ἁρμόζει, ἡμᾶς δὲ ἀκούειν τὰ παρὰ σοῦ λεγόμενα. Fl. 33. ἁρμόζει, ἤγουν ἀπολογεῖσθαι πρὸς τῶν ἐρωτωμένων. Fl. 10.

238. ἔξεστ': ἐκδεδομένον ἐστὶν. ἐρώτα· τῆς βραδυτῆτος γὰρ ἕνεκα οὐ φθονῶ σοι. Gu. I. ἔξεστ': ἄδεια ὑπάρχει. Fl. 17. φθονῶ: τῆς ὑπερθέσεως γάρ σου ἕνεκεν οὐ φθονῶ. M. φθονῶ, τὸ μέμφομαι, καὶ τὸ βασκαίνω. Fl. 6. εἰ ἔξεστί σοι λέγειν· διὰ τὸν καιρὸν γὰρ οὐ μέμφομαί σοι. Fl. 33. αἰνίττεται ὅτι χρόνου μόνου μέλλει ἡ Ἑκάβη καθικετεύουσα ἀναλῶσαι. Gr. φθονῶ, μέμφομαί σοι. φθονῶ τὸ μέμφομαι—ἐξ οὗ καὶ ὁ ἄφθονος πλοῦτος, ὁ ἄμεμπτος, —καὶ τὸ βασκαίνω. Gu.

19. ἱστορογράφος] Sic codex pro ἱστοριογράφος.

239—241. οἶσθ' ἡνίκα: γινώσκεις ὁπότε ἦλθες τῆς Τροίας κατάσκοπος, δυσειμονίᾳ καὶ περιβολῇ εὐτελεστάτων ἐνδυμάτων, κακὴν ὄψιν ἔχων ἀπὸ τῶν ἱματίων, καὶ οἱ σταλαγμοὶ τοῦ φόνου κατέβρεχον τὴν σὴν γένυν, ἤτοι τὸν σὸν πώγωνα. I.

239. κατάσκοπος: ὁ κοινῶς καταπατητής. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. γινώσκεις, ἐπίστασαι, ὁπόταν ἦλθες κατάσκοπος ἐν Τροίᾳ, ἤγουν συμβιβαστής. Fl. 33.

240. δυσχλαινίᾳ: κακχειμονίᾳ. κακομορφίᾳ. ἦλθε γὰρ Ὀδυσσεὺς εἰς τὴν Τροίαν εἰς ἐπαίτην μετασχηματίσας ἑαυτόν. M. ἐν δυσειμονίᾳ, περιβολῇ φαύλων ἐνδυμάτων. Fl. 6. 9. 21. 56. 59. 76. Gu. κακεφορεσίᾳ. Gr. εὐτελεστάτῃ στολῇ καὶ ἐνδύσει, ἵνα μὴ λαμπρὰ φορῶν νοηθείης. Gu. ἄμορφος: ἀντὶ τοῦ ἄγνωστος. M. ἀκαλλώπιστος, (δύσμορφος). Gu. ὀμμάτων τ' ἄπο: ὁ Ὀδυσσεὺς, ἵνα κατασκοπήσῃ ἀπὸ τῶν ἐντὸς τὴν Τροίαν καὶ προσέξει πόθεν ἐστὶ τὸ δυσαλωτότερον μέρος, ἔβαλεν ἱμάτια πενιχρὰ καὶ εἰσῆλθεν εἰς τὴν Τροίαν ὡς πτωχός. ἰδοῦσα γοῦν τοῦτον ἡ Ἑλένη ἐγνώρισεν αὐτὸν καὶ εἶπεν ἵνα φανεύσωσιν αὐτόν. ὁ γοῦν Ὀδυσσεὺς φοβηθεὶς μὴ φονευθῇ παρεκάλεσε τὴν Ἑκάβην καὶ ἀφῆκεν αὐτόν. Fl. 59.

241. φόνου σταλαγμοί: ὑπὲρ τοῦ ἐπικειμένου φόνου ἀγωνιῶν ἐδάκρυσε. ἀντὶ δὲ τοῦ εἰπεῖν δάκρυα φόνου ἦν σημαντικὰ ἀπὸ δὲ τῶν ὀμμάτων, φησὶ, σταγόνες φόνου. M. μὴ λάβῃς εἰς τὸ φόνου ἔξωθεν τὸ ἕνεκα, ἀλλ' ἔστιν ἡ γενικὴ πρὸς τὸ σταλαγμοί. καὶ γὰρ τὰ δάκρυα, ἃ τότε ὁ Ὀδυσσεὺς ἐδάκρυε φωραθεὶς, φόνου δάκρυα ἦσαν· ἔκλαιε γὰρ, ἐπειδὴ τὸν περὶ ψυχῆς ἔθεεν. ὅθεν καὶ ἐν τῇ συνηθείᾳ αἱμάτινα δάκρυα φαμὲν, ἤγουν φονικά. ἀπίθανον δὲ τὸ πλάσμα καὶ τύχ ἁρμόδιον· οὐ γὰρ ἂν ἐσίγησεν Ἑκάβη, πολέμιον θεασαμένη κατοπτεύοντα τὰ κατὰ τοὺς Τρῶας πράγματα. ἡ δὲ

9. ἐπαίτην] ἐπέτην M.

22. καὶ γὰρ τὰ] τὰ γὰρ Gu. I. Mutavi ex B. qui primam scholii partem habet usque ad περὶ ψυχῆς ἔτρεχεν.

24. ἦσαν] ἦν I.

ib. ἔθεεν] ἔτρεχεν B. I.

26. ἁρμόδιον] Hoc scholiasta recentior pro ὅμηρος vel ὁμηρικὸν, de quo vide annotationem proximam, posuisse videtur.

27. Verba ἀπίθανον—πράγματα Gr. habet ad v. 243. sic scripta ἀπίθανον τὸ πρᾶγμα· οὐ γὰρ—πολέμιον ἰδοῦσα καὶ τοιοῦτον, ἡ ἑλένη δὲ μᾶλλον εἰκότως:— Plura habet M. σταγόνες φόβου (sic) δὲ εἰπεῖν (fort. δὲ εἶπεν ἀντὶ τοῦ) δακρύων, οἷον τὰ δάκρυα ἦν σημαντικὰ (adde φόνου), ὅθεν καὶ ἐν τῇ συνηθείᾳ αἱμάτινα δάκρυα φαμέν:—ἀπίθανον

Ἑλένη εἰκότως· ἄτην γὰρ μετέστενεν Ἀφροδίτης. Gu. I. ῥανίδες, δάκρυα, ὧν ἦν αἴτιος ὁ τοῦ θανάτου φόβος. Bar. 74. ἔτρεχεν δάκρυα σημειωτικὰ φόνου, ἢ ἀντὶ τοῦ ἐπικειμένου σοι φόνου δακρύων σταλαγμοὶ κατέβρεχον τὴν σὴν γενειάδα. Fl. 33. ἀναιρέσεως δάκρυα. Gr. ὑπὲρ τοῦ μὴ φενευθῆναι ἀγωνιῶν ἐδάκρυες. Gu. κατέσταζον· ἔβρεχον. Gr. κατέρρεον. Gu.

242. αἱ ἀποκρίσεις οὐ πρὸς τὸν νοῦν ἀπαντῶσι τῆς Ἑκάβης, ἀλλὰ κατὰ τὸ ἀστεῖον προφέρονται κεκρυμμένως μετὰ ὀνείδους. Gr. οἶδα· γινώσκω· οὐ γὰρ ἐξ ἐπιπολῆς ἥψατο τῆς καρδίας μου τὸ πρᾶγμα. I. οἶδ᾽· ὅπερ λέγεις, οὐκ ἂν εἰς ἄκρον ἥψατό μου ὁ φόβος. Fl. 33. οὐ γὰρ ἄκρας· ἀλλ᾽ ἔνδον. Fl. 10. οὐ γὰρ τοῦ ἄκρου τῆς καρδίας μου ἥψατο τὸ πρᾶγμα. Fl. 6. 9. 21. 56. 59. 76. ἔψαυσέ μου· ἀντὶ τοῦ ἐλυπήθην. M. ἤγουν προσέψαυσεν. Fl. 17. ἥψατο. Gr. τὸ πρᾶγμα· ἵνα καὶ εἰς λήθην τούτου ἀφίξομαι. Gu.

243. ἔγνω· ἡ Ἑλένη δέ σε μόνη ἐγνώρισε καὶ ἀνήγγειλέ μοι. I. μόνη· ἐκείνη. Fl. 21. κατεῖπε· ἀντὶ τοῦ εἶπε. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. ἐγίνωσκέ σε ἡ Ἑλένη καὶ εἶπέ μοι, ὅπως σε ἀνέλωσιν. Fl. 33.

244. μεμνήμεθ᾽· ἐνθυμούμεθα τὰ μέγιστα κινδυνεύσαντες. I. μεμνήμεθ᾽· ἐνθυμοῦμαι ὅτι εἰς κίνδυνον ἤλθομεν μέγαν. Fl. 33. κίνδυνον· κίνδυνος ἐπὶ δύο σημαινομένων εἴρηται. κίνδυνος γὰρ αὐτὸ τὸ δεινὸν καὶ κίνδυνος πείσεσθαί τινα τόδε, ὅπερ οὐκ αὐτὸ δηλοῖ τὸ δεινόν, ἀλλὰ τὴν ἐπὶ τὸ δεινὸν συνελαύνουσαν ἀνάγκην. B.

245. ἥψω· ἔψαυσας δὲ τῶν ἐμῶν γονάτων ἐλεεινὸς ὤν. I. ἐκράτησας ἱκετεύων με μὴ παραδοῦναί σε θανάτῳ. Fl. 17. Gu. τότε γὰρ τεταπεινωμένος ὑπῆρχες, καὶ ἥψω τῶν ἐμῶν γονάτων, ἤγουν ἐπροσκύνεις. Fl. 33. γονάτων· οἱ δέρμενοι ἥπτοντο τῶν γονάτων, ἢ τῆς χειρὸς, ἢ τῶν παρειῶν. Gu. I. ταπεινὸς ὤν· ἐλεεινὸς ὤν. M.

246. ὥστ᾽ ἐνθανεῖν· ναὶ, ἡμὴν οὕτως ὥστε δόξαι νεκρωθῆναι ἐν τοῖς σοῖς ἐνδύμασι τὴν ἐμὴν χεῖρα ὑπὸ τοῦ δέους. I. ὥστ᾽ ἐνθανεῖν·

(sic hic et alibi interdum) δὲ τὸ πλάσμα καὶ οὐχ ὅμ^ρ (i. e. ὅμηρος: unde Ὁμηρικὸν Cobetus) οὐ γὰρ—πράγματα. Tum sequuntur verba ἡ δὲ ἐλένη—ἀφροδίτης, quae om. Gu. I.

1. ῥανίδες—φόβος] Sic etiam August. b. c. ap. Herm. Praef. p. IX. Simile est in Fl. 6. 9. 17. 21. 56. 59. 76. et Gu. qui pro ῥανίδες, δάκρυα habent σταλαγμοὶ δακρύων, et αἴτιος φόνου φόβος. MATTH.

νεκρωθῆναι ὑπὸ τοῦ δέους τὴν χεῖρά μου. M. ναί, λέγω, ἡψάμην, ὥστε καὶ ἐβουλήθην θανεῖν τὴν ἐμὴν χεῖρα ὑπὸ τοῦ δέους ἐν τοῖς σοῖς ἱματίοις, ἢ μᾶλλον ἐβουλήθην τὴν ἐμὴν χεῖρα θανεῖν ἢ ἀποσπασθῆναι ἀπὸ τῶν σῶν ἱματίων. Fl. 21. νεκρωθῆναι. Gr. μικροῦ καὶ ναρκῆσαι. Gu. χεῖρ' ἐμήν: καὶ γὰρ διὰ τῆς χειρὸς τῶν ἐκείνης γονάτων ἥψατο παρακαλῶν ἐκείνην. Fl. 59. μήποτε θανατωθῶ ἐν τοῖς σοῖς οἴκοις. Fl. 33. πέπλοισι: εὐστόλοις ἐνδύμασιν. Gr. καὶ παρ' ἡμῖν πέπλα λέγονται τὰ τίμια ὑφάσματα. Gr.

247. τί δῆτ' ἔλεξας: τί λοιπὸν ἔλεξας, δοῦλος ὑπάρχων ἐμὸς τότε; I. εἶπας. Fl. 17. τί δὴ τότε ἔλεξας, ὡς δοῦλος ὢν ἐμὸς τότε, εἰ μόνον ἤθελον. Fl. 33. πάντα τὰ γνωστικὰ ῥήματα καὶ τὰ ἐναντία τούτων μετὰ μετοχῆς συντάσσονται. Gu. δοῦλος ὤν: ἀντὶ τοῦ ὑποκείμενός μοι. M. ὑπὸ τὴν ἐμὴν ἐξουσίαν. Gr.

248. πολλῶν λόγων εὑρήμαθ': ἔλεξα δηλονότι πολλὰ ἐνθυμήματα καὶ μηχανὰς λόγων, ὥστε μὴ ἀποθανεῖν. I. λόγων: εἶπόν σοι. Fl. 59. εὑρήμαθ': μηχανήματα. Fl. 17. Gu. ἐξευρήματα. Fl. 6. 9. 21. 34. 56. 59. 76. Gu.

249. ἔσωσα: ἐρρυσάμην σε, καὶ ἐξέπεμψά σε ἀπὸ τῆς πόλεως. I. δῆτα: ἀληθῶς. Fl. 6. ἐξέπεμψα: ἐξέβαλον. Fl. 59. κἀγὼ δέ σ' ἔσωσα καὶ ἐξαπέστειλον τῆς ἐμῆς γῆς. Fl. 33.

250. ἆστ' εἰσορᾶν: ναί, ὥστε βλέπειν τόδε τὸ φῶς τοῦ ἡλίου. I. εἰσορᾶν: ἀντὶ τοῦ ὁρᾶν. Fl. 6. 9. 21. 56. 59. 76.

251—259. οὔκουν κακύνῃ: οὐκοῦν κακὸς φαίνῃ κατὰ τάδε τὰ βουλεύματα, ὃς ἐξ ἐμοῦ ἔπαθες ὁπόσα λέγεις παθεῖν, ποιεῖς δὲ οὐδὲν καλὸν εἰς ἡμᾶς, ἀλλὰ κακὸν ὅσον δύνῃ. ἄγνωμον ὑπάρχει τὸ γένος ὑμῶν, ὅσοι μακαρίζετε τὰς ἀπὸ τοῦ δήμου συμβαινούσας τοῖς ῥήτορσι τιμάς, δι' ὧν ἀρέσκειν αὐτῷ σπεύδετε ἐκ τοῦ τὰ συμφέροντα αὐτῷ ἀγορεύειν. εἴθε μηδὲ ἐγινώσκεσθε ὑπὸ ἐμοῦ, οἳ βλάπτοντες τοὺς φίλους οὐ φροντίζετε καὶ οὐκ ἐπιστρέφεσθε, ἐὰν λέγητε τῷ δήμῳ τι πρὸς ἡδονὴν καὶ ἀποδεχὴν αὐτῶν. ἀτὰρ τί σοφισάμενοι καὶ ἐφευρόντες, ἔδοξεν ὑμῖν εἰκότως τὴν περὶ τῆς ἐμῆς παιδὸς σφαγὴν βουλεύσασθαι; I.

251. οὔκουν κακύνῃ: οὐκοῦν κακὸς φαίνῃ ἐξ ὧν νῦν δὴ ἐβουλεύσω κατὰ τῆς ἐμῆς θυγατρός, δι' ἐμὲ ζῶν, ὡς φῄς. Bar. 74. Gu. κακύνῃ: κακὸς γίνῃ καὶ φαίνῃ. Fl. 6. 9. 21. 56. 59. 76. κακῶς

ἁλίσκει. ὁ δὲ λόγος· κακὸς φαίνῃ ἐξ ὧν νῦν ἐβουλεύσω κατὰ τῆς ἐμῆς θυγατρὸς, δι' ἐμὲ ζῶν. M. Fl. 59. διαφέρει κάκυνσις καὶ κάκωσις. κάκυνσις μὲν ἐπὶ ψυχῆς, κάκωσις δὲ ἐπὶ σώματος. οὐκοῦν κακῶς φαίνῃ ἐξ ὧν νῦν ἐβουλεύσω κατὰ τῆς ἐμῆς θυγατρὸς, δι' ἐμὲ ζῶν. διαφέρει τὸ ἀφαῖν. ἀπόφασίς ἐστι καταγομένη πρὸς πρόσωπον, ὡς τὸ "ἀχάριστον ὑμῶν τὸ σπέρμα, ὅσοι δημηγόρους ζηλοῦτε τιμάς." ἐπήγαγε δὲ τὸ ὑμῶν, ὃ καὶ κατὰ πάντα ἐστὶν, ὅτε ῥηθήσεται. τὸ δὲ γναμικὸν ἀπόφασίς ἐστι μὴ ἀφορῶσα πρὸς πρόσωπον, ἀλλ' ἀπολύτως ἀεὶ λεγομένη κατὰ πάντα, ὡς τὸ "γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Fl. 56. κακίζω, ψέγω· κακύνομαι παθητικῶς τὸ κακὸς γίνομαι, κακόω, κακῶ, τὸ κακωτικὰ εἰς τινα ποιῶ. Gr.

βουλεύμασιν: κατὰ ταῦτα τὰ βουλεύματα, ἃ δηλονότι ἐβουλεύσασθε κατὰ τῆς θυγατρός μου. Fl. 6. 21. 59. 76. Gr. ταῖς πανουργίαις. Fl. 59. διὸ μὴ κακύνῃς ἡμᾶς τοῖς τοιούτοις βουλεύμασιν, ὅστις, ἀντὶ τοῦ σὺ, ἐξ ἐμοῦ οὐκ ἔπαθές τι τῶν κακῶν, καθὼς λέγεις σὺ παθεῖν ἡμᾶς. Fl. 33.

252. ἐξ ἐμοῦ: παρ' ἐμοῦ. Fl. 17. τοιούτων εὐεργεσιῶν παρ' ἐμοῦ τυχών. M. Fl. 21. φῄς: ὁμολογεῖς. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἔπαθε κακόν τι καὶ ἔπαθε καλόν. τοῦτο λέγεται ἀποσιώπησις. Gr.

253. οὐδέν: οὐδαμῶς. Fl. 6. 9. 21. 56. 59. 76. Ἀττικοὶ τὸ οὐ ἀπαγορευτικὸν οὐδὲν λέγουσι. Gu. ποιεῖς δὲ ἡμῶν οὐδὲν καλὸν, κακὸν δὲ ὅσον ἰσχύεις. Fl. 33. κακὸν δ' ὅσον δύνῃ: ἀπὸ κοινοῦ τὸ δρᾶσον. M. τὸ κοινὸν δύνασαι, τὸ Ἀττικὸν δύνῃ. οἱ γὰρ Ἀττικοὶ ποιοῦσι τοῦτο καὶ ἐν ταῖς συζυγίαις τῶν εἰς μι. Gr.

254. ἀχάριστον: τῶν δημαγωγῶν ὑμῶν τὸ σπέρμα ἀχάριστόν ἐστιν· ἐπιθυμεῖτε γὰρ τὰς τιμὰς, ἀλλ' οὐκ ἔχετε ἀνταμείβειν. Fl. 33. οὐ μνημονεῖον χάριτος. Gr. ἄγνωμον. Gu. σπέρμα: γένος. Gr. δημηγόρους: δικανικάς. M. τὰς ἐκ τῆς δημηγορίας. Gr. εἰς τοὺς κατ' αὐτὸν δημηγοροῦντας ἀποτείνει τὸν λόγον, ὡς διὰ τὸ τοῦ δήμου ἀρεστὸν βλάβην τοῖς φίλοις προξενοῦντας. κατατρέχει δὲ ὁ Εὐριπίδης διὰ τῆς Ἑκάβης τῶν τότε δημηγόρων. Gr. τὰς ἀπὸ τοῦ δήμου συμβαινούσας ὑμῖν δι' ἃ ἀρέσκειν αὐτῷ σπεύ-

1. ἁλίσκει] ἁλώνῃ M.
ib. κακὸς] κακῶς Fl. 59.
2. ἐμὲ] ἐμοῦ Fl. 59.
4. ἐξ ὧν Matth. pro ζῶν.
18. τυχών] παθεῖν Fl. 21.
20. Ἀττικοὶ] Conf. ad v. 264.

δετε ἐκ τοῦ τὰ συμφέροντα αὐτῷ ἀγορεύειν. Gu. ῥητορικὰς, τὰς δικανικάς. Fl. 59. εἰς τοὺς κατ' αὐτὸν δημοκοποῦντας ῥήτορας λέγει. M. Fl. 59. ταῦτα εἰς τὴν κατ' αὐτὸν πολιτείαν λέγει. καὶ ἔστι τοιοῦτος ὁ Εὐριπίδης περιάπτων τὰ καθ' ἑαυτὸν τοῖς ἥρωσι καὶ τοὺς χρόνους συγχέων. M. Fl. 59.

255. ζηλοῦτε: πεθεῖτε. Fl. 17. ἀγαπᾶτε. Fl. 59. Gr. μακαρίζετε. Gu. τὸ ζηλοῦν δύο δηλεῖ, τὸ φθονεῖν καὶ τὸ μακαρίζειν. ὥσπερ δὲ λέγουσιν ἐνίοτε τὸ ἐπαινεῖν ἀντὶ τοῦ ἐργάζεσθαι, οἷον ἀρετὴν ἐπαινεῖ τις ἀντὶτοῦ ἐργάζεται, καὶ τὸ σιγᾶν ἐπαινῶ ἀντὶ τοῦ σιγῶ. οὕτω καὶ τὸ ζηλοῦν καὶ μακαρίζειν ἐνίοτε ἐπὶ τοῦ μιμεῖσθαι τιθέασιν, εἰκότως· ὃ γὰρ ἐπαινεῖ τις, τοῦτο πάντως εἰκὸς ἐργάζεσθαι, καὶ ὃν μακαρίζει, τις τοῦτον πάντως μιμήσαιτ' ἂν, ἵνα τύχῃ τοῦ μακαρισμοῦ. B.

256. οἵ: ὑμεῖς. Fl. 17. φροντίζετε: λογίζετε. Fl. 56. ἐπιστρέφεσθε. Gu. θέλοντες γὰρ δεξάζεσθαι ἐν τῷ δημηγορεῖν προδίδοτε πολλάκις καὶ τοὺς φίλους. Gu. βλάπτοντες: ἀφανίζοντες. Gu.

257. ἦν τοῖσι πολλοῖς: τῷ ὄχλῳ. M. ἐὰν τῷ δήμῳ πρὸς ἀποδοχήν τι ἀφορῶν λέγητε. Bar. 74. Gr. πρὸς χάριν: πρὸς ἀποδοχήν τινα ἀφορῶντες. Fl. 17. ἡδονήν. Gu.

258—263. ἀτάρ: τί δὴ σόφισμα, ἤτοι σοφὸν καὶ φρόνιμον, ἡγούμενοι καὶ νομίζοντες τοῦτο οἱ Ἕλληνες ὥρισαν ἤτοι ἐψηφίσαντο καὶ ἔταξαν τὴν κρίσιν τοῦ φόνου εἰς τήνδε τὴν παῖδα; ἆρα τὸ πρέπον ἤγαγεν αὐτοὺς ἐπὶ τὸ ἀνθρώπους κτείνειν πρὸς τὸν τάφον, ὅπου πρέπει μᾶλλον βοῦς θύειν· ἢ θέλων ὁ Ἀχιλλεὺς ἀνταποκτεῖναι τὸν κτανόντα αὐτὸν δηλονότι, δικαίως ἐπάγει τὸν φόνον εἰς τήνδε; I.

258.—270. ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι: τοίνυν δίκαιον καὶ ἁρμόζον τοῦτο ἡγούμενοι, τὸ σφάξαι τὴν Πολυξένην, εἰς...

1. ῥητορικὰς est etiam in 6. 9. 17. 21. 56. 76. Gu. MATTH.

3. λέγει] τείνει Fl. 59. Post λέγει novum in M. scholion incipit ad verba βλάπτοντες οὐ γινώσκετε relatum.

ib. ταῦτα (sic Matth. pro τὰ, quod est in Fl. 59.) om. M.

ib. αὐτὸν Matth. αὐτοῦ M. αὐτῶν Fl. 59.

ib. λέγει] λέγεται Fl. 59.

ib. καθ' ἑαυτὸν Matth. καθ' ἑαυτοῦ M. μεθ' ἑαυτῶν Fl. 59.

5. συγχέων Matth. συγμένων Fl. 59. Obscure scriptum in M. ita ut συγκροίων legi possit.

27. εἰς.....τὴν] Supple εἰς αὐτὴν ὥρισαν τὴν, vel simile quid.

τὴν τοῦ φόνου ψῆφον; ἆρα τὸ τρέπον καὶ τὸ δίκαιον.....ἀντὶ τοῦ σφάζειν εἰς τὸν τύμβον, ἔνθα μάλιστα βοῦς πρέπει θυσιάζειν, ἢ τοὺς θανόντας ἀνταποκτεῖναι θέλων ὁ Ἀχιλλεὺς εἰς τήνδε τὴν παῖδα δικαίως τείνει τὸν φόνον; ἀλλ' οὐδὲν αὕτη εἰς αὐτὸν δέδρακε κακόν, ἢ πεφόνευκεν. εἶπω σοι τὸ ἀληθές; Ἑλένην ἐχρῆν ἐν τῷ τύμβῳ αὐτῷ θῦμα γενέσθαι· αὕτη γάρ ἐστιν ἡ αἰτία τοῦ φόνου αὐτοῦ. εἰ γὰρ μὴ αὐτὴ τῷ Ἀλεξάνδρῳ ἠκολούθει, οὐκ ἂν ὁ Ἀχιλλεὺς εἰς Τροίαν ἦλθε καὶ ἀπέθανεν. εἰ δὲ πολλάκις λέγεις ὅτι χρή τινα ἔκκριτον ἀπὸ τῶν αἰχμαλώτων γυναικῶν θανεῖν ἢ εὐπρεπεστέρα τῷ εἴδει, οὐχ ἡμεῖς τοῦτο ἔχομεν. τίς γὰρ εἰδεστέρα Ἑλένης; ἄλλως τε καὶ οὐδὲν ἧττον ἡμῶν εἵρεθη αὐτὸν ἀδικήσασα, καὶ εἰ τὸ δίκαιον θέλετε πράξειν, αὐτὴν χρὴ σφαγῆναι. A.

258. ἀτάρ: ὁ ἀτάρ καὶ ὁ δὲ σύνδεσμος ταὐτὸ δηλοῦσι, διαφέρουσι δὲ κατὰ τοῦτο, ὅτι ὁ μὲν ἀτάρ ποιητικόν ἐστι, ὁ δὲ δὲ ὑποτέτακται. Cant. ὁ ἀτάρ σύνδεσμος γράφεται καὶ παρὰ ποιηταῖς καὶ παρὰ τοῖς κοινοῖς ἀντὶ δή ἀργοῦ. τίθεται δὲ εἰς ἀρχὴν κώλου, τὸ δὲ δή εἰς τέλος. Gr. τί δέ. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀλλὰ τί δὲ τοῦτο τὸ συμβόλιον, ὦ ἡγεμόνες καὶ ἄρχοντες τοῦ Ἑλληνικοῦ στρατοῦ, εἰς τὴν τοιαύτην παῖδα ἐκρίνατε καὶ ὡρίσατε φόνου ψῆφον καὶ κρίσιν. Fl. 33. ἀτὰρ τί συμπέρασμα συντελοῦν εἰς κρίσιν τὴν περὶ τῆς Ἀχιλλέως τιμῆς. Fl. 10. 59. αὐτοὺς τοὺς ἀνθρώπους κτείνειν ἤγαγε, τὸ δέον καὶ ὀφείλειν αὐτοὺς εἰς προθυμίαν ἤγαγεν ἀνθρωποκτονεῖν εἰς τάφους τῶν τελευτησάντων· οὐ γὰρ Πολιξένη αὐτῷ αἰτία θανάτου γέγονεν. Fl. 59. σόφισμα: εὕρημα συντελοῦν εἰς τὴν τοῦ Ἀχιλλέως τιμήν. Gr. βούλευμα σοφὸν ἔργον, φρόνημα δίκαιον, πιθανολόγημα· ἤτοι τί σοφισάμενοι καὶ ἐφευρόντες δόξουσιν ἡμῖν εἰκότως τὴν περὶ τῆς ἐμῆς παιδὸς σφαγὴν βεβουλεῦσθαι. Gu.

259. ψῆφον: ἀπόφασιν, κρισιν, ἀποκύρωσιν. Gu. κρίσιν. Fl. 6. 9. 17. 21. 56. 59. 76. ψῆφος ἀρσενικῶς ὁ λογαριασμός. ἐκ τοῦ

1. τὸ δίκαιον ..... ἀντὶ τοῦ] Supple τὸ δίκαιων ἤγαγεν αὐτὸν ἐπὶ τὸ ἀνθρωποκτονεῖν, ἀντὶ τοῦ—.

2. ἔνθα] ἔνθα δὲ A.

6. Addidi γενέσθαι.

20. ἀτὰρ—τιμῆς] In cod. 59. hoc scholion cohaeret cum altero ad v. 254. εἰς τοὺς—συγμένων, et in eo legitur ἄρτι συμπέρ. eique nullo spatio relicto adhaerent verba αὐτοὺς τοὺς ἀνθρώπους etc. quae in 10. desunt. MATTH.

22. τὸ δέον—τελευτησάντων] Haec etiam infra p. 283, 15.

του καὶ ψηφίζω ἐνεργητικῶς. ψῆφος δὲ θηλυκὸν ἐνίοτε μὲν ὁ καιρικὸς νόμος, ἄλλοτε ἡ ἀπόφασις καὶ τὸ κῦρος. ἐκ τούτου καὶ ψηφίζομαι παθητικῶς ἀντὶ τοῦ ἀποφαίνομαι. Gr. *ὥρισαν: ἔταξαν.* Fl. 6. 9. 17. 21. 56. 76. *προσέταξαν, ἀπεφήναντο, ἔταξαν.* Gu. Fl. 59.

260. *πότερα: τὸ πότερα ἀντὶ τοῦ πότερόν ἐστιν, ὡς ἔστιν καὶ τὸ "οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους," τὸ πληθυντικὸν ἀντὶ ἑνικοῦ.* Fl. 9. *χρῆν: τὸ χρὴ νόμιμόν ἐστιν, ἐπιρρηματικῶς.* M. Fl. 10. 21. *ὁποῖον χρὴ ἐν ἑαυτοῖς τὸ ἀνθρωποκτονεῖν, ἢ τὸ βουθυτεῖν. τοῦτο γὰρ μᾶλλον πρέπει ἐπὶ τὸν τάφον ποιῆσαι.* Fl. 33. *τὸ χρῆν: καὶ πρέπειν.* Gr. *τὸ πρέπον καὶ ὁ νόμος.* Gu. *τὸ χρῆν κατὰ μὲν τοὺς παλαιοὺς κανονίζεται, κατὰ δὲ τοὺς νέους ῥῆμά ἐστιν ἀπρόσωπον. κανονίζεται δὲ κατὰ τοὺς παλαιοὺς χρῆμι, καὶ ὁ παρατατικὸς ἔχρην. Ἀττικῶς διὰ τοῦ η.* August. c. ap. Herm. Praef. p. x.

πότερα τὸ χρῆν: τὸ δέον καὶ ὀφεῖλον αὐτοὺς εἰς προθυμίαν ἤγαγεν ἀνθρωποκτονεῖν εἰς τοὺς τάφους τῶν τελευτησάντων, ἔνθα πρέπει μᾶλλον βουθυτεῖν. ἀναγνωστέον δὲ κατ' ἐρώτησιν. A.M.

261. *ἔνθα: ὅπου, ἤγουν ἐν τῷ τύμβῳ.* Fl. 6. 9. 21. 56. 59. 76. *βουθυτεῖν: τὸ θύω λέγεται ἀντὶτοῦ ἁπλῶς σφάττω· καὶ θύω τὸ εἰς θυσίαν σφάττω· καὶ θύω τὸ ἀτάκτως ὁρμῶ, ὅθεν καὶ θύνος ὁ ἰχθύς, καὶ θύρσοι οἱ μετὰ μέθης εἰς τὴν ἑορτὴν τοῦ Διονύσου βακχεύοντες.* Gr.

262. *ἢ τούς: οὐ γὰρ Πολυξένη αὐτῷ αἰτία θανάτου γέγονε.* M. Fl. 10. *ἢ ἡμᾶς τοὺς τεθανατωμένους δηλονότι ὑπὸ τῆς αἰχμαλώσεως πάλιν θανατῶσαι θέλετε.* Fl. 33. *τοὺς φονεύσαντας.* Gr. *τοὺς θανάτου παραιτίους.* Gu. *κτανόντας: αὐτόν.* Gu.

263. *τήνδ': τὴν Πολυξένην.* Fl. 17. *ἐνδίκως: τὸ ἐνδίκως εἰς τὸ ἀνταποκτεῖναι σύνταξον.* Gr. *ἐνδίκως λέγει, ὅτι καὶ αὐτὸς ἐφονεύθη.* Gu. *τείνει: τείνει ὁ Ἀχιλλεὺς φόνον εἰς τήνδε ἀντὶ τοῦ ἐπάγει, καὶ τείνει ὁ λόγος εἰς τόδε ἀντὶ τοῦ ἀφορᾷ.* Gu. Fll. I.

264—270. *ἀλλ' οὐδέν: ἀλλ' οὐδὲν κακὸν πεποίηκεν αὐτὸν τὸν Ἀχιλλέα ἥδε ἡ Πολυξένη. τὴν Ἑλένην χρὴ αὐτὸν ζητεῖν σφάγιον τῷ τάφῳ· ἐκείνη γὰρ ὤλεσεν αὐτὸν τὸν Ἀχιλλέα, καὶ ἤγαγεν εἰς*

5. *καὶ τὸ*] Or. 413.
16. *τάφους* post *τῶν τελευτησάντων* ponit A.
ib. *ἔνθα—ἐρώτησιν* om. M.

τὴν Τρίαν. εἰ δὲ πρέπει θανεῖν τινὰ ἐπίλεκτον, ὑπερφέρουσάν τε, ἤτοι τὸ πλέον ἔχουσαν, τῶν αἰχμαλώτων κατὰ τὸ κάλλος, οὐχ ἡμῶν τόδε, τὸ ὑπερφέρειν τῷ κάλλει δηλονότι· ἡ θυγάτηρ τοῦ Τυνδάρεω Ἑλένη ὡραιοτάτη καὶ εὐειδεστάτη ἐστὶ κατὰ τὸ εἶδος, καὶ ἐφωράθη ἀδικοῦσα τὸν Ἀχιλλέα οὐδὲν ἔλαττον ἡμῶν. I.

ἀλλ' οὐδέν: σύντομος ἀπάντησις λέγεται. Gr. λύσις κατὰ τὸ βίαιον. Gu. οὐδὲν Ἀττικόν ἐστιν· οἱ γὰρ Ἀττικοὶ οὐκ ἀπαγορευτικὸν οὐδὲν λέγουσι. Cant. ἥδε: αὕτη. Gr. Fl. 17. εἴργασται: ἀντὶ τοῦ εἰργάσατο. Fl. 17. ἀλλὰ οὐδαμῶς εἰς αὐτὸν αὕτη εἰργάσατο κακόν. Fl. 33.

265. νιν: αὐτὸν, τὸν Ἀχιλλέα. Fl. 6. 9. 21. 56. 59. 76. τὸ νιν καὶ ἐπὶ θηλυκοῦ καὶ ἐπὶ ἀρσενικοῦ. ἔστι δὲ ποιητικόν. Gr. τάφῳ προσφάγματα: ἀντὶ τοῦ πρόσφαγμα ἢ σφάγιον τοῦ τάφου. Bar. 74. Fll. Gu. θύματα τῷ τάφῳ. Fl. 17. Ἑλένην δὲ μᾶλλον αὐτὸν χρὴ αἰτεῖν σφαγιασθῆναι ἐν τῷ ἑαυτοῦ τάφῳ. Fl. 33.

266. ὤλεσεν: ἔφθειρεν. Fl. 6. 9. 21. 56. 59. 76. ἄγει: καὶ ἐκείνη δηλονότι ἤγαγεν εἰς τὴν Τρίαν αὐτόν. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἐκείνη γὰρ ὤλεσεν αὐτὸν καὶ τοὺς λοιποὺς, οὓς ἐν τῇ Τροίᾳ ἤγαγεν. Fl. 33. πρωθύστερον. Gr.

267. ἔκκριτον: ἐκλελεγμένην. Gr. Fl. 17. εὔμορφον. Fl. 21. ἐπίλεκτον εὐμορφίας ἕνεκεν. M. Fl. 21. ἐὰν δέ τινα ἔντιμον ἐκ τῶν αἰχμαλώτων γυναικῶν χρὴ θανεῖν δι' αὐτόν. Fl. 33. ἐκλελεγμένην. Gr. ἔξοχον, ἐπίλεκτον, ὡραίαν καὶ εὐγενίδα. Gu.

268. ὑπερφέρουσαν: διαφέρουσαν, ὑπερβάλλουσαν. M. ὑπερνικῶσαν. Fl. 17. καὶ κατὰ κάλλος ὑπερκειμένην, πλέον ἔχουσαν. Fl. 6. 9. 17. 21. 56. 59. 76. τόδε: ἔστι. Fl. 6. 9. 21. 56. 59. 76. διαφέρουσαν τῶν λοιπῶν ἡμῶν πάντων ἐν κάλλει. Fl. 33. τὸ ἔκκριτον καὶ ὑπερφέρον, τὸ ὑπερφέρειν τῷ κάλλει. Gu.

269. ἡ Τυνδαρίς: ἡ Ἑλένη ἐστὶν ἡ εὐπρεπεστάτη εἰς κάλλος. Τυνδαρὶς γὰρ αὐτὸς λέγει, διότι Τυνδάρεω ἦν θυγάτηρ. Fl. 33.

εἶδος: εἶδος ἡ θεωρία καὶ εἶδος τὸ παρὰ τοῖς φιλοσόφοις ὑπὸ τὸ γένος ταττόμενον, οἷον τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον. τὸ ζῷον γένος, λογικὸν καὶ ἄλογον εἶδος. Gr.

7. οὐδὲν—λέγουσι] Conf. ad v. 253.
13. θῦμα ἤγουν πρόσφ. ἤγουν σφ. Gu. Florr. etiam ἤγουν pro ἤ.
29. αὐτὸς λέγει] Corr. αὕτη λέγεται.
19. ἐπίλεκτον om. Fl. 21.
24. κατὰ—ἔχουσαν] τὸ κ. τὸ ὑπερκείμενον πλ. ἔχ. Flor. 17.

270. ἀδικοῦσα: αὕτη δὲ ἡ Ἑλένη, καίπερ ἄδικα πράξασα, κατ' οὐδὲν ἡμῶν ἐλάττων εὑρέθη. A. ἀντὶ τοῦ ἠδίκησε. Fl. 59. ὑμᾶς δηλονότι. Fl. 21. ἦττον εὑρέθη: ἀλλὰ μᾶλλον ἐφωράθη. Fl. 6. 9. 17. 21. 36. 59. 76. ἡ Τυνδαρὶς γὰρ εὐειδεστάτη καὶ ἐφωράθη μᾶλλον ἡμῶν ἀδικοῦσα. Fl. 6. 9. 21. 36. 59. 76. Gu.

271.—277. τῷ μὲν δικαίῳ τόνδ' ἀμιλλῶμαι λόγον: ἀντὶ τοῦ ὅτι μὲν δίκαιόν ἐστι τὴν Ἑλένην παθεῖν καὶ οὐχὶ τὴν Πολυξένην, ταῦτα ἀμιλλῶμαι καὶ λέγω· ἃ δὲ δεῖ σε ἀντιδοῦναί μοι ὑπὲρ ὧν παρ' ἐμοῦ ἔπαθες ἄκουσον. ἧψω, ὡς φῄς, τῆς χειρός μου καὶ τῆς παρειᾶς, ἁθάπτομαι καγώ σου τῶνδε καὶ ζητῶ σε χάριν, ἣν ἐγώ σοι δέδωκα, ἧγουν ὥσπερ ἐγώ σε ἔσωσα τοῦ θανάτου τότε, ὅτε εἰσῆλθες εἰς τὴν Τροίαν κατάσκοπος, οὕτω καὶ σὺ σῶσον νῦν τὴν Πολυξένην. A.

271. τῷ μὲν δικαίῳ: ἤτοι τῇ δικαιολογίᾳ καὶ κατὰ τὸ δίκαιον τόνδε τὸν λόγον κατὰ ἀγῶνος λέγω· ἄτινα δὲ πρέπει ἀντιδοῦναί σε, ἀπαιτούσης ἤτοι χρέος ζητούσης ἐμοῦ, ἄκουσον· ἔψαυσας τῆς ἐμῆς χειρός, ὡς λέγεις, καὶ τῆσδε γηραιᾶς παρειᾶς προσπίπτων καὶ παρακαλῶν· ἐπίσης ἅπτομαί σου κἀγὼ τῶν γονάτων καὶ τῆς παρειᾶς, καὶ ἀπαιτῶ τὴν ὑπάρξασάν σοι παρ' ἐμοῦ τότε χάριν, καὶ ἱκετεύω καὶ παρακαλῶ σε μὴ ἀφελκύσῃς τὸ τέκνον βιαίως ἐκ τῶν χειρῶν μου, μηδὲ κτάνητε· ἀρκούντως ἔχει τὸ πρᾶγμα ἕνεκα τῶν τεθνηκότων, ἐντῷ πολέμῳ δηλονότι. I.

τῷ μὲν δικαίῳ: ὅσον κατὰ τὸ δίκαιον. Fl. 17. 21. ἕνεκα τοῦ δικαίου. Gr. ὅτι οὐ χρὴ ἀνθρωπίθυτεῖν τάφους, ἢ ὅτι οὐκ ἐψευσάμεν, ἢ ὅτι οὐχ ὑπερφέρομεν κάλλει. Gr. κατὰ τὴν δικαίαν ἐξέτασιν, τῇ δικαιολογίᾳ, δικαίως. Gu. ἀμιλλῶμαι: παρατίθημι. M. Fl. 10. 17. 59. ἀγωνίζομαι. Fl. 9. 36. ἀνταγωνίζομαι. Fl. 6. ἐπιθήσω. Fl. 21. τῷ τοιούτῳ γάρ ἐστι δίκαιον καὶ τὸν τοιοῦτον λόγον ἀντιφιλονεικῶ. Fl. 33. ἀγωνίζομαι. Gr. ἀγωνιστικῶς λέγω. Gu.

272. ἀντιδοῦναι: ἀνταποδοῦναι. Fl. 6. 9. 21. 36. 59. 76. αὕτη ἀντιδοῦναι, πρέπει σοι ζητεῖν. Fl. 33. δεῖ, ἀπόκειται. Fl. 17. ἀπαιτούσης: παρακαλούσης. Fl. 59. ὡς χρέος ζητούσης. Gr.

273. ἧψω: ἧψω προσπίπτων. Fl. 6. 9. 21. 59. 76. Gu. ἔλαβες. Fl. 17. 36. ἐλάβου. Gu. λάβε τῆς ἡμετέρας χειρός. Fl. 33. φῄς: ὁμολογεῖς. Gu. Fl. 6. 9. 21. 36. 59. 76.

274. παρειάδος: ἡ παρειὰ κοινῶν, ἡ παρειὰς ποιητικόν. Gr. ἀντὶ τοῦ εἰπεῖν πώγωνος παρειάδος εἶπεν ἀπὸ τοῦ σύνεγγυς. Gu. εἰ καὶ οὐδὲν ἄνω αὐτελεξὶ εἶπεν ὡς ἥψατο τῆς χειρὸς Ἑκάβης καὶ τῆς παρειᾶς, ἀλλὰ δι' ὧν ὡμολόγησεν ὡς ἥψατο τῶν αὐτῆς γονάτων ἐπὶ τοσοῦτον ὥστ' ἐν τοῖς πέπλοις αὐτῆς νεκρωθῆναι μικροῦ καὶ ναρκῆσαι τὴν χεῖρα αὐτοῦ, διὰ τούτων καὶ τοῦτο ἐδήλωσεν. ὁ γάρ τινα ἱκετεύων οὐ γονάτων αὐτοῦ μόνον, ἀλλὰ καὶ χειρὸς καὶ πώγωνος ἅπτεται, ἵνα κατανεύσῃ πρὸς τὴν αἴτησιν, (τοῦτο γὰρ ὁ πώγων βούλεται) καὶ ἐνεργήσῃ, (τοῦτο γὰρ τῆς χειρός) καὶ σπουδάσῃ τάχιστα ἐκτελέσαι· τῶν γὰρ ποδῶν ἐστι τὸ σπουδάζειν. τούτων δὲ οὕτως ἐχόντων οὐδὲν δεῖ θαυμάζειν καὶ ἀπορεῖν εἰ ὡς φῆς εἶπεν. Gu.

προσπιτνῶν: προσπίπτων, δεόμενος. Fl. 59.

275. ἀνθάπτομαι: ὁμοίως ἅπτομαι. Gr. ἀντιψαύω. Gu. τῶνδε τῶν αὐτῶν: τῶν αὐτῶν τούτων, ἤγουν τῆς χειρὸς καὶ τῆς παρειᾶς. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. ὡς τῆς χειρὸς τῆς παρηΐδος. Fl. 59. κατασπάζομαί σου κἀγὼ τῶν αὐτῶν, δηλονότι χειρῶν. Fl. 33. ἤγουν γονάτων καὶ παρειᾶς. Gr.

276. ἀπαιτῶ: ζητῶ. Fl. 56. ἀπαιτῶ σοι δηλονότι τὴν χάριν, ἣν ἀπήτησας τότε ἐμοὶ καὶ ἱκετεύω σέ. Fl. 21. ἱκετεύω γάρ σε καὶ αἰτῶ σοι τὴν τιμαίτην χάριν. Fl. 33. ὡς χρέος ζητῶ. Gu. τὴν τόθ': γεγονυῖαν ὑπ' ἐμοῦ, ὅτι ἔσωσά σε τοῦ θανάτου. Gr.

277. μή μου: μὴ τὸ ἡμέτερον τέκνον ἐξαρπάσῃς ἐκ τῶν ἐμῶν χειρῶν. Fl. 33.

278. μηδὲ κτάνητε: ἐπειδὴ ὁ μὲν Ὀδυσσεὺς μόνος ἔμελλε λαβεῖν τὴν Πολυξένην ἐκ τῆς Ἑκάβης, τὸ δὲ θανεῖν αὐτὴν κοινῇ πᾶσι τοῖς Ἕλλησιν ἔδοξε, διὰ τοῦτο πρὸς μὲν τὸν Ὀδυσσέα ἑνικῶς εἶπε τὸ ἀποσπάσῃς, πρὸς δὲ τοὺς ἄλλους τὸ κτάνητε. Gu. I. ἄλις: ἀντὶ τοῦ αὐτάρκεια τῶν ἀπεθανόντων μου τέκνων, καὶ ἐν ταύτῃ χαίρω. A. M. Fl. 21. μηδὲ αὐτὴν θανατώσητε· ἀρκετὸν γάρ ἐστιν ὑμῖν τῶν τεθνεώτων ὁ ἀφανισμός. Fl. 33. τὸ ἄλις ἐνίοτε μὲν ἔχει προσκείμενον τὸ ἔχειν ῥῆμα καὶ λαμβάνει γενικὴν συνυπακουομένου τοῦ ἕνεκα, οἷον ἄλις ἔχω δακρύων. ἐνίοτε δὲ ἔχει ἔξωθεν τὸ ἔχει προσυπακουόμενον καὶ λέγεται ἢ μετὰ εὐθείας μόνης. ὡς τὸ "ἄλις σῆς κόρης θά-

5. αὐτῆς] αὐτοῦ Gu.
27. ἀποσπάσῃς] μὴ ἀποσπάσῃς I.
ib. ἀντὶ τοῦ et καὶ ἐν τ. χαίρω addidi ex A.

νατος" ἀντὶ τοῦ ἱκανῶς ἔχει ὁ θάνατος τῆς σῆς κόρης. ἢ μετὰ γενικῆς ὅτε καὶ τὸ πρᾶγμα συνυπακούεται ὡς ἐνταῦθα "τῶν τεθνηκότων ἄλις," ἤγουν ἱκανῶς ἔχει τὸ πρᾶγμα ἕνεκα τῶν τεθνηκότων. B.

279.—281. ταύτῃ γέγηθα: ταύτῃ τῇ Πολυξένῃ χαίρω καὶ ἐπιλανθάνομαι τῶν ἐπισυμβάντων μοι κακῶν. A. ἐπὶ ταύτῃ χαίρω καὶ ἐπιλανθάνομαι τῶν κακῶν· ἤδ' ἀντὶ πολλῶν, πραγμάτων δηλονότι. ἔστι μοι παραμυθία καὶ παρηγορία, πόλις, τροφός, βακτηρία, ἡγεμὼν καὶ ἰδηγός ἰδοῦ. I. ὁ παρακείμενος ἀντὶ τοῦ ἐνεστῶτος, ὡς τὸ δέδοικα καὶ δέδορκα, ποιητικῶς. Gr.

279. κἀπιλήθομαι: καὶ ἐπιλανθάνομαι τῶν πρόσθεν δυστυχιῶν. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἐν ταύτῃ γὰρ δηλονότι τῇ Πολυξένῃ κἀγὼ χαίρομαι καὶ ἐπιλέλησμαι τῶν προτέρων κακῶν. Fl. 33.

280. ἤδ': ἀπίθανα ταῦτα (οὐ γὰρ ἔμελλε γηροβοσκεῖν ἡ Πολυξένη τὴν Ἑκάβην) ὅμως μέντοι πρὸς τὴν ἱκεσίαν τῆς μητρὸς χρήσιμα. A. M. Fl. 59. ἀντὶ πολλῶν: ἂν εἶχον. Fl. 17. αὕτη γάρ μοι καὶ ἀναψυχὴ ἀντὶ τῶν πολλῶν κακῶν ὧν ἔπαθον. Fl. 33. παραψυχή: παραμυθία. Gr. παράκλησις. Gu.

281. τιθηνή: τροφὸς τοῦ γήρως. Fl. 21. βάκτρον: ῥάβδος ἐπερειστική. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ἀσφάλεια. Fl. 17. κόσμος, τροφὸς, βακτηρία, παρηγορία τοῦ βίου. Fl. 33. βακτηρία. Gr. στήριγμα. Gu. πόλις: ἐνίοτε τὸ τεῖχος, ἄλλοτε ἡ γῆ, ἄλλοτε ὁ λαός. οὕτω καὶ οἶκος. ὁδὸς καὶ ἡ στράτα καὶ ἡ ἀφορμή, ὡς τὸ ἔσχεν ὁδὸν τοιαύτην ποιῆσαι τόδε. Gr.

282. οὐ τοὺς κρατοῦντας: τοὺς ἄρχοντας οὐ πρέπει κρατεῖν τῶν πραγμάτων ἐκείνων δηλονότι, ἃ μὴ χρεὼν, ἤτοι οὐ πρέπιν κρατεῖσθαι, οὐδὲ τοὺς εὐτυχοῦντας δοκεῖν καὶ νομίζειν πράττειν ἀεὶ εὖ, ἤτοι εὐτυχεῖν. I. οὐ τοὺς κρατοῦντας καὶ ἄρχοντας ἀνόμου καὶ κακῆς βουλῆς χρὴ ἔχεσθαι, ἀλλὰ πρὸς τὸ δίκαιον πίπτειν ἀεὶ τῶν μὴ προσηκόντων ἀπεχομένους, οὐδὲ τοὺς εὐτυχοῦντας ὑπολαμβάνειν ἀεὶ

12. χαίρομαι] Notandus Datismus.
14. ἀπίθανα scripsi ex A. pro ἀπίθανον. Sequentia ex M. correxi. Nam in A. est ἔμελλεν ἡ π. γηροβοσκεῖν (sic) τὴν ἑ. μὴ οὖσα μετ' αὐτῆς. ὅμως μέντοι πρὸς τὴν ἱκεσίαν:—in Fl. 59. est ἔμελλον γ. τὴν ἑ. ἡ π. ὅμως μέντοι χρῄζει μητρὸς ἱκεσίαν.
28. κρατοῦντας καὶ om. Gu.
29. βουλῆς χρὴ] χρὴ βουλῆς Gu.
ib. ἀλλὰ πρὸς] ἀλλ' ἐπὶ Gu.

εὐτυχήσειν. εἶπε δὲ ἄμφω διὰ τοὺς Ἕλληνας ὡς εὐτυχεῖς ὄντας καὶ ἄδικα περὶ τῆς Πολυξένης βουλευσαμένους. Gu. I.

τοὺς κρατοῦντας: τοὺς ἐν ἀρχαῖς ὄντας καὶ δυναμένους πράττειν, ἃ βούλονται οὐ χρὴ εἰς κακὸν χρῆσθαι τῇ ἐξουσίᾳ, εἰδότας ὅτι οὐκ ἐν τῇ αὐτῇ μενοῦσι τύχῃ. A. M. Fl. 10. 59. οὐ χρὴ τοὺς ἡγεμόνας πράσσειν ἅπερ μὴ πρέπει. Fl. 33. τοὺς δυναμένους, ὅθεν καὶ κράτωρ ποιητικόν, αὐτοκράτωρ κοινόν. Gr. κρατῶ τὸ δύναμαι ποιητικὸν, αἰτιατικῇ, καὶ κρατῶ τὸ κατέχω κοινόν· κρατῶ τὸ ἐξουσιάζω γενικῇ, κρατεῖ γαστρός. Gr. κρατεῖν, ἐξουσιάζειν. Fl. 17.

283. οὐδ' εὐτυχοῦντας: οὐδὲ τοὺς εὐτυχοῦντας δοκεῖν ἀεὶ ἔχειν καλῶς. Fl. 33. δοκεῖν: νομίζειν. Gr. ὑπολαμβάνειν. Gu.

284. κἀγὼ γὰρ ἦν: καὶ ἐγὼ γὰρ ὑπῆρχον εὐδαίμων ποτὲ, ἀλλὰ νῦν οὐχ ὑπάρχω, πάντα δέ μοι τὸν πλοῦτον μία ἡμέρα ἀφείλετο. I.

ἦν: εὐτυχὴς δηλονότι. Fl. 6. 9. 36. 59. 76. Gu. οὐκ εἰμὶ ἔτι: ἡ γὰρ εὐτυχία οὐκ ἔστιν ἄλλο ἢ εἶναι, ἡ δὲ δυστυχία οὐκ ἄλλο γ' οὐδὲν ἢ μὴ εἶναι. τὸ ἔτι δὲ εἶπεν ὡς πρὸς τὸν πρόσθεν χρόνον τὸ ἦν· τὰ γὰρ παρόντα τῶν πάλαι ὕστερά ἐστι καὶ ἐφεξῆς. Gu. I. οὐκ εἰμ' ἔτι εὐτυχὴς δηλονότι. M. οὐκέτι εἰμὶ, οὐδαμῶς εἰμί. Fl. 6. 9. 17. 21. 36. 59. 76. ποτὲ γὰρ καὶ ἐγὼ ὑπῆρχον βασιλὶς, ἀλλὰ νῦν οὐκ εἰμὶ ἔτι. Fl. 33.

285. ἦμαρ ἕν: ὅτε ἡ πόλις ἑάλω, ἡμέρα μία ἡ τῆς δυστυχίας. Gu. ἀφείλετο: ἐστέρησε. Fl. 17. ὅλον γάρ μοι τὸν πλοῦτον μία ἡμέρα ἀφάνισε. Fl. 33. ἀφείλετό με τόδε, ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, Ἀττικόν· ἀφειλετό μου τόδε κοινὸν, ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Gr.

286.—290. ἀλλ' ὦ φίλεν γένειον: ἁπτομένη τοῦ γενείου τοῦτό φησιν. ἀπὸ μέρους τὸ πᾶν· γένειον αἱ κατὰ τὰς σιαγόνας τρίχες, γένυς δὲ ἡ σιαγών. Gu. I. ἀλλ', ὦ Ὀδυσσεῦ, οἴκτειρεν καὶ ἐλέησον,

2. τῆς om. Gu.
3. πράττειν] ἄρχειν M.
5. μενοῦσι] μένουσι M.
16. τὸ ἦν om. I.
17. ἐστι] εἰσι Gu.
20. ἔτι Matth. pro τί.
26. ἁπτομένη—φησί] Haec addidit Kingius et exstant in Mosqu. et Gu. cui etiam τοῦ γενείου pro τῶν γενείων debetur. Hic omittit vv. ἀπὸ μ. τὸ πᾶν. et habet γένεια δὲ λέγεται αἱ κ. τ. σ. τρ. In sqq. King. αἱ ἐν τῇ σιαγόνι τρ. ut Gu. MATTH.

ἀπελθὼν δ' εἰς τὸν στρατὸν τῶν Ἑλλήνων παραίνεσον καὶ εἰπὲ ὅτι μέμψις καὶ δυσφημία ἐστὶν, ἀποκτείνειν καὶ φονεύειν τὰς γυναῖκας, ἃς κατ' ἀρχὰς οὐκ ἐφονεύσατε, ἀφελκύσαντες ἀπὸ τῶν βωμῶν, ἀλλ' ἠλεήσατε. I.

286. φίλον: προσφιλές. Fl. 17. αἰδέσθητι: αἰδῶς καὶ αἰσχύνη διαφέρει. αἰδὼς γάρ ἐστιν, ὥς φησιν Ἀριστόξενος ὁ μουσικὸς, ἡ ἐπ' ἀγαθοῖς βία καὶ ὑποστολὴ, αἰσχύνη δὲ ἐστιν ἡ ἐξ αἰσχρῶν πραγμάτων ἀτιμία καὶ κατήφεια. Cant. αἰδέσθητι: ἐντράπηθι. Fl. 17. 56. δυσωπήθητι. Fl. 6. 9. 21. 59. 76. Gu. ἀλλ', ὦ προσφιλέστατοι, τὸ γῆρας αἰσχύνθητε τὸ ἐμόν. Fl. 33.

287. οἴκτειρον: σὺ δὲ Ὀδυσσεὺς ἐλέησόν με καὶ πορεύθητι εἰς τὸν Ἑλληνικὸν στρατόν. Fl. 33.

ἐλθὼν εἰς Ἀχαϊκὸν στρατόν: σὺ, ὦ Ὀδυσσεῦ, ἐλθὼν εἰς τὸν τῶν Ἀχαιῶν στρατὸν παρηγόρησον, ἀντὶ τοῦ παρακάλεσον, εἰ παρηγόρευσας καὶ ἐδημηγόρησας πρὶν ὅτι καλόν ἐστι σφαγιάσαι τὴν Πολυξένην, ἕτερόν τι νῦν λέξον καὶ εἰπὲ ὅτι μέμψις ἐστὶν ἀποκτεῖναι γυναῖκας ὡς πρῶτον τοῦτο οὐκ ἐπράξατε ἀπὸ τῶν βωμῶν ἀποσπάσαντες, ἀλλ' οἰκτειρήσατε. νόμος δ' ὁ αὐτὸς κεῖται καὶ περὶ τῶν δούλων καὶ τῶν ἐλευθέρων μὴ φονεύεσθαί τινα, παρόσον καὶ ὁ δοῦλος φονεύσας τῷ αὐτῷ ἄγει ἐνέχεται. ἐὰν οὖν ταῦτα εἴπῃς τοῖς Ἕλλησιν, ἀκουσθήσῃ καὶ πείσεις αὐτούς. ὁ γὰρ εἷς λόγος καὶ ὁ αὐτὸς ὅταν ἐκ τῶν ἀδόξων καὶ ἐν δόξῃ ἐξέλθῃ, οὐ τὸ ὅμοιον δύναται, οὐ τὴν ὁμοίαν δύναμιν ἔχει. A.

288. παρηγόρησεν: παραίνεσον. ἔστιν ἀγορὰ, ἀφ' οὗ ἀγορεύω ῥῆμα, ἐξ οὗ σύγκεινται τό τε δημηγορῶ καὶ παρηγορῶ καὶ συνηγορῶ καὶ τὰ τοιαῦτα. I. ἀντὶ τοῦ παρηλλαγμένα ἀγόρευσον. Fl. 59. ἐνηλλαγμένα εἰπέ. Fl. 17. παρηγορῶ τὸ παραμυθοῦμαι καὶ τὸ παραινῶ. Fl. 6. 9. 21. 56. 59. 76. Gu. παράπεισον, νουθέτησον. M. Fl. 21. 33. τὰ ἐναντία ἀγόρευσον, ἤγουν παρ' ὃ ἠγόρευσας, εἰπέ. Gr. ἡ παρά τὴν παραλλαγὴν ἐνταῦθα δηλοῖ. Gu.

φθόνος: ἀντὶ τοῦ νέμεσις. διαφέρει γὰρ νέμεσις φθόνου. νεμεσῶσι μὲν γὰρ οἱ δίκαιοι τοῖς ἀναξίως εὐτυχοῦσι, φθονοῦνται δὲ οἱ

6. Ἀριστόξενος] Hoc ex Ammonio sumsit p. 5. ubi vid. Valck. et conf. Etym. Gud. p. 16, 15. et Gaisford. ad schol. Hesiodi p. 126.

26. παρηλλαγμένα Matth. pro παρηλειγμένα.

29. ἀγόρευσον—εἰπέ] παραίνεσον παρ' ὃ πρόσθε ἔφης ἀγόρευσον Gu.

καλοί. νεμεσήσειαν οἷν ὑμῖν...εἰ θεοὶ εἴ γε ἂς πρότερον τοῖς βωμοῖς τῶν θεῶν προσφυγούσας ἀποσπάσαντες οὐκ ἐκτείνατε εἰς τιμὴν θεῶν, νῦν φονεύσετε χαριζόμενοι τῷ Ἀχιλλεῖ. Ἄλλως. φθόνος νέμεσις. σημειωτέον δὲ ὅτι τὸν φθόνον νῦν ἐπὶ τοῦ μώμου τίθησιν, ὡς ἐν Θησεῖ "καίτοι φθόνου μὲν μῦθον ἄξιον φράσω," ἤτοι μέμψεως ἄξιον. A.M. ὅτι φθόνος ἀντὶ τοῦ μέμψις. M.

φθόνος: καταχρηστικῶς ἀντὶ τοῦ μέμψις. διαφέρει δὲ φθόνος μέμψεως, ὅτι ὁ μὲν φθόνος εἰς τοὺς καλοὺς καὶ ἀγαθοὺς ἀπὸ τῶν κακῶν, (φθονοῦνται γὰρ τὰ καλὰ τοῖς κακοῖς) ἡ δὲ μέμψις ἀπὸ τῶν καλῶν εἰς τοὺς κακούς τε καὶ πονηρούς. I. φθόνος, λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, ἐνταῦθα δὲ μέμψις. Gr. καὶ νέμεσις καὶ φθόνου ἔργον ἐστί. Gu. ψόγος. Fl. 59. ἄδικον. Fl. 21. μὴ διὰ φθόνον ἀποκτείνειν τὰς γυναῖκας. Fl. 33.

ὡς ἀποκτείνειν φθόνος γυναῖκας ἂς τὸ πρῶτον οὐκ ἐκτείνατε: τὸ μὴ φονευθῆναι τὴν ἀρχὴν, ἀλλ' ἐλεηθῆναι εὐτυχία τις ἦν. ὁ φθόνος δὲ πάσῃ εὐτυχίᾳ ἀντίκειται. εἰκότως οὖν τὸ φονευθῆναι τὰς ἠλεημένας φθόνου φησὶν ἀντὶ τοῦ φθόνου ἔργον. δύναται δὲ ἄνθρωπος ζήσας ἐκκρούειν τὸν φθόνον. ὅτε οὖν δύναται, εἰ μὴ ἐκκρούσει, ἄτοπον καὶ ὑπὸ μέμψιν ἐστίν. ἐνταῦθα οὖν οἱ Ἕλληνες εἰ μὴ ἐκκρούσουσι.. νάμενοι μέμψ...ὥστε τὸ φθόνος...το ταυτὸ δύναται.. φθόνου ἔργον...ψιν δυναμένην...πεπέμψ...μὴ προαι...διὸ τινὲς ἐνταῦθα συντομίᾳ χρώμενοι ἢ μᾶλλον ἀτελῶς νοοῦντες τὸ φθόνος ἀντὶ τοῦ μέμψις εἰρήκασιν. Gu.

289. τὸ πρῶτον: κατὰ τὴν γυναῖκα. Fl. 59. ἂς ἐν τῇ ἁλώσει τῆς Τροίας οὐκ ἐκτείνατε. Fl. 33.

290. βωμῶν: ἀπὸ τῶν νεῶν. Fl. 59. ἡνίκα ἀπὸ τῶν βωμῶν ἐξάραντες, ἀλλ' ἠλεήσατε. Fl. 33.

291.—295. νόμος δ' ἐν ὑμῖν: νόμος δ' ἐν ὑμῖν μήτε δοῦλον μήτε ἐλεύθερον φονεύεσθαι, παρ' ὅσον καὶ οἰκέτην κτείνας ἐνέχεται τῷ ἄγει τοῦ ἀνδροφόνου. Ἄλλως. ἐν ὑμῖν τοῖς Ἕλλησι νόμος κεῖται σωζόμενος τὸ ἴσον κρίνειν τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις περὶ θανάτου, οἷον, ὥσπερ ἐλεύθερόν τις ἀνελὼν τιμωρίαν δίδωσιν ὑπὲρ τοῦ

5. φθόνου μὲν] μὲν φθόνου M. Correctum ex A. in quo eadem fere sed vitiosius scripta leguntur, φθόνος μέμψις. σημεῖον δὲ ὅτι ἀντὶ τοῦ μώμου νῦν φθόνον τίθησιν, ὡς ἐν θησεῖ καίτοι φθόνου μὲν μῦθον ἄξιον φράσαι. ἄλλως. ἀντὶτοῦ νέμεσις—ἀχιλλεῖ. σημειωτέον δὲ ὅτι τὸν φθόνον νῦν ἀντὶ τῆς μέμψεως εἰρηκεν εὐριπίδης, ὡς εἰ καίτοι φθόνου μὲν μῦθον ἄξιον φράσω. ἤτοι μέμψεως ἄξιον.

φόνου, τὸν αὐτὸν τρόπον καὶ ὁ δούλος φονεύων ὑπεύθυνός ἐστι τῷ ἐγκλήματι τοῦ θανάτου. A.M. νόμος δ' ἐν ὑμῖν τοῖς Ἕλλησι κεῖται περὶ φόνου, ὅμοιος τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις. ἡ δὲ σὴ ἀξία, καὶ ἐὰν κακῶς λέγῃ, καταπείσει· λόγος γὰρ ὁ ἐξιὼν ἐκ τῶν ἀδικουύντων καὶ ἀτίμων καὶ ἐκ τῶν δικαίων, ἤτοι ἐξ ἐνδόξων καὶ ἐντίμων, οὐ τὴν αὐτὴν ἔχει δύναμιν. I.

νόμος: νόμος δὲ κεῖται ἐν ὑμῖν τοῖς Ἕλλησι περὶ φόνου ἴσος τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις, ἤγουν ἐν ἴσῳ κακῷ τάττουν τὸν τοῦ δούλου φόνον, ὃν αὐτὸς δηλονότι ὑπό τινος φονευθήσεται, καὶ τὸν τοῦ ἐλευθέρου. Gu.I. ἤγουν τοῦτο τὸ τοὺς τοῖς βωμοῖς καταφυγόντας μὴ κτείνειν νόμιμον ἡγεῖμεθα ἐπίσης καὶ δοῦλει καὶ ἐλεύθερει. Gu. I.

ἴσος: τάχα. Fl. 17. σημαίνει τὸ ἴσος ὅτι ὁ μὲν Ὅμηρος περισπᾷ αὐτὸ καὶ μακρὸν δέχεται, οὗτος δὲ ἐξύνει καὶ βραχὺ δέχεται. Fl. 59.

292. αἵματος: ἀπὸ τοῦ ἑπομένου, ἤγουν τοῦ αἵματις, τὸ προηγούμενον, ἤτοι ὁ φόνος. λέγεται δὲ αἷμα ὁ φόνος, καὶ τὸ γνήσιον αἷμα καὶ εἷς τῶν δ' χυμῶν. Gr.

293. τὸ δ' ἀξίωμα: τὸ δὲ σὸν ἀξιόλογον πρόσωπον. κἂν κακῶς λέγῃ καὶ παρὰ τὸ δίκαιον, ὅμως πείσει, πόσῳ γε μᾶλλον ὅτε καὶ ἔννομα; A.M.

ἀξίωμα: ἡ τιμιότης. Gr. τὸ μέγεθος, ἡ ἀξία ἡ σή. Gu. κακῶς: ἀδίκως. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. παραλόγως. Fl. 59. ἀσυμφόρως καὶ μὴ κατὰ γνώμην τῷ πλήθει. Gu. τὸ σόν: στόμα. Fl. 59.

294. λόγος γάρ: ὁ γὰρ αὐτὸς λόγος ἔκ τε τῶν ἀδόξων καὶ τῶν ἐνδόξων λεγόμενος οὐ ταυτὸν ἰσχύει καὶ δύναται, ἀντὶ τοῦ δυνατὸς γίνεται, κἂν ᾖ φαῦλος ὁ παρὰ τοῦ ἐνδόξου λεγόμενος. A.M. ἰών: ἐρχόμενος. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐλθών. Gr. λεγόμενος. Fl. 10.

295. δικαίων: ἐκ τῶν δοξαζομένων. A.M. ἐντίμων. Gr. ἐνδόξων. τῶν φαινομένων τε καὶ λαμπρῶν· εἰ γὰρ ἄδοξοι ὥσπερ ἀφανεῖς κρύπτονται. Gu. οὐ ταυτὸν σθένει: οὐ τὴν αὐτὴν δύναμιν δύναται [φονευθησόμενος καὶ τοῦ ἐλευθέρου]. Fl. 6. 9. 21. 56. 59. 76.

18. πόσῳ—ἔννομα] Haec etiam in Fl. 10. et omisso ὅτε in gl. interl. M.

32. Quae uncis inclusi, haud dubie e scholio ad v. 291. huc retracta sunt. Cetera sunt etiam in Gu.

296. οὐκ ἔστιν οὕτω στερρός: τὸ ἑξῆς, οὐχ οὕτως ἐστὶ στερρὸς φύσις ἀνθρώπου ἥτις οὐκ ἂν ἐκβάλει δάκρυον τῶν γόων τῶν σῶν καὶ τῶν ὀδυρμάτων τοὺς θρήνους ἀκούσασα. Ἄλλως. ἀντὶ τοῦ...τῶν ὀδυρμάτων. τὸ δὲ στερρός ἀντὶ τοῦ στερρά, Ἀττικὸν σχῆμα ὡς "κλυτὸς Ἱπποδάμεια." A.

296.—298. οὐκ ἔστιν οὕτω στερρός: οὐκ ἔστι φύσις ἀνθρώπου οὕτω στερρὰ καὶ σκληρά, ἥτις, ἀκούσασα τοὺς θρήνους τῶν σῶν γόων καὶ τῶν πολλῶν ὀδυρμάτων, οὐκ ἂν ἐκπέμψοι δάκρυον. I.

296. στερρός: ἀντὶ τοῦ στερρά, ὡς "κλυτὸς Ἱπποδάμεια." Ἀττικὸν δὲ τὸ σχῆμα. M. οἱ Ἀττικοὶ τὰς εἰς α καὶ εἰς η λήγουσας εὐθείας διὰ τοῦ ος λέγουσιν, οἷον ἡ οὐράνιος, ἡ θεὸς, ἡ στερρός. I. τὰ παρ' ἡμῖν ἐκφερόμενα εἰς ᾱ καὶ εἰς η̄, οἷον ἡ στερρὰ καὶ ἡ κλυτὴ. παρ' Ἀττικοῖς εἰς ος ἐκφέρεται, "κλυτὸς Ἱπποδάμεια," καὶ ἐνταῦθα στερρὸς φύσις· τὰ δὲ παρ' ἡμῖν ἐκφερόμενα εἰς ος̄ παρ' Ἀττικοῖς εἰς ᾱ ἐκφέρεται, οἷον λέγομεν ἡμεῖς ἡ οὐράνιος, ἐκεῖνοί φασιν ἡ οὐρανία. Gu. τὰ εἰς ᾱ λήγοντα θηλυκὰ εἰς ος̄ λήγουσιν οἱ Ἀττικοὶ, εἰ καθαρὰ τύχοι ὄντα, ἁγία ἅγιος, ἢ τὸ ρ ἔχουσι, στερρὰ στερρός. Gr. στερρὰ ὡς τὸ "κλυτὸς Ἱπποδάμεια" ἀντὶ τοῦ κλυτή. ἔστι δὲ Ἀττικὸν, εὑρισκόμενον καὶ παρὰ λογοποιοῖς. Gu. τὸ οὕτω πρὸς τὸ ἥτις ἔχει τὴν ἀπόδοσιν. ἐπάγομεν γὰρ καὶ οὕτω τὰς ἀποδόσεις τοῦ οὕτως καὶ τοῦ τοσοῦτον, οἷ μόνον πρὸς τὸ ὡς. Gu. φύσις: προαίρεσις. Gr.

297. γόων: θρήνων. Fl. 17. 59. μακρῶν: ὑψηλῶν, ὀξυφώνων. Gr. πολλῶν. Gu. ὀδυρμάτων, θρηνημάτων. Fl. 59. τῶν σῶν θρήνων καὶ τῶν μεγάλων κλαυθμῶν εἰσακούουσα οὐχὶ ὀακρύσει. Fl. 33. τοὺς θρήνους τῶν ὀδυρμάτων. M.

298. θρήνους: κλαυθμούς. Fl. 59.

299. πρόστασις προσφωνηματικὴ μετ' ἐπιτιμήσεως. Gu. Ἑκάβη, διδάσκου: ὦ Ἑκάβη, διδάσκου, ἤτοι μάνθανε, μηδὲ τῷ θυμουμένῳ, μέρει τῆς ψυχῆς δηλονότι, πειθῦ δυσμενῆ καὶ ἐχθρὸν ἐν τῇ φρενὶ καὶ τῷ λογισμῷ. I.

διδάσκου: μάνθανε παρ' ἐμοῦ. Fl. 21. ὑπ' ἐμοῦ, ὃ ἀγνοεῖς. Gr. γνῶσιν λάμβανε οἰκεῖον, μάνθανε, σωφρόνει. Gu. μηδὲ τῷ θυμουμένῳ: τῷ θυμοῦσθαι μέρει τῆς ψυχῆς. λέγει δὲ τῷ θυμουμένῳ μέρει τῆς ψυχῆς, τουτέστι τῷ θυμοειδεῖ. M. μηδὲ ἐν τῇ ἐνούσῃ σοι ὀργῇ χάριν τοῦ σφαγῆναι τὴν Πολυξένην ἐπολάμβανε ἐχθρόν μοι

ἐν σῇ διανοίᾳ... τὸν μὴ ἐλκύσαντα ἐν βίᾳ ἀπὸ τῶν σῶν ἀγκαλῶν τὴν Πολυξένην, ἀλλὰ λέγοντά σοι παραδοῦναι αὐτήν. A. εἰς τρία μεριζομένης τῆς ψυχῆς, εἰς λογικὸν, θυμικὸν καὶ ἐπιθυμητικὸν, ὅτε μέν ἐστι τὸ λογικὸν καθαρὸν, διακρίνει καὶ λογίζεται τὰ πρασσόμενα καὶ καλῶς ἔχοντα, σκοτίζεται δὲ ὑπὸ τοῦ θυμικοῦ καὶ ἐπιθυμητικοῦ καὶ ὑπὸ ἄλλου τινὸς συναντήματος, κἀντεῦθεν οὐ συγχωρεῖται λογίζεσθαι τὰ δέοντα. I. οἱ μὲν τῷ θυμουμένῳ τῷ θυμικῷ φασι τῆς ψυχῆς μέρει. τρία δὲ μέρη τῆς ψυχῆς, λογικὸν, θυμικὸν καὶ ἐπιθυμητικόν. καὶ τὸ μὲν θυμικὸν ἔγκειται παρὰ τὴν καρδίαν, τὸ ἐπιθυμητικὸν δὲ παρὰ τὸ ἧπαρ, τὸ δὲ λογικὸν παρὰ τὸν ἐγκέφαλον, ὃ καὶ λόγου αὐτοκράτορος ἐπέχει πρὸς ἐκεῖνα, τὰς ἀτάκτους ὁρμὰς αὐτῶν καταστέλλου καὶ οὐκ ἐῶν ἀλόγως φέρεσθαι. ἐγὼ δὲ ἐνταῦθα θυμουμένῳ λέγω τῷ θυμῷ· ὥσπερ γὰρ φαμὲν βουλόμενον οὐ μόνον τὸ θέλου τι, ἀλλὰ καὶ τὴν βούλησιν αὐτὴν, καὶ μεμνημένου οὐ μόνον τὸ μνείαν ἔχου τινὸς, ἀλλὰ καὶ τὴν μνήμην αὐτὴν, καὶ ὑπήκοον οὐ μόνον τὸ ὑπακοῦόν τινος, ἀλλὰ καὶ τὴν ὑπάκουσιν αὐτὴν, οὕτω καὶ θυμούμενον οὐ μόνον τὸ θυμῷ κατεχόμενον, ἀλλὰ καὶ ὁ θυμὸς αὐτός. I. Gu. ὑπὸ τοῦ θυμικοῦ τῆς ψυχῆς μέρους ἤγουν ἐν τῷ θυμῷ. Gu. θυμουμένῳ: ὑπὸ τοῦ μέρους τοῦ θυμικοῦ. Fl. 6. 9. 17. 21. 56. 59. 76. τῷ θυμώδει μέρει τῆς ψυχῆς, ἤτοι τῷ θυμοειδεῖ. Fl. 10.

300. εὖ λέγοντα: καλῶς συμβουλεύοντα. Fl. 17. συμβουλευόμενον. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ποιοῦ φρενί: νόμιζε κατὰ τὸν λογισμόν. Fl. 6. 9. 17. 21. 56. 76. νόμιζε, πρᾶττε κατὰ τὸν λογισμὸν, κατὰ τὴν διάνοιαν. Fl. 59. τὸν καλῶς λέγοντα ποιεῖ τὸ περισσὸν φρόνημα. Fl. 33. ποιοῦ: ἡγοῦ. Gr. νόμιζε, λογίζου. Gu. φρενί: νοΐ. Gr. κατὰ τὸν λογισμόν. θυμὸς γὰρ τὰς φρένας ἐξίστησιν. Gu.

301.—305. συγγνώμην ἑαυτῷ κατασκευάζει ἐν τούτοις πιθανῶς

9. ἐπιθυμητικὸν δὲ] δὲ ἐπιθυμητικὸν I.

10. λογικὸν] λογιστικὸν I.

ib. αὐτοκράτορος ἐπέχει] αὐτοκράτορα ἔχει I.

11. τὰς ἀτάκτους—φέρεσθαι om. I.

13. τὸ θέλου τι] τὸν θέλοντα I.

14. τινός om. I.

15. καὶ ὑπήκοον—αὐτήν om. I.

17. ὁ θυμὸς αὐτός] τὸν θυμὸν αὐτόν I. Ceterum pars hujus scholii est etiam in B, sic scripta, τινὲς τῷ θυμουμένῳ τῷ θυμικῷ φασὶ τῆς ψυχῆς μέρει· ἐγὼ δὲ ἐνταῦθα—οἱ μόνον τὸν θέλοντα—οὐ μόνον τὸν μνείαν ἔχοντα, ἀλλὰ καὶ—οὕτω καὶ θυμούμενον τὸν θυμὸν οἰκεῖον ἔστιν εἰπεῖν:—

24. Scholion mutilum, sic fortasse supplendum: τὸν κ. λ. νόμιζε ἐχθρόν· τοῦτο γὰρ ποιεῖ τὸ περισσὸν φρόνημα vel simile quid. MATTH.

ἐκφεύγων τὴν ἀξίωσιν τῆς Ἑκάβης μετατιθέμενος τὴν αἰτίαν. Gr. ἐγὼ τὸ μὲν σόν: οἱ μὲν τῆς Ἑκάβης λόγοι παρασκευῇ ἐοίκασιν, οἱ δὲ τοῦ Ὀδυσσέως ἀνασκευῇ. ἐγὼ τὸ μὲν σὸν σῶμα, ὑφ' οὗπερ εὖ ἔπραττεν, ἕτοιμός εἰμι καὶ πρόθυμος ῥύεσθαι· ἃ δ' εἶπον ἐνώπιον πάντων οὐκ ἀρνήσομαι, λέγω, πορθηθείσης τῆς Τροίας, δοῦναι θῦμα τὴν σὴν παῖδα τῷ Ἀχιλλεῖ, αἰτοῦντι αὐτὴν δηλονότι. I.

301. τὸ σὸν σῶμ': ἤγουν σέ. Fl 6. 9. 21. 56. 59. 76. σέ. συνεκδοχικόν. Gr. ηὐτύχουν: καὶ γὰρ σοῦ σωσάσης με ηὐτύχουν ἐν τῷ φάει. Fl. 21. εὖ ἔπραττον. Gr. ἐσωζόμην. ὅτε ἐφωράθην κατάσκοπος. Gu.

302. ἕτοιμός εἰμι: πρόχειρος ὑπάρχω. Fl. 59. ἄλλως: ὁ ἀλλοτρόπως λέγων, καὶ οὐχ ὡς δοκεῖ, τοῖς ἀκούουσι μάταια λέγει· ἄλλο γὰρ οἱ λόγοι αὐτοῦ βούλονται. Bar. 74. Gu. ἄλλως: μάτην. Fl. 6. 9. 17. 21. 56. 59. ἀλλοτρόπως. Fl. 76. καὶ οὐ ματαίως λέγω. Fl. 33. μάτην, ἢ οὐκ ἄλλως ἢ φρονῶ. Gr.

303. τὸ ἃ δ' εἶπον πρὸς τὸ δοῦναι σύναπτε τῇ ἐννοίᾳ, τὸ δὲ οὐκ ἀρνήσομαι διὰ μέσου ἐτέθη. Bar. 74. Gu. εἶπον: ἔλεξα. Fl. 59. ἅπαντας: ὅλους τοὺς Ἀχαιούς. Fl. 59. τοὺς Ἕλληνας. Fl. 6. 9. Gu. κατέναντι πάντων Ἑλλήνων. Fl. 21. 56. ἀρνήσομαι: τὸ ἀρνεῖσθαι ἐναντίον τοῦ ὁμολογεῖν, ὥστε τὸ οὐκ ἀρνεῖσθαι ταυτὸν τῷ ὁμολογεῖν. Gu. I. ἀρνηθείην, τουτέστιν ὁμολογήσομαι. Fl. 59. τουτέστιν ὁμολογήσω. Fl. 6. 9. 21. 56. 76. Gr. ἀλλ' ὁμολογήσω. Fl. 17.

304. ἀλούσης: κατασχεθείσης. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. πολέμῳ ἁναλωθείσης. Gr. κρατηθείσης. Fl. 59. δεικνύει τὸ ῥηθὲν παρ' αὐτοῦ εἰς πάντας. Fl. 21. τῷ πρώτῳ στρατοῦ: τῷ ἀχιλλεῖ. M. Gu. τὸ πρῶτον λαμβάνεται ἐνίοτε μὲν ἐπὶ τάξεως, ἐνίοτε δὲ ἐπὶ ἀπαριθμήσεως· ἐνταῦθα δὲ ἐπὶ τάξεως λέγεται. Gu. I. πρώτῳ: ἤγουν τῷ στρατῷ. Fl. 17. ἐν τῷ τῆς ἀριστείας ἀξιώματι. Gu. πολιορκουμένης δηλονότι τῆς Τροίας, τῷ ἀνδρὶ τῷ πρώτῳ καὶ ἐνδόξῳ Ἀχιλλεῖ ἐξαιτουμένῳ τὴν σὴν παῖδα Πολυξένην σφαγιασθῆναι. Fl. 33.

305. σὴν παῖδα: ἀπὸ κοινοῦ τὸ εἶπον. M. λείπει τὸ κατὰ Ἀττικῶς. Gu. σφάγιον: θυσίαν. Fl. 59. εἶπον ἐγὼ δηλονότι δοῦναι αὐτῷ. Fl. 21.

16. σύναπτε] συνάπτεται Gu. 27. ἀπαριθμήσεως] ἀριθμήσεως I.

306.—312. ἐν τῷδε γάρ: ταῦτα εἶπεν· εἰ γάρ τις ἀριστεύσας μηδὲν πλέον τῶν δειλῶν ἀπενέγκηται, οἱ λοιποὶ ἀριστεῖς κινδύνου καταλαμβάνοντος τὴν πόλιν οὐκ ἂν ἔλοιντο ὑπερμαχεῖν τῆς πατρίδος ὁρῶντες τοὺς πριαριστεύαντας μηδενὸς γέρως τετυχηκότας. καὶ οὕτω συμβαίνει τὰς πόλεις κάμνειν μὴ ἐχούσας τοὺς πρακινδυνεύοντας. τούτῳ γὰρ, φησὶ, τουτέστι τῷ Ἀχιλλεῖ, ἐξαιτησαμένῳ τὴν σὴν θυγατέρα σφάγιον συνοίσειν τοῖς Ἕλλησιν ἐπιδοῦναι. A.M. διὰ τοῦτο γὰρ δυσπραγοῦσιν αἱ πλείους πόλεις, ὅταν τις ἀγαθὸς καὶ ἀνδρεῖος ἀνὴρ ἀπολαύῃ περισσότερον μηδὲν τῶν φαύλων τε καὶ δειλῶν. ἐν ἡμῖν δὲ ὁ Ἀχιλλεὺς ἄξιός ἐστι τιμῆς καὶ δόξης, ὦ γύναι, θαιὼν ὑπὲρ τῆς Ἑλλάδος ἐνδεξότατα· ἐπεὶ ἄσχημον καὶ ἀπρεπές ἐστιν, εἰ ζῶντι μὲν ἐκείνῳ ἐχρώμεθα φίλῳ, ἀφ' οὗ δ' ἐφθάρη, μηκέτι χρώμεθα, φίλῳ δηλονότι. I.

ἐν τῷδε γὰρ κάμνουσιν: ἐν τῷδε γὰρ δυστυχοῦσι καὶ ἀφανίζονται αἱ πολλαὶ πόλεις, τῷ μὴ τιμᾶσθαι δηλονότι τοὺς ἀγαθοὺς καὶ γενναίους ἄνδρας. A.

ἐν τῷδε: τῷ πράγματι. Fl. 56. ἐν τούτῳ γὰρ πάσχουσιν ἐμφανίζονται αἱ πλεῖσται πόλεις. Fl. 33. διὰ τόδε. Gr. διὰ τοῦτο. τῷ μὴ τιμᾶσθαι δηλονότι τοὺς ἀγαθοὺς καὶ γενναίους ἄνδρας. Gu. ἡ ἐν ἐνίοτε ὀηλοῖ τὴν εἴς τι πρᾶγμα κατάληξιν, οἷον ἦλθεν ἐν τῇ ἐκκλησίᾳ, ἄλλοτε αἰτίαν ὡς ἐνταῦθα. οὕτω καὶ ἡ εἰς, ἦλθεν εἰς τὴν ἐκκλησίαν καὶ ἦλθεν εἰς τὸ δημηγορῆσαι. Gr. ἐν τῷδε γὰρ κάμνουσιν: δια τοῦτο δυστυχοῦσιν. M. δυστυχοῦσι. Fl. 17. 21. 59. Gr. αἱ πολλαί: αἱ πλείονες. Fl. 21. Gr.

307. πρόθυμος: πρὸς πᾶν ἔργον, οἷος ὁ τοῦ Πηλέως. Gu. ὢν: ὑπάρχων. Fl. 17. ὅτι ὁ ἐσθλὸς καὶ ἀγαθὸς καὶ ἀνδρεῖος καὶ ἐμπρόθυμος ἄνδρας, ἵνα διαφέρει ἐπὶ πολὺ τῶν μικρῶν. Fl. 33.

308. φέρηται: ἀπολάβῃ. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἔχῃ. Fl. 59. προτιμᾶται. Gu. κακιόνων: κακῶν ἤγουν δειλῶν. Fl. 9. 17. 56. 76. τῶν δειλῶν καὶ ἀνάνδρων. M. Fl. 21. 59. τῶν κακῶν. Gr. ἢ δειλῶν, τῶν χειρόνων αὐτοῦ ἀνδρῶν. Gu.

309. ἐπιχείρημα ἀπὸ προσώπου. Gr. ἡμῖν: παρ'. Fl. 6. 9. 56. 76. Gr. παρ' ἡμῖν ὑπάρχει. Fl. 59. τιμῆς: δόξης. τιμὴ ἡ δόξα καὶ τὸ εἰς ὠνὴν διδόμενον. Gr.

310. Ἑλλάδος: οἱ Ἀττικοὶ λαμβάνυσι τὸ ἁπλοῦν ἀντὶ κτητι-

1. ταῦτα —] Haec ad ἃ δ' εἶπεν v. 303. relata in A.M.

κοῦ, οἷον Ἑλλάδος τῆς Ἑλληνικῆς· οἱ δὲ Ἴωνες τοὐναντίον, οἷον αἱ παρθενικαὶ ἀντὶ τοῦ αἱ παρθένοι. Gu. κάλλιστα: καλλίστως. Gr. ὡς κάλλιστος ἀνήρ. Gu. ἐνδοξόταται. Gu.

311. οὐκοῦν τόδ' αἰσχρόν: οὐκοῦν κακόν ἐστι τοῦτο καὶ ἄδικον, ἐάν, ὅταν ζῇ τις, φίλον αὐτὸν ἔχωμεν, ὅταν δὲ τελευτήσῃ, μή. A.

οὐκοῦν: τολοιπόν. Fl. 59. τὸ οὖκουν ποτὲ μὲν ἀντὶ τοῦ οὐδαμῶς νοεῖται, ποτὲ δὲ ἀντὶ τοῦ τοίνυν, ὡς ἐνταῦθα. Gu. βλέποντι: ἀντὶ τοῦ ζῶντι. M. Gr. ὁ γὰρ βλέπων ζῇ, ὁ δ' ἀποθανὼν οὔ. Gu. φίλῳ: προσφιλές. Fl. 35. ἐπιχείρημα ἀπὸ χρόνου. Gr. βλέπει τίς τι καὶ βλέπει ἀντὶ τοῦ οὐ τυφλός ἐστιν ἀμετάβατον, καὶ βλέπει ἀντὶ τοῦ ζῇ, ἀπὸ τοῦ ἑπομένου τὸ προηγούμενον, ὡς ἐνταῦθα. Gr.

312. ἐπεὶ δ' ὅλωλε: ἐπειδὴ ἐφονεύθη. Fl. 33.

313. εἶεν: ἔστω ταῦτα. I. εἶεν ἀντὶ τοῦ, ταῦτα μὲν οὕτως ἐχέτωσαν, ἔστω ταῦτα. Fl. 59. ἀντὶ τοῦ, ἔστω ταῦτα, ἃ εἴπομεν δηλονότι. Fl. 21. ἔσται. Fl. 33. ταῦτα οὕτως ἔχει, τὰ δὲ ἑξῆς οὕτως. Gr. ἔστω ταῦτα. Gu. ἤγουν ταῦτα οὕτως ἔχουσιν. ἔστι δὲ τὸ εἶεν τῆς πρώτης ἐννοίας ἀποθετικόν, ἀρκτικὸν δὲ τῆς μετὰ ταῦτα. ἔστι δὲ ἀπόθεσις τὸ σχῆμα Ἀττικὴ καὶ ῥητορική. Gu. τοῦτο λέγεται κατὰ ῥήτορας ἀπόθεσις τῶν λεχθέντων καὶ ἔναρξις τῶν λεχθησομένων. Gr. τὸ εἶεν ποτὲ μέν ἐστιν ἐπίρρημα ἀποθετικὸν καὶ προκαταστατικὸν τῶν τε εἰρημένων καὶ ῥηθησομένων ὡς ἐνταῦθα, καὶ παρὰ Σοφοκλεῖ "εἶεν· τί δῆ σει παῖς ὁ τοῦ Λαερτίου," ποτὲ δέ ἐστι ῥῆμα ὡς τὸ "τίνες ἂν εἶεν." B.

τί δῆτ' ἐρεῖ τις: κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν, τί ἐρεῖ τις, ἐὰν πάλιν γένηται σύναγμα στρατοῦ καὶ ἀνάγκη τῶν πολεμίων; πότερον μαχεσόμεθα, ἢ φιλοζωήσομεν καὶ δειλιάσομεν, τὸν ἀποθανόντα βλέποντες οὐ δεξαζόμενον; ἀλλὰ καὶ ἐμοί, ἐν ὅσῳ μὲν ζῶ, κατὰ τὸν καιρὸν τῆς ζωῆς μου, πάντα ἱκανὰ καὶ ἀρκοῦντα μέλλουσιν εἶναι, κἂν μικρὰ ταῦτα ὦσι· τὸν ἐμὸν δὲ τάφον βουλεύμην ἂν ὁρᾶσθαι τιμώμενον· ἐπὶ πολὺ γὰρ ἡ χάρις, ἤγουν ἡ τιμή, διὰ μακροῦ

23. Σοφοκλεῖ] Aj. 101.

31. ἤγουν—] Haec King. et Musgr. inter scholia posuerunt, sed ita: διὰ μακροῦ γὰρ χρόνου ἡ τιμὴ ἡ διὰ τοῦ τύμβου· ἤγουν ἡ τιμὴ etc. Verba ὁ γὰρ ἐρῶν τοῦτον τιμᾷς (unde correxi quod est in I. τὸν τῆς τιμῆς)—περιών sunt in Gu. In Gr. est gl. χρόνοι (ad μακροῦ) et ἡ τιμὴ ἡ διὰ τοῦ τύμβου (ad χάρις), in Gu. διὰ μακροῦ χρόνου.

γίνεται καὶ πολυχρονία, ταῖς διαδεχαῖς αὐξανομένη· ὁ γὰρ ὁρῶν τοῦτον τιμῆς ἀξιούμενον πρὸς τὸν ἐγκείμενον ἀνάγει τὸν νοῦν, ἡγούμενος αὐτὸν μηδ' ἂν μετὰ θάνατον οὕτως τιμᾶσθαι, εἰ μὴ πολλοῦ τινος ἄξιος ἦν περιών. I.

τί δῆτ' ἐρεῖ τις: τί δῆτα εἴποι τις, ἐὰν πάλιν ἄθρησις φανῇ στρατοῦ καὶ μάχη; πολεμήσομεν, ἢ φιλοψυχήσομεν ὁρῶντες μὴ τιμωμένους τοὺς θανόντας ὑπὲρ τῆς πόλεως; δῆλον ὡς φιλοψυχήσομεν. A.

ἐρεῖ: λέξει ὁ ἄνθρωπος ἐκεῖνος. Fl. 59. καὶ τί λοιπὸν εἴποι. Fl. 56. λέξει. Fl. 6. τί δὲ ἐρεῖ τις ἀνθρώπων. Fl. 21. αὖ φανῇ: τὶς πάλιν φανερωθῇ. Fl. 33.

314. ἄθρησις: συναγωγή, σύναξις. Fl. 21. 59. ἀγωνία: βία. Fl. 6. 9. 17. 21. 56. 59. 76. φόβος. Fl. 59. Gu. ἀγωνία: ἀγών. Gr. ἀγὼν λέγεται ἡ μάχη, ἀγωνία δὲ φόβος ἀστοχίας γινομένου τινὸς πράγματος. καὶ ἀπὸ τοῦ πράτου γίνεται ῥῆμα ἀγωνίζομαι, ἀπὸ δὲ τοῦ δευτέρου ἀγωνιῶ. κατὰ δὲ Ἀττικοὺς λέγεται ἀγωνία καὶ ὁ ἀγών, ὡς ἐνταῦθα. Gr. ἄμιλλα, ἢ φόβος, βία, ἀνάγκη. Gu.

315. πότερα: ἀντὶ τοῦ πότερον, Ἀττικῶς. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. μαχούμεθ': μαχεσόμεθα. Florr. πολεμήσομεν. Gr. φιλοψυχήσομεν: φιλοζωήσομεν μὴ μαχόμενοι. M. τὴν ζωὴν ἀγαπήσομεν. Fl. φιλοζωήσομεν, δειλιάσομεν, δειλανδρήσομεν. Gu.

316. κατθανόντ': τὸν φονευθέντα. τὸ κατθανεῖν ἐπὶ βιαίου θανάτου λέγεται, ὡς τὸ ἐκθανεῖν καὶ ἐξέθανε παρ' Ἀττικοῖς. Gr. τὸν τεθνανατωμένον ὁρῶντες. Fl. 33. τιμώμενον: οὐ τιμὴν λαμβάνοντα. Fl. 17. καὶ οὐ διὰ τιμῆς ἔχοντα. Fl. 59.

317. καὶ μὴν ἔμοιγε ζῶντι: εἰ ἐν τοῖς ζῶσίν εἰμι καὶ μετρίως εὐτυχοίην, ἀρκούντως ἂν ἔχοι. θανὼν δὲ βούλομαι τιμᾶσθαι καὶ κλέος ἔχειν ἀοίδιμον παρὰ τῶν ζώντων τιμώμενος. A.

καθ' ἡμέραν: κατὰ τὴν ζωήν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. ἑκάστην, τὴν παροῦσαν. Gu. Σωκρατικὸς καὶ οὗτος ὤν, καὶ τὴν ψυχὴν νομίζων καὶ μετὰ τὸν θάνατον ἐν τῷ Ἅιδῃ ζῆν, διαστέλλων ἐκείνης τῆς ζωῆς ταῦτά φησιν· ζῶντι καθ' ἡμέραν, ἤγουν κατὰ ταύτην τὴν ἡμέραν, ἣν ὁ ἥλιος ποιεῖ, ἀντὶ τοῦ ἐν τούτῳ

τῷ τόπῳ, ἔνθα ἡ ἡμέρα καὶ ὁ ἥλιος, καὶ οὐκ ἐν τῷ Ἅιδῃ δηλονότι. Gu.

318. ἔχοιμι: ἔχω. Fl. 59. κεἰ σμίκρ' ἔχοιμι: ἤγουν μικρὰν καὶ ὀλίγην τιμὴν ἔχω. Gu. ἀρκούντως: ἀρκετῶς, ἱκανῶς. Fl. 6. 59. 17. 21. 56. 59. 76. ἔχοι: διακέοιντο. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὅτι καθ' ἡμέραν καίπερ μικρὸν προστιθεὶς αὐξάνω τὴν δόξαν μου. Fl. 10.

319. ἀξιούμενον: ἔνδοξον. Fl. 6. 9. 17. 21. 56. 76. τιμώμενον, ἄξιον τιμῆς νομιζόμενον. M. Fl. 10. 59. τιμώμενον, ἔνδοξον. Gr. τὸ ἂν πρὸς τὸ ὁρᾶσθαι σύναπτε, οὐ πρὸς τὸ βουλεύμην. Gu.

320. ὁρᾶσθαι: κατανοεῖν. Fl. 59. φαίνεσθαι. Fl. 21. Gu. διὰ μακροῦ: πολυχρόνιος. Fl. 59. χάρις: δόξα. Fl. 59. ἐπὶ πολὺν γὰρ χρόνον μένει ἡ δόξα. M. Fl. 21. ἐπὶ πολὺ γὰρ ἡ δόξα καὶ πολυχρόνιος γίνεται κατὰ διαδοχὴν αἰξανομένη. A. χάρις τὸ ὦρεν, καὶ πᾶν ᾧ ἄν τις ἀρέσκοιτο καὶ θέλγοιτο, καὶ Χάριτες αἱ ἐπιτροπεύουσαι θεαί. τρεῖς δὲ αὗταί εἰσιν. B.

321.—324. εἰ δ' οἰκτρὰ πάσχειν: εἰ δὲ λέγεις πάσχειν ἐλεεινὰ, ἀντάκουέ μου τάδε· ὑπάρχουσι παρ' ἡμῖν γραῖαι γυναῖκες, οὐχ ἧσσον ἐλεεινότεραί σου, καὶ νύμφαι στερόμεναι τῶν νυμφίων. εἰς ἡ Τρωϊκὴ γῆ καλύπτει. ὑπόμενε ταῦτα. ἡμεῖς δὲ εἰ κακῶς νόμους τιθέαμεν δοξάζειν τὸν ἀνδρεῖον, μωρίαν χρεωστήσομεν. I.

321. εἰ δ' οἰκτρὰ πάσχειν φῄς: εἰ δὲ οἰκτρὰ πάσχειν λέγεις, ταῦτα ἀντάκουέ μου. εἰσὶ καὶ παρ' Ἕλλησι γυναῖκες αἱ μὲν παίδων ἐστερημέναι, αἱ δὲ νυμφίων, οὕστινας ἐν τῇ Τροίᾳ σφαγέντας ἡ Τρωϊκὴ κόνις κρύπτεται. A.

εἰ δ': ἀντίθεσις· ἐλεεινὰ ἀξία. Fl. 59. ἐὰν δὲ ἐλεεινὰ ὑπομένειν λέγεις, τάδε κἀμοῦ ἄκουσον. Fl. 33. ἀντάκουέ μου: ἀποκρινομένου ἄκουέ μου. Bar. 74. Gr. ἐξ ἐναντίου. Gu.

322. ἡμῖν: ἐν τῇ Ἑλλάδι δηλονότι. Fl. 10. 59. τοῖς Ἕλλησι. Fl. 21. Gu. οὐδὲν ἧσσον: μᾶλλόν σου M. Fl. 6. 9. 17. 21. 76. Gr. ἀλλὰ μᾶλλον. μᾶλλον καὶ ἔλαττον. M. Fl. 76. ἄβλιαι: ἐλεειναί. Fl. 59. εἰσὶ γὰρ καὶ παρ' ἡμῖν τοῖς Ἕλλησιν, οὐδὲ ἐλείποντο τῆς

18. μου Matth. εἴ μου I. ἔκ μου 28. ἄκουέ μου] μου ἄκουσον Gr. Barn.

ἀθλιωτάτης σὺν γυναῖκες γραῖαι ταλαιπωρούμεναι, γυναῖκες ἀρίστων ἀνδρῶν καὶ στερισκόμεναι τῶν ἰδίων ἀνδρῶν. Fl. 33.

323. γραῖαι: ἀπὸ τοῦ ῥῶ, τὸ φθείρω. ῥέα καὶ γραῖα ἡ διεφθαρμένη ὑπὸ μακρῶν χρόνων. τὸ γὰρ ῥῶ πέντε σημαίνει. ῥῶ τὸ λέγω, ἐξ οὗ καὶ ῥῆμα καὶ ῥήτωρ· ῥῶ τὸ ὑγιαίνω, ἐξ οὗ καὶ ῥῶσις, ἡ ὑγίεια· ῥῶ τὸ πράττω, ἐξ οὗ καὶ ῥέζειν τὸ πράττειν· καὶ ῥῶ τὸ χέω, καὶ ῥέω, ἐξ οὗ ῥέεθρον καὶ ῥεῖθρον, καὶ ἐπὶ τοῦ ἄλλως σημαινομένου. Fl. 6. ἥδε: καί. Fl. 56. 76. Gu. ἀλλά. Fl. 10.

πρεσβῦται: τὸ χ πρὸς τὴν συγκοπήν· πρεσβύτεραι γὰρ ἔδει εἰπεῖν, σοῦ οὐδὲν ἧσσον ἄθλιαι. M.

πρεσβῦται: ἀντὶ τοῦ πρεσβύτεραι. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. τὸ πρεσβύται οὐχ, ὡς δεκεῦσι τινές, συγκριτικὸν ὂν πρεσβύτεραι κατὰ συγκοπὴν πρεσβύται γέγονεν, ἐθέλοντες συντάξαι τὸ σέθεν, ἀλλὰ τὸ πρεσβύται ἀντὶ τοῦ γέροντές ἐστι διὰ μέσου, τὸ δὲ σέθεν πρὸς τὸ ὄπισθεν ἧσσον συντάσσεται, ἵν' οὕτως ᾖ· εἰσὶ παρ' ἡμῖν γραῖαι γυναῖκες ἄθλιαι οὐδὲν ἧττον σέθεν καὶ σοῦ καὶ γέροντες, καὶ τὰ ἑξῆς. Gu. I.

324. νύμφαι: νύμφη ἡ ἄρτι εἰς γάμον ἐρχομένη, ἤτις πυητικῶς νυὸς λέγεται. νύμφαι καὶ τὰ τῶν πηγῶν ὕδατα καὶ αἱ ἔφοροι τούτων δαίμονες παρ' Ἕλλησιν· ἐνταῦθα δὲ νύμφαι ἁπλῶς αἱ ἄνδρας ἔχουσαι γυναῖκες. Gr. I. καὶ νυμφίος ὁμοίως ὁ ἄρτι εἰς γάμον ἐρχόμενος, ἐνταῦθα δὲ νυμφίων ἀντὶ τοῦ τῶν ἀνδρῶν ἁπλῶς γυναῖκας ἐχόντων. Gr. νύμφαι: ἀντὶ τοῦ γυναῖκες. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. ἀρίστων: μεγάλων. Fl. 59. νυμφίων: ἀνδρῶν. Fl. 6. 9. 17. 21. 56. 59. 76. τητώμεναι: ἀντὶ τοῦ ἐστερημέναι. Fl. 6. 9. 21. 56. 59. 76. Gu. στερισκόμεναι. Fl. 17. Gu. στερηθεῖσαι. M. Fl. 10.

325. ὧν: ἀφ' ὧν. Fl. 59. νυμφίων, ἀνδρῶν. Fl. 10. 21. ἥδε: αὕτη. Fl. 59. κεύθει: κατέχει. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. κρύπτει. Gu. Ἰδαία: ἡ Τρωϊκή. M. Gr. ἡ Ἴδα ὄρος ἐν Τροίᾳ.

7. ῥέεθρον Matth. pro ἔρεθρον.
12. τὸ om. I.
15. ᾖ] ἔχῃ I.
16. οὐδὲν ἧττον σέθεν καὶ σοῦ] οὐχ ἧσσον σοῦ I.
19. αἱ] οἱ I. Pars hujus scholii est in B, sic scripta, νυμφίος ὁ ἄρτι εἰς γάμον ἐρχόμενος καὶ νύμφη ἡ ἄρτι εἰς γάμον ἐρχομένη. νύμφαι καὶ—οἱ ἔφοροι τούτων δαίμονες:—
20. αἱ omittit Gu.
22. τοῦ om. Mosq.

Fl. 21. ὄντινων αὕτη ἡ Ἰδαία, ἤγουν ἡ Τρωϊκὴ, κόνις τὰ σώματα κρύπτει ἐν τάφοις. Fl. 33.

326. τόλμα: ὑπόμενε, καρτέρει. M. ὑπόμενε, φησὶ, ταῦτα. ἡμεῖς δὲ ἐὰν οἰώμεθα κακῶς δοξάζειν τοὺς ἀγαθοὺς, ἁμαθεῖς δόξομεν. I.

τόλμα: καρτέρει καὶ σύ. Fl. 10. 21. 59. Gu. φέρε. Fl. 59. ὑπόμενε. Gr. κακῶς: ἤγουν οὐκ ὀρθῶς. νομίζομεν: ἤγουν νόμους τίθεμεν καὶ νομικῶς κρίνομεν νομίζοντες δηλονότι. Fl. 6. 9. 21. 59. λογιζόμεθα ἢ νόμιμον ἡγούμεθα, ὑπολαμβάνομεν, νομιθετοῦμεν. Gu. ἡμεῖς δὲ νομίζοντες καὶ νόμιμον ἡγούμενοι τὸ τιμᾶν τὸν ἐσθλὸν καὶ τὸν ἀνδρεῖον ὀφλήσομεν ἁμαθίαν καὶ ἀπαιδευσίαν, ἤγουν ἀπαίδευτοι δόξομεν εἰ νομίζομεν, ἤγουν νομιθετοῦμεν, κακῶς καὶ κακοήθως. Gu.

327. ἁμαθίαν ὀφλήσομεν: ἀπαιδευσίαν λάβωμεν. Fl. 59. ἐν ἁμαθίᾳ συγχωρήσομεν, ἐάσομεν. Fl. 10. μὴ τιμᾶν τὸν ἔνδοξον Ἀχιλλέα ἀγνωσία ἐστὶν, ἀλλὰ χρεώστημα. Fl. 33. μωρίαν. ἀσύνετοι λογισθησόμεθα. Gu. ὀφλήσομεν: ἡμεῖς δηλονότι. M.

328.—331. οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους ἡγεῖσθε: ὑμεῖς δηλονότι. τὸ μὴ τοὺς φίλους ὡς φίλους τιμᾶν, μηδὲ τοὺς ἐνδόξως ἀνηρημένους θαυμάζειν, ἵνα ᾖ ἡ μὲν Ἑλλὰς κατὰ τοῦτο εὐτυχὴς, ὑμεῖς δὲ πρὸς ταῦτα τὰ βουλεύματα καὶ τὴν τύχην κτήσησθε, οἷα βούλησθε, τοιαῦτα ἔχητε. A.M. ὑμεῖς δὲ οἱ βάρβαροι μήτε τοὺς φίλους ὑπολαμβάνετε φίλους μήτε τοὺς ἐνδόξως καὶ καλῶς ἀπιθανότας τιμᾶτε. καὶ διὰ τοῦτο ἡ μὲν Ἑλλὰς εὐδαιμονεῖ, (ταῖς γὰρ καλαῖς βουλαῖς ἔργα καλὰ ἕπονται) ὑμεῖς δὲ διάκεισθε κατὰ τὰ βουλεύματα ὑμῶν. I.

328. οἱ βάρβαροι: ὑμεῖς δὲ οἱ Τρωαδῖται οὐχ ἡγεῖσθε τοῦτο, οὔτε εἰς τοὺς φίλους οὔτε εἰς τοὺς καλῶς τεθνηκότας. Fl. 33.

329. ἡγεῖσθε: τὸ ἡγοῦμαι τρία σημαίνει, τὸ νομίζω καὶ ὑπολαμβάνω, καὶ τὸ προοδοποιῶ, ὡς τὸ "ἡγοῦ μοι, γέρον," καὶ τὸ ἄρχω

17. μήτε τοὺς—ἔχητε] Hoc scholion in M. in duo est divisum, quorum prius τὸ μήτε τοὺς φίλους ὡς φίλους τιμᾶν — θαυμάζειν, alterum ὑμεῖς δὲ πρὸς—ἔχητε.

18. μὴ τοὺς] μὴ αὐτοὺς A.

20. κτήσησθε] κτήσεσθε A. κτήσασθε M.

21. οἷα—ἔχητε] οἷα γοῦν βούλοισθε τοιαῦτα ἔχετε A.

26. Τρωαδῖται, quod Τρωαδῖται scribendum, novitia adjectivi forma est, comparanda cum Τρωαδήσιος, quo saepe usi sunt scriptores Byzantini. Melioris notae est Τρωαδεῖς, annotatum ab Stephano Byz.

καὶ ἐξουσιάζω, ἴθεν καὶ ἡγούμενος ὁ ἄρχων. Cant. ἡγεῖσθε: προστακτικόν. Fl. 21. νομίζετε. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. τιμᾶσθε. Fl. 10. καλῶς: ἐπαινετῶς. Fl. 56. χρησίμως, ἀνδρείως, ἐνδόξως. Gu. τεθνηκότας: ὑπὲρ ὑμῶν δηλονότι. Fl. 21. ἀνῃρημένους. Fl. 10.

330. θαυμάζεθ': θαυμάζω τὸ ἐκπλήττομαι καὶ τὸ ἐπαινῶ, ὡς ἐνταῦθα. Fl. 6. τιμᾶτε. M. Gu. ὡς: ἵνα. Fl. 9. 10. 21. 56. 59. 76. Gr. διὰ τοῦτο. Gu. Ἑλλάς: ἡ γῆ τῶν Ἑλλήνων. Fl. 17. εὐτυχῇ: κατὰ τοῦτο. Fl. 10. κατὰ τοῦτο, καὶ τοὺς βοηθοῦντας αὐτῇ ἔχῃ πολλούς. Gu.

331. ὑμεῖς: ὑμεῖς δὲ πρὸς ταῦτα τὰ βουλεύματα καὶ τὴν τύχην κτήσασθε, εἷα βούλεσθε, τοιαῦτα ἔχοντες. M. ἤγουν οἱ βάρβαροι. Fl. 59. ὁμοια τοῖς βουλεύμασιν: ἤγουν δυστυχῆτε· τῶν γὰρ κακῶν βουλῶν τοιαῦτα καὶ τὰ ἔργα ἀπαντᾷ· οἱονεὶ τῷ καταφρονῆσαι τῆς τιμῆς τῶν ἀρίστων ὁμοίαν ἕξετε ἀντάμειψιν. Gu. ὅμοια: ὁμοίως. Fl. 59. τὴν τύχην. Fl. 10. βουλεύμασιν: ὑμῶν δηλονότι, ἤγουν κακῶς πράξετε. Fl. 21.

332. αἲ αἲ, τὸ δοῦλον: φεῦ φεῦ, ὡς κακὸν τὸ πεφυκέναι τινὰ δοῦλον· τῇ βίᾳ γὰρ ὁ δοῦλος κρατούμενος τολμᾷ πράττειν ἃ μὴ χρή. πᾶς γὰρ δοῦλος ἀναγκαζόμενος πλεῖστα πράττει ἄδικα. A.

τὸ δοῦλον ὡς κακόν: ὅμοιον τῷ παρὰ Σοφοκλεῖ "κρείσσων γὰρ ἦσθα μηκέτ' ὢν ἢ ζῶν τυφλός." ὥσπερ γὰρ ἐκεῖ, ὀφείλων θεῖναι τὸ κρεῖττον ἐπὶ τοῦ ῥήματος, ἵν' ᾖ, κρεῖττον ἦν μηκέτ' εἶναι σὲ ἢ ζῆν τυφλόν, ὁ δὲ τίθησιν ἐπὶ τοῦ ὀνόματος, οὕτω κἀνταῦθα, ὀφείλων τάξαι τὸ πάνυ κακὸν ἐπὶ τοῦ πεφυκέναι, ὁ δὲ τίθησιν ἐπὶ τοῦ ὀνόματος, καὶ φησὶ τὸ δοῦλον πάνυ κακόν, εἶτα ἐπάγει πεφυκέναι, ἤγουν ὥστε εἰς ὕπαρξιν ἐλθεῖν· δι' οὗ ὥσπερ ἐπανορθοῖ τὸν λόγον, ἵνα δείξῃ τὸ ὑπὸ δουλείας κακὸν εἰς ὕπαρξιν ἐλθεῖν, οὐ μέντοι γε κακὸν κατὰ τὴν ἑαυτοῦ φύσιν. Gr. I. γράφεται καὶ πέφυκ' ἀεί, τὸ δοῦλον λίαν πέφυκε κακὸν ἀεί. Ἄλλως. τὸ γενέσθαι τινὰ δοῦλον λίαν κακόν ἐστιν·

21. Σοφοκλεῖ] Oed. T. 1368.

23. κρεῖττον ἦν μηκέτ' εἶναι] κρεῖττον μὴ εἶναι I.

28. δουλείας] τῆς δουλείας I.

ib. Verba δι' οὗ — ἐλθεῖν sunt etiam in Aug. c. ap. Herm. Praef. p. X. et Mosqu. in hoc tamen pro ὥσπερ est οὕτως, et ἵνα δηλοῖ pro ἵνα δείξῃ, tum τὸ ὑπὸ δουλείαν κακόν. Aug. pro δι' οὗ legit διὸ et τῆς ante δουλείας omittit. MATTH.

28. μέντοι γε] μέν τοινες (sic) I.

ὑπομένει γὰρ ἃ μὴ πρέπει. ὁ ἄνθρωπος ἐκεῖνος ὑπὸ τῆς ἀνάγκης νικώμενος. I. πεφυκέναι: τὸ "πέφυκ' ἀεί" ἔν τινι λίαν παλαιῷ τῶν ἀντιγράφων εὕρηται, ὃ καὶ μάλιστα κρεῖττον εἶναί μοι δοκεῖ τοῦ τε "πεφυκέναι" καὶ τοῦ "πέφυκεν ἀεί" καὶ ἔτι τοῦ "πέφυκέ τι," ὃ πλανώμενοί τινες ἔθεντο. Bar. 74. ὥστε εἰς ὕπαρξιν ἐλθεῖν. γρ. πέφυκ' ἀεί. Gr. Fl. 6. 9. 21. 56. 59. 76. οὐαὶ οὐαὶ τῆς δουλοσύνης, ὅτι κακὸν ὑπάρχει. Fl. 33. πεφυκέναι: εὕρηται καὶ πέφυκ' ἀεί. καὶ ἔστι καὶ τοῦτο χρήσιμον, ὥσπερ καὶ τὸ πέφυκέ τι. εὕρηται γὰρ καὶ τοῦτο. Gu.

333. τολμᾷ: ὑπομένει πολλάκις ὃ μὴ πρέπον ἐστὶν ὑπὸ τῆς βίας ἀναγκαζόμενον. M. πράττει, ὑπομένει τὰ ἀνύποιστα. Fl. 59. ὑπομένει τοι. Gr. ἃ μὴ χρή: τολμᾶσθαι. Fl. 21. τὰ μὴ πρέποντα, τὰ ἀνύποιστα. Gu. βίᾳ: ὑπὸ βίας. Fl. 6. 9. 21. 56. 76. ὑπὸ τῆς δυναστείας. Gu. νικώμενον: ἀναγκαζόμενον. Fl. 10. θαρρεῖ γὰρ εἰς ἅπερ μὴ πρέπει. Fl. 33. κρατούμενον καὶ ἀναγκαζόμενον ὑπὸ τῆς τῶν δεσποτῶν βίας. Gu.

334.—341. ὦ θύγατερ: ὦ τέκνον. M. οἱ ἐμοὶ μὲν λόγοι οἱ περὶ τοῦ σοῦ φόνου φροῦδοι καὶ ἀφανεῖς εἰσι, ῥιφθέντες πρὸς τὸν ἀέρα· σὺ δὲ εἰ ἔχεις δύναμιν μείζονά τι καὶ κατά τι, παρὸ ἡ μήτηρ, σπεύδαξε ὡς στόμα ἀηδόνος ἀφιεῖσα πάσας φθογγάς. ὥστε μὴ στερηθῆναι τῆς ζωῆς. πίπτε δὲ ἐλεεινῶς πρὸς τὸ γόνυ τοῦδε τοῦ Ὀδυσσέως, καὶ πεῖθε, ἤτοι πειρῶ πείθειν· ἔχεις δὲ πρόφασιν καὶ ἀφορμήν· ἔστι γὰρ καὶ τάδε τέκνα, ὥστε εἰκτεῖραι καὶ ἐλεῆσαι τὴν σὴν τύχην καὶ δυστυχίαν. I.

οὐμοί: οἱ ἐμοί· ἔκλειψις καὶ κρᾶσις. Fl. 59. ὦ τέκνον, οἱ ἐμοὶ μὲν λόγοι πρὸς αἰθέρα ᾠφανίσθησαν καὶ εἰς μάτην περὶ τοῦ σοῦ φόνου. Fl. 33. τὸ πρὸς αἰθέρα πρὸς τὸ μάτην διῳήνοντες σύναπτε. Gu. ἀντὶ τοῦ πρὸς ἀέρα. M.

335. φροῦδοι: ἀνωφελεῖς, ἀφανεῖς, εἰς μάτην ἐκτοξευόντες οὐ

10. ὑπομένει—] Similiter in A. ὑπομένει πολλὰ τὸ μὴ πρέπον τῇ βίᾳ κρατούμενον, ὑπὸ τῆς βίας ἀναγκαζόμενον.

29. φροῦδοι—] In A. praefixum ἄλλως. praecedit enim aliud scholion, quod paullo aliter scriptum ex M. apposuimus versui proximo, ἢ μήτηρ ἔχεις: συναλειφή (voluit συναλοφή, usitata recentioribus forma). ἢ μήτηρ ἀντὶ τοῦ ἦπερ μήτηρ. σὺ δὲ, εἰ μᾶλλον τῆς μητρὸς ἔχεις μείζονα δύναμιν, σπεύδαζε.

γὰρ ἔκαμψαν τὸν τοῦ Ὀδυσσέως θυμὸν, ἢ τῶν Ἑλλήνων, ἀλλὰ τὸ ὑηφισθὲν αὐτοῖς ἔτι μένει. οὕτως ἡ σύνταξις, ἔχεις πρόφασιν ὥστε τὴν σὴν ἐποικτεῖραι τύχην· ἔστι γὰρ τέκνα καὶ τῷδε τᾷ Ὀδυσσεῖ. A.

φροῦδοι: φροῦδος κατὰ τὸ ἔτυμον λέγει ὁ παρεληλυθὼς τῆς ὁδοῦ καὶ προαπελθών. A.M. πρόδος γάρ τίς ἐστι καὶ προῦδος καὶ φροῦδος. Cant. φροῦδοι: ἀπῆλθον. Fl. 59. φροῦδος οἰκείως ὁ παρεληλυθὼς καὶ προαπελθὼν τῆς ὁδοῦ. Fl. 10. ἀφανεῖς εἰσίν. Gr. κατ' οὐδὲν ἀνύσαι δύνανται. Gu. μάτην: διακενῆς. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ματαίως, εὐχερῶς. Fl. 17. ῥιφέντες: ἐκτοξευθέντες, ἀπὸ μεταφορᾶς τῶν βελῶν τῶν τοῦ σκοποῦ ἁμαρτόντων. Gu. ἀμφὶ σοῦ φόνου: περὶ τοῦ σοῦ φόνου, ὃν ἐτάχθης σὺ δηλονότι φονευθήσεσθαι. φόνος γάρ τινος λέγεται ἢ ὃν αὐτὸς φονεύει ἕτερον, ἢ ὃν αὐτὸς ὑφ' ἑτέρου φονεύεται. Gr. I.

330. μείζω: τινά. Fl. 10. διὰ τὸ τῆς ἡλικίας ἀκμάζειν. Gu. ἔχεις: κέκτησαι. Fl. 17. Gu. σὺ δὲ ἐάν τι ἔχεις δύναμιν λόγων. Fl. 33. ἢ μήτηρ ἔχεις: ἀντὶ τοῦ ἤπερ. οἷον, σὺ δὲ εἰ μᾶλλον τῆς μητρὸς δύναμιν ἔχεις. ἔστι δὲ συναλιφὴ ἢ μήτηρ ἀντὶ τοῦ ἤπερ ἡ μήτηρ. σὺ δὲ εἰ μᾶλλον ἔχεις μείζονά τινα δύναμιν, σποίδαζε. A.M.

337. σπουδάζε: ἀγωνίζου, ἐπιμελοῦ. Fl. 17. 59. μελέτα. Fl. 56. σπεῖδε καθὼς στόμα εὐλάλου ἀηδόνος. Fl. 33. ἀγωνίζου, ἤγουν ἀγωνιστικῶς καὶ σπουδαίως λέγε. Gu. σπουδάζω τὸ σπείδω ὡς ἐνταῦθα, καὶ σπουδάζω τὸ φιλοσοφῶ, ἐξ οὗ καὶ σπουδαῖος ὁ φιλόσοφος, οὗ ἐναντίον τὸ παίζω. σπουδάζω πρὸς σὲ, ὅταν σε ἀξιῶ ἐπιμελείας τοῦ σώματος. καὶ σπουδάζω περὶ σὲ, ὅταν ἐπιμέλωμαι τῶν περὶ σὲ πραγμάτων. B. πάσας: καὶ παντοίας, ἤγουν ἡδείας καὶ συνεχεῖς θρηνῳδίας. θρηνεῖ γὰρ αὕτη τὸν Ἴτυν. Gu. τοιαύτη γὰρ τῆς ἀηδόνος ἐστὶ φωνὴ, πυκνὴ, συνεχὴς, ἡδεῖά τε καὶ παμποίκιλος, πρὸς τούτοις καὶ κλαυθμηρά. Gu. ὥστ': καθά. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. ὁ τέ παρέλκει. M. Fl. 21.

338. φθογγάς: λαλιάς. Fl. 59. λόγους. Fl. 56. ἰεῖσα: πέμπουσα. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. ἀφιεῖσα. Gu. καὶ φθογγὰς λόγων πέμπε, μὴ στερηθεῖσα τοῦ βίου. Fl. 33.

5. φροῦδος ὁ παρεληλυθὼς καὶ παρελθὼν in Cant.

339. πρόσπιπτε: παρακάλει. Fl. 17. πρὸς τὸ γόνυ τοῦ Ὀδυσσέως τοῖδε προσελθοῦσα πίπτε εἰκτρῶς ἥγνυν ἐλεεινῶς. Fl. 6. 9. 21. 56. 59. 76. Gr. πρόσπεσον ἐλεεινῶς ἐπὶ τοῖς γόνασι, ὡς ὑπολαμβάνῃ πεισθῆναί σοι. Fl. 33. πρόσπιπτε δὲ τῷ γόνυϊ, καὶ κατὰ ἀποκοπὴν γόνυ· τὸ γὰρ προσπίπτω δοτικῇ συντάσσεται. Gu. οἱ παλαιοὶ ἱκετεύοντες ἐδράττοντο τῆς γενειάδος καὶ τῆς χειρὸς καὶ τοῦ γόνυος, τῆς μὲν γενειάδος ὡς κατανεῦσαι, ἢ εἰπεῖν τι πρὸς ἄλλον ὑπὲρ τοῦ δεομένου, εἴ γε δεήσει τοῦτο ποιεῖν, τῆς δὲ χειρὸς ὡς ἐνεργῆσαι, τοῦ δὲ ποδὸς ὡς βαδίσαι. Gu. I.

340. πεῖθ': τὸ ἑξῆς, καὶ πείθου τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην. M. πειρῶ πείθειν. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ἔχεις δὲ πρόφασιν: πρόφασις κυρίως ὁ πρωτεινόμενος εὐπρόσωπος λόγος ἐπὶ κατηγορίᾳ τινός, καὶ ἀπὸ τούτου ἁπλῶς ἡ αἰτία. Gr. I. αἰτίαν. Fl. 17. ἀφορμὴν τοῦ πείθειν. Gu.

341. τῷδε: τῷ Ὀδυσσεῖ δηλονότι. Fl. 17. 21. 56. ὑπάρχουσι γὰρ καὶ τούτῳ τέκνα, ὥστ' ἐλεήσει σου τὴν ἡλικίαν. Fl. 33. εἰσὶ γὰρ καὶ αὐτῷ τέκνα, καὶ πτοηθήσεται, μὴ τὴν νεαρὰν ἡλικίαν ἀνοικτὶ φονευθέντα τῆς ὁμοίας ἐγκύρσωσιν. Gu. τύχην: ἀτυχίαν. Fl. 10. δυστυχίαν. Gr. ἤγουν σὲ τὴν δυστυχῆ καὶ αἰχμάλωτον. Gu. τύχη λέγεται κυρίως ὅταν ἄλλο φρενῆ τις, εἶτα ἄλλο συμβῇ. τύχαι καὶ ταπειναὶ τάξεις αἱ τῶν ἀνθρώπων καὶ αἱ ὑψηλαί, καθ' ὃ σημαινόμενον ἐνταῦθα εἴρηται τύχη. B.

342. ὁρῶ σ', Ὀδυσσῶ: ἀκούσας ὁ Ὀδυσσεὺς τῆς Ἑκάβης εἰπούσης τῇ Πολυξένῃ, ὦ τέκνον, πρόσπιπτε Ὀδυσσεῖ λαβοῦσα τῆς δεξιᾶς χειρὸς αὐτοῦ καὶ γενειάδος, καὶ ἱκέτευσον αὐτὸν ὅπως τὴν σὴν τύχην ἐποικτείρῃ· οὕτω γὰρ ἔθος ἦν τοῖς παλαιοῖς παρακαλεῖν τῆς χειρὸς καὶ τῆς γενειάδος ἁπτομένους· ταῦτα ἀκούσας ὁ Ὀδυσσεὺς τὴν μὲν δεξιὰν αὐτοῦ χεῖρα εἰσήγαγεν ἔσωθεν τοῦ εἵματος αὐτοῦ, καὶ τὸ πρόσωπον εἰς τοὐπίσω ἀντέστρεφεν, ὅπως μήτε τῆς χειρὸς αὐτοῦ λάβηται μήτε τῆς γενειάδος. ἰδοῦσα δὲ αὐτὸν ἡ Πολυξένη

5. οἱ παλαιοὶ—] In Gu. hoc scholion versui 343 est adscriptum.

13. τινὸς καὶ ἀπὸ τ. ἀ. ἡ αἰτία] τινὶ ἀπὸ τ. ἀ. καὶ ἡ αἰτία I.

23. ἀκούσας] In A. ἄλλως praefixum. Nam praecedunt duo scholia, quae ex M. infra posuimus, ὁρῶ σ' Ὀδυσσεῦ τὴν μὲν δεξιὸν χεῖρα κρύπτοντα ὑπὸ τὰ ἱμάτια—πέφευγας παρ' ἐμοῦ τοῦ τούτου τυχεῖν. ἄλλως. ἐνταῦθα ἐφύλαξεν—παρρησιαστικόν.

οὕτως ποιήσαντα εἶπεν ἡ Πολυξένη. ὁρῶ σε, Ὀδυσσεῦ, τὴν μὲν δεξιὰν χεῖρα κρύπτοντα ἐν τῷ ἱματίῳ, τὸ δὲ πρόσωπον στρέφοντα, ἵνα μὴ ἱκετεύω σε. θάρρει, ἐπεὶ πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία, τουτέστι τὴν ἐμὴν ἱκεσίαν· ἐκ τοῦ Διὸς γὰρ πᾶσα ἱκεσία. ἱκέσιον δὲ Δία τὸν ...παρακλήσει...λαμ....., ὡς ἔστιν ὁ Ζευξφίλιος, ξ ἑνιος..... ἱκετεύω σε. A.

342.—344. ὁρῶ: παρεπιγραφὴ χρήσιμος. ἡ δὲ παρεπιγραφὴ τοῖς τραγικοῖς διότι ὁ ποιητὴς ἐν τοῖς τραγικοῖς οὐ φαίνεται. Gu. ὁρῶ σε, φησίν, ὦ Ὀδυσσεῦ, τὴν μὲν δεξιὰν χεῖρα κρύπτοντα ὑπὸ τὰ ἱμάτια, τὸ δὲ πρόσωπον ἀποστρέφοντα, ἵνα μὴ ἱκετεύω σε. M. ὁρῶ σε, Ὀδυσσεῦ, κρύπτοντα τὴν δεξιὰν χεῖρα ὑποκάτω τοῦ ἱματίου, καὶ τὸ πρόσωπον στρέφοντα εἰς τοὐπίσω, ἵνα μὴ ἄψωμαι τῆς γενειάδος σου. I.

ὁρῶ σ', Ὀδυσσεῦ: ὁρῶ ἐπὶ σώματος, θεωρῶ ἐπὶ ψυχῆς. δηλοῖ δὲ δύο, τὸ τὰ θεῖα ὁρῶ καὶ τὸ σκέπτομαι. Gr. I. ἐνταῦθα ἐφύλαξεν ὁ Εὐριπίδης τὸ ἡρωϊκὸν ἦθος· οὐ γὰρ ταπεινῶς, ἀλλὰ μετὰ παρρησίας τὴν Πολυξένην λέγειν εἰσήνεγκεν. Gu. I. ὑφ' εἵματος: ὑπὸ τὰ ἱμάτια. M. ἀντὶ τοῦ ὑποκάτω τοῦ ἱματίου. Gr.

344. προσθίγω: προσψαύσω. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ἱκετεύω σε. Fl. 10. ἱκετεύσω. Gu. μήποτε προσεγγίσω σου, ἢ κατὰ πρόσωπόν σε ἴδω. Fl. 33.

345. θάρσει: ἐκπέφευγας τὴν ἐμὴν ἱκεσίαν. Gr. I. οἱ δεόμενοι πρέτειναν εἰώθασι Δία ἱκέσιον, οἱ δὲ συνοικοῦντες ἐφέστιον, οἱ δὲ φίλοι φίλιον, οἱ δ' ἐν μιᾷ τάξει καὶ συμμορίᾳ καταλεγόμενοι ἑταιρεῖον, οἱ δὲ ξένοι ξένιον, οἱ δ' ἐν ὅρκοις συμφωνίας ποιοῦντες ὅρκιον, οἱ δὲ ἀδελφοὶ ὁμόγνιον. B.I. φησὶν οὖν ἐκπέφευγας τὸν ἐμὸν ἱκέσιον Δία, ἤγουν ὃν ἐγὼ ἔμελλον προτείνειν ἱκετεύουσα ἱκέσιον Δία, τουτέστιν ἐκπέφευγας τὴν ἐμὴν ἱκεσίαν. Gr. θάρσει: Αἰολικῶς θάρρει θάρρος

5. ξένιος .....] Literae post ξένιος obliteratae ex scholio Gr. ad v. 345. sic fere supplendae, καὶ τὰ λοιπά, οὕτως ἱκέσιος. οὐχ—.

15. ἐνταῦθα—] In Gu. haec versui 345. adscripta. In A.B. est ἐνταῦθα—οὐ γὰρ ταπεινὸν αὐτὸν μεμίμηται, ἀλλὰ παρρησιαστικόν:—

22. ἐκπέφευγας] ἤτοι ἄφροβος ἔσο praemittit I.

ib. οἱ δεόμενοι πρετείνειν εἰώθασι Δία ἱκέσιον] Brevius scholion in Gr. οἱ ἱκετεύοντες ἱκέσιον Δία πρέτεινον.

26. Verba φησὶν — ἐμὴν ἱκεσίαν quae addidit King. exstant etiam in Gr. ex quo φησὶν pro vulg. φῇ, Δία

ἔλεγον. Gu. θάρσει: θάρρει. Fl. 21. μὴ φρόντιζε. Fl. 56. οὐχ ἱκετεύω σε, ἐπεὶ πέφευγας παρ' ἐμοῦ τούτου τυχεῖν. M. οὐχ ἱκετεύω γάρ σε τὴν δέησιν τὴν ἔχουσαν τὸ τῆς δίκης νόημα. Fl. 17. χαῖρε ὅτι τὸν ἐμὸν παρακλήτορα Δία πέφευγας, ἡνίκα ἦς ἐν τῇ Τροίᾳ. Fl. 33. ἦν γὰρ καὶ ἕτερος Ζεὺς ἔφορος τῆς ἱκεσίας. λέγει δὲ ἡ Πολυξένη ὅτι πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία, ἤγουν οὐχ ἱκετεύσω σε περὶ τοῦ θανάτου, ἀλλὰ γενναίως ἄξω. Fl. 21. ὃν ἐβουλόμην θέσθαι σοι εἰς παράκλησιν. ὡς ἔστιν ὁ Ζεὺς ξένιος, φίλιος καὶ τὰ λοιπὰ, οὕτω καὶ ἱκέσιος. Gu.

346.—354. ὡς ἕψομαί σοι: ὅτι ἀκολουθήσω σοι, καὶ χάριν τοῦ ἀπαραιτήτου, καὶ θέλουσα ἀποθανεῖν· εἰ δὲ μὴ θελήσω, φανοῦμαι γυνὴ δειλὴ καὶ φιλόζωος· κατὰ τί γάρ με πρέπει ζῆν, ἥτινι πατὴρ μὲν ἦν ἄναξ πάντων τῶν Φρυγῶν καὶ Τρώων· —— τοῦτο πρῶτον καὶ ἐξαίρετον ἐμοὶ τοῦ βίου καὶ τῆς ζωῆς· —— ἔπειτα ἀνετράφην ὑπὸ καλῶν ἐλπίδων, βασιλεῦσι νύμφη, ἐσομένη δηλονότι, ἔχουσα ζῆλον γάμου οὐ μικρὸν, εἰς οὕτινος ἑστίαν καὶ οἰκίαν παραγενήσομαι. I. ὡς: ὄντως. Fl. 17. λίαν. Fl. 10. ἀναγκαίου: ἕνεκα τῶν ἀναγκῶν. Fl. 17. ἤγουν ἕνεκεν τῆς ἀνάγκης. Fl. 59. ἀπαραιτήτου· ἀπαραίτητος γάρ ἐστιν ἡ τῶν Ἑλλήνων κατ' ἐμοῦ ψῆφος. Gu.

347. θανεῖν τε χρῄζουσ': ὡς λυτρωθῆναι σπουδάζουσα τῆς τυραννικῆς δουλείας τὴν κάκωσιν. Gu. βουλήσομαι: βουληθῶ ἀκολουθεῖν σοι. Gu. καὶ βουληθῶ ζῆν. Fl. 59. τοῦτο ποιῆσαι δηλονότι. Fl. 21. ὄντως ἐπακολουθήσω σοι, καὶ δι' αὐτὸ τὸ ἀναγκαῖον, καὶ ὅτι βούλομαι ἀπολέσθαι. Καὶ ἄλλως. ἕνεκα καὶ τῆς ἀνάγκης ἀκολουθήσω σοι καὶ ὅτι ἀποθανεῖν βούλομαι, ἐπεὶ προτιμότερόν μοι ἐστὶ τοῦ ζῆν κακῶς. M. Fl. 10.

348. φανοῦμαι: φανήσομαι. Fl. 21. 59. Gu. φιλόψυχος: φιλόζωος. Gr. δειλή. Gu. δειλὴ καὶ φιλόζωος γυνὴ φανήσομαι. M.

349. δεῖ: τί με χρὴ ζῆν. Fl. 33. ἦ, καὶ ὅπου. Fl. 17. ἐμοί. Fl. 21.

ἤγουν ὃν pro διὰ ὅν et ἐκπέφευγας pro ἐκπέφυγας recepi. MATTH.

2. Verba ἐπεί et παρ' ἐμοῦ τοῦτο (sic) τυχεῖν sunt etiam in Fl. 10.

24. ὄντως] ὅτι Fl. 19.

ib. σοι] σε Fl. 10.

26. μοι om. Fl. 10.

ib. κακῶς om. M.

ἦν: ὑπῆρχε. Fl. 17. ἄναξ: βασιλεύς. Fl. 17. 21. ὅρα ὅπως ὁ ποιητὴς εἰς τὸν κανόνα τῆς ἠθοποιίας τῷ μὲν παρελημθότι χρόνῳ χρῆται ἐν τῷ λέγειν "ἦ πατὴρ μὲν ἦν ἄναξ," τῷ δὲ ἐνεστῶτι ἐν τῷ "νῦν δ' εἰμὶ δούλη," τῷ δὲ μέλλοντι, ὅταν λέγῃ "ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας τύχοιμ' ἄν," καὶ τὰ λοιπά. Gu. I.

350. τοῦτό μοι πρῶτον βίου: τοῦτό μοι ἦν πρῶτον, καὶ ὅτι ἦν βασιλέως θυγάτηρ· ἔπειτα ἐτράφην ὑπὸ καλῶν ἐλπίδων. βασιλεῦσι θυγάτηρ. τοῦτο ἐλλιπές ἐστιν. ὁ δὲ νοῦς καὶ ἡ σύνταξις οὕτως, ἐτράφην ὑπὸ καλῶν ἐλπίδων μέλλουσα γενέσθαι νύμφη βασιλεῦσιν ἀπὸ βασιλέων γεννηθεῖσα. λείπει γὰρ ἐν τῷ βασιλεῦσι νύμφη τὸ μέλλουσα γενέσθαι. A.

ἁπάντων: ὅλων. Fl. 17. Gu. πρῶτον: τὸ κεφάλαιον. M. Fl. 10. 21. Gu. ἐπὶ ἀριθμήσεως. Fl. 6. 9. 21. 56. 59. 79. Gr. τὸ πρῶτον τριχῶς, ἢ κατὰ τὸ ἀξίωμα, ἢ κατὰ τάξιν, ἢ κατ' ἀπαριθμήσεως. Gu.

351. ἐλπίδων: τοῦ γενέσθαι νύμφη βασιλέως. Fl. 17.

352. ζῆλον: μακαρισμὸν, ἔπαινον τῶν γάμων. M. ἤγουν ζηλοτυπίαν οὐ σμικρὰν καὶ ἐλπίδα. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ἔπαινον, μακαρισμόν. Fl. 10. ἔριν τιθεῖσα βασιλεῦσι πρὸς ποῖον ἀφίξομαι. Fl. 10.

353. ὅτου: ἀντὶ τοῦ οὗτινος. M. ἑστίαν τ': καὶ εἰς τὴν θεάν. Fl. 21. ἔχουσα οἰκίαν καὶ πόλιν πεπαρρησιασμένην βασιλὶς ἡ ταλαίπωρος ταῖς Τρωϊκαῖς γυναιξὶν ἤμην. Fl. 33. νυμφῶνα. δῶμα τὸ ὅλον, ἑστία μέρος. ἀπὸ τοῦ εὑρεθῆναι ἀπό τινος γυναικὸς καλουμένης Ἑστίας. Gu. ἑστία τὸ τιμιώτερον μέρος τῆς οἰκίας, ἐν ᾧ τὸ πῦρ ἅπτεται, καὶ ἀπὸ τούτου ἑστία ἡ οἰκία πᾶσα. Ἑστία καὶ ἡ μία τῶν δώδεκα θεά. B.

354.—356. δέσποινα δ': ἐγὼ ἡ δύστηνος δέσποινα. M. ὑπῆρχον δὲ ἡ δύστηνος δέσποινα ἐν ταῖς Ἰδαίαις γυναιξὶν, ἐν παρθένοις τε περιφανὴς, ἰσότιμος τοῖς θεοῖς, πλὴν κατὰ τὸ θανεῖν μόνον. I.

Ἰδαίαισιν: Ἰδαιῶν. Fl. 6. 9. 21. 56. 59. 76. Τρωϊκῆς. Fl. 17. Τρωαῖσι. Fl. 21. ταῖς Τρωϊκαῖς. Gu.

355. γυναιξί: γυναικῶν. Fl. 6. 9. 21. 56. 76. ἀπόβλεπτος:

1. ὅρα] καὶ ὅρα I. ubi haec leguntur in scholio v. 342. (p. 305, 17.) post εἰσήνεγκεν.
17. ἤγουν et καὶ ἐλπίδα om. Gr.

ἤγουν ἐξαίρετος διὰ τὸ κάλλος, καὶ τὰς ἁπάντων εἰς ἑαυτὴν πόρρωθεν ἐπιστρέφουσα ὄψεις. Bar. 74. Gu. περιφανής. Gr. Fl. 33. περίβλεπτος, εὐδαίμων, ἔνδοξος. M. Gu. Fl. 17. 21. 59.

350. πλὴν τὸ κατθανεῖν: τὸ ἀποθανεῖν. M. μὴ λάβῃς κατά ἔξωθεν εἰς τὸ πλὴν τὸ κατθανεῖν, ἀλλ' ὥσπερ φαμὲν, ἴσος ἔστιν οὗτος ἐκείνῳ τὴν σύνεσιν, καὶ οὐ λαμβάνομεν ἔξωθεν τὸ κατά, καὶ πάλιν ἐρῶ σου ἔρωτα, οὕτω κἀνταῦθα, εἰ καὶ τὸ πλὴν ἀντὶ τοῦ χωρὶς ποιεῖ τὴν ἀσάφειαν, ἴση ταῖς θεαῖς, πλὴν τὸ κατθανεῖν μόνον, ἀντὶ τοῦ χωρὶς τοῦ κατθανεῖν ὑπάρχω ἐκείναις ἴση. ἄλλοι δὲ μὴ λαμβάνοντες κατά γράφουσι τοῦ πρὸς τὸ πλὴν, ἀγνοοῦντες καὶ οὕτοι τὴν σύνταξιν. καὶ μὴν ἑτέρους ψυχρολόγους ἔστιν ἰδεῖν τὸ πλὴν ἀντὶ τοῦ εἰ μή λέγοντας, ἴση ταῖς θεαῖς, εἰ μὴ τὸ κατθανεῖν μόνον ὑπῆρχεν αὐτῇ. Gu. I. πλήν: χωρίς. Fl. 59. Gu. κατθανεῖν: τοῦ θανάτου δηλονότι. Fl. 17. ἐγὼ γὰρ ἦν θνητὴ, οἱ δὲ θεοὶ οὔ. Fl. 21. οὐκ ἰσόθεος ἦν. οὐκ ἀπεδίδοται δὲ τοῦτο πρὸς τὸ πλήν, ἀλλὰ πρὸς τὸ ἴσος. Gu. καὶ Σοφοκλῆς ἐν Φιλοκτήτου δράματι "εἰκυμένη γὰρ στέγη πυρὸς μέτα πάντ' ἐκπορίζει πλὴν τὸ μὴ νοσεῖν ἐμέ." Gu. τὸ πλήν μετὰ πασῶν τῶν πτώσεων συντάσσεται πλὴν τῆς κλητικῆς. Gu.

357. νῦν δ' εἰμὶ δούλη: νῦν δὲ ὑπάρχω δούλη. I. πρῶτα μέν: ἀντὶ τοῦ πρῶτον, ὡς τὸ πότερα ἀντὶ τοῦ πότερον. Fl. 6. 9. 21. 56. 59. 76. Gr. πρῶτα: κατὰ πρῶτα. Fl. 17. κατ' ἀρχάς. Gu. τοὔνομα: ἤτοι τὸ καλεῖσθαι δούλην, οὐκ εἰωθὸς καὶ σὺ σύνηθες ὂν, ποιεῖ ἐμὲ ἐπιθυμεῖν θανεῖν. I. τὸ ὀνομάζεσθαι. Fl. 17. τὸ ὄνομα τῆς δουλείας. Fl. 6. 9. 10. 21. 56. 59. 76. Gr. τοῦτο τὸ δούλη. Gu.

358. θανεῖν ἐρᾶν: ἀποθανεῖν. Fl. 17. τὸ τῆς δουλείας ὄνομα τοῦ θανεῖν με ἐρᾶν ποιεῖ. M. κακοσύνθετον δὲ τὸν λόγον πεποιήκασι τὰ δύο ἀπαρέμφατα. Fl. 10. ἐρᾶν: ἀγαπᾶν. Fl. 56. φιλεῖν. Fl. 21. ἐπιθυμεῖν. Gu. τίθησιν: ποιεῖ. Gr. παραπείθει. Gu. εἰωθός: ἔθω, τὸ ἐξ ἔθους τι διαπράττω· ὁ μέλλων ἔσω, ὁ παρακείμενος

4. λάβῃς] λάβε I. Prior pars scholii est in B. sic scripta, μὴ λάβῃς — ἴσος οὗτος — ἀσάφειαν, οὕτως ἴση — μόνον, ἤτοι χωρὶς τὸ κατθανεῖν οὐχ ὑπάρχω ἐκείνοις ἴση: —
8. ἴση] οὕτω ἴση I.
9. χωρὶς τοῦ κατθανεῖν ὑπάρχω] χωρὶς κατθανεῖν οὐχ ὑπάρχει Gu.
10. τοῦ] τοῦτο I.
11. ψυχρολόγους om. Gu.
16. Φιλοκτήτου] φιλοκτήτους Gu. Est v. 299.

ἦκα, ὁ μέσος ἦθα καὶ Ἀττικῶς εἴωθα, ἡ μετοχὴ εἰωθὼς, τοῦ εἰωθότος, τὸ οὐδέτερον τὸ εἰωθός. I. οὐκ εἰωθὸς ὄν: οὐ σύνηθες ὂν τοῦτο τὸ ὄνομα τῆς δουλείας ἐν ἐμοί· καὶ γὰρ οὐκ ἦν ποτε δούλη. Fl. 21. πρόθυμός εἰμι εἰς τὸ θανεῖν· οὐκ εἴωθα τῆς δουλοσύνης τὰ ἔργα. Fl. 33.

359.—368. ἔπειτ' ἴσως ἄν: ἔπειτα ἴσως ἂν τύχοιμι δεσποτῶν τινῶν καὶ ἀπηνῶν κατὰ τὰς φρένας, ὅστις, ἐκείνων λέγω, ἀγοράσει δι' ἀργυρίου ἐμὲ, τὴν ἀδελφὴν τοῦ Ἕκτορος καὶ ἑτέρων πολλῶν, προσθεὶς δὲ ἐν τοῖς δόμοις ἀνάγκην σιτοποιὸν, ἥτις ἀρτοποιητικὴν, ἀναγκάσει ἐμὲ, ἄγουσαν ἡμέραν λυπηράν, καὶ σαρῶν τὸ δῶμα, καὶ ἐφεστάναι ταῖς κερκίσιν, ἀντὶ τοῦ ὑφάσμασιν (ἀπὸ μέρους τὸ πᾶν). τὰ ἐμὰ δὲ λέχη καὶ τὴν ἐμὴν κοίτην μιανεῖ δοῦλος ἀνητὸς ποθὲν, τυράννων καὶ βασιλέων πρόσθεν ἄξια ὄντα. οὐ δῆτα, ἤτοι οὐκ ἀνέξομαι ζῆν ἐν τούτοις, οὐ πρτιμήσω ταῦτα τοῦ θανάτου· ἀφίκμι τόδε τὸ φέγγος τῶν ὀμμάτων ἐλεύθερον, προστιθεῖσα τῷ θανάτῳ τὸ ἐμὸν σῶμα. I. ἴσως ἄν: οἱ Ἀττικοὶ πῆ μὲν ἐκλείπουσι τὸ ἄν, πῆ δὲ πλεονάζουσιν, ὡς ἐνταῦθα, ἴσως ἂν τύχοιμ' ἄν. Gu.

δεσποτῶν: τὸ ἑξῆς, δεσποτῶν ὅστις ὑμῶν κατὰ τὰς φρένας. M. αὐθεντῶν. Fl. 17. ὑμῶν: σκληρικῶν (σκληρῶν. Gu.) κατὰ ψυχήν. Fl. 6. 9. 21. 56. 59. 76. ὑμῶν φρενῶν. Fl. 33.

360. τύχοιμ' ἄν: λέγω ἐκεῖνον. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ὅστις: δεσπότης. Fl. 21. ὃς ὥς τινα ἀργυρώνητον δοῦλον. Fl. 33. δι' ἀργύρου. Gr.

361. κάσιν: τὴν κάσιν. Ἀνακρέων "οὔτε μὴν ἄπαλὴν κάσιν." σεσημείωται δὲ ὅτι τὴν θήλειαν κάσιν ἐποίησεν, εἰ μὴ ἀποκοπή ἐστι τοῦ κασιγνήτην. A.M. τὴν Ἕκτορος καὶ ἑτέρων πολλῶν ἀδελφήν. Fl. 33. κατ' ἐξοχήν. κατ' ἐξαίρετον τῶν ἄλλων διὰ τὸ ἀνδρεῖον. Gu.

362. προσθεὶς δ' ἀνάγκην σιτοποιόν: τὴν μυλικὴν εἶπε. προσθεὶς τὴν σιτοποιὸν ἀνάγκην ἐν δόμοις τοῖς αὐτοῦ, ὅστις με ὠνήσεται, καὶ προσθεὶς τὸ σαίρειν τὸ δῶμα καὶ ἐφεστάναι ταῖς κερκίσιν ἀναγκάσει με ἄγειν φέρειν.....ἡμέραν λυπηράν. A.

προσθεὶς: ἐπιθείς. Fl. 6. 9. 56. 59. 76. Mosq. Gr. ἐπιθεὶς δὲ ἐκεῖνος ὁ δεσπότης. Fl. 21. ἀνάγκην: δουλείαν. Fl. 59.

6. τινῶν] ὑμῶν τινῶν Matth.
23. Ἀνακρέων] ὡς ἀνακρέων λέγει A.
ib. οὔτε μὴν Cobetus. οὔτε μὲν M. τότε μ' A.
24. ἐποίησεν—κασιγνήτην] εἶπεν εἰ μὴ ἀποκοπὴ ἐγένετο τοῦ κασιγνήτην A.
In Fl. 10. σημείωσαι ὅτι τὴν θήλειαν κάσιν εἶπεν, εἰ μὴ ἀποκοπὴ κασιγνήτης.

σιτοποιόν: *ἀντὶ τοῦ μυλωθρικήν*. M. *τὰ πρὸς ζωάρκειαν ποιοῦσαν*. Fl. 6. 9. 21. 56. 59. 76. Gu. *ἀνάγκην σιτοποιόν*: *μαγειρικήν· σῖτα γὰρ καὶ σιτία τὰ βρώματα· ἢ ἀρτοποιητικήν*. Gr. *ἤγουν ἀναγκάσας ἀλήθειν*. Gu.

363. *σαίρειν*: *φιλοκαλεῖν*. M. Fl. 10. 17. 21. Gu. *σαροῦν*. Gr. *ἀναγκάσει με καὶ σαίρειν τὸ δῶμα καὶ ἐφεστάναι ταῖς κερκίσιν ἀντὶ τοῦ ταῖς ἱστουργίαις. ἀπὸ μέρους· κερκίδες γὰρ αἷς συντιθέασι τὴν κρόκην τῷ στήμονι*. Bar. 74. Gr.

κερκίσιν: *ὑφάσμασιν. ἀπὸ μέρους τὸ πᾶν· κερκίδες γὰρ κυρίως ὄργανά τινα δι' ὧν συνέχονται τὰ ὑφαινόμενα, ἃ αἱ γυναῖκες ἰδιωτικῶς σαγίτας καλοῦσι*. Gu. *καὶ ἐφιστάναι κερκίσι καὶ ἐπιστασίαν ἔχειν καὶ ἵστασθαι, τουτέστιν ὑφαίνειν ἐπὶ τοῖς ἱσταρίοις*. Gu.

ἐφεστάναι: *ἀντὶ τοῦ παρεστάναι ἐπὶ κερκίσι μετ' ἀνάγκης. ἀπὸ κοινοῦ δὲ τὸ προσθείς*. M. *ἐπιστατεῖν*. Fl. 6. 9. 21. 56. 59. 76. Mosq. *ἐπιστάτην εἶναι*. Fl. 17. *καὶ σαίρειν, ἤγουν φιλοκαλεῖν τὰ οἰκήματα, καὶ παρειστήκειν καὶ κιρνᾶν, ἢ ἐν ὑβρίσμασιν παρειστήκειν*. Fl. 33.

364. *λυπρὰν ἡμέραν*: *ἤγουν λυπηρὰν καὶ ἀλγεινὴν διάγουσαν ζωήν*. Gr. Bar. 74. *λυπητικὴν ἐπιφέρειν ἡμέραν*. Fl. 33. *οἰκτρὸν καὶ ἄθλιον βίον*. Gu. *ἀναγκάσει*: *ὁ ἐμὸς δεσπότης*. Fl. 21.

365. *λέχη*: *ἤγουν τὴν ἐμὴν παρθενίαν*. Fl. 21. *ὠνητός*: *ἀγοραστός*. Fl. 17. 56. Gu. *ποθέν*: *ἀπό τινος τόπου*. Fl. 56. Gu. *καὶ τὴν ἐμὴν κοίτην καὶ συνουσίαν ἤγουν μίξιν γαμικὴν δοῦλος ἀγορητός*. Fl. 33.

366. *χρανεῖ*: *μολυνεῖ, κακῶς ποιήσει*. M. *φθείρει, μολύνει*. Fl 17. *μιανεῖ*. Gr. *μολυνεῖ*. Gu. *τυράννων πρόσθεν ἠξιωμένα*: *βασιλέων πρότερον ἄξια κεκριμένα*. Fl. 6. 9. 21. 55. 59. 76. Gr. *χρανεῖ καὶ μολυνεῖ, ἔμπροσθεν τῶν τυράννων ἀξιωμένη*. Fl. 35.

367. *οὐ δῆτ' ἀφίημι*: *τὸ οὐ δῆτα ἀντὶ τοῦ οὐ θέλω ζῆν καὶ πάσχειν τοιαῦτα. ἐλεύθερον δὲ ἀφίημι τὸ φῶς τοῦτο τῶν ἐμῶν*

1. *ποιοῦσαν* est ab al. m. in Gu. *ποιοῦντα* Mosq.

7. *ἱστουργίαις*] *ἱστουργείαις* Gr. Correxi ex Bar. 74. in quo eadem fere quae in Gr. et Gu. leguntur.

ib. *τὴν κρόκην*] *τὴν κρόκον* Mosq.

10. *συνέχονται*] *συνέχοντο* Bar.

ib. *ὑφαινόμενα*] *ὑφάσματα* Bar.

ib. *ἃ αἱ—καλοῦσι* om. Gu. *ἰδιωτικῶς* scripsi pro *ἰδιωτικάς*. De voc. *σαγίτα* v. Ducang. Gloss.

18. *διάγουσαν*] *διάγουσα* Bar.

ἐμμάτων. οὐ γὰρ ἔστιν ὑπηρετήσει καὶ δουλεύσει τοῖς ἐμοῖς ὀφθαλμοῖς ἐπὶ τὸ ὁρᾶν καταφωτίζων αὐτούς. ἐπεὶ προστίθημι τῷ Ἅιδῃ τὸ ἐμὸν δέμας. A.

οὐ δῆτ': οὐ ταῦτα ὑποστήσομαι θελήσασα ζωήν. M. εὐθαμῶς ἀφίημι ἐλεύθερον φῶς ἐκ τῶν ὀμμάτων. Fl. 33. οὐκ ἀνοίγω τοὺς ὀφθαλμούς μου ἐλευθέρως. Fl. 17. ταῦτα ὑποστήσομαι. Fl. 10. οὐκ ἀφίημι, διότι καὶ οἱ ὀφθαλμοὶ ἡμῶν ἀκτῖνας ἐκπέμπουσιν, αἳ προσομιλοῦσι ταῖς ἡλιακαῖς ἀκτῖσιν· οὐκ ἄλλως γὰρ ὁρῶμεν ἀλλ' ἢ ἐκ τῆς πρὸς ἄλληλα σχέσεως· θατέρου γὰρ ἐπιλάμψαντος, κἂν τὸ ἓν ἐπικρατεῖ, σκότος ἡμῖν τὰ πάντα λελόγισται. Fl. 17. οὐκ ἀνέξομαι ζῆν ἐν τούτοις, οὐ πρτιμήσω ταῦτα τοῦ θανάτου. Gr. ἔσται τοῦτο. Gu. ἀφίημι: καταλιμπάνω. Gu. ἐλεύθερον: ἤτοι ἐλεύθερον δουλείας. τοντέστιν ἐλευθέρα θέλω ἀποθανεῖν. Gu. ἀφίημι τόδε τὸ φέγγος τῶν ὀμμάτων ἐλεύθερον. προστιθεῖσα τὸ ἐμὸν δέμας τῷ Ἅιδῃ, ἀντὶ τοῦ τῷ θανάτῳ. Gr.

368. τόδ' Ἅιδῃ: γρ. τόδ' ἤδη. M. ἀντὶ τοῦ τὸ ἐμὸν δέμας προστίθημι τῷ Ἅιδῃ. M. προστιθεῖσ': δοῦσα, προσβαλοῦσα. Fl. 59. προσθήκην ποιήσασα, παραδοῦσα τὸ ἐμὸν σῶμα εἰς θάνατον. Fl. 6. ἀλλὰ τῷ Ἅιδῃ προσεγγίζημι τὸ ἐμὸν σκῆνος. Fl. 33.

369.—371. ἄγ' οἶν: ἄγε ἐμὲ λιπὼν, Ὀδυσσεῦ· οὔτε γὰρ θάρρος ἐλπίδος ὁρῶ οὔτε δόξης καὶ ὑπολήψεώς τινος, ὅτι ἀπόκειται ποτὲ πρᾶξαι καλῶς καὶ εὐτυχῆσαι. I.

ἄγ': ἄγαγε. Fl. 17. προηγοῦ μοι, ὦ Ὀδυσσεῦ, καὶ φέρε. Fl. 33. διέργασαι: ἀντὶ τοῦ διαχείρισαι. σφάξαι, φόνευσον, διάχρησαι. M. φόνευσον. Fl. 6. 9. 10. 56. 59. 76. Gr. σφάξαι. Fl. 17. θύσιν, σφάξον. Gu. διεργάζω διαχειρίζω διαχρῶ καὶ ἐκπράττω τὸ φονεύω σημαίνουσιν. Gu. ἄγων: ἀγαγών. Fl. 17. διὰ χειρός. Fl. 59.

17. προστιθεῖσ'] In A. scholion mancum, προστιθεῖσα ... τὸ δὲ σῶμα ... τὸ μὲν δέμας ἐπὶ τοῦ ἐμψύχου ἀπὸ τοῦ συνδεδέσθαι τὴν ψυχήν, τὸ δὲ σῶμα ἐπὶ τοῦ ἀψύχου οἷον εἴ σωμάτιον οὕποτ' ὁρῶντος. Postrema corrupta. Vocabulum post τὸ δὲ σῶμα pene obliteratum Ὅμηρος fuisse videtur, quem δέμας et σῶμα eo quem scholiasta dixit modo distinxisse observarunt grammatici praeeunte Aristarcho: vid. schol. Il. 1, 115. Apollon. Lex. Hom. p. 754. Etym. M. p. 255, 36. et Lehrs. de Aristarchi studiis Hom. p. 95.

19. προσεγγίζημι] Ortum ex προσεγγίζω et προστίθημι.

370. τοῦ: *τινὸς, θηλυκόν.* Fl. 10. δόξης: *ὑπονοίας.* M. Fl. 17. 21. 59. *βοηθείας.* Fl. 6. *τινὸς ὑπολήψεως.* Gr. ἔδει εἰπεῖν *τῆς πρὸς τὸ δόξης, νῦν δὲ ἀντὶ τοῦ τῆς τοῦ Ἀττικῶς λέγει· οὗτοι γὰρ τοῖς θηλυκοῖς ὀνόμασιν ἔσθ' ὅτε ἄρθρα ἀρσενικὰ προσάπτουσιν.* ὡς ἔχει τὸ τοῦ Σοφοκλέους "οὔτε του σάλπιγγος" καὶ τὸ χεῖρε *παρὰ πᾶσι καὶ τοῖν πλέοιν παρ' Ἰσοκράτει καὶ Θουκυδίδῃ.* B. Gu. *ἡ δόξα καὶ ἐγγὺς ἐλπίδος ἐστὶν, ἀλλ' οὐκ ἔχει τὸ πλέον, καὶ ὥσπερ προηγούμενόν ἐστι τῆς ἐλπίδος· ἔστι γάρ τι, ἀφ' οὗ τις δοξάζων περὶ αὐτοῦ τὰ βελτίω εἶτα ἐλπίζει.* Gu.

371. *θάρσος:* εἶναι *προσδοκίαν.* Fl. 59. *παρηγόρημα.* Gu. ἡμῖν: *τοῖς Τρωσί.* Fl. 21. *ἐν ἐμοί.* Gu. ποτ': *εἰς τὸ μέλλον.* Gu. εὖ πρᾶξαι: *εὐτυχῆσαι.* Gu. χρή: *ἀπόκειται.* Gr.

372.—378. μῆτερ: *ὦ μῆτερ, σὺ δὲ μηδαμῶς γένῃ ἐμπόδιον ἐμοὶ, μηδὲ λέγουσα, μηδὲ δρῶσα, σὺν ἐμοὶ δὲ βούλου θανεῖν ἐμὲ πρὸ* τοῦ τυχεῖν αἰσχρῶν παρ' ἀξίαν· *ὅστις γὰρ οὐ συνήθειαν ἔχει πεῖραν λαμβάνειν τῶν δυστυχιῶν, φέρει μὲν τιθεὶς ἐν τῷ ζυγῷ τὸν αὐχένα, ἄγχουν ἐν τῇ ἀνάγκῃ τῆς δυστυχίας, ἄχθεται δὲ, ὥσπερ θηλυνότι βοῦς ἀγύμναστος ὑπὸ ζυγὸν τιθεμένη. θανὼν δὲ εἴη ἂν μᾶλλον εὐτυχέστερος ἢ ζῶν· τὸ γὰρ μὴ καλῶς ζῆν, μεγάλη ὀδύνη.* Gr. I.

ἐμποδών: *μηδὲν ἡμῖν ἐμποδὼν γένῃ, ὦ μῆτερ, μήτε λέγουσα μήτε πράττουσα.* M. *μήτε λέγουσα μήτε ἀνύουσα.* A. *εἰς ἐμπόδισμα, ἐπιρρηματικῶς.* Fl. 21. *σὺ δὲ, μῆτερ, μηδαμῶς ἔμπροσθεν ἡμῖν γενοῦ, ἢ ἐμπόδιος ἡμῖν.* Fl. 33.

373. λέγουσα: *μηδὲ ἀπὸ κοινοῦ τὸ μή.* Fl. 6. 9. 10. 21. 56. 59. 76. Gr. *μήτε.* Fl. 17. *φλυαρεῦσα, μηδὲν ἀνύουσα,* M. Fl. 10. δρῶσα: *κωλύουσα.* Fl. 59. *πράττουσα.* Fl. 10. *συμβούλου; σύνθελέ μοι, σὺν ἐμοὶ βουλεύου ἀποθανεῖν.* M. Fl. 10. *σύνθελε.* Fl. 17. Gu. *σὺν ἐμοὶ βούλου.* Gr. *ἢ λέγουσα ἢ ποιοῦσα συμβούλευσόν μοι θανεῖν, πρὶν ἀναξιόν τι πάθω.* Fl. 33.

374. μὴ κατ' ἀξίαν: *ἀναξίως.* Fl. 17. *πρὸ τοῦ τυχεῖν αἰσχρῶν*

1. δόξης] ἐλπίδος Gu.

4. τοῖς θηλυκοῖς—*προσάπτουσιν*] *τὰ θηλυκὰ ἄρθρα ἔσθ' ὅτε ἀρσενικῶς ἐκφέρουσιν* Gu.

5. Σοφοκλέους] Aj. 291.

ib. οὔτε] τὸ οὔτε Gu.

6. Ἰσοκράτει] P. 55 C.

16. τῶν om. Gr. hic et in gl. interlineari.

17. ὥσπερ θηλονότι Gr. (qui verba ὅστις γὰρ—τιθεμένη habet). θηλονότι ὥσπερ I.

25. μηδὲν] μὴ M.

πραγμάτων. ἤγουν ἀσχήμων, οὐ κατ' ἀξίαν, τουτέστι παρὰ τὴν ἀξίαν, παρὰ τὸ πρέπον. Fl. 6. 9. 21. 56. 59. 76. Gr.

375. ὅστις: ὅστις οὖν οὐκ ἠθὰς τῶν κακῶν, φέρει ἀκουσίως μέν· λυπεῖται γὰρ ὁ αὐχὴν ἐν τῷ καμάτῳ. Fl. 33. ἅπτεσθαι. Gu.

376. φέρει: τῷ τῶν κακῶν ζυγῷ τὸν αὐχένα ἐντιθεὶς ἀλγεῖ. M. ὑπομένει. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ταῦτα. Gu. τὸ αὐχὲν ἐντιθεὶς ζυγῷ σύναπτε πρὸς τὸ φέρει μὲν, οὐ πρὸς τὸ ἀλγεῖ δέ. Bar. 74. Gu. ἀλγεῖ: ἄχθεται. Gr. διὰ τὸ ἀσύνηθες. Gu. ἐντιθείς: ὑποβαλών. Fl. 56. Gu. ζυγῷ: ἤγουν ἀνάγκῃ. Gu. πρωθύστερον. Gu.

377. θανών: ἤγουν ἀπιθανών. Fl. 17. μᾶλλον: ἐκ παραλλήλου. Fl. 6. 9. 21. 56. 59. 76. Gr. περισσοτέρως. Gu. κρεῖττον ἂν εἴη θανεῖν ἐν εὐτυχίᾳ ἢ ζῶν ἐν ἀτυχίᾳ ὑπάρχειν. Fl. 33.

378. μὴ καλῶς: ἀλλὰ δυστυχῶς. Fl. 17. τὸ γὰρ μὴ ζῆν καλῶς μέγας πόνος ἐστί. Fl. 33.

379. δεινὸς χαρακτήρ: δυσχερές ἐστι, φησὶ, τὸ ἐξ ἀγαθῶν ἀγαθὸν γενόμενον τὸν χαρακτῆρα καὶ τὸ φρόνημα τῆς εὐγενείας ἀπορρῖψαι καὶ ἀφανίσαι. Ἄλλως. ἱκανός ἐστι χαρακτὴρ καὶ φανερὸς ἐπ' ἀνθρώπους τὸ ἀγαθὸν γενέσθαι. ἱκανὴ, φησὶ, καὶ ἔνδοξος φρόνησις ἐν τοῖς ἀνθρώποις τὸ ἐξ ἀγαθῶν ἀγαθὸν προελθεῖν, καὶ ἐπὶ πολὺ θαυμαζόμενοι καὶ δοξαζόμενοι γίνονται οἱ παρασκευάζοντες ἑαυτοὺς ἀξίους εἶναι τῆς εὐγενείας. οἷον τοῖς ἄξια τῆς εὐγενείας διαπραττομένοις ἐπεκτείνεται τὸ ὄνομα τῆς εὐγενείας ἐπὶ πλέον καὶ ἐνδοξότερον γίνεται. A.M. Ἄλλως εἰς τὸ αὐτό. σαφὴς, φανερὸς καὶ πρόδηλος χαρακτὴρ τὸ ἀπὸ ἀγαθῶν γενέσθαι, οἷον ἀπὸ εὐγενοῦς προελθὼν πᾶσιν εὐδιάγνωστός ἐστι καὶ ἐπὶ πολὺ θαυμάζονται καὶ δοξάζονται οἱ αὐτοὺς ἀξίους τῆς εὐγενείας παρασκευάζοντες, ἤγουν ἄξια τῆς εὐγενείας διαπραττομένοις ἐπεκτείνεται τὸ ὄνομα τῆς εὐγενείας ἐπὶ πλέον καὶ ἐνδοξότεροι γίνονται, ὥσπερ καὶ ἡ Πολυξένη ἄξια

3. οὐκ ἠθὰς] οὐκήθησε Fl. Sensus postulat οὐκ ἠθάς vel οὐκ ἐγείσατο.

18. ἱκανός ἐστι—γενέσθαι om. A.

19. φησὶ om. A.

20. προελθεῖν] καὶ γενέσθαι addit A.

ib. θαυμαζόμενοι καὶ δοξαζόμενοι] δοξαζόμενοι καὶ θαυμαζόμενοι A. Illud est in Fl. 10. in quo verba καὶ ἐπὶ πολὺ — ἐνδοξότεροι γίνονται adscripta sunt v. 381.

22. εἶναι om. A.

ib. οἷον—ἐνδοξότερον γίνεται] Haec pars scholii in M. non hoc loco legitur, sed ad v. 381. ubi ἐνδοξότεροι γίνονται, quod est etiam in Fl. 10.

27. αὐτοὺς] αὐτοῖς A.

τῆς ἑαυτῆς εὐγενείας πέπραχεν. εἵλετο γὰρ θανεῖν ἢ δούλη ὑπάρχειν. ἡ δὲ σύνταξις οὕτω, δεινὸς χαρακτὴρ καὶ ἐπίσημος ἐν βροτοῖς τὸ ἀπὸ ἐσθλῶν γενέσθαι (λείπει δὲ ἡ ἀπό πρόθεσις) καὶ ἐπὶ πλέον ἔρχεται τὸ ὄνομα τῆς εὐγενείας ἐν τοῖς ἀξίοις αὐτῆς τῆς εὐγενείας. πολλοὶ γὰρ εὐγενεῖς, ἀλλ' οὐκ ἐπὶ πλέον ἔρχεται τὸ ὄνομα τούτων μὴ τὰ τῆς εὐγενείας πραττόντων ἄξια. A.

δεινὸς χαρακτήρ: ἐκπλαγεὶς ὁ χορὸς πρὸς τοὺς τῆς Πολυξένης λόγους, ὡς μετὰ φρονήματος εἰρημένους μάλα γενναίου, φησὶ, μεγάλως χαρακτηρίζει καὶ δηλοποιεῖ τὸν εὐγενῆ ἡ εὐγένεια· πρὸς γὰρ τὴν εὐγενῆ αὐτοῦ φύσιν καὶ τοὺς λόγους ποιεῖται· καὶ δῆλος τοῖς οὐκ εἰδόσιν αὐτὸν γίνεται. Ἄλλως. ὅστις ἐστὶν εὐγενὴς καὶ γένους λαμπροῦ χαρακτηρίζει ἑαυτὸν καλοῖς λόγοις καὶ ἤθεσι, καὶ δῆλος τοῖς οὐκ εἰδόσι τὴν ψυχὴν αὐτοῦ ἐντεῦθεν καθίσταται. καὶ τὸ τῆς εὐγενείας ὄνομα μέγιστον τότε γίνεται ὅταν οἱ διαδεξάμενοι τοῦτο ἄξια τούτου δρῶσιν, ὁποῖόν τι καὶ νῦν γέγενεν. B. Gu. I. Ἄλλως. ἐπιτήδειος χαρακτὴρ, ἤτοι σφραγὶς καὶ σημεῖον, καὶ ἐπίσημος, ἤγουν διάδηλος, ἐν βροτοῖς, τὸ γενέσθαι τινὰ δηλονότι ἀπὸ ἐσθλῶν καὶ εὐγενῶν. καὶ ἐπὶ μεῖζον ἔρχεται, ἤτοι αὐξάνει καὶ πλέον γίνεται, τὸ ὄνομα τῆς εὐγενείας τοῖς ἀξίοις, ἢ ὑπὸ τῶν πραττόντων ἀνάξια τῆς εὐγενείας. I. τὸ ἐξ ἀγαθῶν καὶ εὐγενῶν τινὰ γενέσθαι ἱκανόν ἐστιν εἰς γνωριμότητα καὶ χαρακτηρισμὸν ἐν τοῖς ἀνθρώποις· εἰ γάρ τοι καὶ ὁ γεννηθεὶς ἐξ εὐγενῶν μὴ ἔχῃ τινὰ ἀγαθὴν καὶ καλὴν πρᾶξιν, ὅμως ἐκ τῆς τῶν γονέων περιφανείας ἄριστος καὶ αὐτὸς εἶναι ὑπολαμβάνεται· εἰ δὲ καὶ τῆς εὐγενείας ἄξια πράττει τι, ἐπὶ πλέον τῆς εὐγενείας αὐτῶν αὔξεται καὶ ἐνδεξότερος γίνεται. Fl. 17.

379. δεινός: μέγας. Fl. 17. ἐπιτήδειος. Gr. δεξιὸς, μέγας.

1. εἵλετο γὰρ] Fort. προείλετο, aut μᾶλλον addendum post θανεῖν.
7. ὁ χορὸς om. I.
8. μάλα om. I.
ib. In Gu. verba μεγάλως—ποιεῖται aliud scholion per se constituunt; quae autem sequuntur καὶ δῆλος—ἄλλως, in eodem desunt. MATTH.
9. εὐγενῆ ἡ εὐγένεια] εὐγένεια τὸν εὐγενῆ B.
10. καὶ δῆλος—γίνεται. Ἄλλως om. B.
12. καλοῖς] καλοῖς αὐτοῦ Gu.
13. τὴν ψυχὴν] τὴν τύχην Gu.
ib. τὸ om. B.I.
14. τότε] τοῦτο B.I.
ib. γίνεται] γίγνεται Gu.
21. γνωριμότητα, de quo v. dixi in Thesauro vol. 2. p. 688., restitui pro γνωριμώτατον.

Gu. *χαρακτήρ*: *τύπος*. Fl. 6. *σφραγίς*. Gr. *κἀπίσημος*: *ἐπίσημος, φανερὸς, ἔνδοξος*. M. *κυρίως ἐπίσημον ἀργύριον τὸ κεχαραγμένον, καὶ ἄσημον τὸ μὴ κεχαραγμένον, καὶ παράσημον τὸ παρακεχαραγμένον. ἀπὸ τούτων δὲ καὶ ἐπίσημος ὁ διάδηλος ἁπλῶς, καὶ ἄσημος ὁ ἄδηλος καὶ ἀφανὴς, καὶ παράσημος ὁ βεβλαμμένος τι μέρος*. Gr. I. *καταδηλος*. Fl. 17. *φοβερόν ἐστι τοῖς ἀνθρώποις καὶ ἄθλιον ὁ ὑψηλὸς χαρακτὴρ, ἤγουν ἄνθρωπος ἐξ ἀγαθῶν γονέων, τοῦ γενέσθαι ἄσημος καὶ ἀφανὴς, ὅτι τῆς εὐγενείας τὸ ὄνομα αἰσχύνεται*, Fl. 33. *διάδηλος*. Gr. *φανερός*. Gu.

380. *ἐσθλῶν*: *τὸ ἐξ ἀγαθῶν προγόνων*. M. *εὐγενῶν*. Gr. *γονέων*. Gu.

γενέσθαι: *προαχθῆναι, γεννηθῆναι*. Fl. 17. Gu. *κἀπὶ μεῖζον ἔρχεται*: *αὐξάνει*. Gr. *αὔξεται*. Gu.

381. *τοῖσιν ἀξίοις*: *τῆς εὐγενείας. οἷον, τοῖς ἄξια τῆς εὐγενείας διαπραττομένοις ἐπεκτείνεται τὸ ὄνομα τῆς εὐγενείας ἐπὶ πλέον καὶ ἐνδοξότεροι γίνονται*. M. *ἀπὸ τῶν ἀξίων τῆς εὐγενείας*. Fl. 17. 6. 9. 21. 56. 59. 76. Gr.

τοῖσιν ἀξίοις: *ταύτης*. Gu. *τοῖς ἠξιωμένοις ἐκείνου*. Gu. *ἐπὶ πλέον τὸ ὄνομα τῆς εὐγενείας αὐτῷ αὔξεται, καὶ ἀξιεπαινετώτερος καὶ ἐνδοξότερος γίνεται, εἰ καὶ τὰ τῆς εὐγενείας ἄξια διαπράττοιτο· πολλοὶ γὰρ εὐγενεῖς, ἀλλ' οὐκ ἐπὶ πλέον ἔρχεται τὸ ὄνομα τῶν μὴ τὰ τῆς εὐγενείας πραττόντων ἄξια*. Gu.

382.—388. *καλῶς μέν*: *ὦ βύγατερ, καλῶς μὲν εἶπας, ἀλλὰ τῷ καλῷ ἔνεστι καὶ λύπη. εἰ δὲ πρέπει γενέσθαι τιμὴν τῷ Ἀχιλλεῖ καὶ φυγεῖν ὑμᾶς, ὦ Ὀδυσσεῦ, μέμφιν, τὴν Πολυξένην μὴ κτείνετε, ἐμὲ δὲ ἄγοντες πρὸς τὸν τάφον τοῦ Ἀχιλλέως κεντεῖτε καὶ σφάζετε, μὴ φείδεσθε, ἐμοῦ δηλονότι· ἐγὼ γὰρ ἔτεκον τὸν Πάριν, ὃς ἄλεσε τὸν Ἀχιλλέα τρώσας διὰ τόξου*. I.

382. *καλῶς μὲν εἶπας*: *διὰ τὸ εἰπεῖν "τὸ γὰρ ζῆν μὴ καλῶς."* Gu. *καλῶς μὲν εἶπας*: *τὸ καλῶς λέγειν ἐνίοτε μὲν τὸ κεκαλλιεπημένα*

3. *καὶ παράσημων*] *καὶ* om. I.
4. *ἁπλῶς*] *τὸ ἁπλῶς* Gr.
7. *μέρος*] *μέλος* Bar.
11. *προαχθῆναι* om. Fl. 17. Ad *γενέσθαι* in Gu. adscriptum *τινά*.
16. *ἀπὸ*] Libri partim sic partim *ὑπὸ*, quod est in Gr.
30. *κεκαλλιεπημένα* King. *καλλιεπημένα* Gr. I. Ex Fl. 17. ad *καλῶς* adscriptum affertur *ἐνδεῶς σωφότερον* (sic).

ῥήματα λέγειν δηλοῖ, ἐνίοτε δὲ τὸ ὀρθῶς καὶ ἀληθῶς λέγειν, ὡς ἐνταῦθα. Gr. I. εἶπας : ὅτι βούλῃ ἀποθανεῖν. Fl. 21.

ἀλλὰ τῷ καλῷ λύπη πρόσεστιν : ἔνεστιν. Gr. ἀλλὰ τῷ τοιούτῳ, ἤγουν τῷ νομιζομένῳ σοι καλῷ, τουτέστι τῷ θανάτῳ, λύπη. Gu.

384. χάριν : τιμήν. Fl. 6. 9. 21. 56. 59. 76. Gr. Mosq. ἐὰν δὲ δεῖ καὶ πρέπει τῷ τοῦ Πηλέως υἱῷ Ἀχιλλεῖ γενηθῆναι χάριν, καὶ ἀποφυγεῖν τὸ ὄνειδος τοῦ στρατοῦ, τήνδε μὴ φονεύσητε. Fl. 33.

385. ὑμᾶς : ἐπέστρεψε τὸν λόγον πρὸς τὸν Ὀδυσσέα. M. τοὺς Ἕλληνας. ἐπιστρέφει πρὸς τὸν Ὀδυσσέα. Fl. 21. μὴ κτείνετε : ἤγουν μὴ φονεύσετε. Fl. 17.

386. ἡμᾶς δ' : ἡμᾶς δὲ ἄγητε εἰς τὴν θυσίαν τοῦ Ἀχιλλέως. Fl. 33. ἄγοντες : ἄγω ποτὲ μὲν σημαίνει τὸ ἐνάγω καὶ ἕλκω, οἷον ἄγω σε εἰς δουλείαν, ποτὲ δὲ τὸ διάγω καὶ διατρίβω, ὡς τὸ "ποίας ἡμέρας δοκεῖς μ' ἄγειν" παρὰ Σοφοκλεῖ, ποτὲ δὲ τὸ ἔχω, ὡς τὸ "ἄγει ἡ θάλασσα γαλήνην," ποτὲ δὲ τὸ τελῶ, ὡς τὸ "ἑορτὴν ἄγει τὸ ἔθνος," ποτὲ δὲ τὸ ἡγοῦμαι, ὡς τὸ "τοὺς νόμους μεγάλους ἄγω." B. πρὸς πυράν : πυρὰ τὸ πῦρ τὸ ἐπὶ νεκρῷ ἁπτόμενον, καὶ ὁ τόπος ἐν ᾧ τὸ πῦρ ἅπτεται. I.

387. κεντεῖτε : κτείνετε. Fl. 6. 9. 21. 56. 59. 76. Gr. σφάξετε. Gu. μὴ φείδεσθ' : ἤγουν μὴ ἀκριβολογεῖσθε. Fl. 17. ἐλεήσατε. Fl. 21. 56. ἔλεον λαμβάνετε. Gu. τέκεν : ἔτεκεν. Gr. ἐγέννησα. Fl. 17. Πάριν : ἤγουν τὸν Ἀλέξανδρον. Fl. 17. ἐμὲ κτείνατε, μὴ ἐλεήσητε. ἐγὼ ἔτεκεν τὸν Πάριν, ἤτοι τὸν Ἀλέξανδρον. Fl. 33.

388. ὤλεσεν : ἔφθειρε. Fl. 17. ἐφόνευσεν. Fl. 2. 6. 9. 56. 59. 76. Gr. τοξοις βαλών : λέγεται γὰρ κληθῆναι αὐτὸν πρὸς τοῦ Πριάμου ὡς φίλον, καὶ φονευθῆναι πρὸς Ἀλεξάνδρου διὰ βέλους. Bar. 74. βαλών : τὸν παῖδα, τὸν Ἀχιλλέα. Fl. 17. τιτρώσας. Fl. 21. ὅστις ἐποίησε ταῦτα τὰ κακά. ὅστις καὶ διὰ τοξεύματος ἀνεῖλε τὸν παῖδα τῆς Θέτιδος, ἤγουν τὸν Ἀχιλλέα. Fl. 33. σημείωσαι ὅτι εἰς Τροίαν ἐφονεύθη ὁ Ἀχιλλεὺς ὑπὸ τοῦ Ἀλεξάνδρου νυμφιστολικῶς πορευόμενος· περιπλεξάμενος γὰρ αὐτὸν ὁ Ἀλέξανδρος χάριν ἀσπασμοῦ διεχειρίσατο αὐτὸν μαχαίρᾳ. ἄλλοι δέ φασιν ὡς ἀντικρὺς αὐτοῦ στὰς ἔτρωσεν αὐτὸν μετὰ βέλους. Gu.

14. Σοφοκλεῖ] Electr. 266. 28. τιτρώσας] Vitiose pro τρώσας.

389. οὐ σ' ὦ γεραιά: οὐ σὲ ἀποθανεῖν, ὦ γεραιὰ, ᾔτήσατο τοὺς Ἀχαιοὺς τὸ φάντασμα τοῦ Ἀχιλλέως, ἀλλὰ ταύτην ἠτήσατο. Gr. I. φησὶν ὁ Ὀδυσσεὺς, οὐδαμῶς σὲ, ὦ γεραιὰ, ᾔτήσατο τὸ τοῦ Ἀχιλλέως φάντασμα, ἀλλὰ ταύτην, ἤτοι τὴν Πολυξένην. ἡ δὲ Ἑκάβη φησὶν, εἰ τὸ φάντασμα ἐκείνην ᾔτήσατο, ἀλλ' ὑμεῖς με συμφωνεῖσατε τῇ θυγατρί. A. οὐχὶ σὲ τὸ τοῦ Ἀχιλλέως ὄραμα ᾔτήσατο τοὺς Ἕλληνας, ἀλλὰ ταύτην. Fl. 33.

390. ᾔτήσατο: ἐξῄτησεν. Fl. 17.

391.—393. ὑμεῖς δέ: ἀλληλεγγραφία καὶ ἀμειβαῖα. Gu. ἀλλὰ κἂν ὑμεῖς σὺν τῇ θυγατρὶ με ἀποκτείνατε, καὶ διπλῆ πόσις αἵματος τῇ τε γῇ γενήσεται καὶ τῷ αἰτοῦντι Ἀχιλλεῖ. I.

ὑμεῖς δέ μ' ἀλλά: ὑπέρθεσις· ἀλλ' ὑμεῖς. M. οὐκ ἔστι τὸ ἀλλὰ ἀντὶ τοῦ κἄν, ὡς εἰσί τινες, ἀλλ' οὕτως ἔχει· εἰπεῖσα γὰρ ἡ Ἑκάβη πρὸς Ὀδυσσέα τὸ "ὑμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως κεντεῖτε," ἐπεὶ παρ' αὐτοῦ ἤκουσεν ὡς οὐκ αὐτὴν, ἀλλὰ τὴν θυγατέρα Ἀχιλλεὺς ᾔτήσατο, φησὶν, ὑμεῖς δὲ, ἐπεὶ οὐ βούλεσθε ἐμὲ μόνην ἀποκτιννύναι, ἀλλὰ σὺν τῇ θυγατρὶ φονεύσατε. Gu. I. ὑμεῖς δέ: εἰ καὶ τὸ φάντασμα ἐκείνην ᾔτησεν, ἀλλ' ὑμεῖς με σὺν τῇ θυγατρὶ φονεύσατε. M.

392. καὶ δὶς τόσον: διπλεῖν γενήσεται τὸ πόμα τοῦ αἵματος τῇ γῇ καὶ τῷ νεκρῷ, ἐὰν κἀμὲ συσφάξητε τῇ παιδί μου. A.

τόσον: ὁπόσον. Fl. 17. καὶ διπλὸν γενήσεται τὸ τῆς σφαγῆς αἷμα. ἢ διπλὸν πόμα τὸ αἷμα γενήσεται τῷ ζητουμένῳ νεκρῷ. Fl. 33. κατ' εἰρωνείαν. Gu.

394. ἄλις κόρης σῆς: ἀντὶ τοῦ αὐτὴ μόνη ἀρκεῖ. οὐ γὰρ προσενεκτέος ἄλλος θάνατος πρὸς ἄλλῳ· οὐ θέλομεν γὰρ ὀφείλειν καὶ τὸν σὸν θάνατον. A. ἱκανῶς ἔχει ὁ θάνατος τῆς σῆς θυγατρός· οὐκ ἄξιον προσενεχθῆναι καὶ ἕτερον σφαγιάσαι· εἴθε μηδὲ τόνδε ὠφείλομεν ποιεῖσθαι. I.

ἄλις: ἀρκούντως. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. οὐ προσοιστέος: οὐ προσενεκτέος. M. Fl. 17. οὐκ ἄξιος προσφέρεσθαι. Fl. 6. 9.

1. οὐ σὲ—Ἀχιλλέως] Haec partim in M. σὲ ὦ γεραιὰ, φησὶ, κατθανεῖν ᾔτήσατο τὸ φάντασμα ἀχιλλέως.
ib. τοὺς Ἀχαιοὺς om. I.
13. ἡ Ἑκάβη] ἡ om. I.
16. ἀποκτιννύναι] ἀποκτεῖναι I.
17. εἰ καὶ—ᾔτησεν] Haec etiam Fl. 10.
23. διπλοῦν et πόσις gl. sunt in Gu.
29. ποιεῖσθαι] ποιῆσθαι I.

21. 56. 59. 76. Gr. κομιστέος, ληπτέος. Gu. ἀρκετός ἐστιν ὁ τῆς κόρης θάνατος, οὐκ ὠφείλομεν ἄλλον ὑπὲρ ἄλλου σφάξαι. Fl. 33.

395. πρὸς ἄλλῳ: ἐπ' ἄλλῳ θανάτῳ. Fl. 6. 9. 21. 56. 76. Gr. τόνδ' ὠφείλομεν: τὸν τῆς θυγατρός σου θάνατον ἐχρεωστοῦμεν. Fl. 56. 9. 21. 56. 76. μηδὲ τόνδ' ὠφείλομεν: ἀντὶ τοῦ οὐ γὰρ ἀναγκάσεις με συναποκτεῖναί σε τῇ θυγατρί σου. A. εἴθε μηδὲ τοῦτον ἐχρεωστοῦμεν. Gr.

396. πολλή γ' ἀνάγκη: λείπει τὸ ἐστί. M. ἀνάγκη ἐστὶ συναποθανεῖν με τῇ θυγατρί. I. ἀνάγκη: ἐστὶν ἐμοὶ δηλονότι. Fl. 21. ἐπεὶ τὰ μετὰ ἀνάγκης δούλης. Fl. 10.

397. πῶς; οὐ γὰρ οἶδα δεσπότας: εἰπούσης τῆς Ἑκάβης ὡς ἀνάγκη συναποθανεῖν τῇ θυγατρί μου, φησὶν ὁ Ὀδυσσεύς, πῶς; οὐ γὰρ δοῦλός εἰμι, ἵνα μετὰ ἀνάγκης δεσποτῶν διαπράττωμαί τι. πρῶτός εἰμι ἐν τῷ στρατῷ καὶ ὃ θέλω ποιήσω. οὐ γὰρ ὑπ' ἄλλου προστάσσομαι, ἵνα εἰπόντος ἐκείνου σφαγήτω καὶ ἡ Ἑκάβη ἀκούσω τούτου. A. πῶς λέγεις συναποθανεῖν; οὐ γὰρ οἶδα ὅτι κέκτημαι δεσπότην σὲ, τοῦτό με ποιῆσαι ἀναγκάσοντα. I. πῶς; ποιήσω τοῦτο δηλονότι; ἤγουν οὐ δύναμαι. καὶ γὰρ ἐγὼ κέκτημαι δεσπότας, ἤγουν κυρίους, τὸν Ἀγαμέμνονα καὶ τὸν Μενέλαον, καὶ οὐκ οἶδα τί βουλήσονται ἐκεῖνοι ἐν τούτῳ. Fl. 21. πῶς: ἔστιν ἀνάγκη. Gu. θέλεις ἀποθανεῖν; οὐ γὰρ ἀναγκάσεις με συναποκτενεῖν σε τῇ σῇ θυγατρί· οὐ γὰρ ἔχω σε κυρίαν καὶ δεσπότριαν, ὡς τὸ προσταχθέν σοι πληρώσω καὶ ὑπακούσομαι. Gu. οὐ γὰρ οἶδα δεσπότας κεκτημένους: τὸ οἶδα κεκτημένος οὐκ ἔστι περίφρασις Ἀττικὴ ἀντὶ τοῦ κέκτημαι, ἀλλὰ οὕτω νόει· οὐ γὰρ οἶδα ὅτι δεσπότας ἔχω. Gu. δεσπότας: ἤγουν αὐθέντας. Fl. 17. κεκτημένος: ἔχων. Fl. 56. οὐ δοῦλός εἰμι, ἵνα μετὰ ἀνάγκης δεσποτῶν διαπράττωμαί τι. M. Fl. 19. ἐπεὶ τὰ μετὰ ἀνάγκης δούλοις πρέπει. M.

22. δεσπότριαν] Vocabulum aliunde non magis cognitum quam δεσπότειρα quod ab Sophocle dictum Pollux 3. 73. non magis probat quam δεσπότιν Euripidis: ubi quod Falckenburgius pro δεσπότειραι scriptum affert δεσποτηρίαν fortasse pro δεσπότριαν scriptum est, quod hic restituit Matth. Nam in Gu. est δεσπότρειαν.

24. τὸ οἶδα—ἔχω] Idem scholion est in Baroc. 74. sed mutilum et corruptum: τὸ οἶδα κεκτ. οὐ ἔστι περίφρασις, ἀλλ' Ἀττικὴ σύνταξις ἀντὶ τοῦ κέκτημαι.

398. ὁποῖα κισσός: καθάπερ κισσοῦ δρῦς ἀντιλαμβάνεται περιπλακέντος, κἀγὼ ταύτης μεταλαμβάνομαι καὶ οὐ χωρισθήσομαι αὐτῆς ἀναιρουμένης, ἀλλὰ σὺν αὐτῇ θνήσκειν βούλομαι. M. καθάπερ ὁ κισσὸς ἀντιλαμβάνεται καὶ περιπλέκεται τῇ δρυΐ, τὸν αὐτὸν κἀγὼ τρόπον ταύτης λάβωμαι καὶ οὐ χωρισθήσομαι. Ἄλλως. κισσός ἐστιν εἶδος δένδρου μικροῦ, ὅπερ καὶ ἐν ταῖς ἀμπέλοις συνεχῶς ἀνέρχεται καὶ εἰλίσσεται ἐν αὐταῖς, ἀναφέρεται δὲ Διονύσῳ. εἰς νάρθηκα γὰρ ἔπλεκεν τὸ αὐτὸ φυτὸν καὶ οὕτως ἐχόρευον αἱ Βάκχαι τῷ Διονύσῳ. A. ὥσπερ ὁ κισσὸς ἔχεται τῆς δρυός, οὕτως ἔξομαι αὐτῆς. I. ὁποῖα: καθά. Fl. 17. ἐπιρρηματικῶς, ἀντὶ τοῦ ὡς. Fl. 6. 9. 56. 59. 76. Gr. τοιαύτη ἔσομαι· ἐπιρρηματικῶς, ἀντὶ τοῦ ὡς ἔχεται, οὕτω τῆς Πολυξένης ἅψομαι. Fl. 21. ὅπως: οὕτως. Gr. τὸ ὅπως ἀντὶ τοῦ ὥσπερ, ἀντὶ τοῦ πῶς, ἀντὶ τοῦ ἵνα, ἀντὶ τοῦ ἐπεί, καὶ ἀντὶ τοῦ οὕτως. Gu. ἔξομαι: ἅψομαι. Gr. περιπλακῶ. Gu.

399. οὐκ ἦν γε πείθῃ: ἐὰν πείθῃ τοῖς σοφωτέροις σου, οὐδαμῶς τοῦτο ποιήσεις, τὸ συσφαγιασθῆναί σε τῇ θυγατρὶ, ἀλλὰ καταλείψεις αὐτὴν μόνην. A. οὐχ ἕξῃ, οὐ ποιήσεις τοῦτο, τὸ ἕξεσθαι δηλονότι τῆς θυγατρὸς, ἣν πείθῃ τοῖς φρονιμωτέροις σου. I. οὐκ: μὴ οὕτως ποιήσῃς, μὴ ἅψῃ τῆς θυγατρός. Fl. 6. 9. 21. 56. 59. 76. Gr. μηδαμῶς τοῦτο ποιήσεις. Fl. 10. σοφωτέρους: φρονιμωτέρους. Gr.

400. ὡς—μεθήσομαι: γίνωσκε ὅτι οὐκ ἀποστήσομαι τῆς παιδός, οὐδ' ἀπελύσω αὐτὴν ἐθελοντής. I. ὡς: γίνωσκε ὅτι. Gr. τὸ ὡς, εἰ μὲν συνάψεις πρὸς τὸ μεθήσομαι, ἀντὶ τοῦ ὅντως ἐρεῖς, εἰ δὲ πρὸς τὸ ἑκοῦσα, ἀντὶ τοῦ καθά. Gu. ἑκοῦσα: θέλουσα. Fl. 21. ἑκοντί. τὸ ὄνομα ἀντὶ ἐπιρρήματος. Gu. μεθήσομαι: καταλείψω. Fl. 17. χωρισθήσομαι. Fl. 6. 9. 21. 56. 59. 76. χωρισθήσομαι, ἀπολύσω. Gr. ἀπολειφθῶ. Gu. ταύτης μοι δὲ τῆς παιδὸς ἑκοῦσα οὐ χωρισθήσομαι, οὐκ ἐάσομαι. Fl. 33.

401. ἀλλ' οὐδ': ἀλλ' οὐδ' ἐγὼ ἀπελεύσομαι ἀπολιπὼν τήνδε. I. αὐτοῦ: αὐτόθι παρὰ σοί. M. μήν: ἀργόν. Gu.

402—416. μῆτερ, πιθοῦ μοι: ὦ μῆτερ, πείσθητί μοι, καὶ σὺ,

5. κισσός—] Idem scholion in Fl. 17. verbis leviter mutatis, κισσός ἐστιν εἶδος δένδρου. καίπερ ἐν ταῖς ἀμπέλοις συνεχῶς ἔρχεται καὶ εἰλίσσεται ἐν αὐταῖς· ἀναφέρεται δὲ ἐν Διονύσῳ· ἐν τῷ νάρθηκι γὰρ ἐπέπλεκτο αὐτὸ τὸ φυτὸν, καὶ οὕτως ἐχόρευον αἱ Βάκχαι ἔμπροσθεν τῷ Διονύσῳ.

9. τῆς Matth. pro τοῦ.

Ὀδυσσεῦ, ἐνδίδου τοῖς γεννήτορσιν ὀργιζομένοις πρεπόντως, σύ τε, ὦ ἀθλία, τοῖς ἄρχουσι μὴ πολέμει. θέλεις πεσεῖν πρὸς τὸ ἔδαφος, τραυματίσαι τὸ σὸν γεροντικὸν σῶμα, βιαίως ἀποπεμπομένη, καὶ ἀτιμασθῆναι, ὑπὸ νεανικοῦ βραχίονος σπαραχθεῖσα καὶ συρεῖσα. μὴ σύ γε πάθῃς ταῦτα· οὐ γὰρ ἄξιον παθεῖν. ἀλλ', ὦ πρόσφιλὴς μῆτερ, δός μοι τὴν γλυκυτάτην σου χεῖρα καὶ τὴν παρειὰν προσερεῖσαι τῇ ἐμῇ παρηΐδι, ὅτι οὐ μετὰ ταῦτα, ἀλλὰ νῦν τελευταῖον θεάσομαι τὸν κύκλον τοῦ ἡλίου. τέλος δὲ δὴ λαμβάνεις τῶν ἐμῶν πρυσαγορεύσεων καὶ λαλιῶν. ὦ μῆτερ, ὦ τεκοῦσα, ἀπέρχομαι εἰς τὸν Ἀιδην ἀνύμφευτος καὶ ἄμοιρος ὑμεναίων, ὧν ἔπρεπεν ἐμὲ λαχεῖν δηλονότι. ὦ θύγατερ, ἐγὼ δὲ δουλεύσω ἐν τῇ παρούσῃ ζωῇ. I. πιθοῦ: πείσθητι. Gr. Λαερτίου: ἀντὶ τοῦ Λαέρτου. M.

403. χάλα: τὸ χάλα ἐκ μεταφορᾶς τῶν τῆς νεὼς προτόνων εἴρηται, ἃ τεταμένα, ὅταν ἄνεμός τις συμβῇ, χαλῶσιν οἱ ναῦται, ἵνα μὴ τῇ τούτων τάσει καὶ τῇ τοῦ πνεύματος φορᾷ τὸ πλοῖον ὑποβρύχιον γένηται. Gu. σύγγνωθι γονεῖς. Fl. 21. ὑποχώρει, ἐνδίδου, ἀπὸ μεταφορᾶς τῶν ὑποχαλώντων τὸν πόδα πολλοῦ ὄντος ἀνέμου ἐν τῷ ἁρμένῳ τοῦ πλοίου. A.M. Fl. 10. ὑπόπιπτε, ὕπεικε. Gu. θυμουμένοις: τοῖς λυπουμένοις. Fl. 33. ὀργιζομένοις. Gr.

404. σύ τ': μῆτερ Ἑκάβη. Fl. 21. σὺ, ὦ τάλαινα, τοῖς βασιλεῦσι μὴ ἔριζε. Fl. 33. κρατοῦσι: ἐνδόξοις. Fl. 17. τοῖς ἄρχουσι. Gr. βασιλεῦσιν. Gu. μάχου: ἀντίτεινε. Fl. 6. μάχου; κατὰ Ἀττικοὺς ὁτικῇ, κατὰ δὲ κοινοὺς αἰτιατικῇ, ὥσπερ καὶ τὸ ναυμαχῶ. Gu.

405. βούλει: βούλει καταπεσεῖν καὶ πρὸς ὁδὸν ἑλκῶθηναι. Fl. 33. πρὸς ὕδας: πρὸς τὸ ἔδαφος. Gr. ἑλκῶσαι: ἀντὶ τοῦ τραυματίσαι. M. ἀντὶ τοῦ ἕλκους καὶ τραυμάτων πληρῶσαι τὸν σὸν γηραιὸν χρῶτα. A.

406. γέροντα χρῶτα: τὸ σὸν γεραιὸν σῶμα. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ἁπλοῦν ἀντὶ κτητικοῦ. Gu. τὴν δὲ γεγηρακυῖαν πρόσοψιν, μετὰ βίας πατουμένη. Fl. 33. πρὸς βίαν ὠθου-

16. γονεῖς] γονεῦσι Matth.
ib. ὑποχώρει om. Fl. 10.
ib. ἐνδίδου—πλοίου] Brevius ἐνδίδου, ἀπὸ τῶν χαλώντων τὰ ἱστία Gr. Bar.
17. τὸν πόδα A. τῇ ποδιᾷ M. (i. e. τὰ πέδια) τὰ ἱστία διὰ Fl. 10. Verba ἐν τῷ ἁρμένῳ τοῦ πλοίου om. A. et, opinor, M.
26. τραυματίσαι etiam Gr.

μένη: βιαίως ἐκκρινομένη, βιαστικῶς διακομένη. Cant. πρὸς βίαν: βιαίως. Ἀττικόν. βιαστικῶς ἀποπεμπομένη. Gu.

407. ἀσχημονῆσαι: ἄσχημον πρᾶγμα παθεῖν. Cant. Gr. ἀτιμασθῆναι. Gu. νέου: νέος γάρ ἐστιν Ὀδυσσεύς. Fl. 21. καὶ ἀπὸ νεαροῦ βραχίονος ἀσχημονῆσαι. Fl. 33. ἰσχυροῦ. Gu.

408. σπασθεῖσ': συρεῖσα. Gr. ἑλκυσθεῖσα. Fl. 33. ἃ πείσῃ: ἅτινα πάθῃς. M. ἅπερ πάθῃς, ἢν μή μοι πείθῃ. Gu. ἅπερ πάθῃ, εἴθε μὴ πείσοις σύ. ὑποτακτικὸν ἀντὶ εὐκτικοῦ. Fl. 21. ἄξιον: ἔστι παθεῖν σὲ ταῦτα δηλονότι. Fl. 21. ἅπερ μὴ πεισθῇς οὐκ ἔστιν ἄξιον. Fl. 33. τοῦτο παθεῖν. Gu.

409. φίλη: ἀγαπητή. Fl. 21. ἡδίστην: γλυκεῖν. M. Fl. 21. εὐφραντήν. Gu.

410. προσβαλεῖν: τουτέστιν ἐρεῖσαι καὶ πλησιάσαι τῇ ἐμῇ. Fl. 59. περιπλακῆναι, προσμῖξαι. Fl. 6. ὅς μοι τὴν παρειὰν τὴν σὴν προσεγγίσαι τῇ ἐμῇ. Fl. 33. ἐρεῖσαι. Gr. πλησιάσαι. Gu.

411. ὡς οὔποτ': ὅτι οὔποτε ἐσόψομαι. Fl. 21. ὅτι οὐδέποτε. Fl. 6. 9. 21. 56. 59. 76. νῦν: ὁρᾷ. Fl. 21. πανύστατα: ἀντὶ τοῦ ὕστατον. Gr. Fl. 21. τέλειον. Fl. 21. τελευταῖον. Gu. ὡς οὐδέποτε ὄψομαι τὸ ἡλιακὸν φῶς. νῦν δὲ ἔστι μοι τὸ ἔσχατον πάντων. Fl. 33.

412. ἀκτῖνα: τὸ φῶς. πρῶτον ἡ ἀκτὶς ὑποπίπτει τῇ ὄψει, εἶτα ὁ δίσκος. Gu. κύκλον: τὸν ὅλον περιφραστικῶς. Fl. 17.

413. τέλος: πλήρωμα. οὐ γὰρ προσιμιλήσω σοι τοῦ λοιποῦ. A. Gu. τέλος δ' ἔχει: γρ. τέλος δ' ἔχει. Gr. προσφθεγμάτων: ἤγουν τῶν ῥημάτων, τῶν λέξεων. Fl. 17. προσαγορεύσεων. Gr. ἀντὶ τοῦ τὰ ἐμὰ προσφθέγματα. Fl. 21. τῶν ἐμῶν λόγων τὸ τέλος εἴληφεν. Fl. 33.

414. ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπειμι δὴ κάτω: ταῦτα λεγούσης τῆς Πολυξένης ἀπεκρίθη ἡ Ἑκάβη, ἡμεῖς ἐν φάει δουλεύσομεν· ἡ δὲ Πολυξένη πρὸς ταῦτα οὐκ ἀπεκρίθη, ἀλλ' ἔχεται τῶν αὐτῶν λόγων. κἂν ἀμοιβαῖοι φαίνωνται οἱ στίχοι. οὕτως γάρ ἐστιν ἡ ἀκολουθία τούτων, ὦ μῆτερ, ὦ τεκοῦσα. ἄπειμι δὴ κάτω ἄνυμφος, ἀνυμέναιος, ἄνευ τῶν ἐπὶ γάμῳ λεγομένων ὕμνων, ἐκεῖ δ' ἐν Ἅιδου κείσομαι χωρὶς σέθεν, ἀντὶ τοῦ σοῦ. ἡ μὲν δὴ ἐβόα Ἑκάβη ἐκείνης λαλούσης, ὅπως

16. ὅτι habet M. 25. ἀντὶ τοῦ] τὸ Gu.
33. ἡ μὲν δὴ] ἡ μὲν δὲ A.

ἀπεκριθῇ καὶ εἴπῃ αὐτῇ τι, καὶ οὐκ ἀντεῖπεν αὐτὴ μέχρι τοῦ στίχου τοῦ λέγοντος "τί σοι πρὸς Ἕκτορ' ἠ γέροντ' εἶπω πόσιν;" A.

ὦ τεκοῦσα: ἤγουν ἡ γεννήσασα. Fl. 17. κάτω, ἐν Ἅιδῃ. Fl. 10. ἄπειμι: πορεύομαι ἐν τῷ θανάτῳ. Fl. 33.

415. ἐν φάει: ἐγὼ ἐν τῷ βίῳ δουλεύσω, δούλη ἔσομαι. Fl. 6. 9. 21. 56. 59. 76. ἐν τῷ βίῳ. Gr. ἐν τῇ παρούσῃ ζωῇ. Gu. Πολυξένη οὐκ ἀπεκρίθη πρὸς ταῦτα, ἀλλ' ἔχεται τῶν αὐτῶν λόγων ἀπὸ τοῦ "ὦ μῆτερ" μέχρι τοῦ "τί σοι πρὸς Ἕκτορα," κἂν ἀμοιβαῖοι φαίνωνται οἱ στίχοι. Gu.

416. ἄνυμφος: χωρὶς γάμου. Fl. 17. ἄνευ γάμου. Gu. ἔπεται τοῦ λόγου. Fl. 21. ἄπειμι κάτω δηλονότι. M. Fl. 10. ἀνυμέναιος: ἀμελῴδητος. Fl. 56. χωρὶς ὕμνων. Fl. 17. ἀπέρχομαι δηλονότι. Gr.

ἀνυμέναιος: ἄμοιρος ὑμεναίων. Gr. ὑμένας λέγουσι τὰ περιλαμβάνοντα σπλάγχνον ἤ τι τοιοῦτο λεπτότατον, ὥσπερ δέρμα· ἐπεκράτησε δὲ ἰδίως λέγεσθαι ὑμένα τὸν τῆς παρθενίας, οὗ διαρρηγνυμένου τῇ συνουσίᾳ οὐκέτι τὸ θῆλυ πρὸς παρθενίαν ἐστί. διὸ καὶ λέγεται ἀπὸ τούτου ὑμέναιος ἡ ἐπιθαλάμιος ᾠδή, ἤγουν ἡ ἐπὶ τῷ γάμῳ καὶ τῇ διαρρήξει τούτου τοῦ ὑμένος ᾀδομένη, ἀφ' οὗ ὕμνος, ὃς ἐπὶ θεοῦ μὲν καὶ θείων ἀνδρῶν ὡς ἐπὶ τὸ πολὺ λέγεται, ἐτάχθη δὲ ὅμως λέγεσθαι καὶ ἐπὶ τῆς ἁπλῶς ᾠδῆς, καθὸ λέγουσιν ὑμνοπόλους τοὺς ποιητὰς ἤτοι τοὺς ἀναστρεφομένους περὶ τὴν ᾠδὴν ἁπλῶς, ἤγουν τὴν ἐμμελῆ συνθήκην καὶ ἔμμετρον. λέγεται ὕμνος καὶ ἡ φήμη καὶ διαλάλησις, καθὸ λέγεται παρὰ Σοφοκλεῖ τὸ "βαιὰ μὲν, ἀεὶ δ' ὑμνούμενα." κατὰ τοῦτο δὴ τὸ τελευταῖον σημαινόμενον λέγεται τὸ "προθέλυμνον ἔπεσε τὸ δένδρον," ἤγουν οὕτως ἔπεσεν ὡς εἰς φῶς προαχθῆναι καὶ τὸ μέρος ἐκεῖνο αὐτοῦ, δι' οὗ θέλει τὸ ὄνομα καὶ τὴν μνήμην, τουτέστι τὴν ῥίζαν. ταύτης γὰρ σωζομένης, εἰ καὶ πᾶν ἐκκοπείη τὸ δένδρον, βλαστήσειεν ἄν τι ἀπ' αὐτῆς, ὃ φυλάξει τοὔνομα καὶ τὴν μνήμην τοῦ δένδρου. εἰ δ' ἀπόλοιτο αὕτη, καὶ ἡ τοῦ δένδρου πᾶσα ἐλπὶς καὶ μνήμη συναπόλλυται. ὁσάκις δὲ λέγει ὁ Ὅμηρος προθέλυμνον, ὅτι τὸ προβεβλῆσθαι καὶ ῥύεσθαι ἐπισπᾶται ὄνομα καὶ μνήμην. λέγεται καὶ πρόρριζον ἔπεσε τὸ δένδρον ὁμοίως, ἤγουν οὕτως

17. διὸ καὶ Matth. διὸ καὶ τῆς παρθενίας ὁ ὑμὴν Gu.

24. Σοφοκλεῖ] Aj. 292. ubi βαί', ἀεὶ δ' ὑμνούμενα.

ἔπεσεν ὡς καὶ τὴν ῥίζαν αὐτοῦ ἀναπασθῆναι καὶ εἰς φῶς προαχθῆναι. Gu.

ὦν: νυμφεύματος καὶ ὑμεναίου. Gr. θαλαμίων ὕμνων. Gu.

τυχεῖν: ἐπιτυχεῖν. Fl. 17. ἀνύμφευτος, μὴ τυχοῦσα ᾀσμάτων γαμικῶν. ὑμέναιον λέγεται ᾆσμα, ὃ ᾄδουσιν ἐν τοῖς γάμοις τοῖς νεογνοῖς νυμφίοις. Fl. 33.

417. οἰκτρά: ἐλεεινή. M. Fl. 6. 9. 21. 56. 59. 76. Gr. διαφέρει οἰκτρὸς τοῦ ἀθλίου· οἰκτρὸς γὰρ λέγεται ὁ ἄξιος ἐλέους, ἀπὸ τοῦ οἶκτος, ἡ ἐλεημοσύνη, ἄθλιος δὲ ὁ πολλὰ δεινὰ πάσχων καὶ ὑπομένων, ἀπὸ τοῦ ἀθλῶ τὸ καρτερῶ. Fl. 17. ἀξία οἴκτου καὶ ἐλέους. διὰ τὸ τοῦ θανάτου ἄωρον. Gu.

ἀθλία: δυστυχής. Fl. 17. δυστυχὴς διὰ τὴν σὴν στέρησιν. Gu· δ' ἐγώ: συναλιφὴ τῶν δύο ἔστι δὲ ἐγώ. M.

418. ἐκεῖ: ἐν τῷ τόπῳ. (τοῦ Ἅιδου add. Gu.) Fl. 17. ἐν Ἅιδου: ἐλλειπτικῶς ἀντὶ τοῦ ἐν τῷ τόπῳ τοῦ Ἅιδου. Fl. 21.

419. εἶμι, τί δράσω: εἶμι, τί ποιήσω, εἰς ποίαν τύχην καταντήσω, ποῖον τέλος ἔξω τοῦ βίου, πῶς πληρώσω τὸν βίον. I. ποῖ: χρωικόν. Fl. 59. Gr. τελευτήσω: πληρώσω, τελέσω. ἤγουν μέχρι τίνος ζήσομαι; ἀχθομένη τῇ ἑαυτῆς ζωῇ τοῦτό φησιν. Cant. Gr. πῶς τὸ τέλος δράξω τοῦ βίου. M.

420. δούλη θανοῦμαι: οἵα πατρὸς ἐλευθέρου, ἤτοι βασιλέως. ἐλεύθερος κατὰ ψυχὴν καὶ ἐλεύθερος κατὰ σῶμα, ὁ καλῶς ἐκτραφείς, ἤτοι εὐτυχῶς καὶ ἐλευθερίως. ἐμοίως καὶ δοῦλος· καὶ ἐπὶ μὲν τοῦ σώματος ὁ ἐωνημένος, ἐπὶ δὲ ψυχῆς ὁ κόλαξ. ἀπελεύθερος δὲ ὁ ἀργυρώνητος μὲν πρῶτον, εἶτα ἐλευθερωθείς, ὁ δὲ ἐλευθερώσας αὐτὸν πάτρων, καὶ κλίνεται πάτρωνος. I. δούλη: ὡς δούλη θνήσκω ἡ πρόσθεν ὑπάρχουσα βασιλέως θυγάτηρ. Fl. 33. ἐλευθέρου: κυρίου. Fl. 21. ἤγουν ἀκαταδουλώτου, ἢ εὐτυχῶς καὶ καλῶς τραφέντος, ἤγουν βασιλέως. Gu.

421. ἡμεῖς δέ: ἀποθανεύμεθα ἢ ἐσμέν. Gu. ἡμεῖς δὲ πεντήκοντά γ' ἄμμορι τέκνων: ἐζήτηται ἐνταῦθα πῶς δέκα καὶ ἐνέα παῖδας ποιήσασα Ἑκάβη πεντήκοντα ἑαυτὴν παίδων ἀμέτοχόν φησι. καὶ φαμὲν ὡς συμπεριείληφε τοὺς νόθους παῖδας τοῦ Πριάμου σὺν τοῖς ἑαυτῆς. Λ. ἡμεῖς δὲ ἄμοιροι καὶ ἐστερημένοι πεντήκοντα

31. δέκα καὶ ἐνέα] δεκαεννέα in scholio proximo I.

τέκνων. ιθ' ἐγέννησεν αὕτη· αὔξουσα δὲ τὸ πάθος ν' λέγει, ἢ ὅτι συμπεριλαμβάνει καὶ τοὺς νόθους τοῦ Πριάμου παῖδας σὺν τοῖς παισὶν ἑαυτῆς διὰ τὴν διάθεσιν τοῦ ἀνδρός. Gu. I. πεντήκοντα αὔξουσα τὸ πάθος φησί· ιθ' γὰρ μόνους παῖδας ἐγέννησεν. καὶ Ὅμηρος " ἐννεακαίδεκα μέν μοι ἴσης ἐκ νηδύος ἦσαν" ἢ ὅτι ἐμπεριλαμβάνει τοὺς νόθους διὰ τὴν διάθεσιν τοῦ ἀνδρός. M. Fl. 10. σύλληψις δὲ λέγεται ὁ τρόπος· οὐδὲ γὰρ αὐτὴ ἐγέννησεν, ὁ δὲ Πρίαμος ἐξ ἄλλων γυναικῶν. M. τί ν' λέγει; ὅτι ν' τέκνα ἐποίησεν ὁ Πρίαμος. Fl. 33. ἄμοιρι: ἀμέτοχοι. M. Fl. 21. ἐστερημένοι. Fl. 56. Gu.

422. τί σοι πρὸς Ἕκτορα: τί βούλει ἕνεκα σοῦ εἴπω πρὸς τὸν Ἕκτορα, ἢ πρὸς τὸν γέροντα Πρίαμον τὸν σὸν ἄνδρα; μήννε πασῶν γυναικῶν ἀθλιωτάτην. Gr. I. τί σοι: τί εἴπω πρὸς τὸν Ἕκτορα καὶ τὸν σὸν ἄνδρα καὶ σύγκικον; Fl. 33. εἴπω: ἀγορεύσω. Fl. 10. πόσιν: ἄνδρα. Gr.

423. ἄγγελλε: ἐκείνοις. Fl. 17. εἰπέ. Fl. 21. ἀθλιωτάτην: οὖσαν δυστυχεστάτην. Fl. 17. 56. εἶναι. Fl. 21. τὸ ὑπερθετικὸν ἀντὶ συγκριτικοῦ. Gu.

424. ὦ στέρνα μαστοί θ': ταῦτά φησιν ὡς ἀσπαζομένη τοὺς τῆς μητρὸς μαστούς. Λ. περιπτυσσομένη τὴν μητέρα ταῦτά φησίν. Gu. Fl. 10. I. ὦ τῆς πρὶν τοῦ προσήκοντος καιροῦ ἀθλίας τύχης. I. στέρνα: στήθη. Fl. 21. 59. ἡδέως: γλυκέως. Fl. 21.

425. ὦ τῆς: φεῦ, ἕνεκα. Fl. 6. 9. 21. 56. 59. 76. Gr. χάριν, ἕνεκεν. Fl. 17. τῆς ἀθλίας καὶ πρὸ καιροῦ σου τύχης. Fl. 33. ἀώρου: ἀκαίρου. Fl. 56. Gu. ταχυθανάτου, μήπω γηρασάσης, τουτέστι νέας. M. Gu. τύχης: ἡμῶν δηλονότι. Fl. 21.

426. χαῖρ', ὦ τεκοῦσα: κἀνταῦθα οὐκ ἀμοιβαῖοί εἰσιν οἱ λόγοι, ἀλλὰ διὰ μέσου φησὶν Ἑκάβη, ὅπως ἀποκριθῇ αὐτῇ, καὶ οὐκ ἀντιλέγει. οὕτως γάρ ἐστιν ὁ νεῦς καὶ ἡ σύνταξις, χαῖρ'. ὦ τεκοῦσα,

1. ν'] ταῦτα Gu.
2. σὺν τοῖς] σὺν om. I.
ib. παισὶν om. Gu.
4. Ὅμηρος] Il. 24, 496.
5. ἴσης om. Fl. 10.
10. ἕνεκα σοῦ εἴπω] ἵνα εἴπω ἕνεκα σοῦ I.
11. γέροντα] γέροντα τὸν πόσιν Gr., reliquis omissis.
19. περιπτισσομένη Gu. περιπλεκομένη I. Verba περιπτυσομένη (sic) τὴν μητέρα τοῦτο (sic etiam Gu.) φησίν sunt etiam in M.
27. κἀνταῦθα] Respicit ad ea quae annotaverat de στίχοις ἀμοιβαίοις ad v. 414.

χαῖρε Κασάνδρα τ' ἐμοί, ὅ τ' ἐν φιλίπποις Θρᾳξὶ Πολύδωρος, καὶ λεγούσης ταῦτα Πολυξένης λέγει καὶ ἡ Ἑκάβη διὰ μέσου, χαίρουσιν ἄλλοι, καὶ ἂν ζῇ Πολύδωρος ἀπιστῶ. τοῦ ὀνείρου γὰρ ἐμνημόνευσεν ὃν εἶδε περὶ ἐκείνου ἐν ἀρχῇ τοῦ δράματος, καὶ τότε ἀποκρίνεται αὐτῇ Πολυξένη καὶ λέγει περὶ τοῦ Πολυδώρου, ζῇ καὶ θανούσης σου καλύψει τοὺς σοὺς ὀφθαλμούς. Α.

χαῖρ' ὦ τεκοῦσα: τὸ ἐμοί οὐ πρὸς τὸ Κασάνδρα ἐστὶν, (εἰ γὰρ ἦν οὕτω, διὰ τοῦ η ὤφειλε γράφεσθαι) ἀλλὰ πρὸς τὸ χαῖρε· σύναπτε δὲ καὶ πρὸς ἀμφότερα, χαῖρέ μοι, ὦ τεκοῦσα, καὶ χαῖρέ μοι, ὦ Κασάνδρα. I. ἐμοί: σχετικόν. Fl. 6. 9. 21. 56. 59. 76. Gr. τεκοῦσα: ἡ γεννήσασά με. Fl. 17. μῆτερ ἐμή. Fl. 21. Κασάνδρα: ἀδελφή. Fl. 21. 56. ἡ Κασάνδρα ἀδελφὴ ἦν τῆς Πολυξένης. Fl. 33.

427. χαίρουσιν ἄλλοι: μητρὶ δ' οὐκ ἔστι τὸ χαίρειν δηλονότι. I. χαίρουσιν: οἱ φονεύοντες, οἱ Ἕλληνες. Gu. χαρά: γρ. τόδε. M.

428. ὅ τ': ἀπὸ κοινοῦ τὸ χαιρέτω. M. Fl. 10. χαῖρε καὶ ὁ ἐμὸς ἀδελφὸς Πολύδωρος ὁ ὑπάρχων ἐν τοῖς ἱππικοῖς Θρᾳξίν. Gr. I. ὅ τε ἐν τοῖς πολεμίοις Θρᾳξὶν ὁ Πολύδωρος, ὁ ἐμὸς ἀδελφός. Fl. 33.

429. εἰ ζῇ γ', ἀπιστῶ δέ: οὕτως εἰς πάντα δυστυχὴς εἰμι ὥστε καὶ περὶ ἐκείνου ἀπιστῶ εἰ ζῇ. M. οὕτως εἰμὶ δυστυχὴς ὡς οὐ πιστεύω ζῆν τὸν Πολύδωρον. Α. τοῦ ὀνείρου γὰρ ἐμνημόνευσεν, ὃν εἶδε περὶ ἐκείνου ἐν τῇ ἀρχῇ τοῦ δράματος. Gu. εἰ ζῇ γε: χαιρήσεται δηλονότι· ἀπιστῶ δὲ, ὅτι οὕτω κατὰ πάντα δυστυχῶ. I. πάντα: ἐν πᾶσι. Fl. 21. δυστυχῶ: ὥστε ἀπιστεῖν εἰ ζῇ. Fl. 10.

430. ζῇ: δηλονότι. Fl. 59. ἐκεῖνος. Fl. 17. θανούσης: σοῦ. Fl. 17. 59. 76. Gr. συγκλείσει: ἀσφαλίσει. Fl. 17. καλύψει. Fl. 21. Gu.

431. τέθνηκ' ἔγωγε: ἐγὼ πρὶν τοῦ θανεῖν ὑπὸ τῶν κακῶν τέθνηκα. M. πρὸ τοῦ θανεῖν με τὸν φυσικὸν θάνατον τέθνηκα ὑπὸ τῶν περιεχόντων με κακῶν. Gu. πρίν: πρὸ τοῦ. Fl. 56. Gu.

432. κόμιζ', Ὀδυσσεῦ: περικαλύψας τὴν κεφαλὴν ἱματίῳ, ὅτι πρὸ τοῦ σφαγῆναι ἐκτέτηκα τὴν καρδίαν. I. κόμιζ': ἄπαγε πρὸς

16. χαιρέτω] χαῖρε Fl. 10. 18. Πολύδωρος ὁ ὑπάρχων] ὁ πολύδωρος ὁ ὑπάρξων Gr.

τὸν τάφον τοῦ Ἀχιλλέως. Gu. ἀντίπτωσις. ἄπαγε, καλύψας τὴν κεφαλὴν τοῖς ἱματίοις. Fl. 10. ὦ Ὀδυσσεῦ, περιθεὶς τῇ ἐμῇ κάρᾳ τὰ βασιλικά μοι πέπλα, καὶ ἀποκόμισόν με. Fl. 33. ἀμφιθείς: σκεπάσας. Fl. 6. 9. 21. 56. 59. 76. Gr. περικαλύψας διὰ τὸ κόσμιον. Gu. κάρα: κοινῶς μὲν ἡ κράς λέγεται, τῆς κρατὸς, ἡ δὲ τραγῳδία καὶ τὸ κρᾶτα λέγει οὐδετέρως, ὡς τὸ κάρα· ἡ δὲ κάρα τῶν νεωτέρων ἐστίν. I. πέπλοις: ἐν. Fl. 17. σκεπάσμασιν. Fl. 21. τοῖς σοῖς ἢ τοῖς ἐμοῖς. Gu.

433. ἐκτέτηκα: τὸ τήκεσθαι κυρίως ἐπὶ χιόνος λέγεται καὶ κηροῦ καὶ τῶν κατ' ὀλίγον ἀναλισκομένων. καὶ ἀπὸ τούτου ἐπὶ τῶν καταπιπτόντων ὑπὸ λύπης καὶ διαρρεομένων. B. Gu. I. δεδάμακα. Fl. 17. ἔλυσα. Fl. 21. ἐξετάκην τὴν ἐμαυτοῦ καρδίαν. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ἐδάμασα. Fl. 56. Gu. ἤγουν κατακέκομμαι τὴν ψυχὴν, ἐδαμάσθην. Gu. καρδίαν: τὴν ἐμαυτῆς καρδίαν ἐκτέτηκα τοῖς θρήνοις τῆς μητρὸς, κἀγὼ δὲ ταύτην ἐκτήκω. Λ.Μ. ἐμήν. Fl. 10. ἐξεπλάγην τῇ καρδίᾳ τοῖς θρήνοις τῆς ἐμῆς μητρός. Fl. 33.

434. θρήνοισι: ἐν. Fl. 10. ἐκτήκω: πάλιν. Fl. 10. δαμάζω. Fl. 17. 56. λύω. Fl. 21. γόοις: διὰ τῶν θρήνων. Fl. 17. θρήνοις. Fl. 56.

435. ὦ φῶς: ἔξεστί μοι προσφωνεῖν τὸ σὸν ὄνομα καὶ προσλέγειν· οὐ γὰρ ἀποκέκλεισμαι καὶ τοῦ λαλεῖν. Λ. προσειπεῖν γὰρ τὸ σὸν ὄνομα ἔξεστί μοι, ἤγουν ὁ καιρὸς, ἐνδίδωσί μοι προσφωνῆσαι καὶ καλέσαι τὸ σὸν ὄνομα. I. ἔξεστί μοι: ἄδεια δέδοταί μοι. Fl. 17.

436. μέτεστι δ' οὐδέν: ἀντὶ τοῦ οὐκ ἐπὶ πολὺ μέτεστί μοι τὸ φῶς ἀνακαλεῖσθαι, πλὴν ὅσον φθάσαι με εἰς τὸν τάφον τοῦ Ἀχιλλέως. ὅταν δὲ ἐκεῖ φθάσω, οὐκέτι προσφωνήσω σοι, δηλονότι ἕως οὗ τὴν ὁδὸν ταύτην τελειώσω καὶ φθάσω εἰς τὸν τοῦ Ἀχιλλέως τάφον, ἔκτοτε οὐκ ἴδω τὸ φῶς, οὔτε προσφθέγξομαί αὐτό· σφαγήσομαι γάρ. Λ. οὐδέν ἐστι τὸ μεταξὺ τῆς πυρᾶς τοῦ Ἀχιλλέως καὶ τοῦ ξίφους. M. Fl. 10. μετουσία δὲ ἔστι μοι σοῦ οὐδὲν πλέον ἢ καθ' ὅσον χρόνον ἵσταμαι μεταξὺ τοῦ ξίφους καὶ τοῦ τάφου τοῦ Ἀχιλλέως. I. μέτεστι, μετέχει ἐμοί. Fl. 21.

1. καλύψας scripsi pro ἀποκαλύψας ex M. in quo est ἄπαγε καλύψας τοῖς ἱματίοις διὰ τὸ κόσμιον.
9. τὸ τ. κυρίως] κυρίως τὸ τ. I.
14. μητρὸς] πρὶν σφαγῆναι add. A.
15. κἀγὼ δὲ] κἀγὼ γὰρ A.

437. βαίνω: περιπατῶ, πορεύομαι. Fl. 6. περιπατῶ τὴν ὁδόν. Gu. πορεύομαι μέσον ἐν τῇ θυσίᾳ τοῦ Ἀχιλλέως ἢ ἀνάμεσον τῶν Ἑλλήνων πορεύομαι, εἴτινες τῆς θυσίας τοῦ Ἀχιλλέως ἐγένοντο σύνεργοι. Fl. 33. πυρᾶς: τοῦ τάφου. Gr.

438.—443. οἴ 'γω προλείπω: φεῦ ἐγὼ ἐκλείπω· τὰ δὲ μέλη μου λύεται, πρὸ τοῦ ἀποθανεῖν λείπω τὴν ζωήν, αἱ δ' ἅρμονίαι λύονται τῶν μελῶν μου. ὦ θύγατερ, πρόσψαυσαι τῆς σῆς μητρός, δὸς τὴν χεῖρα· μή μ' ἄτεκνον καταλείψῃς. ἀπωλόμην, ὦ φίλαι γυναῖκες. οὕτω τὴν ἐκ τῆς Λακεδαιμονίας Ἑλένην θεασαίμην, τὴν ἀδελφὴν τοῦ Κάστορος καὶ Πολυδεύκους· διὰ γὰρ τῆς ὡραιότητος καὶ τοῦ προσόντος αὐτῇ κάλλους αἰσχίστως καθεῖλε καὶ κατέστρεψε τὴν πρὶν εὐδαίμονα Τροίαν. I.

προλείπω: ἐκλείπω. Gr. ἀποψύχω. M. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. πρὸ τοῦ καιροῦ εἴχομαι, πρὸ τοῦ φυσικοῦ θανάτου λείπω τὴν ψυχήν, ἀντὶ τοῦ ἤδη θνήσκω. Gu. λύεται: τήκεται, φθείρονται. Fl. 21.

439. ἅψαι: ὑστερολογία. Gu. κράτησαι. Fl. 17. ἐπιλαβοῦ. Fl. 56. ὦ θύγατερ, προσέγγισαι τῆς σῆς μητρός. Fl. 33. ἔκτεινον: ἅπλωσον. Fl. 56. ἐξάπλωσον, δός. Gu.

440. δός: ἐπίδος μοι τὴν σὴν προσφιλῆ χεῖρα, μή μ' ἄτεκνον ἀπολείπῃς. Fl. 33. μὴ λίπῃς: μὴ ἐάσοις. Fl. 56. ἀπωλόμην: ἐφθάρην. Fl. 17. 56. Gu. φίλαι: γυναῖκες. πρὸς τὸν χορὸν τοῦτό φησι. Fl. 21.

441. ὡς: οὕτως. M. εἴθε καὶ οὕτως. Fl. 59. καθὼς σὲ, τέκνον, ὁρᾷ, οὕτω καὶ τὴν ἀπὸ Λακεδαιμονίας Ἑλένην, τὴν σύγγονον τῶν Διοσκούρων, διὰ τῶν ὀφθαλμῶν μου ἴδοιμι. Fl. 33. Λάκαιναν: τὴν Λακωνικήν. Fl. 59. Gu. καὶ οὕτως. τὴν ἐκ τῆς Λακεδαιμονίας ἀδελφὴν τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους. Gr.

442. ἴδοιμι: θεασαίμην. Gr.

διὰ καλῶν: αἴσχιστος ὁ δύσμορφος· ἐναντία γὰρ αἰσχρὸς καὶ καλός, καὶ αἴσχιστος καὶ κάλλιστος· διὸ καὶ εἴρηται κατὰ σχῆμα ἀντίθετον τὸ διὰ καλῶν γὰρ ὀμμάτων αἴσχιστα. Cant. δι' εὐπρεπείας. M. Fl. 21. 59. 76. ἤτοι διὰ τὴν εὐμορφίαν αὐτῆς. Fl. 56.

20. προσφιλῆ] προσφίλην Fl. 33.
30. αἰσχρὸς καὶ καλὸς] αἶσχρος (αἴσχος) καὶ κάλλος King.
32. εὐπρεπείας] εὐπρέπειαν Florr.

διὰ τὴν εὐπρέπειαν ἑαυτῆς. Fl. 10. διὰ τῆς προσούσης αὐτῇ ὥρας. Gu.

443. αἴσχιστα: αἰσχρά. Fl. 17. αἰσχρῶς. Fl. 56. αἰσχίστως. Gu. κάκιστα. Fl. 21. εἷλε: κατέλαβε. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ἐκράτησε. Fl. 17. ἐπόρθησεν, ἔλαβεν. Gu. εὐδαίμονα: εὐτυχεστάτην. Fl. 56. ἥτις αἰσχίστως τὴν Τροίαν τὴν παμπλούσιον εἷλε καὶ ἠφάνισεν. Fl. 33.

444. τοῦ Ὀδυσσέως λαβόντος τὴν Πολυξένην καὶ ἀπερχομένου ἀνακλαίεται αὐτὴν ὁ χορὸς διὰ τὸ ἄδηλον καὶ τὸ μὴ εἰδέναι τί μέλλει αὕτη παθεῖν. ὁ δὲ χορὸς οὗτός ἐστιν ἐκ Τρῳάδων γυναικῶν, καί φησι πρὸς τὸν τῆς θαλάσσης ἄνεμον· ἀπὸ ἑνικοῦ δὲ δηλοῖ πάσας τὰς γυναῖκας ὁ ποιητής. φησὶ δὲ ταῦτα ὁ χορός. I.

446. ἀκάτους: ἄκατοι τὰ μικρὰ πλοῖα· ἐνταῦθα δὲ τὰς ναῦς ἁπλῶς λέγει. B. Gr. Fl. 6. 9. 21. 56. 59. 76. ταχείας ναῦς. M. λίμνας: ἴδιόν ἐστι τῆς ποιητικῆς τὸ χρῆσθαι ταῖς λίμναις ἀντὶ θαλασσῶν καὶ ταῖς θαλάσσαις ἀντὶ λιμνῶν. Fl. 17. λίμνην τὴν θάλασσάν φησιν ὁ Ὅμηρος "ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην." M. Fl. 10.

447. αὔρα: ὦ πνοὴ θαλασσία, ἥτις τὰς ταχείας ναῦς, τὰς ἐν τῇ θαλάσσῃ τὴν πορείαν ποιουμένας, φέρεις ἐπὶ τὸ κῦμα τῆς θαλάσσης, ποῦ με τὴν ἀθλίαν ἄξεις, ἤτοι πορευθῆναι ποιήσεις; I. ὦ πνοὴ ἀνέμου καὶ διὰ θαλάσσης κομίζουσα τοὺς πόντῳ πορευομένους, ἤγουν ἐν γιαλῷ, καὶ τὰς ταχείας ναῦς ἐπὶ τὸ κῦμα τῆς θαλάσσης, ποῦ ἐμὲ τὴν ἀθλίαν διακομίσεις; Fl. 33.

αὔρα ἡ ἐξ ὑγροῦ ἀναπεμπομένη πνοὴ διὰ τοῦ υ· ἄβρα δὲ ἡ δούλη

10. αὕτη παθεῖν A. παθεῖν αὕτη I.

11. φησὶ—ἄνεμον] In Gu. priora usque ad καί desunt et scholion incipit ab his verbis: τὸ εἶδος τοῦ χοροῦ ἐνταῦθα στάσιμον· πρὸς τὸν τῆς θαλ. ἄν. φησὶν ὁ χορὸς αὖρα. Deinde omittit δέ et verba φησὶ δὲ ταῦτα ὁ χορός.

17. ὁ (ὁ om. M.) Ὅμηρος] Od. 3, 1.

22. πόντῳ πορευομένους] Videtur ποντοπορευομένους scripsisse Homeri exemplo, qui ποντοπορεύειν dixit.

23. γιαλῷ] Id est αἰγιαλῷ. Vide Ducang. Glossar. s. v. γιαλός.

25. αὔρα] αὖρα Gr. I., ut ubique. Correxi, etsi vix dubitandum quin infimae aetatis grammatici ipsi vitioso ut in aliis vocabulis multis accentu usi sint: quod manifestum est in proxima imperiti hominis annotatione, qui αὖρα secundum canonem corripi dicit, quod ab nemine factum, miraturque productum ab Euripide αὔρα esse.

ib. ἀναπεμπομένη] φερομένη Gr. ἐκφερομένη I.

ib. πνοὴ] ἐκπνοὴ Gr.: omisit I.

διὰ τοῦ β. Gr. I. τὸ αὔρα εἰ καὶ ὁ κανὼν βραχύνει, ἀλλ' οὗτος μακρὸν τοῦτο δέχεται, ὡς καὶ τὸ Φαίδρα ἐν ἑτέροις. καὶ Ἀριστοφάνης "αὔρα τις ἐξέπνευσε μυστικωτάτη" λέγων. ἅτις δὲ γράφεται διὰ τὸ μέτρον ἅτε. I. ἥτις. M.

ὦ αὔρα ποντιὰς, ποῦ με τὴν δυστυχῆ ἐπαγάγῃς, ἢ ποῖ τῶν νήσων, ἢ ποῖ τῶν τόπων, καὶ τίνι δούλη γενήσομαι; ἆρα εἰς τὸν ὅρμον τῆς Δωρίδος γῆς με ἀπάξεις ἢ τῆς Φθιάδος, ὅπου, εἰς τὴν Φθίαν, τὸν Ἀπιδανὸν ποταμόν φασι ῥέειν, ἢ ποῦ ἀπὸ τῶν νήσων; ἆρα εἰς τὴν Δῆλόν με ἀπάξεις, ὅπου ὁ πρωτόγονος φοῖνιξ (πρωτόγονον δὲ εἶπεν αὐτὸν ὡς πρῶτον γεννηθέντα τῆς δάφνης) καὶ ἡ δάφνη κλάδους ἀνέφυσε μελλούσης τεκεῖν τῆς Λητοῦς τὸν Ἀπόλλωνα. ἢ εἰς Ἀθήνας με ἀγάγῃς, καὶ ἐν τῷ πέπλῳ, ἐν ᾧ πάσσουσι τὰ τῆς Ἀθηνᾶς ἆθλα αἱ παρθένοι, κἀγὼ σὺν ἐκείναις στίξω καὶ γράψω εἰς τὸν αὐτὸν πέπλον τὰ ταύτης ἆθλα καὶ τὴν τῶν Τιτάνων γενεὰν, ἣν ὁ Ζεὺς κατέφλεξεν ἐν τῷ κεραυνῷ· ἔθος γὰρ ἦν τῷ τότε πάσσειν ἐν τοῖς πέπλοις τὰ τῶν ψευδωνύμων αὐτῶν ἆθλα θεῶν, καθὼς καὶ ἡμεῖς ἐν τοῖς πέπλοις νῦν γράφομεν ἵππους, ὄρνις καί τινα ἄλλα. τοὺς δὲ πέπλους οὐ μόνον παρθένοι ἔκαμνον, ἀλλὰ καὶ αἱ μὴ οὕτως ἔχουσαι. καὶ ὁ μὲν νοῦς ἐστι τοιοῦτος, ἡ δὲ σύνταξις οὕτως· αὔρα ποντιὰς αὔρα, ἥτις κομίζεις τὰς ἐν θαλάσσῃ πορευομένας, ἤτοι ταχυτάτας, νῆας ἐπὶ τὸ κῦμα τῆς θαλάσσης πῇ με τὴν μελέαν καὶ δυστυχῆ κομίσεις καὶ ἀγάγῃς (τοῦτο γὰρ δηλοῖ τὸ πορεύσεις), καὶ πρὸς τίνος οἶκον ἀφίξομαι; τὸ γὰρ "δουλόσυνος πρὸς οἶκον κτηθεῖσ' ἀφίξομαι" τοῦτο λέγει, πρὸς τίνος οἶκον ἀφίξομαι δούλη γενομένη. τὸ τῷ ἀντὶ γενικῆς, τὸ δὲ ἢ πρὸς τὸ αὔρα ἀποδοτέον, ἵν' ᾖ οὕτως, αὔρα ποντιὰς, ποῖ με κομίσεις, ἢ εἰς τὸν ὅρμον τῆς Δωρίδος γῆς, καὶ τὰ λοιπὰ διὰ μέσου, ἢ εἰς τὸν ὅρμον τῆς Φθιάδος γῆς, ἔνθα τὸν Ἀπιδανὸν ποταμὸν τὸν πατέρα τῶν καλλίστων ὑδάτων φασὶ λιπαίνειν τὰ πεδία, ἢ ποῖ με τῶν νήσων ἐπάξεις τὴν τάλαιναν. τὸ δὲ ποῖ ἀπὸ κοινοῦ πεμπομένην ἐν τῇ ἁλιήρει κώπῃ ἔχουσαν ἐμὲ οἰκτρὰν βιοτὴν ἐν τοῖς οἴκοις, οὗ γενήσομαι δούλη, εἰς τὴν Δῆλόν με ἀπάξεις, ἔνθα πρωτόγονός τε φοῖνιξ καὶ ἡ δάφνη ἱεροὺς ἀνέσχε πτόρθους τῇ Λητοῖ φίλα ἀγάλματα καὶ δῶρα τῆς αὐτῆς ἐνδόξου ὠδῖνος, καὶ σὺν ταῖς Δηλιάσι κόραις ὑμνήσω τῆς Ἀρτέμιδος θεᾶς τὴν χρυσῆν περικεφαλαίαν καὶ τὰ τόξα, ἢ ἐν ταῖς

2. Ἀριστοφάνης] Ran. 317.

'Αθήναις, κἀκεῖσε ἀπελθοῦσα ὑφανῶ ἐν τῷ κροκέῳ πέπλῳ τῆς καλλιδίφρου 'Αθηνᾶς τοὺς πώλους, ποικίλλουσα αὐτοὺς ἐν ἀνθοβαφέσι ταινίοις ἢ μεταξίοις. ἢ τῶν Τιτάνων γενεὰν ὑφανῶ ἐν τῷ πέπλῳ, ἣν κομίζει ὁ Ζεὺς καὶ φαίνει ἐν ἀμφιπύρῳ φλογμῷ, ἤγουν κεραυνῷ. ὅμοι τῶν ἐμῶν γονέων καὶ πατέρων καὶ χθονὸς, ἥτις κατεστράφη φλεχθεῖσα ἐν πυρί. κατὰ γὰρ τὸ πῦρ, φησὶ, γενομένη ἡ πόλις αὕτη δορίληπτος καὶ δούλη τῶν 'Ελλήνων, ἐγὼ δ' ἐν ξένῃ γῇ δούλη κληθήσομαι λιποῦσα τὴν 'Ασίαν δούλην θεράπαιναν τῆς Εὐρώπης, ἀλλάξασα τοὺς τῶν 'Ελλήνων θαλάμους ἀρ..."Αιδου. φησὶ γὰρ, κρεῖττον ἦν σφαγῆναί με ἢ δούλην γενέσθαι. πολλῶν γὰρ Τρῳάδων γυναικῶν ἐφείσαντο οἱ "Ελληνες χάριν τοῦ μιχεύειν αὐτάς. Α.

πορεύσεις: πορεύομαι ἐγὼ καὶ πορεύω ἔτερον, ὡς ἐνταῦθα καὶ παρὰ Πλάτωνι "ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι." B. Gr. I. ἤγουν κομίσεις, ἄξεις. Fl. 6. 9. 21. 59. 76. Gu. διαβιβάσεις. Fl. 56. διὰ τὴν πολυαρχίαν τοῦτο ἔφη, διστάσασα ἐν ποίῳ μέρει μέλλει τυχεῖν. Gu.

448.—451. τῷ δουλόσυνος: τίνι δούλη ὀνομασθεῖσα πρὸς τὸν οἶκον ἀφίξομαι; M. πρὸς τίνος οἶκον δούλη κτηθεῖσα ἀφίξομαι; ἢ πορεύσεις με ἀπὸ κοινοῦ πρὸς τὸν ὅρμον τῆς Δωρίδος, ἢ εἰς τὸν ὅρμον τῆς Θετταλικῆς γῆς, ἤγουν εἰς τὰ Φάρσαλα. Gr. I.

τῷ: τίνι. Fl. 10. 59.

449. κτηθεῖσα: ὑποταγεῖσα, δοθεῖσα, πραθεῖσα. Fl. 56. ταχθεῖσα. Gu. ἀφίξομαι: γενήσομαι. Fl. 17. ἔλθω. Fl. 56. ἢ πορεύσομαι ἢ παρρησιάσομαι. Fl. 33. πορεύσομαι, παραγενήσομαι. Gu.

450. ἢ Δωρίδος: ἆρα, φησὶν, εἰς τὸν ὅρμον τῆς Δωρίδος γῆς ἀφίξομαι, ἢ ἐπὶ τοῦ ὅρμου τῆς Φθίας. M. τὸ ἢ τὸ πρὸ τοῦ Δωρίδος ἢ ἀντὶ τοῦ ἆρα, ἢ διαζευκτικόν. Gu. I. οὐ πρὸς τὸ ἀφίξομαι τὸ ἢ Δωρίδος ἐστὶν, ἀλλὰ πρὸς τὸ πορεύσεις· εἰ γὰρ καὶ ἐνταῦθα τὸ ἀφίξομαι νοεῖται, ἀλλὰ μετ' ὀλίγον ἐλέγχεται, ὅταν λέγῃ τὸ ἢ νῆσον ἀλιήρει κώπᾳ πεμπομένην τάλαιναν· ἔδει γὰρ, εἰ πρὸς τὸ ἀφίξομαι

13. Πλάτωνι] Phaedon. p. 107 E.
19. τῆς Δωρίδος] ἤγουν τῆς πελοποννησιακῆς addit Gr.
20. Θετταλικῆς] φθιάδος Gr.
27. τὸ ἢ τὸ πρὸ τοῦ Δωρίδος] τὸ ἢ τὸ πρὸς τὸ δωρίδος Gu. Correxi ex I, ubi haec infra post διαζευκτικόν leguntur sic scripta, τὸ ἢ δὲ τὸ πρὸ τῆς δωρίδος ἢ ἀντὶ τοῦ ἆρα, ἢ διαζευκτικόν.
29. τὸ ἢ] τὴν Gu.

ἦν, εὐθεῖαν εἰπεῖν πεμπομένα τάλαινα. νῦν δὲ ἐκ τούτου φαίνεται ὅτι πρὸς τὸ πορεύσεις ἐστὶ τὸ ἢ Δωρίδος, τὸ δὲ τῷ δουλόσυνες πρὸς οἶκον κτηθεῖσ' ἀφίξεμαι διὰ μέσου. Gu. I. ἢ ἀντὶ τοῦ ἆρα. Fl. 56. 59. Δωρίδος: τῆς Πελοποννήσου. ἴσως καὶ διὰ τὸν Ἀγαμέμνονα λέγει τοῦτο. M. Gu. Fl. 10. ἢ ἐν τῇ Πελοποννήσῳ τὸν ὅρμον. Fl. 33. αἴας: γῆς. M. Fl. 10. Δωρίδος γῆν λέγει τὴν Πελοπόννησον, Φθίαν δὲ τὴν Θετταλίαν διὰ τὸν Νεοπτόλεμον τὸν υἱὸν Ἀχιλλέως. A.

451. Φθιάδος: τῶν Φαρσάλων. Fl. 56. τῆς Θεσσαλίας διὰ τὸν Νεοπτόλεμον. M. Fl. 59. τῆς Θετταλίας, ἀπὸ μέρους τὸ πᾶν. διὰ τὸν Ἀχιλλέως υἱὸν Νεοπτόλεμον. Gu.

451.—460. ἔνθα: ὅπου τὸν Ἀπιδανὸν τὸν γεννήτορα τῶν καλλίστων ἰδάτων λέγουσιν ἀρδεύειν τὰ πεδία· ἢ πορεύσεις με τὴν τάλαιναν πεμπομένην θαλασσίᾳ κώπῃ, ἐλεεινὴν ζωὴν ἕξουσαν ἐν τοῖς οἴκοις τῶν δεσποτῶν, εἰς τὴν νῆσον τὴν Δῆλον, ὅπου πρωτοφανὴς φοῖνιξ καὶ δάφνη πρωτόγονος ἱεροὺς ἀνεβλάστησαν κλάδους χάριν τῆς Λητοῦς τῆς φίλης, εἰς τιμὴν τῆς ἀδῖνος τῆς δίας, ἢ τῆς ἀπὸ τοῦ Διός, ἢ τῆς θαυμαστῆς. I.

454. Ἀπιδανόν: Ἀπιδανὸς ποταμὸς Θεσσαλίας. M. ὄνομα ποταμοῦ. Fl. 6. 9. 21. 56. 59. 76. Gr. λιπαίνειν: τὰ ἀπὸ Θεσσαλίας ἀρδεύειν· τὸ γὰρ ὕδωρ τρόφιμον. M. ἀρδεύειν. Gr. ἤγουν ποτίζειν. Bar. 74. Gu. οὐ χρὴ πεδία λιπαίνειν γράφειν, ἀλλὰ τὰς γυίας, ἵν' ᾖ τρεχαϊκὸν τὸ κῶλον, ὡς καὶ τῆς ἀντιστροφῆς. Bar. 74.

455. ἢ νάσων: ἀπὸ κοινοῦ τὸ πορεύσεις, ἢ εἰς τίνα τῶν νήσων με πορεύσεις. M. ἐπειδὴ ἐμνήσθη νήσων καὶ ἡ Δῆλος νῆσός ἐστι. καὶ Ὅμηρος "Δῆλον δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ φοίνικος νέον ἔρνος ἀπερχόμενον ἐνόησα." λέγεται δὲ ἡ δάφνη πρῶτον ἐν Δήλῳ γενέσθαι καὶ ὁ φοῖνιξ. M. ἢ εἰς τὴν Δῆλον πορεύσεις. διὰ τὸν Ἀγαμέμνονα καὶ τοῦτο. Gu. καὶ τοῦτο ἴσως διὰ τὸν Ἀγαμέμνονα, ὃν φησιν Ὅμηρος "πολλῇσι νήσεισι καὶ Ἄργει παντὶ ἀνάσ-

1. πεμπομένα] πεμπομένη I.
4. τῆς Πελοποννήσου] εἰς τὴν (εἰς τὴν om. Gu.) πελοπόννησον Gu. Fl. 10.
ib. ἴσως καὶ om. Gu. καὶ om. Fl. 10.
5. λέγει τοῦτο om. M. Fl. 10.
22. οὐ χρὴ—] Scholion Triclinii.
26. Ὅμηρος] Od. 6, 163. Conf. p. 334, 12.
29. ἴσως om. M. Legitur in annotatione simili in v. 450.
30. ὃν φησιν] φησὶ καὶ Fl. 10.
ib. Ὅμηρος] Il. 2, 108.

σειν." M. Fl. 10. ἁλιήρει δὲ τῇ ἐν ἁλὶ ἐρεσσομένῃ κώπῃ. M. Fl. 10. ἐν τῇ θαλάσσῃ ἐρεσσομένῃ. Fl. 17. διὰ κώπης ἁλιήρους, ἤγουν ᾗ ἐρέσσουσι κατὰ τὴν θάλασσαν. Fl. 6. 9. 21. 56. 59. 76. Gr. θαλασσίᾳ. Gu.

ἁλιήρει κώπᾳ : ἢ πορεύσεις με τὴν τάλαιναν πεμπομένην ἁλιήρει κώπῃ, ἐλεεινὴν ζωὴν ἔζευσαν ἐν οἴκοις εἰς τὴν νῆσον, ἔνθα καὶ φοῖνιξ πρωτόγονος καὶ δάφνη πρωτόγονος ἱεροὺς ἀνεβλάστησε κλάδους χάριν τῆς Λητοῦς τῆς φίλης εἰς τιμὴν τῆς ὠδῖνος τῆς δίας, τουτέστιν εἰς τὴν Δῆλον. Gr. I.

456. κώπᾳ : κώπη πόθεν ἐτυμολογεῖται ; ἀπὸ τοῦ κινεῖν τοὺς ὤπας καὶ τοὺς ὀφθαλμούς. Fl. 56. πεμπομέναν : πορευομέναν ἐμέ. Fl. 6. τάλαιναν : ἀθλίαν. Fl. 17.

457. οἰκτράν : ἐν οἷς ἀφίξομαι οἴκοις οἰκτρὰν ζωὴν ἔχουσα. M. Fl. 59. ταλαίπωρον βιοτάν. Fl. 33. ἔχουσαν : ἀντὶ τοῦ ἔζουσαν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr.

458. .....Ζεὺς.....ταύτῃ συγ.....γυναικῶν κυοφορίαις α.... παρεγένετο εἰς Ἀστερίαν τὴν νῆσον, μίαν τῶν Κυκλάδων τυγχάνουσαν, κἀκεῖσε...χθοῦσα καὶ ἀμαμένη δύο φυτῶν, ἐλαίας καὶ φοίνικος, διδύμους παῖδας ἀπέτεκεν, Ἄρτεμιν καὶ Ἀπόλλωνα. οἱ δέ φασιν ὅτι, ὑπηνίκα εἰς Ἀστερίαν τὴν νῆσον ἡ Λητὼ παρεγένετο τυγχάνουσα ἔγκυος εὐθέως ἐν τῇ γῇ τῆς εἰρημένης νήσου δύο κάλλιστα φυτὰ ἀνεβλάστησαν, φοῖνιξ καὶ δάφνη, ἐναργὲς τεκμήριον τῆς τῶν παίδων τῶν δύο τῆς Λητοῦς ἀποτέξεως, Ἀρτέμιδος καὶ Ἀπόλλωνος, ἃ καὶ ὡς ἀναθήματα παρὰ τῆς γῆς ἀνεδόθησαν τῆς καλλίστης καὶ περιφανοῦς ὠδῖνος αὐτῆς· διὸ καὶ τὴν νῆσον μετωνόμασαν Δῆλον, ὅτι φανερὸν καὶ ἐναργὲς σημεῖον ἐν αὐτῇ ἀνεδόθη τῆς τῶν εἰρημένων παίδων αὐτῆς ἀποτέξεως. Ἄλλως εἰς τὸ ἔνθα πρωτόγονός τε φοῖνιξ. ὁ Ζεὺς κρυφίως τῆς ἰδίας γυναικὸς Ἥρας συμμιγεὶς τῇ Λητοῖ ἔγκυον ταύτην ἐποίησεν, ὃ γνοῦσα ἡ Ἥρα ἐδήλωσε τῇ Γῇ μὴ δέξασθαι αὐτὴν ἐν

6. ἔνθα καὶ—ἱεροὺς] ἔνθα καὶ ὁ πρωτόγονος φοῖνιξ (hoc accentu etiam Gr.) ἱεροὺς I.

8. δίας] ἰδίας Gr.

11. ὀφθαλμούς Fr. de Furia. Prima litera ὁ est in Fl. 56.

13. οἴκοις] οἴκοι Fl. 59.

16. .... Ζεὺς—] Ab hoc scholio incipit in A. fol. 11. versum, lineis tribus primis partim obliteratis. Earum prima finitur literis ταύτῃ συγ, secunda κυοφορίαις α, tertia τὴν νῆσον μίαν.

27. ἀποτέξεως] Hic in A. interpositum est scholion v. 450. Δωρίδος—υἱὸν Ἀχιλλέως.

τῷ καιρῷ τοῦ τοκετοῦ. τοῦτο γνοὺς ὁ Ζεὺς ἠξίωσε τὸν Ποσειδῶνα ἀναδῦναι εἰς φᾶς τὴν κάτωθεν παρ' αὐτοῦ οἶσαν πόλιν, ὃ καὶ πεποίηκεν ἀναδὺς τὴν σήμερον καὶ οἶσαν νῆσον Δῆλον, ἐν ᾗ καὶ δύο κλάδοι ἐβλάστησαν, φοῖνιξ καὶ δάφνη, ἅτινα κρατήσασα ἡ Λητὼ ἐν τῷ καιρῷ τοῦ τοκετοῦ ἔτεκεν Ἄρτεμιν καὶ Ἀπόλλωνα. A.

ἔνθα πρωτόγονος: φασὶ τὸν Δία πρὸς συνουσίαν ἐλθεῖν τῇ Λητοῖ, μαθοῦσαν δὲ τὴν Ἥραν τοῦτο ζηλοτυπήσασαν κελεῦσαι μὴ ἐν τῇ γῇ γεννῆσαι δυνηθῆναι τὴν Λητώ· βιαζομένης δ' αὐτῆς πρὸς τὴν ἀποκύησιν, συνέταξεν ὁ Ζεὺς Ἑρμῇ λαβόντα αὐτὴν ἀπάξαι εἰς Δῆλον. ἡ δὲ Δῆλος ἦν νῆσος, ὡς τινὲς μέν φασιν, ἀναδοθεῖσα ἀπὸ θαλάσσης, ὡς τινὲς δὲ, κινουμένη πρῶτον καὶ τότε σταθεῖσα καὶ δήλη γενομένη. εἰς ἣν Δῆλον ἡ Λητὼ ἀφικομένη ἔτεκεν Ἀπόλλωνα καὶ Ἄρτεμιν, δύο φυτῶν ὑπὸ Διὸς τότε ἀναφυέντων, φοίνικος καὶ δάφνης, οἷς ἐρειδομένη εὐκόλως τὸ ἔμβρυον ἐξήγαγεν. ἐτιμᾶτο οὖν ἐν τῇ νήσῳ Ἀπόλλων καὶ Ἄρτεμις, ὡς ἐκεῖ γεννηθέντες. φασὶ δὲ ὡς ἡ Ἄρτεμις προεξέθορε τοῦ Ἀπόλλωνος, καὶ πρὸς τὸν τούτου τόκον Λητὼ ἐμαιεύσατο. B. Gu. I.

ἔνθα πρωτόγονος: ἡ Λητοῦς ἀδελφὴ Ἀστερία, φεύγουσα τὴν Διὸς μίξιν, μετέβαλλεν ἑαυτὴν εἰς ὄρτυγα καὶ ἥλατο εἰς θάλασσαν, καὶ γέγονε νῆσος ἥτις Ὀρτυγία καὶ Ἀστερία ἐκαλεῖτο. ὕστερον δὲ τοῦ Διὸς συγγενομένου Λητοῖ, καὶ ποιήσαντος αὐτὴν ἔγκυον Ἄρτεμιν καὶ Ἀπόλλωνα ζήλῳ τῆς Ἥρας μήτε ἐν γῇ μήτε θαλάσσῃ ὑποδεχομένη τῇ Λητοῖ πρὸς ἀπότεξιν, κελεύσας τῷ Ποσειδῶνι Ζεὺς, καὶ ἀνέδωκε ταύτην τὴν Ὀρτυγίαν καὶ Ἀστερίαν καλουμένην, πρότερον κρυπτομένην τοῖς ὕδασιν, ἔτι καὶ ὑποτρέμουσαν· καὶ ἐκ τοῦ φονῆναι αὐτὴν Δῆλον ὠνόμασεν. ἐκεῖ οὖν ἐλθοῦσα ἡ Λητὼ, καὶ δάφνης καὶ φοίνικος πρώτως ἐκεῖ φανέντων ἁψαμένη τὴν Ἄρτεμιν γεννᾷ. ἡ δὲ

6. ἐλθεῖν] συνελθεῖν Gu.
7. ἐν τῇ γῇ] ἐν γῇ Gu.
9. αὐτὴν om. I.
10. μὲν om. B. I.
ib. ἀναδοθεῖσα] ἀναδοθεῖσαν Gu.
11. τινὲς δὲ] δέ τινες I.
ib. κινουμένη] κινουμένην Gu.
ib. καὶ τότε] καὶ om. Gu. I.
12. εἰς ἣν Δῆλον ἡ Λητὼ] ἐν ᾗ λητὼ Gu.
13. οἷς ἐρειδομένη—ἐξήγαγε om. I.
15. ἐκεῖ post γεννηθέντες Gu.
ib. φασὶ δὲ—ἐμαιεύσατο om. B. I.
22. μήτε ἐν γῇ—ὑποδεχομένη] Locum corruptum sic fortasse sanaveris: μήτε γῆς μήτε θαλάσσης ὑποδεχομένης, ut Ἄρτεμιν καὶ Ἀπόλλωνα ab ὑποδεχ. pendeant. Pro ἔγκυον in cod. erat ἔγκυρον. Nec sequentia sana sunt. MATTH.

ταύτην μαιεύει, καὶ τίκτει καὶ τὸν Ἀπόλλωνα. καὶ Ἄρτεμις μὲν τὴν Δῆλον κατέσχεν, Ἀπόλλων δὲ εἰς Λυκίαν ἀπῆλθεν. Fl. 6. ὁ Ζεὺς τῇ Λητοῖ συμμιγείς, καὶ ζηλοτυπείσης ὑπὲρ τούτου τῆς Ἥρας, φοβούμενος ὁ Ζεὺς μή τι κακὸν ἐπάγοι τῇ Λητοῖ ἡ Ἥρα, κατὰ τὸ μέσον τῆς θαλάσσης ἀνεδύθη ἡ Δῆλος νῆσος, κἀκεῖσε ταύτην ὁ Ζεὺς ἔπεμψε. καὶ μὴ ἔχουσα παραμυθίαν τινὰ ἕνεκα τῆς γέννας αὐτῆς, τότε πρώτως ἀνέδωκε τόν τε φοίνικα καὶ τὴν δάφνην ἐκ τῆς γῆς εἰς παραμυθίαν αὐτῆς. τεκεῖσα δὲ τὸν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν, ἀφιερώθησαν τὰ τοιαῦτα φυτὰ τῷ Ἀπόλλωνι. διὰ τοῦτο καὶ ἱερὰ καλοῦνται. Fl. 59.

ἔνθα: ἐν ᾗ νήσῳ εἰς τὴν μὲν ἐκείνην Δῆλον ἀνεβλάστησεν τὸν φοίνικά τε καὶ τὴν δάφνην. Fl. 21. καὶ Ὅμηρος "Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα." Fl. 10. πρωτόγονον δὲ εἶπεν αὐτὸν ὡς πρῶτον γεννηθέντα τῆς δάφνης, καὶ ἡ δάφνη κλάδους ἀνέφυσε, μελλούσης τεκεῖν τῆς Λητοῦς τὸν Ἀπόλλωνα. I. ὁ τότε πρώτως γεννηθεὶς ἐκ τῆς γῆς ὁ φοίνιξ καὶ ἡ δάφνη. Fl. 59. κατὰ πρώτην γένεσιν, ἐπιρρηματικῶς. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. πρωτοφυής. Gu.

φοίνιξ: ὅ τε φοίνιξ καὶ ἡ δάφνη. M. τὸ φοίνιξ καὶ τὸ κήρυξ μακρὰν ἔχει φύσει τὴν λήγουσαν, καὶ δῆλον ἀπὸ τῆς γενικῆς μακρὰν ἐχούσης τὴν παραλήγουσαν. I.

450. δάφνα: καὶ δάφνη πρωτόγονος θηλυτότι. Gr. ὡς ἀναδοθέντας τότε Ἀπόλλωνος καὶ Ἀρτέμιδος χάριν ἱερὰς τὰς πτόρθους φησίν. Gu. ἀνέσχε: ἀνεβλάστησε. Gr. ἀνέδωκε. Gu.

461. ἄγαλμα: λείπει ἡ εἰς. M. Fl. 10. τιμήν. Fl. 10. εἰς τέρψιν. Fl. 59. εἰς ἄγαλμα καὶ καλλώπισμα τῆς Λητοῦς. ταῦτα μὲν κατέχουσα ἀπεκύησε τὸν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν. M. Fl. 59. καλλώπισμα. Gu. δίας: τῆς θείας. ἢ ἀπὸ τοῦ Διὸς γενομένης. M. Fl. 10. εἰς τιμὴν τῆς γέννας τῆς δίας, ἢ τῆς ἀπὸ τοῦ Διὸς,

12. Ὅμηρος] Od. 6, 162.

14. πρωτόγονον δὲ—] Haec in I. infra leguntur ad v. 459.

22. ὡς ἀναδοθέντας—φησίν] Haec leguntur etiam in B.I. post verba ἐκεῖ γεννηθέντες in scholio ad v. 458. sic scripta, ἱερὰς δὲ τοὺς πτόρθους φησὶν ὡς ἀ.—χάριν, post quae in I. sequuntur verba πρωτόγονον δὲ εἶπεν—Λητοῦς Ἀπόλλωνα, quae supra apposuimus ad πρωτόγονος.

26. εἰς om. M.

ἢ τῆς θαυμαστῆς καὶ ἐνδόξου. Gr. Flor. 56. 76. ἤγουν τῆς Ἀρτέμιδος. Fl. 21.

462.—465. σὺν Δηλιάσιν: ἐν τῇ Δήλῳ σὺν ταῖς Δηλιάσι κούραις τῆς Ἀρτέμιδος τὴν ἄμπυκα εὐλογήσω καὶ ὑμνήσω. M. σὺν ταῖς ἀπὸ Δήλου νέαις τὸ χρυσοῦν κρήδεμνον καὶ τὰ τόξα ὑμνήσω τῆς Ἀρτέμιδος. I.

464. τε: περισσόν. Fl. 17. ὁ τέ πλεονάζει. M. Fl. 21. κούραισιν: ἀντὶ τοῦ γυναιξίν. Fl. 6. 9. 21. 56. 59. 76. Gr. τοῦτο τὸ τε πρὸς τὸ χρυσέαν ἄμπυκα σύναπτε. Gu.

465. ἄμπυκα: ἀπὸ τοῦ κεφαλοδέσμου τὸ καλὸν τῆς θεοῦ ἐσήμανεν. M. ἄμπυξ κυρίως κόσμος τις χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φορεῦσιν· ἀφ' οὗ κατὰ μεταφορὰν καὶ οἱ διάχρυσοι χαλινοὶ ἄμπυκες λέγονται. B. I. κεφαλοδέσμιον. Fl. 10. περικεφαλαίαν. Fl. 17. 21. Gu. τὸ χρυσοῦν ὕφασμα. Fl. 21. ἄμπυξ γάρ ἐστιν ἐπίδεσμος χρυσοῦς, ὃς εἰς κόσμησιν τῆς κεφαλῆς περιδέδεται τῇ τριχώσει ὡς στέφανος πεπλεγμένος. Fl. 33. κρήδεμνον. Gr. εὐλογήσω: μέλψω. Fl. 6. 9. 17. 21. 56. 76. Gr. ὅπως μέλψω καὶ εὐφημήσω, ὑμνήσω. Fl. 59. Gu.

466.—471. ἢ Παλλάδος: ἢ πορεύσεις ἐμὲ ἐν ταῖς Ἀθήναις, ὅπως ἐμβεβαμμένῳ ἀπὸ κρόκου ὑφάσματι τοὺς πώλους τῆς περικαλλῆ δίφρον ἐχούσης Ἀθηνᾶς ἐζευγμένους πειήσω διαφόρως ποικίλλουσα καὶ καλλωπίζουσα ἐν ποικίλαις μετάξαις ἀθηναῖς. I. ἢ Παλλάδος: ἢ τῆς πολεμικῆς Ἀθηνᾶς. Fl. 33. διὰ τοὺς Θησέως παῖδας Ἀκάμαντα καὶ Δημοφῶντα. Fl. 10. Gu.

467. καλλιδίφρου: καλὰ ἅρματα ἐχούσης. Fl. 59 τὰ πολεμιστήρια Ἀριστοφάνους "Φειδ. πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια; Στρεψ. ἐμὲ μὲν σὺ τὸν πατέρα πολλοὺς ἐλαύνεις δρόμους. ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν Πασίαν; τρεῖς μνᾶς διφρίσκου καὶ τρόχοιν Ἀμυνίᾳ." Fl. 21. τῆς πολεμικῆς. Gu.

468. ἐν κροκέῳ πέπλῳ: τῷ τῆς Ἀθηνᾶς κροκοειδεῖ πέπλῳ, ἐν ᾧ ἐγγράφεται ἥτοι ἀναίρεσις τῶν Τιτάνων ἢ τῶν Γιγάντων. ὁ δὲ

1. καὶ ἐνδόξου om. Gr.
15. χρυσοῦς Matth. pro χρυσός.
27. Ἀριστοφάνους] Nub. 28.
29. τὸν Πασίαν] τῶν πασίας Fl. 21.

νεῦς, ἐλθοῦσα, φησὶν, εἰς τὰς Ἀθήνας ἢ τοὺς πώλους ζεύξομαι τοὺς ἐπὶ τῷ πέπλῳ, ἢ ἐπισκιάτω τὰς ἀριστείας αὐτῶν ὑφαίνουσα, ἢ τὴν γιγαντομαχίαν. M. οὐ μόνον γὰρ παρθένοι ὕφαινον, ὥς φησιν Ἀπολλόδωρος ἐν τῇ περὶ θεῶν αὐλῇ, ἀλλὰ καὶ τέλειαι γυναῖκες, ὡς Φερεκράτης ἐν Δουλοδιδασκάλῳ. A.M. ὅτι δὲ κρόκινός ἐστι καὶ ὑακίνθινος καὶ τοὺς Γίγαντας ἐμπεποίκιλται δηλοῖ Στράττις. τοῦτον δὲ ἀνιέρουν διὰ πενταετηρίδος ἐν τοῖς Παναθηναίοις. M.

κροκέῳ πέπλῳ: ἤγουν ἐν ἱματίῳ βεβαμμένῳ ἀπὸ τοῦ κρόκου. Fl. 6. 9. 21. 56. 59. 76. ἐν κοκκίνῳ βλατίῳ. Fl. 33. κρόκη τὸ ἰδιωτικῶς καλούμενον ὑφάδιον, ὅπερ εἰλίττεται περὶ τὸν στήμονα, ὡς Ἡσίοδός φησι λέγων "στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι." Ἄλλως. ἀπὸ τοῦ κρόκους ὁ αἰγιαλὸς παρὰ τὸ κείρω τὸ κόπτω κερκήη καὶ κρόκη, εἰς ἃ κείρονται καὶ κυλῶνται τὰ κύματα. οὐ μόνον δὲ αἱ παρθένοι ὕφαινον, ὥς φησιν Ἀπολλόδωρος ἐν τῇ περὶ θεῶν αὐλῇ, ἀλλὰ καὶ γυναῖκες τέλειαι, ὡς Φερεκράτης ἐν Δουλοδιδασκάλῳ. Fl. 6. 10. ὑφαντῷ· κρόκη γὰρ τὸ ὑφάδιον· ἢ κροκοειδεῖ. Gu.

469. ζεύξομαι ἅρματι πώλους: ἔθος ἦν ἐν Ἀθήναις ὑφαίνειν τὰς παρθένους τῇ Ἀθηνᾷ πέπλον ἔχοντα τὰς ἀριστείας τῆς θεοῦ πολεμικῆς οὔσης, καὶ ἃ κατὰ τῶν Γιγάντων κατεπράξατο μετὰ τοῦ Διός. ὕφαινον γὰρ ἐν τοῖς Παναθηναίοις. τὰ δὲ Παναθήναια ἦν ἑορτὴ Ἀθηνᾶς, πάντων Ἀθηναίων συνιόντων ἐκεῖσε καὶ τῶν ἄλλων Ἑλλήνων τέσσαρας ἡμέρας πανηγυριζόντων. ἀνετίθετο δὲ ὁ πέπλος τῇ θεᾷ. B.

4. αὐλῆς corruptum. Vide ad l. 15.
ib. Φερεκράτης ἐν Δουλοδιδασκάλῳ] φιλοκράτης ἐν τῷ λόγῳ τῷ διδασκαλικῷ. A.
5. ὑακίνθινος] ἀκάνθινος M.
9. βλατίῳ] Hoc frequentius βλαττίῳ scribitur: de quo dixit Ducang. s. h. v.
10. εἰλίττεται] εἰλήγεται codex. Correxit de Furia.
11. Ἡσίοδος] Op. 536.
12. κρόκους] Immo κρόκου.
13. κυλῶνται] Fort. κυκῶνται.
14. οὐ μόνον δὲ—] Haec pars scholii ex scholiasta vetere est excerpta, cujus annotationem ex M apposuimus.
15. αὐλῇ] αὐλῆς schol. vetus. Est haud dubie numeri nota. πρώτῃ Meinekius Com. vol. 1. p. 95. ed. min. Apollodorum ἐν τῇ περὶ θεῶν ξ' citat schol. Soph. Oed. Col. 489. Verba ἐν τῇ—αὐλῇ om. Fl. 6.
ib. Φερεκράτης ἐν Δουλοδιδασκάλῳ] φιλοκράτης (φιλόστρατος Fl. 6.) ἐν δουλοδιδασκάλοις Fl. 6. 10. Correctum ex schol. vet.
20. τῶν Γιγάντων] τῶν om. B.I.
21. γὰρ] δὲ B.I.
ib. ἦν om. B.I.
22. Ἀθηνᾶς] τῆς ἀθηνᾶς B.I.
23. τέσσαρας] πολλὰς B.I.
ib. θεᾷ] ἀθηνᾷ B.I.

Gu. I. *εἰκότως εἶπε τὸ ζεύξομαι πρὸς τὸ πώλους· ζεύγνυνται γὰρ οἱ πᾶλοι· εἶτα πρεῖὼν εἰς τὸ ἢ Τιτάνων γενεάν οὐ ζεύξομαι εἴποις, ἀλλ' ὑφανῶ· καὶ γὰρ κἀνταῦθα ὑφανῶ ἔδει εἰπεῖν, ἀλλ' ἐτήρησε τὴν τροπὴν, ὡς ἔφαμεν, πρὸς τὸ πώλους.* B. Gu. I.

ζεύξομαι: *κατασκευάσω καὶ ὑφανῶ.* Fl. 59. *ὑφάσματι συναρμόσω.* Fl. 9. 17. *ἤγουν ἵππους ἅρματι ἐζευγμένους ποιήσω.* Gr. *διὰ τῆς ὑφάνσεως συζεύξω, ὑφανῶ.* Gu.

470. *δαιδαλέαισι*: *ποικίλως εἰργασμέναις.* Fl. 6. 9. 21. 56. 59. 76. Gr. *ἐν ποικίλοις καὶ πολυχρωμάτοις βάμμασι.* Fl. 33. *ποικίλλουσ'*: *ζωγραφοῦσα.* Fl. 56. *καλλωπίζουσα.* Gu.

ἀνθοκρόκοισι πήναις: *κροκοβαφέσιν. ἄνθος γὰρ τὸ βάμμα. Ἄλλως. ἀνθεβαφέσι καὶ κρόκῳ. τινὲς δὲ τοῖς πηνίοις τοῖς ἀπὸ τῶν βαμμάτων.* M. *ἀνθηροῖς πηνίοις.* M. *ἀνθηραῖς καὶ ποικίλαις ὡς τὰ ἄνθη.* Gu. *πήναις*: *κατασκευαῖς.* Fl. 33. *κροκοβαφέσι μετάξαις.* Gr.

471. *Τιτάνων*: *ἀντὶ τοῦ γιγάντων. ὑποσυγχέουσι δὲ τὴν ἐν ἑκατέρᾳ διαφοράν. καὶ Καλλίμαχος "ἦχι πάλους ἐβάλοντο, διεκρίναντο δὲ τιμὰς πρῶτα γιγαντείου δαίμονες ἐκ πολέμου."* M. *ἐνεπείκιλλον δὲ τῷ πέπλῳ καὶ τὴν γιγαντομαχίαν, ἐπεὶ διὰ τὴν τῆς Ἀθηνᾶς ἰσχὺν κατωρθώθη.* M. *Τιτάνων*: *τῶν καταχθονίων γίγάντων.* Bar. 74. Gr. *ἀπὸ κοινοῦ τὸ ζεύξομαι.* Fl. 21. *ἤγουν τὴν γιγαντομαχίαν, ἐν ᾧ ἐγράφετο ἡ ἀναίρεσις τῶν Τιτάνων ἢ τῶν γιγάντων. ὁ δὲ νοῦς· ἐλθοῦσα, φησὶν, εἰς τὰς Ἀθήνας ἢ τοὺς πώλους ζεύξομαι τοὺς ἐπὶ τῷ πέπλῳ, ἢ ἐπισκιάσω τὰς ἀριστείας αὐτῆς ὑφαίνουσα, ἢ τὴν γιγαντομαχίαν. ἢ ἐν τῇ πόλει τῆς Παλλάδος ζεύξομαι καὶ ὑφανῶ ἐν τῷ κροκέῳ πέπλῳ καὶ ἱστοὺς τοὺς ἐν τῷ ἅρματι πώλους τῆς καλλιδίφρου Ἀθηνᾶς. ἐπεὶ γὰρ πολεμικὴ ἡ θεὸς, ἀφιέρουν ταύτῃ πέπλους ἔχοντας ὑφαντοὺς καὶ τοὺς πώλους αὐτῆς σὺν τῷ ἅρματι. ἢ ἐπεσκίαζον καὶ ἑτέρας ἐν τῷ πέπλῳ καὶ ἑτέρῳ αὐτῆς ἀριστείῳ.* Fl. 59. *τὴν γιγαντομαχίαν· τούτους γὰρ πολεμήσασα ἐνίκησε.* Gu. *σημαίνει ὅτι Τιτᾶνες καὶ γίγαντες οἱ αὐτοὶ ἐλέγοντο.* Gu.

473. *τὰν Ζεύς*: *ἥντινα γενεὰν τῶν Τιτάνων θανατοῖ, ἤγουν ἐθα-*

1. *εἰκότως*] *εἰκότως δὲ* B.I.
ib. et 3. *πρὸς τὸ*] *πρὸς τοὺς* I.
16. *πάλους ἐβάλοντο — γιγαντείου*] *πάλλους ἐβάλλοντε—γιγαντίου* M.
25. *καὶ ἱστοὺς τοὺς*] Corrige *καλλίστους.*
Cobetus: *πάλλους ἐβάλλοντε—γιγαν-*

νάτωσεν ὁ υἱὸς τοῦ Κρόνου κεραυνῷ καυστικῷ. I. ἀμφιπύρῳ: καυστικῷ κεραυνῷ καταπαίει. M. κύκλῳ. Gr. περικαεῖ. Gu.

474. κοιμίζει: θανατοῖ, ἀντὶ τοῦ ἐθανάτωσεν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. ἀφανίζει ὡς ἐπαναστᾶσαν κατ' αὐτοῦ. Gu.

475.—479. ὤμοι τεκέων: φεῦ ἕνεκα τῶν ἐμῶν τέκνων, φεῦ ἕνεκα τοῦ Πριάμου· πατέρα γὰρ τεῦτον τῶν τέκνων αὐτῆς καλεῖ χθονός τε, ἧγουν τῆς πατρίδος, ἡ καταβέβληται καὶ ἀφανίζεται καιομένη, αἰχμάλωτος ὑπὸ τῶν Ἑλλήνων. I. ἐν γὰρ τῷ χορῷ καὶ παρθένοι εἰσὶ καὶ γυναῖκες. M. Fl. 10.

477. καπνῷ κατερείπεται: ἀντὶ τοῦ πυρί. Gr. καθάπερ καπνὸ ἀφανίζεται. Fl. 33. πυρὶ καταβέβληται. Fl. 6. 9. 17. 56. 59. 76. κατεστράφη. M. Fl. 10. 21. καταστρέφεται. M. Fl. 21. ἀντὶ τοῦ καταβέβληται. Gr. εἰς τὴν γῆν. Gu. ἀφανίζεται. Gu.

478. τυφομένα: κεκαυμένη. M. Fl. 6. 9. 56. 59. ἀλαζονευόμενα, κενοδοξούμενα. Fl. 33. καιομένη. Gr. φλεγομένη. Gu. δορίκτητος: δοριάλωτος, ὑπὸ τὴν κτῆσιν καὶ δεσποτείαν γινομένη τῶν Ἑλλήνων. M. Fl. 10. 21.

480. κέκλημαι: ἢ τὸ κέκλημαι ἀντὶ τοῦ κεκλήσομαι κατὰ ἀντιχρονισμὸν, ἢ ἀντὶ τοῦ ἐκλήθην. ἀφ' οὗ γὰρ τῆς πατρίδος ἐξελήλαται πορθηθείσης, ἀπὸ τούτου τοῦ καιροῦ εἰς δουλείαν ἐτάχθη, εἰ καὶ μήπω ἐπέβη τοῦ τόπου, οὗ δουλεύειν ἔμελλεν. τὸ δ' ἐν ξείνῃ χθονί ἢ οὗ ἔμελλεν, ὡς ἔφαμεν, ἀπελθεῖν νοητέον, ἢ διὰ τὴν Χερρόνησον, ἐν ᾗ πρὸς τὸ παρὸν εὑρίσκεται, καταλιποῦσα τὴν Ἀσίαν, ἧγουν τὸν τόπον τῆς Τροίας, τὴν δούλην τῆς Ἑλλάδος· τὸ ὅλον ἀντὶ μέρους. B. Gu. I. κέκλημαι: ἀντὶ τοῦ κληθήσομαι. Fl. 6. 9. 10. 17. 21. 56. 59. 76.

481. λιποῦσ' Ἀσίαν: καταλιποῦσα τὴν Ἀσίαν τῇ Εὐρώπῃ θερά-

5. ἕνεκα τῶν τέκνων τῶν ἐμῶν et ἧγουν τοῦ πριάμου. πατέρα γὰρ τέκνων αὐτῆς λέγει Gr.

16. ὑπὸ—γινομένη τῶν Ἑλλήνων] καὶ ὑπὸ—τῶν ἑλλήνων γενομένη Fl. 10. 21.

18. κέκλημαι: ἢ τὸ κέκλημαι ἀντὶ τοῦ] ἐγὼ δ' ἐν ξείνᾳ γῆ: κέκλημαι ἀντὶ τοῦ I.

ib. κεκλήσομαι] δούλη add. I. Gl. interl. ἀντὶ τοῦ κληθήσομαι est in M. ib. ἀντιχρονισμόν] Hoc voc. utitur schol. ad v. 511.

20. εἰ καὶ—δουλεύειν ἔμελλεν om. B.I.

ib. τὸ δ' ἐν ξείνῃ χθονί] τὸ δὲ ξείνῃ ἐν χθονί B. τῇ ξείνῃ χθονί Gu.

22. ὡς ἔφαμεν, ἀπελθεῖν νοητέον] ἢ ὡς ἔφαμεν ἐκτὸς νοητέον Gu.

23. εὑρίσκεται] ηὑρίσκετο Gu. Proxima καταλιποῦσα—ἀντὶ μέρους om. B.

παιναν. κατὰ συγκοπήν· Ἀσία γὰρ ἡ Τροία, Εὐρώπη δὲ ἡ Πελοπόννησος. M. ἐπειδήπερ ἡ μὲν Τροία ἐν Ἀσίᾳ ἐστὶν, εἰ δὲ ταύτην πεπορθηκότες Ἕλληνες ἐν Εὐρώπῃ, διὰ τοῦτο τὴν Ἀσίαν δούλην τῆς Εὐρώπης λελοιπέναι φησί. Gu. I. Ἀσίαν: τὴν Τροίαν, τὸ ὅλον ἀντὶ τοῦ μέρους. Fl. 6. 9. 21. 56. 59. 76. Gr. εἰς τρία διαιρεῖται πᾶσα ἡ γῆ, εἰς Ἀσίαν, εἰς Λιβύην καὶ εἰς Εὐράπην. Fl. 17.

482. Εὐρώπας: τῆς τῶν Ἑλλήνων γῆς. Fl. 6. 9. 21. 56. 59. 76. Gr. Ἑλλάδος. Fl. 17. θεράπαιναν: γενέσθαι δούλην. Fl. 56.

483. ἀλλάξας' Ἅΐδα θαλάμους: ἀντιστρόφως λέγεται ἀντὶ τοῦ ἀλλαξαμένη Ἅΐδην τῶν θαλάμων, ἤγουν ἀντὶ τοῦ τῶν θαλάμων. τοιτέστι τῶν οἴκων Ἅΐδην κληρωσαμένη, ὅμοιον τῷ ὠνοῦμαι δραχμῆς ἢ τοιούτου τινὸς τόδε, ἤγουν διὰ δραχμῆς ὠνοῦμαι τόδε· καὶ τὸ ὠνεῖσθαι γὰρ ἀνταλλάττειν ἐστίν. ἐν τοῖς τοιούτοις γὰρ κατὰ γενικὴν προφερόμενον ἀεί ἐστι τὸ διδόμενον, τὸ δὲ κατὰ αἰτιατικὴν τὸ λαμβανόμενον. Gr. I. θαλάμους: τὰς ἐμὰς εὐνάς. Gu. I. τουτέστι παλλακὶς ἐγεγόνειν καὶ διὰ τοῦτο οὐκ ἀπέθανον. τοῦτο γάρ ἐστι τὸ ἀλλάξασα Ἅΐδα θαλάμους, ἀντὶ τοῦ δοῦσα τὸ ἐμὸν λέχος τῷ σκυλεύσαντι καὶ βουληθέντι φονεῦσαί με. Gu. I. ἀνταλλαξαμένη τὸν θάνατον τοῦ ζῆν. τοῦτο δέ φησιν ἐπεὶ πολλοὶ ἐφείσαντο σφάξαι τινὰς τῶν Τρῳάδων ἀγαπῶντες αὐταῖς παλλακίσι χρήσασθαι. M. Ἄλλως. ἀλλάξας' Ἅΐδα. ὅ ἐστι τὸν θάνατον ἀνταλλαξαμένη, ἀντὶ τοῦ θελήσασα μᾶλλον τεθνάναι ἤπερ ζῆν. M. Fl. 21. 59. ἀνταλλαξαμένη Ἅιδου οἴκων. Fl. 17. καταλλάξασα αὐτῶν τῶν θαλάμων τὸν Ἅιδην. Fl. 33. ἀλλάξας' Ἅιδα θαλάμους: πολλοὶ γὰρ

2. ἐπειδήπερ] ἐπειδὴ I.
3. πεπορθηκότες] πορθήσαντες I.
5. τοῦ μέρους] τοῦ om. Gr.
10. Verba ἤγουν—θαλάμων e Gu. Florr. 6. 9. 21. 34. 56. 59. 76. addidi; sed Florr. habent ἀντὶ τῶν θαλ. MATTH.
14. προφερόμενον] προσφερόμενον I.
15. θαλάμους] τὸ δὲ θαλάμους I. ubi haec leguntur post λελοιπέναι φησί in scholio ad v. 481.
16. οὐκ ἀπέθανον. τοῦτο om. I. Praecedens διὰ τοῦτο om. Gu.
18. φονεῦσαι] φονεύσειν Gu.
ib. ἀνταλλαξαμένη—] In A. est ἀλλαξάσης τὰς τοῦ ᾅδου θαλάμους, ὅ ἐστι τὸν θάνατον ἀνταλλαξαμένης αὐτῶν. τοῦτο δέ—ἀγαπῶντες αὐτὰς ὡς παλλακίδας: — In Fl. 10. ἀλλαξαμένη τοῦ θανάτου τὸ ζῆν. ἢ ἀνταλλαξαμένη ἀντὶ τοῦ θελήσασα ζῆν ἤπερ τεθνάναι.
23. οἴκων Matth. pro ἄκων.
24. πολλοὶ—χρήσωνται] In Flor. 59. est τοῦτο δέ φησιν, ἐπεὶ πολλοὶ ἐφείσ. σφ. τινὰς τῶν Τρ. ἀγαπῶντες αὐτὰς πολλάκις χρήσασθαι. In eodem et cod. 10. hoc scholion v. 481.

Ἑλλήνων ἐφείσαντο σφάξαι τὰς Τρῳάδας, ὡς παλλακίσιν αὐταῖς χρήσωνται. Fl. 10. 21. 59. θαλάμους: τὰ οἰκήματα τοῦ Ἅιδου, ἤγουν θάνατον. Fl. 59.

ἀλλάξας: ἀμείψασα, ἀντιδιδοῦσα. Gu. ἀντιδοῦσα. Fl. 56.

θαλάμους: τὰς ἐμὰς εὐνάς. Gu.

484. ποῦ τὴν ἄνασσαν: ὦ Τρωϊκαὶ γυναῖκες, ποῦ ἂν εὕρωμι τὴν Ἑκάβην, τὴν ἤδη ὑπάρχουσαν βασίλισσαν τῆς Τροίας. I. ὦ κοῦραι καὶ νέαι Τρῳάδες, ποῦ τὴν ποτὲ οὖσαν βασιλίδα τῆς Τροίας Ἑκάβην εὕρωμι; Fl. 33.

ἄνασσαν: δέσποιναν. Fl. 17. κατὰ τὸ σιωπώμενον ἐσφάγη ἡ Πολυξένη. ἔθος γὰρ τοῖς τραγικοῖς τὸ μὴ ἐπ' ὄψει τῶν θεατῶν ἀναιρεῖν· ἠνιάθησαν γὰρ ἂν ὁρῶντες τοιαύτην θέαν. A. M. Fl. 10. 50.

485. ἐξεύρωμι: περισσὴ ἡ ἐξ. Fl. 6. 9. 17. 21. 56. 59. 76.

486. αὕτη πέλας: αὕτη πέλας σου, ὦ Ταλθύβιε, ἐρριμμένη κατὰ γῆς κεῖται, κεκαλυμμένη τοῖς ἱματίοις. I. αὕτη ἐγγύς σού ἐστι, ἔχουσα ἐπὶ τὴν γῆν τὰ ἑαυτῆς νῶτα. Fl. 33.

αὕτη: δεικτικῶς. λιποθυμήσασα γὰρ διὰ τὴν τῆς θυγατρὸς ἀφαίρεσιν νεκροῦ δίκην κατὰ γῆς ἔρριπτο. Gu. πέλας σου: ἔμπροσθέν σου κειμένη. Fl. 17. πλησίον. Fl. 21. 56.

487. συγκεκλεισμένη: συγκεκαλυμμένη διὰ πέπλων. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. ἐντετυλιγμένη. Gu.

488.—491. ὦ Ζεῦ, τί λέξω: ἆρα ὁρᾶν σε.....ταύτην κεκτῆσθαι ἡμᾶς, ἡ τύχη δ' ἐπισκοπεῖν. ταῦτα δὲ εἶπε λυπ...τὴν Ἑκάβην καὶ λέγων, ὦ Ζεῦ, διὰ τί οὐκ ἐλευθεροῖς αὐτὴν ἀπὸ τῶν λυπῶν πολλὰ παθοῦσαν δεινά; ἡ δὲ σύνταξις οὕτως, ὦ Ζεῦ, ἆρα εἶπω σε μὴ ὁρᾶν καὶ ἐπισκοπεῖν τοὺς ἀνθρώπους, ἢ τὴν δόξαν ταύτην, ἢ τὴν ὑπόληψιν

adscriptum est. MATTH. Idem etiam in Gu. legitur sic scriptum, πολλῶν Τρῳάδων γυναικῶν ἐφείσαντο οἱ Ἕλληνες χάριν ἀναπαύσεως.

τραγικοῖς] χοροῖς addunt Fl. 10. 50.

αὕτη πέλας σου—] Simile scholion, sed partim obliteratum in A. in initio folii 12ª, αὕτη πλησίον σου, ὦ ταλθύβιε.... | ἤγουν ἐπὶ τῆς γῆς κειμένη.

ῥιπτο] Idem est hoc scholion, quod e Baroc. 74. ad v. 495. adscripsit King. in quo male legitur ἀποθυμήσασα et ἀναίρεσιν. August. c. ap. Herm. Praef. ad Hec. p. xii. ad νῶτα v. 496. λιποθυμήσασα διὰ τὴν Πολυξένην. MATTH. Hinc correxi quod in Gu. est λειποθυμήσασα.

συγκεκλειμένη etiam M. qui addit ἀπὸ τοῦ κλείω.

μάταια κεκτῆσθαι τοὺς βροτούς, ψευδῶς τὸ δαιμόνων γένος δοκοῦντα εἶναι, τὴν τύχην δὲ καὶ τὴν μοῖραν πάντα τοῖς ἀνθρώποις ἐπισκοπεῖν. Λ. οὐκέτι δέ σε, ὦ Ζεῦ, ἐφορᾶν τὰ τῶν ἀνθρώπων πράγματα, ἀλλὰ τύχην εἶναι τὴν διέπουσαν. A. rec. ὁρᾶν ὁ Ταλθύβιος τὴν Ἑκάβην οὕτως ἀθλίως ἐν γῇ κειμένην ἐκπληττόμενος λέγει πρὸς τὸν Δία, πότερον, ὦ Ζεῦ, σὺ τοὺς ἀνθρώπους ἐφορᾷς, ἢ δοκοῦντες εἶ ἄνθρωποι εἶναι θεοὺς καὶ κήδεσθαι αὐτῶν ἔχουσι τὴν περὶ τούτου δόξαν ψευδῆ, τὸ δὲ τῆς τύχης διοικεῖ τὰ ἀνθρώπεια; οὕτω τὸ ψευδῆ πρὸς τὸ δόξαν συντακτέον, οὐ πρὸς τὸ δοκοῦντας, καθὼς εἴωταί τινες ἀγνοήσαντες, καὶ τὸ ψευδῆ ἀντὶ τοῦ ψευδῶς ἐκλαβόντες. Gu. I. φεῦ, ἆρα εἶπε σε ὁρᾶν τοὺς ἀνθρώπους, ἢ λέξω τοῖς ἀνθρώποις ὑπόνοιαν ψευδῆ ταύτην κεκτῆσθαι τοὺς θεούς, τὴν τύχην δὲ εἶναι τήνδ' ὑπ' οὐράνιον τὴν σκοποῦσαν καὶ διοικοῦσαν αὐτούς. Fl. 17. ὦ Ζεῦ, ποῖα δεῖ λέγειν, πότερον ὁρᾶν ἀλληλάλλως τὴν δόξαν τῶν ἀνθρώπων μάτην γεγενημένην. ψευδῆ γὰρ οἱ θεοὶ τὴν τύχην ἐν τοῖς ἀνθρώποις ἐπισκοπεῖν. Fl. 33.

488. λέξω: εἶπω. Fl. 17. 56. 59. Gu. πότερα: ἆρα λέξω ἐφορᾶν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. ὁρᾶν: τουτέστιν ἐπισκοπεῖν τοὺς ἀνθρώπους. Fl. 17. ἐφορᾶν, διοικεῖν. M.

489. ἤ: λέξω. Fl. 59. ἢ λέξω τοῖς ἀνθρώποις ὑπόνοιαν ταύτην ψευδῆ κεκτῆσθαι δοκοῦντας εἶναι θεούς. M. δόξαν: ὑπόνοιαν. M. Fl. 10. 21. 59. δόκησιν, ὑπόληψιν. Fl. 17. δόξα σημειοῖ τρία, τὸ δόγμα, τὴν δόκησιν καὶ τὴν τύχην. Fl. 6. ἄλλως: τὸ ἄλλως καὶ τὸ μάτην ἐκ παραλλήλου. Fl. 6. 9. 21. 56. 59. 76. Gr. τήνδε: τοῦ ἐφορᾶν σε τὰ αὐτῶν. Gu.

490. ψευδῆ: ψευδῶς. Fl. 6. 9. 21. 56. 59. 76. Gr. τὸ ψευδῆ μεθερμηνευτικόν ἐστι τοῦ μάτην καὶ τοῦ ἄλλως. Gu. δοκοῦντας: ὑπιλαμβάνοντας. Gu. νομίζοντας γένος εἶναι θεῶν τοὺς ἀνθρώ-

5. οὕτως ἀθλίως ἐν γῇ κειμένην] ἀθλίως οὕτως διακειμένην B.I., nisi quod B. κειμένην.

ib. ἐκπληττόμενος] ἐκπλησσόμενος B.

7. καὶ κήδεσθαι αὐτῶν om. I.

9. τὸ δοκοῦντας] τὸ om. I.

10. τὸ ψευδῆ post τοῦ ψευδῶς in Gu. I.

ib. ἐκλαβόντες] ἐκλαμβάνειν B.

14. δεῖ—πότερον] δὴ—πρότερον Fl. 33.

19. ἐφορᾶν est in Gu., διοικεῖν in Fl. 10.

28. νομίζοντας — ἀνθρώπους] Corrupte 21. νομιζομένους γένος εἶναι τοὺς ἀνθρώπους. MATTH. νομιζομένους etiam M.

πους. M. Fl. 59. 21. μὴ μέντοι γε εἶναι θεοὺς τοὺς ταῦτα ἐφορῶντας καὶ διέποντας. Gu.

491. τύχην: μηκέτι δὲ σὲ, ὦ Ζεῦ, ἐφορᾶν τὰ τῶν ἀνθρώπων πράγματα, ἀλλὰ τύχην εἶναι τὴν διέπουσαν καὶ διοικοῦσαν. M. μοῖραν. Fl. 17. τυχηρόν. Fl. 59. τὰν βροτοῖς: πράγματα. Fl. 6. 9. 21. 56. 59. 76. ἐπισκοπεῖν: ἐφορᾶν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. ἐπιτηρεῖν. Fl. 59. Gu. διοικεῖν. Gu.

492.—496. οὐχ ἥδ' ἄνασσα: ἥδε οὐκ ἦν δέσποινα τῶν πλουσίων Τρώων; ἥδε οὐκ ἦν γυνὴ Πριάμου τοῦ λίαν πλουσίου; καὶ νῦν ἡ μὲν πόλις ἀνάστατος γέγονεν ὑπὸ τοῦ πολέμου, αὕτη δὲ ἡ γραῦς Ἑκάβη δεδουλωμένη καὶ παίδων ἐστερημένη κεῖται ἐν τῇ γῇ, μολύνουσα τὴν ἀθλίαν κεφαλὴν διὰ τῆς κόνεως. I.

492. ἥδ': αὕτη ὑπῆρχεν. Fl. 56. ἄνασσα: βασίλισσα. Fl. 17. πολυχρύσων: εὐδαιμόνων. Fl. 17. οὐχὶ δὲ αὕτη βασιλὶς ἦν τῶν πολυχρυσοτάτων Τρώων; Fl. 33.

493. μεγ' ὄλβίου: μεγάλως μακαρίου. Fl. 6. 9. 21. 56. 59. 76. Gr. οὐχὶ δὲ αὕτη τοῦ μεγαλοπλουσίου Πριάμου σύνοικος; Fl. 33. δάμαρ: γυνὴ, παρὰ τὸ δεδόσθαι ἀνδρί. Fl. 17. δάμαρ ἡ γυνὴ, παρὰ τὸ δεδέσθαι ἅμα τῷ ἀνδρί. Fl. 6. δάμαρ ἐτυμολογεῖται ἀπὸ τοῦ δαμάζεσθαι ὑπὸ τοῦ ἀνδρὸς, ἢ ἀπὸ τοῦ γάμος γάμαρ καὶ δάμαρ. Fl. 59.

494. πόλις: ἡ Τροία. Fl. 59. ἀνέστηκεν: ἀνετράπη. Fl. 17. ἀνάστατος γέγονε τῷ πολέμῳ. ἦγουν ὑπὸ τοῦ πολέμου. Gr. ἀνετράπη, ἠφανίσθη. Gu. καὶ νῦν ἡ αὐτῆς πόλις πᾶσα ἠφάνισται δοριάλωτος. Fl. 33.

495. αὕτη δέ: αὕτη δὲ δούλη καὶ ἄπαιδος καὶ γῆν τὴν ταλαίπωρον ἐπιπασομένη. Fl. 33.

496. κεῖται: ἀναπαύεται. Fl. 59. φύρουσα: ἀναδεύουσα. M. Fl. 10. μολύνουσα. M. Gr. δύστηνον: γεγηρακὸς, πεπαλαιωμένον. Fl. 59. τὴν ἀθλίαν κεφαλήν. Gr.

23. ἀνάστατος—πολέμῳ etiam M.
24. αὐτῆς Matth. pro αὐτή.
26. ἄπαιδος — ἐπιπασομένη] An: ἄπαις καὶ γραῦς κατὰ γῆν κεῖται, ἐπὶ τὴν ταλαίπωρον κεφαλὴν κόνιν ἐπιπασομένη? MATTH.
29. πεπαλαιαμένον] Spectat ad lectionem πάλλευκον κ. quam comm. Fl. 10. MATTH.

497. φεῦ φεῦ, γέρων: γέρων μέν εἰμι, ἀλλὰ φιλόζωος. οὕτω γὰρ νοητέον· τί γὰρ καινὸν ἐὰν γέρων ὢν θανεῖν θέλῃ; ἀλλὰ προσληπτέον τὸ φιλόζωος, ἵνα ᾖ, οὕτως· ἀκριβὲς γέρων μέν εἰμι φιλόζωος, ἀλλ' ὅμως καίπερ φιλῶν τὸ ζῆν θάνοιμι πρὶν περιπεσεῖν αἰσχρῷ τινι τύχῃ. A. γέρων μέν εἰμ', ὅμως: εἰ καὶ ὡς γέρων φιλόζωός εἰμι, ὅμως ἀπεθανεῖν ἢ ἀπεψυχῆναι βούλομαι. A. rec. γέρων μέν εἰμι καὶ διὰ τοῦτο οὐ δέδοικα τὸ δυστυχεῖν, ὡς, εἰ καὶ συμβήσεταί μοι δυστυχία, ταχέως παρέλθοι διὰ τὸ ὀλίγον ἔτι εἶναι τὸ λοιπὸν τῆς ζωῆς· ὅμως δ' εὔχομαι θανεῖν πρὸ τῆς δυστυχίας. ἢ τὸ "γέρων μέν εἰμι" διὰ τὸ τοῖς γέρουσι περισπουδαστότερον εἶναι τὸ ζῆν, ἐπειδὴ ὁρῶσιν ὡς ἐγγὺς εἰσι τοῦ θανάτου. Gu. I. γέρων ὢν φιλόζωος εἰμί· ὅμως ἀπεθανεῖν ἢ ἀτυχῆσαι εὔχομαι. Fl. 10. 21. ἔχρῃζον ἀπεθανεῖν ἐμὲ εὐτυχῆ ὄντα πρὸ τοῦ ἐμπεσεῖν εἰς δυστυχίαν. Fl. 17. ὅμως δέ μοι: τὸ ἐναντίον λέγει· οἱ γὰρ νέοι μᾶλλον φιλοῦσι ζῆν, οἱ δὲ γέροντες ἀπιθανεῖν. λέγει δέ, ἐπειδὰν μᾶλλον ὁ ἄνθρωπος ἐν γήρᾳ γένηται, τότε καὶ φιλοζωότερός ἐστι. τὸ αὐτὸ καὶ ὁ Ταλθύβιος "γέρων μέν εἰμι" λέγων, ὅμως δὲ πρὶν περιπεσεῖν τοιαύτῃ δυστυχίᾳ, γένοιτό μοι θανεῖν. Fl....

498. εἴη: εἴθε, πρότερον πρὶν περιπεσεῖν ἀσχήμῳ τινὶ τύχῃ, ἤτοι πρὸ τοῦ δυστυχῆσαι. Fl. 6. 9. 21. 56. 59. 76. Gr. περιπεσεῖν: ἐντυχεῖν. Fl. 59. τύχῃ: δυστυχίᾳ. M.

499. ἀνίστασ': ἐγέρθητι, ὦ ἀθλία, καὶ μετέωρον τὴν πλευρὰν ἔγειρε καὶ τὴν ἄγαν λευκὴν κεφαλήν. I. ἀνίστασ': ἀνάστηθι, ἔγειραι. Gu.

μετάρσιον: μετέωρον. M. Gr. εἰς ὕψος. M. Fl. 10. 17. 21. ἤγουν μετέωρον, ὀρθήν. Fl. 59. ὦ ἀθλία, ἀνάστα ἄνω. Fl. 33.

500. πάλλευκον: γεγηρακὸς καὶ πεπολιωμένον. M. γεγηρακὸς,

6. γέρων μέν εἰμι—θανάτου] Gu. καὶ διὰ τοῦτο—ὡς ταχέως παρέλθοι διὰ τὸ ὀλίγον τοῦ λοιποῦ βίου inter lineas, et in scholio marginali, γέρων μέν εἰμι: καὶ εἰ συμβ. μοι δυστ. ταχ. παρ. διὰ τὸ τοῦ γήρως ὀλιγοχρόνιον· ὅμως δ' οὖν, εἰ καὶ γέρων εἰμὶ, καὶ ταχέως παρέλθοι ἡ ἐπελθοῦσά μοι δυστυχία διὰ τὸ ὀλίγον ἔτι εἶναι τὸ λοιπὸν τῆς ζωῆς εὔχ. θ. πρὸ τῆς δυστ. ἢ τὸ γ. μ. εἰμι νόει διὰ τό etc. Ex eo τὸ λοιπόν pro τὸ λεῖπον recepi. In marg. interiore est: γέρων μέν εἰμι φιλόζωος· ἀλλ' ὅμως καίπερ φιλῶν τὸ ζῆν θάνοιμι πρίν. MATTH. In Gu. non τὸ λοιπὸν, sed τὸ λοῖπον, quod etiam λεῖπον esse potest.

19. πρὶν om. 56.

ib. ἀσχήμῳ] αἰσχρᾷ ἤγουν ἀσχήμῳ Gr.

27. γεγηρακὸς habet etiam 21. Pro πεπαλαιωμένον 10. πεπολιωμένον, λίαν λευκὸν est etiam in 6. 9. 21. 56. 76. MATTH.

τὸ πεπαλαιωμένον. Fl. 17. λίαν λευκὸν, τὸ πάνυ γηραιόν. Fl. 59. λίαν λευκόν. Gr. δι' ὅλου λευκὸν, ὁλόλευκον. Gu.

501. ἔα: τὸ ἔα ἢ ἀντὶ τοῦ ἄφες, ἢ ἐπὶ ἐκπλήξεως λάμβανε. Τίς ἐστιν οὗτος, ὅστις οὐκ ἀφίησι τὸ ἐμὸν σῶμα κεῖσθαι; τί με ὀχλεῖς καὶ ταράττεις, ὅστις ὑπάρχεις, λυπουμένην; I.

ἔα: γράφεται ὠή. ἔστι δὲ κλητικὸν ἐπίρρημα. M. Fl. 21. 59. ἄφες. Fl. 33.

502. κεῖσθαι: ἀναπαύεσθαι. Fl. 59. ἡσυχάζειν. Gu. κινεῖς: ταράττεις, ὀχλεῖς. Gu. ὅστις: ὁποῖος. Fl. 17. Gu. λυπουμένην: ὑπάρχουσαν. Fl. 56.

503. Ταλθύβιος: Ταλθύβιος ὁ τῶν Ἀχαιῶν κῆρυξ ἦκω, μετακαλεσαμένου σε, ὦ γύναι, τοῦ Ἀγαμέμνονος. I.

ἦκω: ἦλθον. Fl. 17. 56. ἤλυθον. Fl. 59. ἔρχομαι τῶν Ἑλλήνων ὁ δοῦλος. Fl. 33. ἀπὸ τούτου δ' ἔχομεν γνῶναι ὅτι ἐν τῷ εἰπεῖν "ἦκω νεκρῶν κευθμῶνα" οὐ φησι διὰ τὸ ἀεικίνητον τῆς ψυχῆς, ἀλλὰ διότι ἐστὶν Ἀττικόν· καὶ ἐνταῦθα γὰρ οὐχὶ ψυχή τις λέγει, ἀλλ' αὐτὸς ὁ Ταλθύβιος. Gu. Δαναΐδων: τῶν παίδων τῶν Δαναῶν. Fl. 6. 9. 21. 56. 59. Gr.

504. πέμψαντος: λείπει ἡ σέ, μεταπεμψαντός σε. καὶ πῶς ὑποκατιὼν φησι "πέμπουσιν δέ με δισσοί τ' Ἀτρεῖδαι καὶ λεὼς Ἀχαϊκός;" τάχα οὖν αὐτὴν ἄφορος καθιστὰς ἐν προοιμίοις οὐ θορυβεῖ αὐτὴν πλήθει ὀνομάτων. M. μετακαλέσαντος. Fl. 17. μετακαλεσαμένου. Gr. σε. Gu. μεταστειλαμένου. Fl. 59. τὸ μεταπέμψαντος ἤγουν μεταστειλαμένου, ἢ, ὃ καὶ κάλλιον, μετακαλεσαμένου καὶ ζητήσαντος σὲ τοῦ Ἀγαμέμνονος. Fl. 59.

505. ὦ φίλτατ': ὦ φίλτατε, ἆρα καὶ ἐμὲ ἦλθες μετακαλέσων, ὥστε ἐπισφάξαι τῷ τάφῳ κατὰ τὸ δοκοῦν τοῖς Ἕλλησιν; λίαν προσφιλὲς λέγεις. δεῦρο, ἵνα σπεύσωμεν, ἐγείρωμεν κόνιν, προηγοῦ μοι καὶ προδοποίει, γέρον. I. ἐπισφάξαι: ἐπὶ τῷ τάφῳ σφάξαι. Gr. 506. δοκοῦν: κατὰ τὸ δοκοῦν. Fl. 6. 9. 21. 56. 76. δοκοῦντος, Ἀττικόν. Fl. 10. κατὰ τὸ δοκοῦν, δοκοῦντος, ἀρέσαντος. Fl. 59.

3. τὸ ἔα—λάμβανε] Sic Gr. sed Gu. in marg. τὸ ἔα ἢ ἐκπληκτικὸν ἀντὶ τοῦ φεῦ, ἢ ἀντὶ τοῦ ἄφες προστακτικὸν ῥῆμα. MATTH. In Gr. glosema est super ἔα scriptum, ἢ ἄφες, ἢ ἐπὶ ἐκπλήξεως.

31. δοκοῦν addidit Matthiae.

ἆρα δοκοῦντος καὶ ἀρέσαντος τοῖς Ἀχαιοῖς καὶ ἀρεστὸν φανέντος, ἦλθες ἐπαρεῖν καὶ ἐμὲ καὶ σφάξαι ἐπὶ τῷ τάφῳ τοῦ Ἀχιλλέως μετὰ τῆς θυγατρός μου; εἰ οὕτως ἦλθες, λίαν λέγεις προσφιλέστατα. Fl. φίλ᾽: ῥήματα. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ἀγαπητά. Gu. λέγῃς: οι superscr. Gr. εἴπῃς. Gu. ποθῶ γὰρ σφαγῆναι τῆς Πολυξένης στερηθεῖσα. Gu.

507. ἐγκονῶμεν: ἐγκονῶ τὸ σπεύδω, τουτέστι τὸ κόνιν ἐγείρω· οἱ γὰρ σπουδάζοντες κόνιν εἰώθασιν ἀνιστᾶν τοῖς ποσί. τὸ δὲ σπεύδωμεν, καὶ ἐγκονῶμεν, καὶ τὸ ἡγοῦ μοι, γέρον, ἔμφασιν ἔχει τῆς πολλῆς προθυμίας, ἣν εἶχεν ἡ Ἑκάβη ἀποθανεῖν συνάμα τῇ θυγατρί. B. Gu. I. σπουδάζωμεν. Fl. 17. ἑτοιμασθῶμεν. Fl. 56. ἐκ παραλλήλου τὸ αὐτό· οἱ γὰρ σπεύδοντες κονιορτοῦνται τὰ γυμνὰ τοῦ σώματος. M. Fl. 21. θ...μαι κόνιν ἀπὸ τῆς σπουδῆς· ὅταν γάρ τις ὁρμαίως τρέχῃ, ἐγείρει κόνιν ὑπὸ τῆς γῆς τῇ σπουδαίᾳ καὶ... κινήσει τῶν ποδῶν. ἢ πρεντρεπιζώμεθα εἰς τοῦτον τὸν ἀγῶνα ὥσπερ οἱ μέλλοντες εἰσελθεῖν εἰς πάλην ἀλείφονται κόνιν. Λ. ταυτολογία. Fl. 10. ἡ ταυτολογία τὴν προθυμίαν ἐμφαίνει τῆς Ἑκάβης. Gu.

508.—513. σὴν παῖδα: τὴν σὴν θυγατέρα ἀποθανοῦσαν ἵνα θάψῃς, ὦ γύναι, ἦλθον μετακαλούμενος· πέμπουσι δέ με ὁ Ἀγαμέμνων καὶ ὁ Μενέλαος οἱ Ἀτρεῖδαι καὶ ὁ στρατὸς τῶν Ἑλλήνων. I.

509. οἰονεὶ ἧκω μετακαλέσαι ὅπως ἐλθοῦσα θάψῃ τὴν Πολυξένην. Λ. μεταστείχων: μετακαλέσων, μεταπορεύσων, μεταπεμπόμενος. Fl. 6. 9. 21. 56. 59. 76. μετακαλῶν. Fl. 10. μεταπεμπόμενος. Gr. μετακαλούμενος. Gu. πέμπουσι ἀντὶ τοῦ ἔπεμψαν. Fl. 6. 9. 21. 56. 59. 76.

510. διττοί: οἱ δύο. Fl. 6. 9. 21. 56. 59. 76. οἱ δύο υἱοὶ τοῦ Ἀτρέως καὶ ὁ Ἑλληνικὸς λαός. Fl. 33. ἵνα μὴ τῷ τῶν ὀνομάτων πλήθει τὴν Ἑκάβην ἐκ προοιμίων θορυβήσῃ, ἀνωτέρω παρ᾽ Ἀγαμέμνονος μόνου πεμφθῆναι εἶπεν. Gu.

8. ἀνιστᾶν] ἐγείρειν ἀνιστᾶν Gu.
9. τὸ ἡγοῦ] τὸ om. Gu.
10. ἡ Ἑκάβη] ἡ om. B.
ib. συνάμα τῇ θυγατρί om. B.
11. ἑτοιμασθῶμεν Matth. pro ἑτιμασθῶμεν.
14. σπουδαίᾳ.....] Excidisse videtur καὶ συντόνῳ.
17. ἡ ταυτολογία] ἡ δὲ ταυτολογία M. in quo praecedunt verba εἰ τοῦτα λέγοις, τὸ ἀποθανεῖν. Idem habet τὴν π. τῆς ἑκάβης ὑπέφηνεν.
22. μετακαλέσων etiam M.

511.—514. οἴμοι, τί λέξεις: ἀντὶ τοῦ τί λέγεις. λοιπὸν οὐχ ὡς μέλλουσαν τεθνήξεσθαι ἀφίκου πρὸς ἐμὲ, ἀλλὰ μηνύσων κακά; τέθνηκας, ὦ παῖ, ἀπὸ τῆς μητρὸς ἁρπασθεῖσα· ἐγὼ δ' ἄτεκνος, ὅσον τὸ κατὰ σέ. I.

τί λέξεις: ἀντὶ τοῦ τί λέγεις. Fl. 6. 9. 21. 33. 56. 59. ἀντιχρονισμὸς λέγεται ἀντὶ τοῦ λέγεις. Gr. εὐκ ἄρα: ἐνταῦθα οὐκ ἐρωτηματικὸν τὸ ἄρα, ἀλλὰ συμπερασματικὸν καὶ ἀποφαντικόν ἐστι, διὸ καὶ ὀξύνεται. τὸ ἄρα τὸ μὲν ἀπορηματικὸν, ἤτοι κατ' ἐρώτησιν τιθέμενον, περισπᾶται, καὶ μακρὸν ὡς ἐπὶ τὸ πλεῖστον εὑρίσκεται· τὸ δὲ ἄρα τὸ συμπερασματικὸν καὶ ἀποφαντικὸν ἀεὶ βαρύνεται καὶ βραχύνεται. εἴρηται δὲ ὡς ἐπὶ τὸ πλεῖστον, διότι καὶ βραχὺ σπανίως εὑρίσκεται. I. τὸ ἆρα ἐρωτηματικὸν ἢ συμπερασματικὸν καὶ ἀποφαντικόν, διὸ καὶ ὀξύνεται καὶ περισπᾶται. καὶ ἐρωτηματικὸν μὲν ὅτε πρὸς τὸ "τί λέξεις," ἀποφαντικὸν δὲ πρὸς τὸ σὴν παῖδα κατθανοῦσαν." Gu.

512. μετῆλθες: ἡ μετά ἀντὶ τῆς εἰς. Fl. 17. εἰς ἐμὲ ἦλθες. Fl. 6. 9. 21. 56. 59. 76. μετακαλέσων ἦλθες. Fl. 59. ἀλλὰ σημανῶν: ἦλθες μηνύσων, ἀγγελῶν, δηλώσων, ἤτοι τὴν τῆς Πολυξένης σφαγήν. Fl. 59.

513. ὄλωλας: ἐφθάρης, ὦ παιδίον μου. Fl. 17. ἐφθάρης, ὦ βύγατερ. Fl. 56. ὦ τέκνον, ἀπωλέσθης, ἀπέθανες. Fl. 33. ἁρπασθεῖσ': ἀποσπασθεῖσα τοῦ κόλπου. Fl. 6. 9. 21. 56. 59. 76.

514. ἡμεῖς δ' ἄτεκνοι τοὐπί σ': οἷον, τὸ ἐπὶ σοὶ ἄτεκνοι ὑπάρχομεν, ὦ Πολιξένη. σὺ γὰρ ἤδη σφαγήσῃ. ὅσον δὲ ἐπὶ Κασάνδρᾳ καὶ Πολυδώρῳ οὔ. ἐδόκει γὰρ ἔτι τὸν Πολίδωρον ζῆν. Ἄλλως. ὅσον ἐπὶ σοί. ὑπολαμβάνει γὰρ ἔτι τὸν Πολίδωρον ζῆν καὶ Κασάνδραν. A. ἡμεῖς: ἐσμέν. Fl. 59. ἡμεῖς δὲ ὅσον τὸ ἐπὶ σοὶ, ἤγουν τὸ κατὰ σὲ, ἄτεκνοι ὑπάρχομεν. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ὅσον τὸ κατὰ σὲ μέρος ἄπαιδες ἐσμέν. ὅσον τὸ κατὰ σὲ εἶπεν· ἔζη γὰρ Κασσάνδρα, ἡγεῖτο δὲ καὶ τὸν Πολίδωρον ζῆν. Fl. 10. 21. τοὐπί σ': εἰς τὸ μετὰ ταῦτα, εἰς τὸ μέλλον. Fl. 59. οἱ Ἀττικοὶ τὸ μὲν παρεληλυθὸς καλοῦσιν ἔμπροσθεν, τὸ δὲ μέλλον ὀπίσω, ἀπὸ

22. τοῦ κόλπου solus habet 21.

29. ὅσου—] In M. ὅσον τὸ κατὰ σὲ μέρος ἄπαιδές ἐσμεν. ὅσον τὸ κατὰ σὲ ἦκεν (male εἶπεν Florr.) ἔζη—ζῆν. ib. ὅσον τὸ ἐπὶ σ' (sic)—ζῆν habet etiam Gu.

μεταφορᾶς τῆς βαδίσεως τῶν ζώων, προτιθεμένων τῶν ἐμπροσθίων ποδῶν εἴτε παρελκυθότων, καὶ μετερχομένων τῶν ὄπισθεν ἤτοι μελλόντων. Fl. 59.

515.—518. πῶς καί νιν: πῶς αὐτὴν ἐφονεύσατε; ἆρα εὐλαβούμενοι, ἢ πρὸς τὸ ἀπηνὲς ἦλθετε, τουτέστι δεινῶς καὶ ἀπηνῶς ἐφονεύσατε, ὡς ἐχθρὰν φονεύοντες; I.

515. πῶς καί νιν ἐξεπράξατ': πῶς ταύτην, ὦ γέρον, διεχειρίσασθε καὶ ἐσφάξατε. ἆρα μετὰ αἰδοῦς, ἢ πρὸς τὸ δεινὸν, ἤγουν τὸ ἀναιδὲς, ἦλθετε καὶ τὸ ἀπηνὲς ὡς ἐχθραν κτείναντες; τὸ δὲ ὅλον, ἆρα ἐγυμνώσατε αὐτὴν καὶ ἐφάνησαν τὰ μέρη τοῦ σώματος ἃ χρὴ κρύπτεσθαι, ἢ οὔ; A. ἐφονεύσατε. M. διεφονεύσατε. Gr. διεξεπράξατ'. Fl. 6. 9. 21. 56. 59. 76. διεχειρίσασθε. Fl. 59. Gu. διεχρήσατε. Fl. 17. πῶς δὴ ἐν αὐτῇ ἐποιήσατε. Fl. 33. αἰδούμενοι: μετὰ τιμῆς. Fl. 6. μετὰ ἐντροπῆς. Fl. 56. Gu.

516. δεινόν: καὶ τὸ ἀναιδὲς καὶ τὸ ὠμὸν καὶ τὸ ἄγριον. Fl. 17. πρὸς τὸ χαλεπόν. Fl. 33. τὸ ἀπηνές. Gr. ἄγριον καὶ ἀναιδές. Gu. ἢ πρὸς τὸ δεινὸν ἦλθετε, ἤγουν ἢ δεινῶς, τουτέστιν ἀπηνῶς, ἐφονεύσατε, ὡς ἐχθρὰν κτείνοντες; Gr. ἢ ὡς ἐχθρὰν κατῃσχύνατε. M.

517. λέξων: μέλλων εἰπεῖν. Fl. 17. 59. φίλα: ἐμοί. Fl. 59. προσφιλῆ ἐμοί. Fl. 6. 17. καίπερ οὐ προσφιλῆ λέγεις. Fl. 33.

518. διπλᾶ με χρῄζεις δάκρυα κερδᾶναι: διπλᾶ με χρῄζεις, θέλεις, ὦ γύναι, δάκρυα κερδᾶναι, οἷον, κλαύσας ἐν τῷ οἴκῳ τῆς σῆς παιδὸς ἀρξόμενον τὰ ταύτης λέγειν. διπλᾶ δὲ εἶπεν ὡς νῦν μὲν κλαύσομαι λέγων τἀκείνης, ἔκλαυσα δὲ καὶ ὅτι ἐσφάζετο. ὡς φίλος γὰρ κέρδος εἴρηται τὸ κλαῦσαι ἐκ δευτέρου περὶ τὴν Πολυξένην. ἡ δὲ σύνταξις οὕτως, ὦ γύναι, διπλᾶ με θέλεις δάκρυα κερδᾶναι τῷ οἴκῳ τῆς σῆς παιδός. νῦν μὲν γὰρ λέγων τέγξω, ἤγουν βρέξω, τοῖς δάκρυσι τοῦτο τὸ ὄμμα. πρὸς τάφῳ δὲ, ὅτι ὤλλυτο, καὶ τοῦτο ἐλλιπές· λείπει γὰρ τὸ ἐπεὶ καὶ ὁ καί σύνδεσμος, ἵν' ᾖ οὕτως, νῦν τε γὰρ

2. ὄπισθεν pro ἔμπροσθεν Matth.

5. τουτέστι—φονεύοντες habet etiam Gu. ad v. 516: nisi quod ἤγουν δεινῶς τουτέστιν ἀπ. ἐφ. ὡς ἐ. κτείνοντες legit. MATTH.

11. διεξεπράξατ'] Immo διεπράξατ'.

30. ἐλλιπές] ἐλλειπές A.

βρέξω τὸ ὄμμα, ἐπεὶ καὶ ὅτε ἄλλυτο ἔκλαυσα. A. θέλεις. Gr. κερδᾶναι: ἐκχῦσαι. Fl. 21. κέρδος ἡγεῖται τὸ δὶς κλαῦσαι. Fl. 10. ὡς φιλόσοφός φησι τὸ κερδᾶναι· κέρδος γὰρ οἴεται τὸ κλαῦσαι καὶ δεύτερον περὶ τῆς Πολυξένης. M. Fl. 59. οἱ γὰρ λυπούμενοι παραμυθίας ἔχουσι τὸ κλαίειν. τὸ κερδᾶναι γίνεται ἀπὸ τοῦ κέρδος, τὸ δὲ κέρδος ἀπὸ τοῦ τὸ κέαρ ἡδαίνειν καὶ εὐφραίνειν. Fl. 59.

519. οἴκτῳ: τῷ θανάτῳ. Fl. 21. τῷ φόνῳ, ἤγουν τῷ ἐλέῳ. Fl. 59. τῆς σῆς παιδὸς τῇ φιλανθρωπίᾳ καὶ ἐπικάμψει. Fl. 33. λέγων κακά: διηγούμενος ἀλγεινὰ, δυστυχῆ, ἤγουν τὸν φόνον αὐτῆς Fl. 56. 59. 76. Gr. λέγων γὰρ τὰ συμβάντα βρέξω δι' ὀφθαλμῶν δάκρυα δηλερά· τοῦτο γάρ ἐστι τὸ κερδάναι δάκρυα. Fl. 33.

520. τέγξω: κάθυγρον ποιήσω, δάκρυσι δηλονότι. Gr. βρέξω. Gu. τάφῳ θ': ἔτεγξα κατὰ κοινοῦ. M.

521. παρὼν μὲν ὄχλος: παρὸν ἦν πᾶν τὸ πλῆθος τῶν Ἑλλήνων ἔμπροσθεν τοῦ τάφου τοῦ Ἀχιλλέως πρὸς τὰς σφαγὰς τῆς σῆς θυγατρός. I. πλήρης, οἷον πεπληρωμένος, ἔμπροσθεν τοῦ τύμβου ἐπὶ σφαγῇ τῆς σῆς θυγατρός. εἰπὼν δὲ τὸ ἅπας καὶ πλήρης ἔδειξε τὸ ὡς οὐδεὶς ἐλείπετο. A.

παρὼν: διήγησις. Fl. 59. ἤρξατο τῆς διηγήσεως. Fl. 21. ὑπῆρχεν. Fl. 17. 59. ἐπαρουσίαζεν. Fl. 59. Ἀχαϊκοῦ: Ἑλληνικοῦ. Fl. 59. ὅτι πρὸς τὸν τάφον ἔθνησκε, παρειστήκει πᾶς ὄχλος. Fl. 33.

522. πλήρης: πεπληρωμένος, ἅπας. Fl. 17. 59. τὸ πᾶς καὶ τὸ πλήρης κατ' ἐπίτασιν λέγεται. B. Gr. I. πρὸ τύμβου: αἴτημα σκηνικόν. πῶς γὰρ τοῦ Ἀχιλλέως ἐν Τροίᾳ ταφέντος ὁ Ταλθύβιος λέγει πρὸ τύμβου τοῦ Ἀχιλλέως ἵστασθαι τοὺς Ἕλληνας, ὄντας ἐν Χερρονήσῳ; καὶ φαμὲν ὅτι ἡ κενοτάφιον ἐν Χερρονήσῳ

2. ἐκχῦσαι] ἐκχῆσαι Fl. 21.

3. ὡς φιλόσοφος] ὡς φίλος M. "Fl. ὁ φίλος φησὶ τὸ κερδ. Gu. ὡς φιλόσοφος τὸ κερδ. E Gu. addidi etiam καὶ δεύτ. περὶ τῆς Π. reliqua in eo desunt." MATTH.

6. ἡδαίνειν] Leg. ἡδύνειν. MATTH.

10. ἤγουν—αὐτῆς om. Gr.

15. Ἑλλήνων] Addit I. τὸ δὲ πᾶς καὶ τὸ πλήρης κατ' ἐπίτασιν λέγεται, quae scholio v. 522. inserui, ubi in codicibus leguntur.

19. ἐλείπετο] ἐλειπ. . . . . A.

24. τὸ πᾶς—λέγεται] Vid. ad v. 520.

25. αἴτημα σκηνικόν et γὰρ om. Gu. I. Postrema καὶ φαμὲν—κόρην om. M.

ἐποίησαν, ἢ εἰς Τροίαν ἀπῆλθεν καὶ ἔθυσαν τὴν κόρην. M. Fl. 10. Gu. I.

523. λαβὼν δ' Ἀχιλλέως: λαβὼν δὲ ὁ τοῦ Ἀχιλλέως παῖς Νεοπτόλεμος τὴν Πολυξένην ἀπὸ τῆς χειρὸς ἔστησεν ἐπὶ τοῦ ἀνωτάτου μέρους τοῦ τάφου. I. ὁ τοῦ Ἀχιλλέως παῖς Νεοπτόλεμος λαβὼν ἐκ τῆς χειρὸς τὴν κόρην Πολυξένην ἔστησεν ἐπάνω τοῦ μνήματος, ἐγγὺς δὲ ἐγώ. Fl. 33.

λαβών: κρατήσας. Fl. 59. Gu. παῖς: ἦγουν ὁ Πύρρος. Fl. 21. χερός: διά. ἀπὸ τῆς χειρός. B.

524. ἐπ' ἄκρου χώματος: ἐπὶ καθέδρας γενικῆς, ἐπὶ δὲ κινήσεως αἰτιατικῆς, ὅπερ οἱ Ἀττικοὶ τὸ ἐναντίον ποιοῦσιν. Gu. πέλας δ' ἐγώ: πλησίον ἦν καὶ ἐγώ. ἐπειδὴ κῆρυξ ἦν ὁ Ταλθύβιος, διὰ τοῦτο πλησίον ἵστατο τοῦ Νεοπτολέμου, ἵνα, ὅταν βουληθῇ ὁ Νεοπτόλεμος εἰπεῖν τι τοῖς Ἀχαιοῖς, δι' ἐκείνου λέγῃ κήρυκος ὄντος καὶ δυναμένου λέγειν εἰς ἐπήκοον πάντων· αὐτὸς γὰρ ἦν ὁ σιωπὴν παντὶ τῷ στρατῷ κηρύξας, ὡς καὶ αὐτὸς παρακατιὼν λέγει, ὑπὸ Νεοπτολέμου προσταχθείς. I. πλησίον δὲ ἐγὼ καὶ οἱ ἐπίλεκτοι καὶ πρόκριτοι τῶν Ἑλλήνων καὶ ἔκκριτοι νεανίαι. λείπει γὰρ ἐνταῦθα ὁ καὶ σύνδεσμος. A.

525. λεκτοί τ' Ἀχαιῶν: ἠκολούθουν δὲ καὶ ἐπίλεκτοι, ἀπὸ τῶν Ἑλλήνων ἐκλελεγμένοι νέοι, τὸ πῆδημα τῆς σῆς παιδὸς καθέξοντες καὶ κρατήσοντες διὰ τῶν χειρῶν. I. λεκτοί: ἐπίλεκτοι. Gr. ἐξειλεγμένοι. Gu. ἔκκριτοι: ἐκλελεγμένοι, εὐγενεῖς νέοι ἄνδρες. Fl. 59. πρόκριτοι, ἐπωνομασμένοι. B. μετὰ τοῦ Νεοπτολέμου ἐκλελεγμένοι ἄνδρες, μή πως ἰδοῦσα τὸ ξίφος ἡ Πολυξένη τεινόμενον κατ' αὐτῆς καὶ φοβηθεῖσα σκιρτήσῃ ἤγουν ἐκφύγῃ, ἐκεῖνοι δὲ, ἵνα κρατήσωσι ταύτην. Fl. 59. καὶ οἱ ἐκλελεγμένοι τῶν Ἀχαιῶν, καὶ ἔγκριτοι, καὶ χρήσιμοι νέοι. Fl. 33.

526. σκίρτημα: τὸ κίνημα. M. Fl. 6. 10. 21. 59. περιφραστικῶς τὸ κίνημα. Fl. 17. καὶ ὡς βοὴ μόσχου ἐγένετο. Fl. 33. σπάραγμα, κίνημα. Gu. μόσχου: τῆς νέας. B.M. Fl. 10.

1. ἀπῆλθεν] ἀνῆλθεν Hermann. ad Hec. p. 64. ed. pr.
ib. κόρην] κόρῃν Gu.
13. ὁ N. εἰπεῖν] εἰπεῖν ὁ N. I.
14. τι om. Gu.
ib. λέγῃ] εἴπῃ I.
31. τῆς νέας] τῆς om. Fl. 10.

καθέξοντες: μέλλοντες κρατήσειν διὰ τῶν χειρῶν. B. Fl. 6. 9. 21. 56. 59. 76.

527. ἔσποντο: παρεγένοντο, ἵνα τὸ κίνημα ταύτης κρατήσωσιν, εἴ πως δειλανδρήσει ἐν τῷ σφάττεσθαι. A. ἠκολούθησαν. τὸ θέμα ἔσπω ἄχρηστον. τὸ ἀκολουθῶ. ὁ β' ἀόριστος ἔσπον, (καθ' ὁμοίωσιν τοῦ ἔχω, ὁ β' ἀόριστος ἔσχον,) ὁ μέσος ἐσπόμην, τὸ γ' τῶν πληθυντικῶν ἕσποντο. I. εἵποντο. Fl 6. 9. 21. 56. 59. 76. εἵποντο, ἠκολούθουν. Gr. παρεγένοντο. Gu.

527.—529. πλῆρες: πρῶτον γὰρ οἶνον ἔρραινεν ἐν τῷ τάφῳ τοῦ Ἀχιλλέως, ὅπως ἀνέλθῃ ἡ ψυχὴ αὐτοῦ καὶ τότε ἀνελθούσης τῆς ἐκείνου ψυχῆς σφάξει τὴν Πολυξένην. A. ὁ δὲ τοῦ Ἀχιλλέως παῖς Νεοπτόλεμος, λαβὼν διὰ τῆς χειρὸς ποτήριον πάγχρυσον, ἔρρεε θυσίας τῷ θανόντι πατρὶ, θυσίας, οἶνον θηλυνότι, μέλι, γάλα καὶ ἄλευρον. I. πλῆρες: μέγαν. Fl. 21. πεπληρωμένον οἴνου θηλυνότι. Fl. 17. 59. καὶ οἱ πάντες ἕποντο, ἠκολούθουν. Fl. 33.

528. πάγχρυσον: ὁλόχρυσον. Fl. 39. ἔρρει: διὰ τοῦτο πρὸ τοῦ θῦσαι τὴν Πολυξένην ἔρρει χοὰς, ἵνα ἀναχθεῖσα ὑπὸ τῆς χοῆς ἡ ψυχὴ πίῃ τοῦ αἵματος. Gu. I. ἔρρεε διὰ τῆς χειρός. B. ἔρρει χοὰς, ὡς λέγω λόγον. Fl. 6. 9. 21. 56. 59. 76. Gu. προσφέρει τῷ πατρὶ τῷ Ἀχιλλεῖ χοάς. Fl. 21. χειρί: ἐκτείνει διὰ τῆς χειρός. Fl. 21.

529. χοάς: χοὴ λέγεται ἐπὶ ὑγρῶν, μέλιτος, ἐλαίου καὶ ἀλεύρου καὶ τῶν ἑτέρων, θυσία δὲ ἐπὶ σφαγῆς ζώων. σπονδὴ, χοὴ, θυσία διαφέρουσι· σπονδὴ ἐπὶ τῶν ξηρῶν, οἷον σίτου καὶ κριθῆς· χοὴ ἐπὶ ὑγρῶν, οἴνου, μέλιτος καὶ γάλακτος· θυσία δὲ ἐπὶ ζώων, προβάτων, βοῶν καὶ τῶν ὁμοίων. ἄλλοι δὲ σπονδὴν καὶ χοὴν ταὐτὸ λέγουσιν, ὃ καὶ κρεῖττον. Bar. 74. Gu. I. προσφέρει τῷ πατρὶ χοάς. M. σπουδάς. Fl. 10. ἤγουν θυσίας, χάριν τοῦ θανόντος πατρός. Fl. 6. 9. 21. 56. 59. 76.

1. μέλλοντες κρατήσειν] κρατήσοντες B.
9. ἔρραινον] ἔρανον A.
17. ἀναχθεῖσα] ἀχθεῖσα Gu.
22. χοὴ—ζώων] Hoc scholion est in Flor. 59. sed ita: ἐπὶ τῶν ὑγρῶν, οἴνου, μέλιτος, ἐλαίου, θυσ. etc. recte. MATTH.
26. βοῶν e Gu. addidi; ex eodem est ταὐτό pro ταὐτόν. Ceterum hoc scholion in I. ad v. 535. relatum est. MATTH.

529. σημαίνει δέ μοι: προστάσσει, παραδηλοῖ μοι κηρῦξαι σιωπὴν παντὶ τῷ στρατῷ τῶν Ἑλλήνων. ἐπιτάσσει πως διὰ σημείων καὶ σχημάτων, οἷον ἔθος ἐστὶ τοῖς βασιλεῦσι διὰ νευμάτων πάθη τινὰ δηλοῦν, κατὰ μίμησιν τοῦ τῷ νεύματι καὶ βουλήματι τὸ πᾶν διοικονομοῦντος. παρακατιὼν γάρ φησι· λογάσι δ' Ἀργείων στρατοῦ νεανίαις ἔνευσε παρθένον λαβεῖν. B. rec. I. σημαίνει: παραδηλοῖ ἀντὶ τοῦ παρεδήλωσεν. Fl. 6. 9. 21. 56. 76. εἶπε δέ μοι σιγὴν παντὶ τῷ στρατῷ ἐπισημῆναι. Fl. 33.

530. σιγήν: ποιῆσαι. Fl. 21. κηρῦξαι: καταστῆσαι. Fl. 59.

531. μέσοις: τοῖς ἀνθρώποις, Ἀχαιοῖς δηλονότι. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ ἐν μέσοις περισσόν· τὸ γὰρ παραστὰς τὴν ἔννοιαν δηλοῖ καθ' αὑτό. Gu.

532. σιγᾶτ': σιωπήσατε. I. σῖγα πᾶς ἔστω λαός: μιμεῖται τὸ πολλάκις κηρύσσειν τὰ αὐτὰ τοὺς κήρυκας. τὸ σίγα, εἰ μέν ἐστι προστακτικὸν, ὀξύνεται, εἰ δὲ ἐπίρρημα, περισπᾶται. I. σιγᾶτ': σιωπᾶτε. Fl. 17. τὸ μὲν σιγᾶτε πρὸς τὸ πλῆθος, τὸ δὲ σῖγα, σιώπα καθ' ἕνα. τοιαῦτα γὰρ εἰώθασι ποιεῖν οἱ κήρυκες, πρῶτον μὲν προσφωνοῦντες δημοσία, εἶτα καθ' ἕνα ἕκαστον, σιγῶντες. Fl. 59. σῖγα: ἐπίρρημα. Fl. 10. σῖγα: ἐν σιγῇ. Gr. καθολικῶς. Gu.

533. νήνεμον: ἀθόρυβον. M. Fl. 6. 56. 59. 76. ἥσυχον. M. νήνεμος ἐτυμολογεῖται ἀπὸ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ἀνέμου, ἡ ταραχή. Fl. 6. ἀντὶ τοῦ ἥσυχον. Gr. ἀθόρυβον, ἀπὸ μεταφορᾶς τῶν ἀνέμων. Gu. ἔστης: ἔταξα. Fl. 6. 56. 59. 76. ἐν ἡσυχίᾳ δὲ ἔστησα τὸν ὄχλον. Fl. 33. κατέστησα. Gr. ὄχλος ἡ ὄχλησις καὶ τὸ πλῆθος τοῦ λαοῦ. Gu.

534. ὁ δ': ὁ Νεοπτόλεμος. Fl. 16. 56. Πύρρος. Fl. 21. ὁ δὲ Νεοπτόλεμος εἶπεν· ὦ παῖ τοῦ Πηλέως καὶ πατὴρ ἐμός. Fl. 33. πατὴρ δ' ἐμός: ἀντὶ τοῦ ἐμοῦ, Ἀττικὸν, τὰς κτητικὰς ἀντωνυμίας

1. προστάσσει, παραδηλοῖ habent Flor. 17, 59. MATTH. In B. hoc scholion incipit ab ἐπιτάσσει—.

5. διοικονομοῦντος] Διὸς οἰκονομοῦντος Matth. In B. διὰ νευμάτων πολλάκις τοῖς ὑπηκόοις τινὰ πάθη δηλοῦν—τὸ πᾶν δῖ. ....τος ..... παρακατιὼν—λαβεῖν, literis pluribus post δῖ et τος obliteratis. Scribendum igitur potius διοικουομοῦντος Διός.

13. μιμεῖται—] In M. σίγα. κοινή ἐστι κατὰ τὸ μέτρον. μεμίμηται τὸ πολλάκις κηρύττειν τὰ αὐτὰ τοὺς κήρυκας:—et in A. σιώπα. μέμηται τὸ π. κηρύσσειν etc.

28. ἐμοῦ] Legitur ἐμέ, ut in schol. Flor. Mox μὴ in διὰ τὸ μὴ τὰς αὐτὰς εἶναι delendum videtur. MATTH.

οὐ δέον ἔχειν κλητικὰς, διὰ τὸ μὴ τὰς αὐτὰς εἶναι ταῖς τῶν πρωτοτύπων αἰτιατικαῖς. λαμβάνονται γοῦν αἱ εὐθεῖαι Ἀττικῶς ἀντὶ τῶν κλητικῶν. αἱ δὲ κτητικαὶ πᾶσαι, εἴτε εὐθείας εἶεν, εἴτε γενικῆς, εἴτε ἡστινοσοῦν ἄλλης πτώσεως, ἤτοι ἑνικῆς, ἢ δυϊκῆς, εἰ μὲν πρώτου προσώπου εἶεν, ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ πρώτου προσώπου λαμβάνονται· εἰ δὲ δευτέρου, ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ β΄ προσώπου· εἰ δὲ τρίτου, ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ τρίτου προσώπου. I. ἐμός: ἀντὶ τοῦ ἐμὲ, Ἀττικόν. Fl. 6. 9. 21. 56. 59. 76. Ἀττικισμός. B. αἱ ἀντωνυμίαι οὐκ ἔχουσι κλητικάς. Fl. 59.

535. δέξαι χοάς: λάβε μου ταύτας τὰς θυσίας τὰς θελκτηρίους, τὰς ᾠδυντηρίους. I. τὰς πραϋνούσας τὰς ψυχὰς τῶν νεκρῶν, ἢ τὰς κηλούσας τοὺς καταχθονίους δαίμονας. A.M.I. χοάς: σπονδάς. Fl. 59. κηλητηρίους: τοὺς σοὶ ἐνηδόνους, τοὺς σοὶ θυμήρεις. Fl. 59. ἀπατητικάς. M. Fl. 21. εὐφραντικούς. Fl. 59. κατακηλούσας τὰς ψυχὰς τῶν νεκρῶν, ἢ τοὺς καταχθονίους δαίμονας. Fl. 10. 21. θελκτικὰς, τὰς σοὶ ἐνηδόνους καὶ ἀποδεκτὰς ἀξίας. Gu.

536. νεκρῶν ἀγωγούς: ἀναφερούσας τὰς ψυχάς. ἄγω ῥῆμα τὸ κομίζω καὶ φέρω· ἀγωγὸς ὁ φέρων καὶ ὁ κομίζων, καὶ ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ· ἀγώγιμον, τὸ φερόμενον καὶ κομιζόμενον· ἀγωγὴ δὲ ἡ τοῦ κομίζειν ἐνέργεια. I. τῶν τεθνεώτων τοὺς προπομπούς. ἐλθὲ, ὅπως λάβῃς αἷμα μελιχρὸν τῆς καθαρᾶς κόρης, ὅπερ σοι προσφέρομεν, κἀγὼ καὶ ὁ στρατός. Fl. 33.

537.—542. ἐλθὲ δ᾽: ἐλθὲ δὲ, ἵνα πίῃς τὸ καθαρὸν αἷμα τῆς παρθένου, ὅπερ σοι χαριζόμεθα καὶ ὁ στρατὸς καὶ ἐγὼ, καὶ λῦσαι τὰς ναῦς καὶ τὰ σίδηρα καὶ τὰ σχοινία τῶν νεῶν, δὸς δὲ ἡμῖν εὐμενοῦς ἀπὸ τῆς Τροίας ὑποστροφῆς ἀγαθῆς ἐπιτυχόντας ἡμᾶς εἰς τὴν πατρίδα ἀπελθεῖν. I.

537. κόρης ἀκραιφνές: καθαρὸν, ἄχραντον, τουτέστι τὸ τῆς παρθένου. A.M. ἀκραιφνὲς τὸ καθαρόν. ὑψηλόν ..... καὶ τὸ ἀκραιφνοῦς

5. πρώτου Matth. πρωτοτύπου I.
11. τὰς θελκτηρίους — δαίμονας] Verba τὰς θ. τὰς πραϋνούσας—δαίμονας pro gl. habet Gu., καλούσας pro κηλούσας scripto.
13. κηλούσας] κατακηλούσας A.
27. τὰ σίδηρα] τὰ πριμνήσια King. τὰς ἀγκύρας Matth. utrumque ex scholio v. 539. ubi σίδηρα est in B.
30. καθαρὸν] τὸ καθαρὸν καὶ A.

ἀκηρεφανοῦς, οἱονεὶ ἀβλαβοῦς· κὴρ γὰρ ὁ θάνατος. B. rec. παρθένου παρθενικόν, καθαρόν, ἄχραντον. Fl. 17. 56. 59. 76. καθαρόν. Gr. ἀμόλυντον, ὡς παρθενικόν. Gu. δωρούμεθα: παρέχομεν. Fl. 59.

538. πρευμενής: γαληνὸς, ἥσυχος, ἵλεως. Fl. 17. πρᾶος καὶ εὐμενής. Fl. 6. 9. 21. 56. 59. 76. Gr. συμπαθὴς, ἵλεως. Gu. σὺ δὲ γενοῦ ἡμῖν πρᾶος, ἵλαος. Fl. 33. πρᾶος, εὐμενής. ἐκ γὰρ τῶν δύο σύγκειται ἡ λέξις. B.M. Flor. 59. ἀντὶ τοῦ ἀλύπου, ἀπὸ τοῦ πράου καὶ εὐμενοῦς. M. τὸ πρευμενὴς ἐκ δύο ταυτοσημάντων γίνεται λέξεων, τοῦ πρᾶος καὶ εὐμενής. γίνεται οὖν πραευμενὴς, εἶτα κατὰ κρᾶσιν πρευμενής. ἢ πρευμενὴς καὶ πρᾶος καὶ εὐμενὴς γενοῦ ἡμῖν, ὥστε λῦσαι τὰς πρύμνας καὶ τὰ χαλινωτήρια τῶν νεῶν, ἤγουν λυθῆναι, ἢ γενοῦ δὲ ἡμῖν πρευμενὴς καὶ ἔπειτα λῦσαι καὶ λυθῆναι ποίησον τὰς πρύμνας καὶ τὰ χαλινωτήρια τῶν νεῶν. στικτέον εἰς τὸ "πρευμενὴς δ' ἡμῖν γενοῦ," εἶτα δὸς ἡμῖν λῦσαί τε τὰς πρύμνας καὶ τὰ χαλινωτήρια τῶν νεῶν. Fl. 59.

539. πρύμνας: σίδηρα. B. πρύμνας καὶ χαλινωτήρια: περίφρασις. El. 17. περιφραστικῶς τὰ πλοῖα. Gu. τὰ ἀπόγεια σχοινία. Fl. 10. χαλινωτήρια: τὰ σχοινία. B. τὰ πρυμνήσια. Gr. τὰς ἀγκύρας, τὰ ἀπόγεια σχοινία. Gu. καὶ ἡνίκα τὰ τῶν νεῶν δέματα λῦσαι θελήσομεν καὶ πορεύεσθαι βουληθῶμεν καὶ ἐπανελθεῖν εἰς τὰς πατρίδας, ἐπίδος ἡμῖν πραέως ἀπ' Ἰλίου ἐπαναζεῦξαι. Fl. 33.

540. πρευμενοῦς τ' ἀπ' Ἰλίου νόστου τυχόντας: ἀπελθεῖν ἀπὸ τῆς Τροίας εἰς τὴν πατρικὴν γῆν τυχόντας πρευμενοῦς, ἤτοι ἀλύπου, νόστου. ἀπὸ τοῦ πράου καὶ εὐμενοῦς. A.

541. νόστου: στροφῆς. Fl. 17. ἐπιστροφῆς. Fl. 21. ὑποστροφῆς. Fl. 56. καταστροφῆς. Fl. 6. τυχόντας, ἀντὶ τοῦ τυχεῖν. Fl. 21. καινόσχημον πρὸς τὸ ἀπαρέμφατον. τυχεῖσι γὰρ ἔμελλεν εἰπεῖν πρὸς τὸ ἡμῖν. Gu. "δὸς ἡμῖν" εἰπὼν ὤφειλε "τυχοῦσιν" εἰπεῖν· ὁ δὲ ὥσπερ ἐκ μεταμελείας ἀποδίδωσι τὴν λόγον κατ' αἰτιατικὴν πρὸς τὸ ἀπαρέμφατον. Gr. I. μολεῖν, ἀπελθεῖν δὸς ἡμῖν, ἀπὸ κοινοῦ τὸ δός. Fl. 21. 59.

4. ἵλεως Matth. pro ὁ λεώς.
6. πρᾶος, εὐμενής om. Fl. 59. Conf. schol. v. 540.
ib. γὰρ om. Fl. 59.
17. ἀπόγεια] ὑπόγεια Gu.
28. δὸς ἡμῖν—ἀπαρέμφατον] Haec in I. scholio ad v. 536. post ἀπελθεῖν sunt adjuncta per δέ particulam, δὸς δὲ ἡμῖν—.
29. εἰπεῖν] ἐπάξειν I.

542. τοσαῦτ' ἔλεξε: τοσαῦτα εἶπεν, ὅλος δὲ ὁ στρατὸς εὐχὴν ἐποιήσατο, ἤτοι ἐπ' ἐκείνων ηὔξατο, ἤγουν μετὰ τὸ πληρῶσαι ἐκεῖνον τὴν εὐχὴν ἣν ηὔξατο. Gr. I.

ἐπηύξατο: ἐπὶ τῇ Νεοπτολέμου εὐχῇ. Gu.

543. ἀμφίχρυσον: τὸ ἀμφοτέρωθεν κεχρυσωμένον ξίφος διὰ τῆς λαβῆς λαβὼν, εἶτα λαβὼν ἀπὸ τῆς κώπης τὸ ἀμφίχρυσον ξίφος ἐξεῖλκεν ἀπὸ τῆς ξιφοθήκης. ἀμφίχρυσον δὲ νοητέον τὸ ξίφος οὐ κατὰ τὰ κοπτικὰ μέρη, ἀλλὰ κατὰ τὴν κώπην μόνην, ἤγουν τὸ κρότημα, ἵν' ᾖ τὸ ἀμφίχρυσον ἀντὶ τοῦ περίχρυσον. A. εἶτ' ἀμφίχρυσον: ἔπειτα περικεχρυσωμένον ξίφος λαβὼν ἀπὸ τῆς λαβῆς ἐξεῖλκε τῆς θήκης. I. τὸ κεχρυσωμένον διὰ τῆς λαβῆς λαβών. B.M. εἶτα περίχρυσον σπάθην λαβὼν παρὰ τοῦ πιέσματος ἔσυρεν ἐκ τῆς ξιφοθήκης καὶ τοῖς ἐγκρίτοις ἔνευσεν. Fl. 33. φάσγανον: τὸ ξίφος τὸ ἐν σφαγαῖς γαννυσκόμενον. ἢ παρὰ τὸ φάος καὶ τὸ γάνος τὸ στίλβον οἷόν τι σκεῦος γεγανωμένον. κυλεὸς δὲ ἡ ξιφοθήκη ἀπὸ τοῦ ἐν αὐτῇ τὰ ὅλοα, ἤγουν τὰ ὀλέθρια, ξίφη κεῖσθαι. B.I.

544. ἐξεῖλκε: ἀνέσπα. Fl. 59. ἐξέβαλε. ἐκ τοῦ Ὁμήρου τοῦτο ἔχει. Gu. λογάσι δ' Ἀργείων: τοῖς ἐπιλέκτοις. B.M. Gr. ἐκκρίτοις. Gu. καὶ τοῖς ἐπιλέκτοις νεανίαις τοῦ στρατοῦ τῶν Ἑλλήνων ἔνευσε τὴν κόρην κρατῆσαι. I.

545. ἔνευσε: ὥρισε. Fl. 56. ὑπεσήμανε. Gu. λαβεῖν: ἤγουν κατασχεῖν. Fl. 10. 17. ὥστε κρατῆσαι. Gu.

546.—551. ἡ δ' ὡς ἐφράσθη: αὕτη δὲ ἐπεὶ ἐφράσατο καὶ ἐνόησε, τοῦτον τὸν λόγον ἐδήλωσεν· ὦ Ἕλληνες οἱ πορθήσαντες τὴν ἐμὴν πόλιν, ἐθελουσίως θέλω τεθνήξεσθαι. ὅρα ἵνα μή τις ἅψηται καὶ προσεγγίσῃ τοῦ ἐμοῦ σώματος· παρέξομαι γὰρ τὸν λαιμὸν εὐκαρδίως τε καὶ εὐψύχως. ἀπολελυμένην δέ με πρὸς θεῶν ἀφέντες κτείνατε, ἵνα ἐλευθέρα θάνω, καὶ μὴ δούλη δηλονότι. I. ἡ δὲ Πολυ-

2. ἐπ' ἐκείνων—ηὔξατο] Gr. incipit ab ἐπ' ἐκείνῳ (sic) et τελέσαι habet pro πληρῶσαι, omittit autem ἣν ηὔξατο.

11. λαβῆς] χειρὸς B.

13. τὸ ξίφος—γεγανωμένον] τὸ ἐν σφαγαῖς γαννύμενον (conf. Eustath. p. 675, 58.), ἢ τὸ γεγανωμένον ἤγουν στίλβον σκεῦος I.

15. ἀπὸ—κεῖσθαι] ἀπὸ τοῦ κεῖσθαι ἐν αὐτῇ τὸ ὅλον καὶ ὀλέθριον Fl. 59.

16. ὅλοα] οὖλοα I.

28. ἡ δὲ Πολυξένη—ἐφάπτηται] Simile scholion, sed in fine defectum est in A. αὕτη δὲ ἡ Πολυξένη ὡς ἐν... ὡς ἤκουσεν, ὡς ἐνόησεν ὅτι μέλλουσι ταύτης δέξασθαί τινες, εἶπε τοῦτον τὸν λόγον, ἑκοῦσα θνήσκω, μή τις ἅψηται .....

ξένη ὡς ἐνόησεν τὸν θάνατον, τοῦτον εἶπε τὸν λόγον, ὦ Ἕλληνες, οἱ τὴν ἐμὴν πόλιν πορθήσαντες, ἑκουσίως θνήσκω· καὶ μή τις ἐξ ἐμῶν τοῦ ἐμοῦ σώματος ἐφάπτηται. Fl. 33. ἐπεὶ ἐφράσατο. ἤγουν ἐνόησε. Gr. ἐνόησε. M.

ἐσήμηνεν: ἔλεγεν. Fl. 21. ἀντὶ τοῦ εἶπεν. M. Fl. 10 ἐδή-5 λου. Gr.

547. ὦ τὴν ἐμήν: ἐνταῦθα φαίνεται τὸ ἀνδρεῖον τῆς Πολυξένης. Gu. πέρσαντες: πορθήσαντες. B. Gr. Ἀργεῖοι: Ἕλληνες. B.

548. ἑκοῦσα: εὐτόλμως. Fl. 6. 9. 10. 21. 56. 59. 76. ἑκουτί. τὸ ὄνομα ἀντὶ ἐπιρρήματος. Gu. μή τις: ὁρᾶτε ἵνα μὴ εἷς. Fl. 6. 10 9. 21. 56. 59. 76. Gr. χροός: χρώματος. Fl. 17. σώματος. Gu.

549. παρέξω: δώσω τὴν δειρήν, ἤγουν τὸν λαιμόν, τολμηρῶς, εὐτόλμως. δώσω, καὶ παρέχω καὶ παρέχομαι ἐπὶ τοῦ αὐτοῦ λέγεται. Fl. 6. 9. 21. 56. 59. 76. Gr. δώσω τράχηλον εὐτόλμως. B. Fl. 17. καθὼς δέ εἰμι βασιλὶς, τοσαυτικῶς θανῶ καὶ ὁλοεγκαρ-15 δίως παραδίδω τὸν ἐμὸν αὐχένα. Fl. 33. εὐκαρδίως: τολμηρῶς, εὐτόλμως. Gr. θαρσαλέως. Gu.

550. ἐλευθέραν: ἤτοι ἄδετον, ἀδέσμευτον, καταλείψαντες κτείνατε, ἵνα ὡς ἐλευθέρα ἀπιθάνω. δουλείαν γὰρ ἡγεῖτο καὶ τὸ δεδεσμένη θανεῖν. ἡ δὲ σύνταξις οὕτως, πρὸς θεῶν ὁρκωμοτικῶν μεθέντες με, 20 ἀντὶ τοῦ καταλείψαντες ἐλευθέραν, ἤγουν λυτὴν, κτείνατέ με, ὡς ἐλευθέρα θάνω. ἐν νεκροῖς γὰρ αἰσχύνομαι δούλη καλεῖσθαι ὡς δεσμηθεῖσα. A. ἐλεύθερος ὁ ἀπολελυμένος καὶ μὴ ὑπό τινος κατεχόμενος καὶ ὁ μὴ ὑπὸ δουλείαν· ἀνελεύθερος δὲ ἐπὶ φειδωλίας, ᾧ ἐναντίον ὁ ἐλευθέριος. Gr. I. ἡ δὲ σύνταξις οὕτω· πρὸς θεῶν, μεθέντες 25 καὶ ἀφέντες ἐμὲ ἐλευθέραν καὶ ἄδετον, κτείνατε, ὅπως θάνω ὡς ἐλευθέρα καὶ οὐ δούλη. οὕτω τὸ μὲν ἐλευθέραν ἀντὶ τοῦ ἄδετον ἐκληπτέον,

15. τοσαυτικῶς] Notandum vocabulum inauditum.

ib. ὁλοεγκαρδίως] Videtur ὁλοκαρδίως scripsisse. ὁλοκάρδιος dixit Epiphanius in Physiologo.

16. αὐχένα] αἰχήν Fl. 33.

20. θεῶν] θεὸν A.

23. ἐλεύθερος] ἐλεύθερος γὰρ Gr. (in scholio marginali) recte si haec cum scholio interlineari conjungantur quod v. p. 356, 4—6. ἀπολελυμένος—ὑπηκόου.

24. Sic Gr. Vulgo φειδωλείας. Idem scholion usque ad ἐλευθέριος est in Flor. 6. 9. 21. 56. 59. 76. MATTH.

25. ἡ δὲ σύνταξις οὕτω om. Gu.

26. ὡς om. Gu.

27. τὸ μὲν] τὸ om. I.

τὸ δὲ ἐλευθέρα ἀντὶ τοῦ οὐ δούλη, ὡς δηλοῖ καὶ τὸ τῆς κατασκευῆς· εἰ γὰρ ἁψαμένων τινῶν ταύτης ἀπέθνησκε, δουλικῶς ἂν καὶ οὐκ ἐλευθέρως τεθνάναι ἔδοξεν. Gu. I. τὸ ἐξῆς, ἐλευθέραν δέ με θέντες κτείνατε, ἵνα ἐλευθέρα θάνω. B.M. ἀπολελυμένην δέ με πρὸς θεῶν μεθέντες, ἤγουν ἀφέντες, ἐάσαντες κτείνετε, ἵνα ἐλευθέρως θάνω καὶ μὴ δούλη δηλονότι. Gr. ἀδέσμευτον. Fl. 10. ἄνετον. Gu. ὡς: τὸ ὡς ἀντὶ τοῦ ἵνα. B.

551. πρὸς θεῶν: ὁρκωμοτικόν. Gu. διὰ τοὺς θεούς. Fl. 17. ἀντὶ τοῦ ἕνεκεν τῶν θεῶν. Fl. 21. μεθέντες: καταλείψαντες. Fl. 59. ἀφέντες, ἐάσαντες. Gr. ἀφέντες, καταλείψαντες. Gu.

ἐν νεκροῖσι: ἐν τοῖς νεκροῖς γὰρ καλεῖσθαι δεδουλωμένη, δέσποινα οὖσα, ἐντρέπομαι. κτείνατέ με γὰρ παρὰ τοῖς νεκροῖς μετὰ τῶν θεῶν ἐάσαντες κατοικεῖσθαι. Fl. 33. ἐν: παρὰ τῶν. Fl. 17.

552. δούλη: δουλείαν γὰρ ἡγεῖτο καὶ τὸ δεδεσμημένη θανεῖν. Gu. κεκλῆσθαι: ὀνομασθῆναι. Fl. 56. οὖσα: ὑπάρχουσα. Fl. 59. βασιλὶς γὰρ ὑπάρχουσα αἰσχύνομαι τοῦ εἶναί με δούλην. Fl. 33.

553. λαοὶ δ' ἐπερρόθησαν: ἐβόησαν. ἐκ μεταφορᾶς τῶν κυμάτων. B.M. ὁ δὲ λαὸς ἤχησεν,—ἀπὸ μεταφορᾶς τοῦ ἤχου τῶν ῥοθίων·—ὁ δὲ βασιλεὺς Ἀγαμέμνων ἔλεξε τοῖς νέοις ἀφεῖναι τὴν παρθένον. I. ἐβόησαν, ἐπλήγησαν, ἐλυπήθησαν, ἢ ταραχὴν ἐποίησαν, ἐκ μεταφορᾶς τῶν ῥοθίων, ἤγουν τῶν ῥεομένων. A. εἰκότως τὸ ἐπερρόθησαν καὶ ἁρμοδίως εἴρηται ἐπὶ πλήθους, ἤγουν ἀσήμως ἤχησαν· ἐκ μεταφορᾶς δὲ τῶν κυμάτων ἡ λέξις· τὸ γὰρ πλῆθος ὁμοῦ βοῆσαν ἄγνωστον τοῖς ἀκούουσιν ὅ τι καὶ λέγει. Gu. I. ἐπεβόησαν, διὰ τὸ ἄσημον. ἤχησαν, ἀπὸ μεταφορᾶς τοῦ ἤχου τῶν ῥοθίων, ἤγουν τῶν κυμάτων. καὶ ἐπὶ μὲν τοῦ πλήθους οἰκείως τῇ λέξει ἐχρήσατο, ἐπὶ δὲ τοῦ Ἀγαμέμνονος τῷ εἶπεν. Bar. 74. Gu. ἀπὸ μεταφορᾶς τῶν κυμάτων· οὐ γὰρ ἐξακούεται καθαρῶς ἡ τοῦ ὄχλου φωνή, ἀλλὰ τοιόνδε λόγον ἀποτελεῖ ἡ ῥόθα. Fl. 59.

12. κτείνατε] κτεινόντα Fl.

16. τοῦ] Notandum αἰσχύνομαι cum genitivo constructum, nisi τὸ scripsit.

23. τὸ ἐπερρόθησαν om. I.

23. καὶ ἁρμοδίως εἴρηται om. Gu.

25. διὰ τὸ ἄσημον—εἰπεῖν] Verba διὰ τὸ ἄσημον et καὶ ἐπὶ—τῷ εἶπεν addita ex Gu., in quo postrema καὶ ἐπὶ—εἶπεν scholio superiori sunt adjecta. Verba ἤχησαν—κυμάτων habet Gr.

28. τῷ] τὸ Bar.

554. *μεθεῖναι*: *ἀφεῖναι, ἐᾶσαι, ἐᾶν ἀκατάσχετον.* Fl. 10. 17. 59. 76. *ἀφεῖναι.* Gr. *ἐᾶσαι, καταλεῖψαι.* Gu.

555 *οἱ δ' ὡς τάχιστ'*: *οὗτοι δ' ἐπεὶ ταχέως ἤκουσαν τὴν ἐσχάτην φωνὴν τοῦ βασιλέως· — τέλος γὰρ πάσης ὑπερεχῆς ὁ βασιλεύς· καὶ Πίνδαρος "τὸ δ' ἔσχατον κορυφοῦται βασιλεῦσι."* ἄφειλε δὲ εἰπεῖν οὕτως, *οἱ δ' ἐπεὶ ἤκουσαν τὴν ὑστέραν φωνὴν, ἤγουν τὴν βασιλικὴν, μεθ' ἣν οὐδενὶ ἄλλῳ λέγειν ἔξεστιν, οὗτινος βασιλέως μέγιστον ἦν κράτος, μεθῆκαν. ὁ δὲ ἀντιστρόφως, ἐπεὶ τάχιστα, φησὶν, ἤκουσαν, μεθῆκαν. ἔστι δὲ ὁ σχηματισμὸς οὗτος οὐ ποιητικὸς, ἀλλ' Ἀττικὸς, καὶ συνήθης τοῖς ῥήτορσιν.* Ἄλλως. *βουλόμενος οὕτως εἰπεῖν, οἱ δ' ὡς τάχιστ' ἤκουσαν ὕστερον τὴν ὅπα τοῦ Ἀγαμέμνονος, ὑστέραν ἐπήγαγε πρὸς τὸ ὅπα, ἀντὶ τοῦ ἐπιῤῥήματος ὄνομα θείς. σύναπτε δὲ τὸ τάχιστα πρὸς τὸ μεθῆκαν.* Gu. I. *οἱ δ' ὡς τάχιστ' ἤκουσαν*: *οὕτως ὤφειλεν εἰπεῖν· οἱ δὲ ἐπεὶ ἤκουσαν ὑστάτην ὅπα, οὗπερ καὶ μέγιστον ἦν κράτος, τάχιστα μεθῆκαν· ὁ δὲ ἀντιστρόφως, ἐπεὶ τάχιστ' ἤκουσαν, μεθῆκαν. ἔστι δὲ ὁ σχηματισμὸς μᾶλλον ῥήτορσι συνήθης ἢ ποιηταῖς.* I. *ὑστάτην ὅπα*: *τὴν*

1. *ἐᾶν ἀκ.* etiam M.

3. *οὗτοι—βασιλεῦσι*] In Fl. 59. *ὑστέραν ὅπα, οὗπερ καὶ μέγ. ἦν κρ. αὐτοῦ τοῦ Ἀγαμέμνονος. ὑστέραν ὅπα τὴν τοῦ βασιλέως φωνήν· τέλος γὰρ— βασιλεῦσι.* Quae sequuntur, sunt etiam in Gr. sic, *ἤκουσαν*: *οὕτως ὤφειλεν· οἱ δὲ ἐπ. ἤκ. ὑστάτην ὅ. οὗπ. καὶ μέγ. ἦν κρ. τάχιστα μεθῆκαν.* Seqq. *ὁ δὲ ἀντιστρ.—μεθῆκαν* sunt in Gu. inter lineas adscr. Tum Gr. *ἔστι δὲ* etc. MATTH. In B. fol. 17 a. scholion est litera *ε* ad textum relatum, (*συναπτέον τὸν λόγον οὕτως* praemittit M.) *ὑστέραν ὅπα οὗπερ καὶ μέγιστον ἦν κράτος: τουτέστι (ἀντὶ* M.) *τοῦ ἀγαμέμνονος. ὑστέραν οὖν* (*οὖν* om. M.) *ὅπα τὴν τοῦ βασιλέως φωνήν. τέλος γὰρ πάσης ὑπερεχῆς βασιλεύς. πίνδαρος τὸ δ' ἔσχατον κορυφοῦται βασιλεύς*: (sic etiam M.)—Tum fol. 17 b. idem scholion litera *α* ad textum relatum, *οὗπερ καὶ μέγιστον ἦν κράτος: ἀντὶ τοῦ ἀγαμέμνονος ὑστέραν ὅπα τὴν τοῦ—βασιλεύς*, sed adscripto ab manu eadem, *ἐγράφη ὄπισθεν.* In Gu. nihil est nisi *ὑστάτην ὅπα, βασιλικὴν, μεθ' ἣν οὐδενὶ ἄλλῳ λέγειν ἔξεστιν, ἢ ὑστέραν. βουλόμενος γὰρ οὕτως* etc.

5. Πίνδαρος] Ol. 1, 182. *τὸ δ'* ex B. scripsi pro *τόδ'*.

7. *ἄλλῳ* om. I.

11. *ὕστερον*] *ὕστατον* Gu.

13. *οἱ δ' ὡς τάχιστ' ἤκουσαν*] In I., sine lemmate, *ἄλλως.*

14. *οὕτως—ἢ ποιηταῖς*] Ultimum hoc scholion est etiam in Flor. 59. nisi quod post *ὤφειλεν* omittit cum Gr. *εἰπεῖν*, tum verba *ὁ δὲ ἀντιστρ.—μεθῆκαν*, quae etiam Gr. habet, ab alia manu colore viridi supra versum appicta sunt. Pro *ἔστι δὲ ὁ σχ.* in Flor. et Gr. est, quod supra legimus: *ἔ. δὲ ὁ σχ. οὗτος οὐ π. ἀλλ' Ἀττ. καὶ σ. τοῖς ῥ.* MATTH.

17. *τὴν τελευταίαν φωνὴν*] In A. haec sic conformata, *τὴν ὑστάτην ὅπα, ἤτοι τὴν τελευταίαν φωνὴν, μεθ' ἣν οὐδεὶς δύναται ἀντειπεῖν. εἰπόντος γὰρ*

τελευταίαν φωνὴν, μεθ' ἣν ἄλλος οὐδεὶς ἔλεγεν. B.M. Fl. 17. 59. γρ. καὶ ὑστέραν. B. ἤτοι τὴν βασιλικὴν φωνήν. B.

556. μεθῆκαν: τοῦ ὑστέρου λόγου. M. ἤγουν ἀφῆκαν. Fl. 17. ἔασαν. Fl. 76. οὗπερ: βασιλέως. Fl. 10. κράτος: ἐξουσία. Fl. 17.

557.—562. κἀπεὶ τόδ' εἰσήκουσε: ἐπεὶ δὲ, ἀφ' οὗ δὲ ἤκουσε τοῦτο τὸ λόγιον τῶν θεσπετῶν, λαβοῦσα τὰ ἱμάτια ἔσχισεν ἀπὸ τῆς ἄκρας ἐπωμίδος μέχρι τοῦ μέσου τῆς λαγόνος, καὶ ἔδειξε τὰ στήθη καθάπερ ἀγάλματα κάλλιστα, καὶ καταβαλοῦσα πρὸς γῆν τὸ γόνυ, εἶπε λόγον ἀθλιώτατον, πάντων τῶν λόγων δηλονότι. I.

εἰσήκουσε: ἡ κόρη. Fl. 21. εἰσηκούσθη. τὸ ἐνεργητικὸν ἀντὶ παθητικοῦ. B.

558. λαβοῦσα: λαβοῦσα τὰ τηλατία ἐκ τῆς ἄκρας τοῦ, ὠμοφορίου οὗπερ ἐφόρει ὡς βασιλὶς, ἔσχισεν. Fl. 33. ἄκρας: ἀπὸ τοῦ ἄκρου τῆς ἐπωμίδος. Fl. 6. 9. 21. 56. 59. 76. τῆς περιτραχηλίου. Fl. 10. 17. ἐπωμίδος: ἐπωμὶς τὸ ὑπερέχον τοῦ βραχίονος, καὶ εἶδος ἐνδύματος. ἐνταῦθα δὲ τὸ πρότερον δοκεῖ λέγειν. Gr. I.

559. ἔρρηξε λαγόνος: ἀντὶ τοῦ διέσχισε τὰ ἱμάτια κατὰ τὸ πλησιάζον μέρος ταῖς λαγόσι καὶ τῷ ὀφθαλμῷ. Λ. λαγόνος: ἤγουν τῶν λαγόνων. Fl. 6. 9. 21. 56. 59. 76. μέχρι μέσης τῆς λαγόνος. Fl. 17. εἰς μέσον: τὸ εἰς ἀντὶ τοῦ ἕως, ὡς καὶ παρὰ Δημοσθένει "τούτῳ φιλανθρώπως ἐχρώμην εἰς τήνδε τὴν ἡμέραν" ἀντὶ τοῦ, μέχρι τῆσδε τῆς ἡμέρας. λάμβανε δὲ τοῦτο τὸ εἰς καὶ πρὸς τὸ λαγόνας κατὰ συνεκδοχήν. Gu. I. παρ' ὀμφαλόν: τὸ ἑξῆς εἰς λαγόνας. Fl. 21. μέχρι τῶν λαγόνων μέσων· εἶτ' ἐπάγει παρ' ὀμφαλὸν, δεικνὺς ὅτι τὸ μέσον τῶν λαγόνων ὀμφαλός ἐστιν. Gu.

560. μαστούς: καὶ ἔδειξεν τοὺς μαστοὺς καὶ τὰ στέρνα τὰ

βασιλέως ἄλλος οὐκ ἀντιλέγει. οὗπερ: συναπτέον τὸν λόγον οὕτως, ὑστέραν ὅπα, οὗπερ καὶ μέγιστον ἦν κράτος, τοῦ ἀγαμέμνονος δηλονότι. ὅπα γὰρ τὴν τοῦ βασιλέως φωνὴν ἐκάλεσε. τέλος γὰρ πάσης ὑπεροχῆς ὁ βασιλεύς. πίνδαρος λέγει, τόδ'—βασιλεύς.

1. ἄλλος οὐδεὶς] οὐδεὶς ἄλλος Fl. 17. 59. ἄλλος om. Fl. 10.

13. τηλατία] Sic.

21. τὸ εἰς] εἰς ὥσπερ Gu.

ib. ὡς om. I.

ib. Δημοσθένει] P. 411, 10. ubi legitur τούτῳ πάνυ φιλ. ἐκεχρήμην ἐγὼ, καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν εἰς τὴν ἡμέραν ταύτην οὐδέν.

24. συνεκδοχήν] ἀντιστροφήν Gu.

κάλλιστα καὶ λαμπρά. Fl. 33. *ὡς ἀγάλματος*: *ἀναθήματα.* Fl. 17. *καθὰ ὡς ἀνδριάντος τινός.* Fl. 59. *θείας μορφῆς.* Fl. 21.

561. *καθεῖσα*: *κλίνασα.* Fl. 6. 9. 10. 21. 56. 59. 76. Gr. *κατακλίνασα.* B. Gu.

562. *ἔλεξε*: *καὶ εἶπεν ἔμπροσθεν πάντων οἰκτρότατον λόγον καὶ* 5 *θρηνητικόν.* Fl. 33. *τλημονέστατον*: *δυστυχέστατον.* B. *καρτερικώτατον, ὑπομονητικώτατον.* M. Fl. 10. 17. 21. 59. *ἀθλιώτατον.* Gr. *οἰκτρότατον.* Gu.

563.—565. *ἰδοὺ τόδε*: *ἰδού, ὦ νεανία, εἰ μὲν τόδε τὸ στέρνον παίειν προθυμῇ, παῖσον, εἰ δ' ὑπ' αὐχένα θέλεις, πάρεστι λαιμὸς* 10 *εὐτρεπὴς ὅδε.* Gr. I.

ἰδού: *τόδε τὸ σῶμα δηλονότι.* M. Fl. 10. 21. *τὸ σῶμα ἢ τὸ στέρνον.* Gu.

564. *παίειν*: *τύπτειν διὰ τοῦ ξίφους.* Fl. 17. *κεντεῖν.* Gu. *προθυμῇ. θέλεις.* Gu. *παῖσον*: *ἤγουν τύψον.* Fl. 17. Gu. *ὑπ'* 15 *αὐχένα*: *ἤγουν ὑπὸ τὸν τράχηλον, βούλει δηλονότι.* Fl. 17. *βαλεῖν τὸ ξίφος.* Fl. 59. *ἀρτηρίας.* Fl. 10.

565. *χρῄζεις*: *θέλεις παίειν δηλονότι.* Fl. 6. 9. 21. 59. 76. Gr. *πάρεστι*: *παίειν δηλονότι.* Gu. *εὐπρεπής*: *ἕτοιμος.* Gu. *παρεσκευασμένος.* Fl. 19. 59. Gu. *ἐὰν δὲ τὸν αὐχένα χρῄζεις, παῖσον* 20 *καὶ τύψον· παρεστήκει σοι γὰρ ὁ εὔμορφος τράχηλος.* Fl. 33.

566. *ὁ δ' οὐ θέλων καὶ μὴ θέλων*: *οὐ θέλων μὲν ὡς οἰκτιζόμενος τὴν Πολυξένην, θέλων δὲ ὡς τιμῶν τὸν πατέρα καὶ ὡς πρὸς τὴν πατρίδα θέλων ἐλθεῖν. Ἄλλως. ὁ δὲ οὐ θέλων ἐν τῷ οἴκτῳ τῆς* 25 *Πολυξένης καὶ θέλων τὸ μὴ παρακοῦσαι τὸν πατέρα αὐτοῦ.* A. *τὸ ἑξῆς, οὐ θέλων οἴκτῳ καὶ συμπαθείᾳ τῆς κόρης, τέμνει τὸν λαιμόν· ἐκ τούτου γὰρ πνεῖ τε καὶ ἀναπνεῖ ῥέον τὸ αἷμα.* I.

οὐ θέλων τῷ οἴκτῳ τῆς κόρης, ἤγουν ἐλεῶν τὴν κόρην, καὶ θέλων, διὰ τὸν πατέρα αὐτοῦ, ὑπ' ἀνάγκης· ὅπερ καὶ παροιμιακῶς λέγεται, 30 *ἑκὼν ἄκων.* Gu. Fl. 10. 59. *οἴκτῳ*: *τῷ ἐλέῳ.* Fl. 56. *ὁ δὲ τοῦ Ἀχιλλέως παῖς Νεοπτόλεμος ἄκων τε καὶ ἑκὼν τέμνει τῷ σιδήρῳ τὸν τράχηλον τῆς οἰκτρᾶς καὶ ταλαιπώρου κόρης.* El. 33.

11. εὐτρεπὴς correxi pro εὐπρεπής.
26. τὸ—κόρης] τὸ ἑξῆς οὐ θέλων οἴκτῳ τῆς κόρης:—B.M.
28. ἤγουν ἐλεῶν τὴν κόρην om. Fl.
29. ὑπ' ἀνάγκης—ἄκων om. Fl.

567. πνεύματος διαρροάς: τὰς ἀρτηρίας καὶ φλέβας τὰς τῆς ἀναπνοῆς. I. διαρροαὶ αἱ φλέβες, ἐν αἷς τὸ πνεῦμα διέρχεται ἐκ τῶν ἀρτηριῶν. διαφέρει δὲ ἀρτηρία φλεβὸς τῷ τὴν μὲν ἀρτηρίαν ἔχειν πνεῦμα πολὺ τὸ καὶ ὑποκάτω κεῖσθαι τῆς φλεβὸς, αἷμα δὲ ὀλίγον, τὴν δὲ φλέβα αἷμα μὲν πολὺ καὶ ἄνω κεῖσθαι τῆς ἀρτηρίας, πνεῦμα δὲ ὀλίγον. Gu. I. δηλονότι τὰς φλέβας τοῦ πνεύματος ἔταμε. Fl. 33. τὰς ἀρτηρίας, τὰς διεξόδους, ἤγουν τὸν λαιμόν· διὰ τούτου γὰρ ἐκπνεῖ τε καὶ ἀναπνεῖ ῥέον τὸ πνεῦμα. Fl. 6. 9. 21. 56. 59. 76.

568.—570. κρουνοί: σταλαγμοὶ δὲ τοῦ αἵματος καὶ ἐκχύσεις προήρχοντο. ἡ δὲ καίπερ ἀποθνήσκουσα, προμήθειαν εἶχεν ὥστε εὐπρεπῶς καὶ εὐσχήμως πεσεῖν καὶ κρύπτειν ἃ πρέπον κρύπτειν τὰ ὄμματα τῶν ἀρρένων. τὸ κρύπτω μετὰ αἰτιατικῆς λέγεται, καὶ πρὸς τὸ πρόσωπον καὶ πρὸς τὸ πρᾶγμα, οἷον κρύπτω σε τὴν ἐμαυτοῦ βουλήν. I.

568. κρουνοί: διαρροαί. Fl. 17. ἐκρεύσεις τοῦ αἵματος ὥρμουν. Fl. 59. οἱ σταλαγμοὶ τοῦ αἵματος ἔρρεον. Fl. 33. ῥεύματα ἐφέροντο, ὥρμουν. Gu.

569. πρόνοιαν: προμήθειαν. Gr. προσοχὴν, βούλευσιν, φροντίδα. Gu. πολλὴν πρόνοιαν εἶχεν: μεγάλην ἐπιμέλειαν εἶχεν. Fl. 33. εὐσχήμως: πρεπόντως τοῦ πεσεῖν ἐντίμως. Fl. 33. εὐπρεπῶς. Gr. εὐσχημόνως, κοσμίως. Gu.

570. κρύπτειν δ' ἃ κρύπτειν: γρ. κρύπτουσ' ἃ κρύπτειν. B. ἀπὸ τῶν ὀμμάτων. B. καὶ κρύπτειν ἃ χρεὼν, ἤγουν πρέπον, κρύπτειν

1. τὰς ἀρτηρίας — ἀναπνοῆς habet B. in glossemate.

2. διαρροαί] διαρροαὶ πνεύματος I.

ib. πνεῦμα] αἷμα I.

3. τῷ τὴν—πολὺ] τὸ τὴν μὲν ἀρτηρίαν πνεῦμα μὲν πολὺ ἔχειν Gu.

6. πνεῦμα δὲ ὀλίγον] In Gu. aliud scholion additum πνεύματος διαρροάς: τὰς ἀρτηρίας καὶ φλέβας. διαφέρει δὲ ἀρτηρία φλεβὸς ταύτῃ, τῷ τὴν μὲν ἀρτηρίαν ὀλίγον αἷμα ἔχειν, πνεῦμα δὲ πολὺ, τὴν δὲ φλέβα τὸ ἐναντίον τὸ μὲν αἷμα πολὺ, τὸ δὲ πνεῦμα ὀλίγον πρὸς σύγκρισιν τοῦ ἐν τῇ ἀρτηρίᾳ. ὑποκάτω κεῖται τῆς φλεβὸς, ἡ δὲ φλὲψ ἐπάνω τῆς ἀρτηρίας. εἰπὼν δὲ πνεύματος διαρροὰς ἔδειξεν ὅτι αἱ φλέβες καὶ αἱ ἀρτηρίαι ἐτμήθησαν: — Quorum pars major legitur etiam in B.M. sic scripta, πνεύματος—τὴν ἀρτηρίαν μὲν ὀλίγον ἔχειν αἷμα, πνεῦμα δὲ πολύ. —τὸ δὲ πνεῦμα ὀλίγον ὡς (ὡς om. B.) πρὸς σύγκρισιν τοῦ ἐν τῇ ἀρτηρίᾳ: —

7. τὰς ἀρτηρίας — πνεῦμα] Idem scholion a vv. ἤγουν τὸν λ. exstat etiam in Gr. In Gu. est διεξόδους φλέβας. MATTH.

τὰ ὄμματα τῶν ἀρρένων. τὸ κρύπτω μετὰ αἰτιατικῆς λέγεται καὶ πρὸς τὰ πρόσωπα καὶ πρὸς τὸ πρᾶγμα, οἷον κρύπτω σε τὴν ἐμαυτοῦ βουλήν. Gr. I.

Οὐκ ὀλίγοι πειραθέντες ἑρμηνεῦσαι τὸ χωρίον τοῦτο τοσοῦτον ἀπέσχοντο τοῦ τἀληθὲς εἰπεῖν ἐξευρεῖν, ὅτου ἂν εἰ μὴ δὲ τὴν ἀρχὴν ἐπικεχειρηκότας φανῆναι κατὰ γνώμην σφίσιν ἐπῆλθε. δυοῖν γὰρ οὐσῶν τῶν αἰτιατικῶν, καὶ τοῦ γε νοῦ καθεστῶτος ἐντεῦθεν ἐν σκότῳ, βουλόμενοι συντεταχέναι, ἐναλλαγαῖς τε ἐχρήσαντο καὶ προθέσεσιν ἔξωθεν, εἰς ἃ χρεὼν τὰ ὄμματα τῶν ἀρσένων κρύπτεσθαι φάσκοντες. ἐγὼ δὲ οὔτ' ἐκείνοις μεμφόμενος καὶ τὸ δοκοῦν εἰπὼν ἐμαυτῷ, οἶμαι ἂν πάντας, ὅστις ὀρθότητος ἐν λόγοις μέλει, ἐκ τοῦ εὐθέως ἀκούσαντας, ἢ μὴν τοῦθ' οὕτως ἔχειν ψηφίσασθαι. λέγων γὰρ ὁ Ταλθύβιος τὰ περὶ τῆς κόρης, εἶτα ἐπήνεγκεν, ἡ δὲ καὶ θνήσκουσα ὅμως προὐνοεῖτο εὐσχημόνως πεσεῖν, καὶ κρύπτειν ἐκεῖνα, ἃ χρεών ἐστι κρύπτειν τὰ ὄμματα τῶν ἀρσένων. I.

Ὥσπερ ἀφαιρῶ σὲ τὴν χλαμύδα φαμὲν, καὶ στερῶ σὲ τὸ ἀργύριον, ὄντα καὶ ἀμφότερα αἰτιατικὰ, καὶ ὁ ἀφαιρούμενος καὶ ὃ ἀφαιρεῖται, καὶ ὁ στερούμενος καὶ ὃ στερεῖται· οὕτω καὶ κρύπτω σὲ τόδε λέγομεν, οἷον ἔχων τις ὁτιοῦν κτῆμα καὶ μόνος βουλόμενος ἀπολαύειν κρύπτει τοῦτο τοὺς ἄλλους. καὶ ἡ Πολυξένη γυνὴ οὖσα, εἰ καὶ τὴν περὶ τοῦ θανεῖν ἔθει, ἀλλ' οὖν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν καὶ τὰ αἰδοῦς ἄξια κρύπτειν, ἃ πρέπον ἐστὶ κρύπτειν τὰς τῶν ἀνδρῶν ὄψεις καὶ μὴ δεικνύναι. μαρτύριον δὲ τούτου ἄλλα τε πολλὰ καὶ τὸ τοῦ Σοφοκλέους "οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι." καὶ Αἰσχύλος πάλιν "μή τοί με κρύψῃς τοῦθ' ὕπερ μέλλω παθεῖν." Gu. I.

κρύπτειν: κακοζηλία. Fl. 17. οἱ δὲ ἄνδρες ἔκρυπτον τὰ ἑαυτῶν ὄμματα, καθὼς πρέπει ἀρρένων κρύπτειν. Fl. 33. κρύπτειν: κρύ-

4. Οὐκ ὀλίγοι—τῶν ἀρσένων] Scholion hoc non ex codice aliquo sumtum, sed ab Arsenio ipso scriptum esse loquendi genus ostendit. Quod animadvertit Matthiae.

16. Ὥσπερ Gu. ὥσπερ γὰρ I. γὰρ addidit Arsenius, ut haec cum scholio ab se scripto conjungeret.

19. ὁτιοῦν om. I.

21. εὐσχήμως] εὐσχημόνως I.

23. μαρτύριον] μάρτις I.

24. Σοφοκλέους] El. 957.

ib. οὐδὲν] οὐδὲ I.

ib. Αἰσχύλος,] ἄλλος I. Est Prom. 630.

25. πάλιν om. I.

26. κακοζηλία Matth. pro καλιζηλία.

πτεσθαι. Fl. 59. ἀρσένων: μετάπτωσις. Fl. 17. ἔπεσεν εἰς τὸ κακόζηλον, ὅπερ κακίζουσιν οἱ ὀβελίζοντες. Gu.

571. ἐπεὶ δ' ἀφῆκε: ἐπεὶ δ' ἐξέπνευσε τὴν ψυχὴν ὑπὸ θανατηρᾶς σφαγῆς, οὐδεὶς ἀπὸ τῶν Ἀρχείων εἶχε τὴν ὁμοίαν ἐργασίαν, ἀλλ' οἱ μὲν αὐτῶν τιμῶντες αὐτὴν διὰ τὸ εὐθαρσὲς καὶ εὔψυχον φύλλοις καὶ ἄνθεσιν ἔβαλλον. I. ἔπεμπεν. B.

571. σφαγῆ: σφὰξ λέγεται τὸ κοῖλον τοῦ λαιμοῦ, ἐξ οὗ καὶ διάσφαγες τὰ κοιλώματα τῆς γῆς. ἀπὸ τούτου γεῦν λέγεται καὶ σφαγή. Fl. 59. ὑπὸ θανατηρᾶς σφαγῆς. Gr.

572. αὐτόν: τὸν ὅμοιον. B. Gu. Ἀργείων: ἀπό. B. πόνων: πόνος ἡ ὀδύνη καὶ ἀπὸ τούτου ἡ ἐργασία. Fl. 9. 21. 56. 59. Gr. ἀφ' οὗ δὲ ἀφῆκε τὸ πνεῦμα ἐν τῇ σφαγῇ, οὐδεὶς τῶν Ἑλλήνων εἶχε τὸν αὐτὸν πόνον. Fl. 33. ἐνέργειαν. Gu.

573. ἀλλ' οἱ μὲν αὐτῶν: τινὲς μὲν ἀπό. B. τιμῶντες αὐτὴν διὰ τὸ εὐθαρσὲς καὶ εὔψυχον οἱ Ἕλληνες φύλλοις καὶ ἄνθεσιν ἔβαλλον. B.M. ἐκ χερῶν: διὰ τῶν. B.

574. φύλλοις ἔβαλλον: οἱονεὶ στεφάνων τύπους ποιοῦντες διὰ φύλλων παρετίθουν εἰς αὐτήν. Ἄλλως. τιμῶντες αὐτὴν διὰ τὸ εὐθαρσὲς καὶ εὔψυχον οἱ Ἕλληνες φύλλοις καὶ ἄνθεσιν ἔβαλλον. φυλλοβολεῖται δὲ ἡ Πολιξένη ὥσπερ ἐν ἀγῶνι νικήσασα. Ἄλλως. τοῦτο παρὰ τοὺς χρόνους. Ἐρατοσθένης γὰρ περὶ τῆς φυλλοβολίας φησὶν ὡς πάλαι χωρὶς ἄθλων ἀγωνιζομένων ἀνθρώπων, τῷ νικήσαντι καθάπερ ἔρανον εἰσφέροντες ἔρριπτον τῶν θεατῶν ὅπως ἕκαστος ηὐπόπει. διὸ δὴ σύνηθες ἐγίνετο κύκλῳ περιπορευόμενον ἐπαγείρειν καὶ λαμβάνειν τὸ διδόμενον. οἱ μὲν οὖν ἐμπορευόμενοι διάφορα δῶρα, τῶν δὲ λοιπῶν οἱ μὲν ἐγγὺς καθήμενοι στεφάνους ἐπετίθεσαν, οἱ δὲ ἀνωτέρω τοῦτο ὅπερ ἦν λοιπὸν ἔβαλλον τοῖς ἄνθεσι καὶ φύλλοις.

17. οἱονεὶ—εἰς αὐτήν om. M.
18. Ἄλλως] ἀλλ' οἱ μὲν αὐτῶν M.
19. εὔψυχον] ἔμψυχον A.M.
20. φυλλοβολεῖται—Ἄλλως om. M. Contra in A. desunt extrema scholii proximi verba φυλλοβολεῖται δὲ ἡ Πολιξένη—μετὰ τὸ νικῆσαι καθὰ καὶ προείρηται. Idem A. mox post ὅπως (ἕκαστος addidit Cobetus) εὐπόρει addit σύνηθες ἐγένοντο κύκλῳ περιπορευόμενον ἐπαγεῖραι καὶ λαμβάνειν τὸ διδόμενον, licet eadem paullo aliter scripta infra sequantur.
21. τοῦτο—χρόνους om. I.
ib. γὰρ om. et φησὶ post Ἐρατοσθένης habet I.
23. ἕκαστος om. M.
ib. ηὐπόρει] εὐπόρει A.B.I. Verba proxima διὸ δὴ—τὸ διδόμενον om. M.
26. τῶν δὲ] δὲ om. B.I.
27. καὶ φύλλοις om. M.

καὶ νῦν μὲν ἐπὶ τοῖς ἐπιφανῶς ἀγωνιζομένοις προβάλλουσι ζώνας, πέταλα, χιτωνίσκους, πετάσους, κρηπῖδας. ἕως μὲν οὖν ἐν ἀγώνισμα κατὰ τὴν Ὀλυμπίαν ἦν, δαψιλὴς ἐγίνετο ἡ τῶν δώρων δόσις· πολυπλασιαζομένων δὲ τούτων ταῦτα ἐμειοῦτο εἰς πολλὰ καταμεριζόμενα καὶ τέλος ἡ φυλλοβολία κατελείφθη. ταῦτα οὖν περὶ τοὺς χρόνους Εὐριπίδης· ὀψὲ γάρ ποτε ὁ ἀγερμὸς τῆς φυλλοβολίας ἀπεδείχθη. φυλλοβολεῖται δὲ ἡ Πολυξένη, ὥσπερ ἐν ἀγῶνι νικήσασα· ἐφυλλοβολοῦντο γὰρ μετὰ τὸ νικῆσαι, καθὰ καὶ προείρηται. A.B.M.I.

φύλλοις ἔβαλλον: ἄνθεσι. M. ἐκαλλώπιζον, ἐστεφάνουν. Fl. 17. ἔστεφον. B. διὰ φύλλων ἔπαττον. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ἐνίκησεν γὰρ ἐν ἀγῶνι Πολυξένη. Fl. 10. ἔστεφον, περιέσκεπον. Gu. πληροῦσι: τελειοῦσι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. πυράν: τὸν τάφον, τὸν τόπον, ἔνθα ἡ πυρὰ ἐγένετο. Gu. τινὲς δὲ ἐπλήρουν τάφον. B.

574.—582. οἱ δέ: τινὲς δὲ ἐπλήρουν τὸν τάφον, βαστάζοντες δᾷδας ἐκ πεύκης, ὁ δὲ μὴ φέρων παρὰ τοῦ φέροντος τοιάσδε κατηγορίας ἤκουε· ἔστηκας, ὦ κακότροπε, οὔτε πέπλον οὔτε καλλωπισμόν τινα διὰ χειρὸς φέρων ὑπὲρ τῆς νεάνιδος καὶ χάριν τῆς νεάνιδος; οὐ πορεύσῃ δώσων τι τῇ μεγαλοψύχῳ καὶ εὐκαρδίῳ περισσῶς καὶ κατὰ τὴν ψυχὴν ἀνδρείᾳ; τοιαῦτα ἔλεγον περὶ τῆς θυγατρός σου ἀποθανούσης. τὴν εὐγενωτάτην δὲ πασῶν γυναικῶν ἀθλιωτάτην βλέπω. I.

575. κορμούς: ξύλα. Fl. 6.

576. τοιάδ': ὑβριστικὰς τοιαύτας κατηγορίας. Fl. 17. ἤκουε: τὸ ἄϊω καὶ ἀκούω κατὰ Ἀττικοὺς αἰτιατικῇ, κατὰ δὲ κοινοὺς γενικῇ. Gu. κακά: ὀνειδιστικὰ ῥήματα. Gu.

2. κρηπῖδας] Addunt libri διὸ σύνηθες ἦν (ἦν om. I.) κύκλῳ περινοστοῦντας ἀγείρειν τὰ διδόμενα: quae delevi. Nam repetita sunt ex superioribus ubi τὸ διδόμενα legitur. In M. infra ad v. 587. (post verbi παρακαλεῖ glossema ἐφέλκεται) loco prorsus alieno adscriptum est, διὸ δὴ σύνηθες ἐγένετο κύκλῳ περιπορευόμενον ἐπαγείρειν καὶ λαμβάνειν τὰ διδόμενα.

ib. ἓν ἀγώνισμα] ἐναγώνισμα B I.

3. δῶρων M. δωρεῶν B.I.

4. πολυπλασιαζομένων B.M. πολυπλασιαζομένων B. quasi πελλαπλασιαζομένων voluerit. Recte πολυπλασιαζομένων M. πολυπλασιαζομένους I.

ib. τούτων] τούτους I.

6. Εὐριπίδης] εὐριπίδου B.I.

ib. ἀπεδείχθη B.I. ἐπεδείχθη M.A.

7. ἡ om. B.I.

10. διὰ φύλλων Gr. et Fl. 59., ceteri καὶ φύλλων ἄνθεσιν.

12. τελειοῦσι Gr. τελειοῦσι, ἔτατον ceteri.

16. κατηγορίας] κακηγορίας Matth. κατηγορίας mox iterum ad v. 576.

577. ἕστηκας : ἀπὸ τοῦ στήκω κανονίζεται εἰς παρακείμενον. Fl. 59. κάκιστε : δειλὲ, κακοτροπώτατε. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ὥσπερ τὸ τρίτος ἐπὶ μορίων, ἢ τὸ τέταρτον, ἤ τι ἕτερον τῆς ἀκολουθίας ταύτης ἐνίοτε μὲν λέγεται μόνον, ἐνίοτε δὲ μετὰ τῆς συνθέσεως τοῦ μορίου, ἤγουν τριτημόριον, ἢ τεταρτημόριον, οὕτω καὶ τὸ κακὸν ἐπὶ τρόπου ἐνίοτε μὲν λέγεται μόνον, ἐνίοτε δὲ μετὰ τῆς συνθέσεως τοῦ τρόπου, ἤγουν κακότροπον. Fl. 6. 9. 17. 56. 59. Gr. τῇ νεάνιδι : ὑπὲρ τῆς νεάνιδος. B.

578. κόσμιον : ἀντὶ τοῦ κόσμιον. B. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. ἔχων : φέρων. Gr. ἄγων. ὡς τὸ "ἔχει τῷ λέγοντι κίνδυνον" ἤγουν ἄγει. Gu.

579. οὐκ εἴ τι δώσων : οὐ πορεύῃ, φησὶν, οὐ βαδίζεις δώσων τι τῇ περισσῶς εὐψύχῳ καὶ εὐθαρσεῖ καὶ εὐτόλμῳ καὶ κατὰ ψυχὴν ἀρίστῃ ; B.M. οἱ μὲν λέγουσι τὸ εἶ ἀντὶ τοῦ πορεύῃ, οἱ δὲ ἀντὶ τοῦ ὑπάρχεις, οὕτως, οὐκ εἶ καὶ οὐχ ὑπάρχεις δώσων τι, τουτέστιν οὐ δώσεις ; περίφρασις δὲ Ἀττική. βέλτιον δὲ τὸ πρῶτον. Gu. I. εἶ : ὑπάρχεις ἐνταῦθα. Fl. 59. οὐ βαδίζεις δώσων τι τῇ περισσῶς εὐτόλμῳ. Fl. 10. οὐ πορεύσεις, οὐδὲ βαδίσεις. ἀπὸ τοῦ ἴω. Fl. 21. δώσων : μέλλων δοῦναι. B. εὐκαρδίῳ : τολμηρᾷ. Fl. 6. 9. 21. 56. 59. 76. τῇ περισσῶς εὐκαρδίῳ, τῇ μεγαλοψύχῳ, τῇ τολμηρᾷ. Gr. γενναίᾳ, εὐτόλμῳ. Gu.

580. ἀμφί : περί. B. λέγων : ἀντὶ τοῦ ἔλεγεν, ὡς τὸ "δικὼν ἐπ' οἶδμα πόντου." M. λέγον : ἔλεγον. B. ἔλεγον, ποιητικόν. Gr.

581. εὐτεκνωτάτην : ὁ ποιητὴς ἐδέξατο μετὰ τῆς κνω, ὡς μὴ ἐκτεινομένου τοῦ τε, ἐπείτοι γε τὸ μὲν κ ἄφωνόν ἐστι, τὸ δὲ ν ἀμετάβολον, ἀναγκασθεὶς διὰ τὸ μέτρον τοῦ στίχου, ἐπεὶ, εἰ μακρὸν ἔμελλε δέξασθαι τὸ τε, ἐγένετο ἂν ὁ στίχος σφαλερός. οἱ δὲ γραμματικοὶ

2. δειλὲ om. Gr.
12. φησὶν om. M.
13. καὶ κατὰ] τῇ κατὰ M. in quo verba τῇ κατὰ ψ. ἀ. separatim scripta sunt in margine.
14. πορεύῃ] πορεύσῃ I.
16. περίφρασις δὲ] δὲ om. Gu.
ib. βέλτιον δὲ τὸ πρῶτον om. Gu.
17. περισσῶς scripsi pro περισσῇ.
22. λέγων] Sic M. in textu, λέγον, ut est in libris plerisque, ab correctore.
ib. ὡς τὸ] Or. 992. ubi libri plerique omnes ἐς οἶδμα. Male autem scholiasta, prava interpunctione deceptus, δικὼν pro ἔδικεν dictum accipit.

γράφουσι τοῦτο μικρὸν κατὰ τὸν λόγον ὅτι τὸ κ καὶ τὸ ν ἐκτείνουσι τὸ τε᾽ τὰ γὰρ διὰ τοῦ ὥτερος καὶ ὥτατος, εἰ μὲν ἔχουσι τὴν πρὸ τοῦ ω συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω μεγάλου γράφουσιν, εἰ δὲ μικρὸν, διὰ τοῦ ο μικροῦ, χωρὶς τοῦ ξενότατος καὶ στενότατος, ἅτινα δ᾽Ομηρος γράφει μικρὰ κἀκεῖνος διὰ τὴν τοῦ μέτρου ἀνάγκην, ἐπεὶ, εἰ ἦν μέγα τὸ νω, ὤφειλεν ἐκτείνεσθαι καὶ ἡ πρὸ τῆς διπλοῦ συλλαβὴ, καὶ ἐγένετο ἀμφίμακρος, ὡς πρὸ τῆς διπλοῦ συλλαβῆς μακρᾶς οὔσης, τῆς δὲ ξε βραχείας καὶ τῆς νω μακρᾶς. ἦν γοῦν ἐκεῖ νω ἀχρήσιμος εἰς τὸ τοῦ ἡρωϊκοῦ στίχου δακτυλικὸν μέτρον. ἡμεῖς τοίνυν ἐκείνῳ ἀκολουθήσαντες ὡς ἀρχαιοτέρου καὶ τῶν ἑτέρων ποιητῶν κρείττονι κἀκείνων αὐτὸν ἀκολουθησάντων, γράφομεν καὶ ἡμεῖς τοῦτο μικρὸν, διδάσκαλον ἐκεῖνον ἔχοντες πάντων καὶ τῶν λέξεων Ἑλληνιστὴν ἀκριβέστατον, ὡς καὶ τὸ ἴσον ἐκεῖνος μὲν ἐδέξατο μακρὸν τὸ ι προστιθεὶς καὶ περισπωμένην κατὰ τὸν κανόνα τὸν λέγοντα, πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς, ὁ δέ γε παρὰν ποιητὴς ἐδέξατο βραχὺ τὸ ι, προστιθεὶς καὶ ὀξεῖαν. ἐπακολουθοῦντες οὖν καὶ ἡμεῖς τὸν Ὅμηρον, καὶ οὐ τὸν Εὐριπίδην, ἢ ἕτερόν τινα τῶν ποιητῶν, περισπῶμεν αὐτὸ, ἐπεὶ ἐκεῖνος φυλάττει, ὡς εἴπομεν, τὴν τῶν λέξεων ἀκρίβειαν. οὕτοι δὲ λογειδῆ γράφοντες—οἱ γὰρ ἰαμβογράφοι ὡς λογειδῆ γράφουσι—τὰ ἑαυτῶν κατελείψαμεν, γράφοντες καὶ ἰσότατος ἐν ταῖς πεζογραφίαις μικρὸν τὸ σ, ὡς ἐδηλώσαμεν τὸ ἴσον μακρὸν ἔχον τὸ ι. τὰ γὰρ ἔχοντα μακρὰν τὴν πρὸ τοῦ ο συλλαβὴν σμικρύνονται. Fl. 59.

582. πασῶν : οὖσαν. B.

583. δεινόν τι πῆμα : χαλεπή τις αὖτη βλάβη τῶν θεῶν, ἤγουν ἧς αἴτιοι οἱ θεοὶ, ἀπαραίτητος — λέγει δὲ τὴν ἑαυτῶν ἄλωσιν — ἐπέζεσεν ἀντὶ τοῦ ἐπῆλθε τοῖς Πριαμίδαις καὶ τῇ πόλει τῇ ἐμῇ. Gr. I. τὸ δὲ ἐπέζεσεν ἀντὶ τοῦ ἐπήρθη καὶ ηὐξήθη, ἀπὸ μεταφορᾶς τοῦ ζέοντος ὕδατος ἐν τοῖς λέβησι καὶ ἐπαιρομένου ἐν τῷ ζέειν. I. ἐπέζεσε : ἐπῆλθεν, ἤγουν μετὰ σφοδρότητος ἐπῆλθεν, δίκην φλογός. Bar. 74. ἀντὶ τοῦ ἐπέβρασεν, ἐπήρθη, ἐξεχύθη, ἀπὸ μεταφορᾶς τοῦ βραζομένου ὕδατος ἐν λέβητι. λέγεται δὲ τοῦτο καὶ ἐπὶ τοῦ κύματος, ὅτε ὑπεράνω πηδᾷ τῶν τοίχων τῆς νηός. ἐξέζεσε δὲ ἐπὶ σκωλη-

24. ἤγουν—θεοί om. Gr.
26. ἐπέζεσεν ἀντὶ τοῦ om. I.
27. Verba ἐπέζεσεν (omisso ἀντὶ τοῦ) ἐπήρθη—ζέειν sunt etiam in B.M. et (qui ἐν τῇ ζέσει) A.

κων λέγεται, ὅταν ἀπὸ σήψεως τῇ σαρκὶ γεννηθῶσι. λέγεται καὶ ἐπὶ τῶν ἑψημένων ὕδατι. Gr.

584. θεῶν: ἀπό. B. παρὰ θεῶν, μετὰ ἀνάγκης δεδομένων. Fl. 21. ἀναγκαῖον: ἀνάγκη. Fl. 19. ἀπαραίτητον τοῦτο ἦλθε. Gr. ὡς πεπρωμένον. Gu. ὅπερ συνέβη νῦν, τὸ ἀναλωθῆναι τὴν Τροίαν. Gu. ἀπαραίτητον. πόλει: καὶ ἐν τῇ. B.

585.—591. ὦ θύγατερ: οὐ γινώσκω εἰς ὅπερ τῶν κακῶν θεάσομαι, πολλῶν ὑπαρχόντων· ἓν γὰρ προσεγγίσω τινὸς, τὸ ἕτερόν με οὐκ ἀφήσιν, ἀφέλκεται δὲ ἀπὸ τοῦ ἑτέρου μέρους διάδοχος κακῶν προτέρων δηλονότι κακοῖς ἑτέροις ἐπαγομένοις. καὶ νῦν τὸ μὲν σὸν πάθος οὐκ ἂν δυναίμην ἐξαλεῖψαι ἀπὸ τῆς φρενὸς, ὥστε μὴ στένειν αὐτὸ δηλονότι· τὸ δὲ λίαν στένειν ἐμὲ καὶ θρηνεῖσθαι ἀφεῖλες ἀγγελθεῖσά μοι γενναία καὶ μεγαλόψυχος. I.

585. οὐκ οἶδ': αὕτη ἡ ἔννοια γράφεται καὶ ἐν τοῖς ἐγκωμίοις. Gu.

586. ἅψωμαι: γεύομαι. B. τινος: κακοῦ. Fl. 21. 59.

587. τὸ δ' οὐκ ἐᾷ με: δηλονότι τὸ σὸν κακὸν, ὅταν ἐνθυμηθῇ πολλῶν ὄντων τῶν εἰς ἐμὲ κακῶν γεγενημένων ἢ γινομένων οὐκ ἀφήσι καὶ ἐᾷ καὶ καταλιμπάνει, ἐφέλξει δὲ ἄλλη τις λύπη ἐκεῖθεν διάδοχος ὑπάρχουσα ἡ λύπη πάντων τῶν κακῶν τοῖς κακοῖς. καὶ νῦν τὸ μὲν σὸν πάθος ὥστε γὰρ θρηνεῖν ..... ἐᾷ με. Ἄλλως. τὸ γὰρ κακὸν διάδοχον τῶν κακῶν εἰσαγωγή ἐστιν. προστέθεικε γοῦν τὸ κακὸν κακοῖς, ἵνα ἡ διαδοχὴ τῶν κακῶν ἑτέρων κακῶν φανῇται ὁδοποιοῦς. Λ. τόδ': τὸ ἕτερον κακόν. Fl. 6. 9. 21. 56. 59. Gr. παρακαλεῖ: παρακινεῖ. B. Fl. 6. 9. 21. 33. 56. 76. παρακαλῶ τὸ καθικετεύω, τὸ παραμυθοῦμαι, ὅθεν καὶ παράκλησις, καὶ τὸ ἐφέλκομαι. Fl. 6. Gr. ἐφέλκεται. B.M. Gr. παρασύρει, ἕλκει. Gu. ἐκεῖθεν: ἀπὸ τοῦ ἑτέρου μέρους. Gr. αὖ: πάλιν. Gu.

588. λύπη τις ἄλλη: ἄλλη κακὴ ἐναλλαγή. Fl. 33. διάδοχος: ἐγώ. Fl. 33. λύπης κακῶν, ἐν οἷς εἰμί. Gr. διάδοχος κακῶν προτέρων κακοῖς ἑτέροις ἐπαγομένοις. Gr. διαδεχομένη τὰ κακὰ τοῖς κακοῖς. B. τὸ ἑξῆς, λύπη τις ἄλλη κακή. M.

589. νῦν τὸ μὲν σὸν—πάθος: νῦν τὸ μὲν σὸν πάθος ἐξαλείψα-

2. ἑψημένων] ἑψημένων Gr. Rectum est ἡψημένων.

10. Verba καὶ νῦν—δηλονότι sunt etiam in Gu.

σθαι ἀπὸ τῆς φρενὸς τῆς ἐμῆς, ὥστε μὴ στένειν, οὐκ ἂν δυναίμην. A. στένειν: φράζειν. B. στενάζειν. Gu. θρηνεῖν. Fl. 59. πάθος: τὴν σὴν συμφοράν. Fl. 6. 9. 17. 21. 56. 59. 76. καὶ νῦν τὸ μὲν σὸν πάθος οὐκ ἂν δυναίμην ἐξαλεῖψαι ἀπὸ τῆς ἐμῆς φρενὸς, ὥστε μὴ στένειν αὐτὸ δηλονότι. Gr.

590. ἐξαλείψασθαι: ἀφελεῖν. Fl. 6. 9. 21. 56. 59. 76. ἐκβαλεῖν. Fl. 33. ἀντὶ τοῦ ἐξαλεῖψαι. Gr.

591. τὸ δ' αὖ λίαν: τὸ πάνυ λυπεῖσθαι ἀφείλειν ἀγγελθεῖσά μοι τολμηρά. B.M. τὸ δὲ γενναῖος Ἀττικῶς, ὡς τὸ "κλυτὸς Ἀμφιτρίτη." B. στένειν, ἀπὸ κοινοῦ τὸ κακὸν, ὑπερβολικῶς. Fl. 6. θρηνεῖν. Fl. 17. 33. λυπεῖσθαί με. B. Fl. 10. 21. 76. Gr. πλέον, τὸ πάνυ λυπεῖσθαι. Fl. 59. παρεῖδες: παρέκυψας. Fl. 17. 76. Gr. ἐμοί. Fl. 10. ἀφεῖλες. Gu.

592. γενναῖος: τολμηρά. Fl. 21. 59. ἀποθανοῦσα τολμηρά. Fl. 10. 17. γενναία, μεγαλόψυχος. Gr. γενναῖος ἀντὶ τοῦ γενναία Ἀττικόν. τὸ γενναῖος οἱ παλαιοὶ ἀντὶ τοῦ εὐγενικοῦ ἔλεγον. Gu.

592.—598. οὔκουν δεινόν: οὐ θαυμαστὸν, φησὶν, ὅταν κακὴ γῆ τυχοῦσα εὐκρασίας ἀέρων παρὰ θεοῦ, στάχυν φέρῃ καλὸν, ἡ δὲ ἀγαθὴ τούτων ἀποτυχοῦσα καρπὸν κακὸν φέρῃ, ἐν δὲ τοῖς ἀνθρώποις τοῦτο οὐκ ἔστιν ἰδεῖν, ὅτι τὸ ἐκ φύσεως οὐ μεθίσταται· ὁ γὰρ κακὸς ἀεὶ κακός ἐστι, καὶ ὁ ἀγαθὸς ἀεὶ ἀγαθὸς, κἂν ἀτυχήμασι περιτύχῃ. ταῦτα δέ φησι, θαυμάζουσα τὴν Πολυξένην. Gu. I.

οὔκουν δεινόν: οὐδὲν ὑπάρχει θαυμαστὸν, εἰ ἡ γῆ μὲν κακὴ, τυχοῦσα καιροῦ καλοῦ ἢ ἐπιμελείας γεωργικῆς, φέρει καρπὸν καλὸν, ἡ δὲ καλὴ γῆ ἀμεληθεῖσα παρὰ τοῦ γεωργοῦντος αὐτὴν ἀποδώσει καρπὸν κακόν. ἐπὶ μὲν οὖν τῆς γῆς οὕτως ἔχει, ἐπὶ δὲ τῶν ἀνθρώπων ὁ ἀπὸ φύσεως ὑπάρχων πονηρὸς ἢ κακὸς ἢ ἀγεννὴς καὶ μέχρι τέλους οὕτω διαμένει, ὁ δὲ ἐσθλὸς ἢ ὁ εὐγενικὸς καὶ ἀπὸ φύσεως ὑπάρχων ἀγαθὸς, κἂν καὶ μυρίαι συμφοραὶ περικυκλώσουσι τοῦτον, οὐ πάλιν διέφθειρε τὴν εὐγένειαν αὐτοῦ, ἀλλ' εἰς τέλος διαμένει χρηστός. τὸ αὐτὸ πέπονθε καὶ ἡ Πολυξένη εὐγενὴς οὖσα, μὴ πτοηθεῖσα, μηδὲ δειλανδρήσασα

11. με om. B.
19. παρὰ θεοῦ om. I.
ib. φέρῃ] φέρει utrobique Gu. Prius φέρῃ om. B.
20. καρπὸν κακὸν] κακὸν καρπὸν B.
22. ἀεὶ ἀγαθὸς] ἀεὶ om. B.
ib. περιτύχῃ] περιπέσῃ Gu. I.

ἐπὶ τὴν σφαγήν, ἀλλὰ βασιλικῶς καὶ γενναίως ἀποθανοῦσα. Fl. 59. οὐχὶ δεινὸν εἰ κακὴ γῆ, ὅταν τὰ ἐκ θεοῦ αὐτῇ κατὰ καιρὸν ἀπαντήσῃ— λέγει δὲ τοὺς ὑετοὺς καὶ τὸν ἀέρα—φέρει στάχυν καλὸν, ἡ δὲ ἀγαθὴ τούτων ἀποτυχοῦσα κακὸν καρπὸν φέρει, τῶν δ' ἀνθρώπων ἀεὶ ὁ κακὸς κακός ἐστιν, ὁ δ' ἀγαθὸς ἀγαθός, κἂν ἀτυχήμασι περιτύχῃ. ταῦτα δέ φησι θαυμάζουσα τὴν Πολυξένην. M. Fl. 21. οὐκ ἔνι ἔπαινος. Fl. 17. δεινόν: παράδοξον. Gr. θαυμαστὸν καὶ μέγα. Gu.

593. καιροῦ: καλοῦ δηλονότι. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ἐπιτηδείου. B. Gu. τουτέστιν εὐκρασίας ἀέρων. Gu. τοῦτο βούλεται λέγειν, ὅτι τὰ μὲν ἄλλα πράγματα ταῖς ἐπιμελείαις ἢ ἀμελείαις τῶν ἀνθρώπων οὕτως ἢ οὕτω γίνονται, οἱ ἄνθρωποι δὲ, ὡς ἔχουσι φύσεως, μένουσι καὶ οὐκ ἀλλάσσουσι τὴν προαίρεσιν τοῖς καιροῖς καὶ τοῖς πράγμασιν. Gr. θεόθεν: παρὰ τῶν θεῶν. Fl. 21. φέρει: εὐφορεῖ κατὰ τοὺς καρπούς. Fl. 6. 9. 21. 56. 59. 76. Gr.

594. ἁμαρτοῦσ' : ἁμαρτάνω, τὸ ἁμαρτίαν ποιῶ, ἀμεταβάτως· ἁμαρτάνω δὲ τὸ ἀποτυγχάνω, καὶ συντάσσεται γενικῇ, ὡς τὸ ἥμαρτον τοῦ σκοποῦ. Fl. 17. ἀποτυχοῦσα. B. Gr. ἀτυχήσασα. Gu. χρεών: πρέπον. Fl. 6. 9. 21. 56. 59. 76.

597. συμφορᾶς ὕπο: ὑπὸ τῆς δυστυχίας. B. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἤγουν παθών τι λυπηρόν. Gu.

598. φύσιν διέφθειρ' : τρόπῳ οἰκείῳ. B. ἤγουν ἠλλοίωσε. Fl. 17. τὴν εὐγένειαν, τὴν γνώμην ἐπὶ τὸ χεῖρον μετέβαλεν, (ἠλλοίωσεν). Fl. 6. 9. 21. 56. 76. Gu. φύσις οὐσίας διαφέρει· οὐσία γὰρ λέγεται ἡ ὕπαρξις, φύσις δὲ ἡ ἐπιφαινομένη τῇ οὐσίᾳ ἐνέργεια, οἷον οὐσία πυρὸς τὸ εἶναι ξηρὸν καὶ θερμὸν, φύσις δὲ τὸ φωτίζειν καὶ τὸ καίειν, καὶ φύσις ἀνθρώπου τὸ εἶναι ἀνδρεῖον ἢ δειλὸν, οὐσία δὲ τοῦ-

2. εἰ κακὴ γῆ, ὅταν Matth. ὅταν κακὴ γῆ (sine εἰ) M. ὅταν κακῇ γῇ Fl. 21.

5. ταῦτα — Πολυξένην om. Fl. 21.

6. θαυμάζουσα τὴν Πολιξένην] His A. addit scholion simile, ἄλλως. οὐχὶ δεινὸν οὖν .....εἰ κακὴ γῆ ὅτι τὰ ἐκ θεοῦ αὐτ' κατὰ καιρὸν ἀπαντήσει (ἀπαντ'σ codex), λέγει δὲ τοὺς ὑετοὺς καὶ τὸν ἀέρα, φέρει στάχυν καλὸν, ἡ δὲ ἀγαθῶν τούτων ἀποτυχοῦσα καρπὸν κακὸν φέρει, τῶν δὲ ἀνθρώπων ἀεὶ ὁ κακὸς κακός ἐστιν, ὁ δὲ ἀγαθὸς ἀγαθός ἐστιν, κἂν ἀτυχήμασιν περιτύχῃ. ταῦτα δέ φησι θαυμάζουσα τὴν πολυξένην. Mox ad v. 597. in eodem annotatum, τὰ ἐνγενε καὶ φθορᾶ ἔχουσι μεταλλαγὰς, ὁ δὲ ἄνθρωπος ἀεὶ ὁ αὐτός.

26. καίειν—δεκτικόν] καίειν καὶ οὐσία ἀνθρώπου τὸ εἶναι ζ.—δεκτικόν. φύσις δὲ τὸ εἶναι ἀ. ἢ δ. Gr.

του τὸ εἶναι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. Fl. 25. Gr. *ἀεί*: διαπαντός. Fl. 17.

599.—601. *ἆρ' οἱ τεκόντες*: *ἆρα, φησὶν, ἡ τῶν τοκέων εὐγένεια πρωτιμοτέρα καὶ τῇ τούτων εὐγενείᾳ καὶ οἱ παῖδες γίνονται ἀγαθοὶ, ἢ ἡ ἀνατροφή. καὶ ὑπὸ τῆς καλῆς ἀνατροφῆς γίνεται ὁ ἀπὸ κακῶν γονέων καλός. τοῦτο ἐπήγαγε δηλῶν ὅτι τὸ ἐκ γονέων εἶναι καλῶν ..... καὶ γὰρ καὶ ἡ Πολυξένη, εἰ μὴ ἀπὸ γονέων ἦν καλῶν, οὐκ ἂν τοιαύτη ἐφάνη ἐν τῷ θανάτῳ αὐτῆς, εἰ καὶ καλῶς ἀνετράφη, τὸ κακὸν δηλονότι. ἐάν τις μάθῃ, εὖ οἶδε καὶ τὸ κακὸν μαθὼν τοῦ καλοῦ τὸν κανόνα. Ἄλλως. πότερον τῶν τεκόντων ἡ εὐγένεια προτιμοτέρα ἐστὶν ἢ ἡ ἀνατροφή: τοῦτο ἐπήγαγεν ὅτι πολὺ διαφέρει τὸ ἐκ γονέων εἶναι καλῶν.* A. *ἆρα ἀπὸ φύσεως ἔχει τοῦτο ἤτοι ἀμετάβλητον τοῦ καλοῦ καὶ τῆς εὐγενείας, ἢ ἀπὸ παιδεύσεως καὶ ἀνατροφῆς; καὶ τὸ τραφῆναι καὶ παιδευθῆναι καλῶς ἔχει τινὰ δίδαξιν ἀγαθοῦ. πλέον δὲ ἀπὸ φύσεως ἔχει τοῦτο καὶ τὸ ἐξ εὐγενῶν εἶναι γονέων καὶ καλῶν. τοῦτο δὲ τὸ καλὸν ἐὰν μάθῃ τις, εἴτε ἀπὸ φύσεως, εἴτε ἀπὸ παιδεύσεως, οἶδεν ἀνάγκῃ καὶ τὸ καλόν· ὁ γὰρ γινώσκων τὸ καλὸν καὶ τὸ ἐναντίον τούτου γινώσκει, μαθὼν καὶ τοῦτο τῷ κανόνι τοῦ καλοῦ.* Fl 59.

ἆρ' οἱ τεκόντες: *ἆρ' οἱ τεκόντες διαφορὰν ἔχουσιν, ἤτοι τὴν ἐναλλαγὴν ποιοῦσιν, ἢ αἱ ἀνατροφαί;* I. *ὥσπερ ἀποροῦσα ἡ Ἑκάβη τοῦτό φησιν· ἆρα τὸ γενέσθαι τινὰ ἀγαθῶν γονέων συντελεῖ πρὸς τὸ εἶναι τοῦτον χρηστὸν, ἢ τὸ πεπαιδεῦσθαι καὶ ἀγωγῆς οὐκ ἀγεννοῦς λαχεῖν; ἐκ δὲ τοῦ λέγειν "ἔχει γε μέντοι καὶ τὸ τραφῆναι καλῶς δίδαξιν ἐσθλοῦ" φαίνεται τὸ μὲν τῶν γονέων πρωτιμᾶν. τὸ δὲ τῆς παιδεύσεως ἐν δευτέρᾳ τίθεσθαι.* Gu. I. *πότερον ἡ εὐγένεια τῶν τεκόντων προτιμοτέρα ἢ ἡ ἀνατροφὴ, καὶ τοῦτο μὲν προτερεύει, δευτερεύει δὲ ἡ ἀνατροφή; διὸ καί φησιν ὡς καλὸν καὶ τὸ θρεφθῆναι καλῶς, τοῦ καί συνδέσμου προτίμησιν τῆς εὐγενείας ἐμφαίνοντος.*

7. καλῶν .....] Indicavi lacunam. Excidit πολὺ διαφέρει, quod in scholio proximo legitur, vel simile quid.

18. τούτου Matth. pro τοῦτο.

24. γε om. Gu.

26. πότερον] πότερα Gu. Verba πότερον—ἢ ἡ ἀνατροφὴ sunt etiam in B. Flor. 10. 21. et repetuntur in Gu. in margine altera.

27. προτιμοτέρα non solum in Gu., sed etiam in M. (qui verba πότερον—ἀνατροφὴ habet) et Fl. 10. 21.

ib. ἢ ἡ] ἡ hic om. Gu.; sed habet loco altero.

ib. προτερεύει Matth. pro προτιμεύει.

Gu. ἀμφοτέρως δίδωσιν ὁ Εὐριπίδης τὸ αἴτιον, καὶ τοῖς τεκοῦσι καὶ ταῖς τροφαῖς, πλέον δὲ τοῖς τεκοῦσιν. Gr. τεκόντες: οἱ γεννήτορες. B. Gr. τεκνήσαντες. Fl. 17. γονεῖς. Fl. 21. διαφέρουσιν: διαφορὰν ποιοῦσιν αἱ ἀνατρεφαὶ, παιδαγωγίαι. Gr. εἰς τὸ εἶναί τινα καλὸν ὠφελοῦσι, συντελοῦσιν. Gu. τροφαί: αἱ παιδεύσεις. B. ἡ ἀνατροφή. M.

600.—602. ἔχει γέ τι: ἀντὶ τοῦ παρέχει κατά τι καὶ τὸ ἀνατραφῆναι καλῶς δίδαξιν καὶ γνῶσιν ἀγαθοῦ· τοῦτο δὲ, ἤτοι τὸ καλῶς ἀνατραφῆναι ἢ τὸ ἐσθλόν, ἐὰν μάθοι τις καλῶς, οἵδε τὸ ἁρπρεπὲς, μαθὼν τῇ διδασκαλίᾳ τοῦ καλοῦ. I. ἔχει γέ τοι τι: τοῦτο ἐπήνεγκεν δηλονότι· πολὺ διαφέρει τὸ ἐκ γονέων εἶναι καλῶν. B. M. Fl. 21. θρεφθῆναι: ἀνατραφῆναι. B. Gr. παιδευθῆναι. Gu.

601. δίδαξιν: διδασκαλίαν, γνῶσιν. Gu. μάθησιν. Gr. τοῦτο δ' ἤν τις εὖ μάθῃ: τὸ καλὸν ἐάν τις ἀκριβῶς μάθῃ, οἵδε καὶ τὸ κακὸν διὰ τὸν τοῦ καλοῦ κανόνα. ὁ γὰρ ἐθισθεὶς τοῖς καλοῖς, ὅταν τι καὶ πράξῃ, γινώσκει τοῦτο ὡς ἀπὸ τοῦ καλοῦ, διδασκάλῳ τῇ πείρᾳ χρώμενος. οἷον, τρῶγέ τι γλυκὺ καὶ παρευθὺ γεῦσαι καὶ πικροῦ, καὶ νοεῖς τὸ πικρὸν εἰθισμένος ὢν τῷ γλυκεῖ, τρώγων δέ τις πάντοτε πικρὸν, μὴ γευσάμενος γλυκέος, οὐκ οἶδε τὸ πικρὸν ὡς πικρόν ἐστι τῇ ἀπειρίᾳ τοῦ γλυκέος. Λ. τὸ ἐσθλόν. Gu. τοῦτο: τὸ καλῶς ἀνατραφῆναι. Gr. μάθῃ: γνωρίσῃ. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. Gr. τινὲς ἐπιλαμβάνονται τοῦ ποιητοῦ τῷ βάρβαρον εἰσάγειν καὶ λέγειν περὶ φύσεως· ἀλλ' οὐ τὸ τυχὸν πρόσωπον ἡ Ἑκάβη, ἀξιπρεπὲς δὲ ὡς ἀρχικόν. Gr. τοῦτο δ' ἤν τις εὖ μάθῃ: τὸ καλὸν δηλονότι. B.M. ὁ τὸ ὀρθὸν τῆς τέχνης μαθὼν οὐ χρείαν ἔχει μαθεῖν τὸ μὴ ὀρθόν· οἵδε γὰρ τῇ τέχνῃ τοῦ ὀρθοῦ, ὡς ὁ τὸ κατ' ἦχον μαθὼν οἵδε φυσικῶς τὸ παρ' ἦχον. Gr.

602. οἵδε τό γ' αἰσχρόν: ὁ γὰρ μαθὼν τὸ καλὸν μανθάνει καὶ τὸ κακόν. Gu. κανόνι: διὰ τοῦ κανόνος, ἰσότητι. Gr. ἐν τῇ στάθμῃ, ἐπιστήμῃ, τῇ διδασκαλίᾳ, τῇ ἀκολουθίᾳ. Gu.

3. τεκνήσαντες] Immo τεκνώσαντες.

10. ἔχει γέ τοι—δηλονότι] ἔχει γε: ἔχει γέ τοι τοῦτο, ἀπήνεγκεν δηλονότι Fl. 21.

11. διαφέρει] δέ φησι Fl. 21.

ib. καλῶν] καὶ καλῶν Fl. 21.

14. τὸ καλὸν—κανόνα] Haec sunt etiam in Fl. 21.

ib. ἀκριβῶς om. Fl.

ib. οἵδε] εὖ οἵδε Fl.

28. διὰ τοῦ κανόνος habent etiam Fl. 6. 9. 21. 56. 59. 78. δοκίμῃ στάθμῃ 17. τῇ ἀκολ. 21.

29. διδασκαλίᾳ in B., τῇ ἀκολουθίᾳ in M.

603.—608. καὶ ταῦτα μὲν ὁ νοῦς ἀπέρριψε μάτην· σὺ δὲ, ὦ Ταλθύβιε, ἄπελθε καὶ εἰπὲ τοῖς Ἀργείοις τάδε, μὴ ἅπτεσθαι τῆς παιδὸς μου μηδένα, ἀλλὰ κωλύειν καὶ ἀπισχεῖν τὸν ὄχλον· ἐν γὰρ πολλῷ στρατείματι ὄχλος ἀκόλαστος καὶ ἀπαίδευτος, ἡ ναυτικὴ τε ἀναρχία καὶ ἀνυπόστατος κρείσσων καὶ ἰσχυροτέρα πυρός. I.

603. καὶ ταῦτα μὲν δή: ὁ νοῦς, ἡ ἐμὴ διάνοια μάτην ἐτόξευσε καὶ ἐξεκένωσε καὶ εἶπεν, ἀπὸ μεταφορᾶς τῶν τοξοτῶν. τί γάρ με δεῖ τοιαῦτα σκοπεῖν καὶ ἐνθυμεῖσθαι ἐν τοιούτοις δεινοῖς οὖσαν; A. ἦρθετο Εὐριπίδης ἑαυτοῦ παρεκβεβηκότος ἀκαίρως, καὶ διὰ τοῦτο τεθεραπευκέναι τοῦτο βουλόμενός φησι "καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσε μάτην," τουτέστιν οὐ κατὰ καιρὸν εἴρηται. Bar. 74. Gu. νοῦς: ὁ ἐμός. Fl. 10. 17. 76. ἐτόξευσεν μάτην: ἀπέρριψεν διὰ κενῆς. Fl. 6. 9. 21. 56. 59. 76. ἀπέρριψε ματαίως. Fl. 17. εἶπεν. Fl. 10. ἐφιλοσόφησεν. B. καὶ ταῦτα μὲν ὁ ἡμέτερος νοῦς ἐστοχάσθη ματαίως, ἀπὸ μεταφορᾶς τῶν τοξοτῶν εὐστόχως βαλλόντων, ἤγουν ὅτι, εἰ καὶ οἱ λόγοι, οὓς εἶπον, εὔστοχοί εἰσι καὶ ἀληθεῖς, ὥσπερ ἐν σκοπῷ τινι, ἤγουν τῇ ἀληθείᾳ, οὕτως ἐλέχθησαν οἱ λόγοι μου, ὅμως δὲ μάτην ἔλεξα τούτους μηδὲν ὠφελήσαντά; με. Fl. 59. ἡ ἐμὴ διάνοια μάτην ἐτόξευσεν, ὃ εἶπεν ἀντὶ τοῦ ἐξέπεμψεν, ἀπέβαλεν. B. M. Fl. 21. ἐνεθυμήθη. Fl. 33. ἀπέρριπε. Gr. ἐξέπεμψεν, ἀπὸ μεταφορᾶς τῶν τοξοτῶν. ὡς ἀπὸ τῆς Ἑκάβης λέγει ὁ ποιητής. Gu. μάτην: διὰ κενῆς, ἀνωφελῶς, διὰ τὸ εἶναι παρὰ καιρὸν ἤγουν ἐν θρήνῳ. Gr.

604. σὺ δ' ἐλθέ: εἴσελθε, ὦ Ταλθύβιε. Fl. 21. ἄπελθε. ἀποστροφὴ πρὸς τὸν Ταλθύβιον. Gr. Ἀργείοις: ἀντὶ τοῦ τοῖς στρατηγοῖς. Fl. 21. τὸ ἑξῆς, μὴ θιγγάνειν μου τῆς παιδὸς μηδένα. ὄχλον δὲ τὴν ὄχλησιν, ὡς τὸ "ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι." ἢ Ἀργείοις σήμηνον, ἀντὶ τοῦ στρατηγοῖς εἴργειν τὸν ὄχλον. ἐν τῷ πολλῷ πλήθει ἀπαίδευτος ὁ ὄχλος καὶ ἀκόλαστος καὶ ἀνεξέταστος. M. Fl. 33.

605. θιγγάνειν: τὸ ἑξῆς, μὴ θιγγάνειν μου τῆς παιδὸς μηδένα.

19. ὃ M. καὶ B. καὶ ὃ Fl. 21.

27. τὴν ὄχλησιν—ὄχλον] Similiter in B. ἀλλ' εἴργειν ὄχλον: τὴν ὄχλησιν. ἢ ἀργείοις φησὶ τοῖς στρατηγοῖς εἴργειν τὸν ὄχλον. τὸ ἑξῆς σήμηνον ὡὴ θυγγάνειν μου τῆς παιδὸς μηδένα :—In A. ὄχλον δὲ—ὥσπερ ὄχλον—ἢ ἀργίαν σήμηνον τοῖς σ. ε. τ. ὄχλον μὴ θιγγάνειν τῆς παιδός μου μηδένα :—

ib. ὡς τὸ Matth. pro ὡς τόν. Est Med. 341.

M. *θίγειν.* Fl. 10. *κωλύειν ἅπτεσθαι.* Fl. 17. *μὴ ἅπτηταί τις ἐκείνων, τῶν στρατηγῶν δηλονότι, τῆς παιδὸς, ἀλλὰ μᾶλλον κωλύειν καὶ τὸν ὄχλον τοῦ ψαύεσθαι ἐκείνης.* Fl. 21. *μὴ ψαύειν μου τῆς παιδὸς, ἤγουν τῆς θυγατρὸς. μηδένα, ἀλλ' εἴργειν, τουτέστι κωλύειν, τὸν ὄχλον. ἔστι δὲ τὸ ἀλλά ἀντὶ τοῦ καί, ἤγουν καὶ τὸν ὄχλον κωλύειν.* Fl. 6. 9. 21. 56. 59. 76. Gr.

606. *μυρίῳ στρατεύματι*: *ὁ νοῦς, ἐν τῷ πολλῷ στρατεύματι ἀπαίδευτος ὄχλος καὶ ἀκόλαστος καὶ ἀνεξέταστος, ἐπικρατεστέρα δὲ ἡ ναυτικὴ ἀναρχία καὶ πυρός. παρ' αὐτοῖς δὲ κακοῖς οὖσι καὶ ὁ μηδὲν κακὸν ποιῶν κακὸς νομίζεται ἐκεῖνος.* A. Fl. 17. *ἤγουν παρὰ τῷ πλήθει τῶν ἀτάκτων ὁ εὔτακτος καὶ μηδὲν κακὸν ποιῶν κακὸς νομίζεται.* Fl. 17. *πολλῷ.* B. *ἐν τῷ στρατῷ ὁ ὄχλος ἀκόλαστος ὑπάρχει, ἀπαίδευτος· ἐξαιρέτως δὲ ἡ ναυτικὴ ἀναρχία, ἤγουν οἱ τὴν θάλασσαν πλέοντες, αἰδοῦνται τούτους εἰπεῖν καὶ βασιλεῖς, καὶ οὐκ ἀνακόπτουσιν ἀπὸ τῶν κακῶν· ὅπου δ' ἂν πλησιάσωσι, κρεῖσσον πυρὸς καίουσι. τὸ αὐτὸ φοβηθεῖσα καὶ ἡ Ἑκάβη περὶ τῆς παρθένου κειμένης οὕτως ἐν μέσῳ τῷ πλήθει, μή πώς τις ἀπὸ τῶν ἀκολάστων καὶ ἀπαιδεύτων, τῶν ὄντων ἐν τῷ πλήθει, ἢ ἁρπάσῃ τι τῶν ἱματίων αὐτῆς, ἤ τις τῶν πρὸς τὰς συνουσίας καταφόρων ἱστάμενος καθορᾷ τοὺς μαστοὺς καὶ τὴν αἰδῶ ταύτης, καὶ ἄτιμος φανῇ ἡ παρθένος· τοιαῦτα γὰρ εἰώθασι ποιεῖν οἱ ἐν τῷ ὄχλῳ ἀκόλαστοι· διὰ τοῦτο παραγγέλλει μὴ ψαύειν ταύτης τινά.* Fl. 59.

607. *ἀκόλαστος*: *ἀπαίδωτος.* M. *ἀκράτητος.* B. *ἀντὶ τοῦ δειλία ἀπαίδευτος, ἐπικρατεστέρα.* B. *ἀνωτότατος.* Fl. 17. *κυρίως ἀκολασία ἡ λαγνεία λέγεται, ἀκόλαστος γλῶττα καὶ ἀκόλαστος βρῶσις.* Fl. 6. 25. *ἀναρχία*: *ἀναίδεια.* M. Fl. 17. *ἀταξία.* B. *ἀνυποταξία.* Fl. 6. 9. 21. 56. 59. 76. *ναυτικὴ ἀναρχία λέγει οὐχ ὡς ἀνάρχων ὄντων τῶν Ἀργείων αὐτῶν, ἀλλ' ὅτι ἀνάρχοις ἐοίκασιν οἱ ναῦται, κἂν ὑπ' ἀρχὴν ὦσι, διὰ τὸ αὐτῶν ἀκόλαστον καὶ ἄτακτον.* Gu.

7. ὁ νοῦς om. A.
ib. τῷ πολλῷ] τῷ om. Fl.
ib. στρατεύματι] στρατῷ Fl.
9. πυρός. παρ' αὐτοῖς δὲ κακοῖς] πυρὸς παρ' αὐτοῖς καὶ κακοῖς Fl.
10. ἐκεῖνος om. Fl.
16. καίουσι Matth. pro καίωσι.
19. καταφόρων scripsi pro καταφορωτικῶν. Minus probabile καταφορικῶν.
22. τινά] τινὸς Fl.

608.—613. *κακὸς δ' ὁ μή τι δρῶν: κακὸς ὀνομάζεται παρὰ τοῖς ναύταις ὁ μὴ σὺν αὐτοῖς δρῶν τι κακὸν, ἢ ὡς οὐχ ἑπόμενος αὐτοῖς καὶ τὰ αὐτῶν πράττων αἴσχιστα. σὺ δὲ, ὦ δούλη παλαιὰ, λαβοῦσα τὸ ἀγγεῖον, βάψασα, ἥγουν γεμίσασα, κόμισον ὧδε, ὕδωρ ὀκλακύτι. ἀπὸ τοῦ ἐσχατίου μέρους τῆς θαλάσσης, ἵνα τὴν ἐμὴν τὴν κακόνυμφον νύμφην καὶ κακοπάρθενον παρθένον λούσω ἐν λουτροῖς παυσταίοις.* I.

κρείσσων: ἐπικρατεστέρα ὑπάρχει. Fl. 6. 9. 10. 21. 33. 56. 59. 70. *ἰσχυροτέρα.* Gr. *ἐπικρατεστέρα. ὁραστικωτέρα.* Gu. *κρείσσων ὁ καλλίων καὶ κρείσσων ὁ ἐπικρατέστερος, ὡς τὸ κρείσσων γέγονεν ἡ νόσος τῆς ὑγείας. ἥγουν ἐπικρατεστέρα. νικήσασα τὴν ὑγείαν.* Gr. *κακὸς: δοκεῖ.* Fl. 17. *παρὰ τῷ πλήθει κακὸς νομίζεται ὁ μή τι δρῶν κακόν.* M. Fl. 25. *νομίζεται παρ' ἐκείνοις, ὡς οὐχ ἑπόμενος αὐτοῖς καὶ τὰ αὐτῶν πράττων αἴσχιστα.* Gu. *παρὰ τοῖς κακοῖς νομίζεται.* Fl. 10. *εἰ δὲ καὶ ἐστί τις ἐσθλὸς ἐν ἐκείνοις ὃς μηδὲν ἰδὰν ἢ ποιήσων τῇ ἐκείνων κακοπραγίᾳ, πονηρὸς καὶ οὗτος καλεῖταί τε καὶ νομίζεται.* Fl. 21.

609. *ἄγγος: ἀγγεῖον.* M. *ἀρχαία λάτρι: παλαιὰ δούλη, ἀντὶ τοῦ γραῦ. λάτρις δὲ ἡ μετὰ φόβου δουλεύουσα, παρὰ τοῦ λα ἐπιτατικοῦ μορίου καὶ τοῦ τρεῖν τὸ φοβεῖσθαι.* B. a m. sec. *λάτρις ἡ μετὰ φόβου δουλεύουσα παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ τρεῖν, ὃ σημαίνει τὸ φοβεῖσθαι.* B. Fl. 6. 10. 25. *φησὶν ἡ Ἑκάβη πρὸς τὴν θεράπαιναν, καὶ ἔστι Ἀττικόν· λείπει γὰρ τὸ μέρις ἕνεκα τῆς ποντίας ἁλός.* Fl. 33. *παλαιὰ ὑπηρέτις, δούλη.* M.

610. *βάψασ': βάπτειν ἐστὶ τὸ χαλᾶν τι εἰς ὕδωρ, ἢ εἰς ἕτερόν τι ὑγρόν.* Gr. I. *ὅμιλον τὸ ἔφαγε τοῦ ἄρτου καὶ ἔπιε τοῦ ὕδατος.* Gr. I. *βάψασ': πλήσασα.* Fl. 17. *ἀφήσασα κατὰ τοῦ ὕδατος.* Gr. *πληρώσασα.* Gu. *δεῦρο: ἐνταῦθα.* Fl. 17. Gu.

12. *τῷ πλήθει*] *τοῦ πλήθους* Fl. 25.

18. *ἄγγος*] *τεῖχος* in textu M.: sed *τ' ἄγγος* in A. Glossema *ἀγγεῖον* est etiam in Gr.: in Gu. *λέγεται ἄγγος καὶ τὸ ὄρος.*

19. Verba *ἡ μετὰ φόβου δουλεύουσα, παρὰ τοῦ λα, ἐπιτατικὸν δὲ τὸ μόριον, καὶ τοῦ τρεῖν*:—sunt in M. Sic etiam A. qui *παλαιὰ ὑπηρέτης ἀντὶ τοῦ γραῖα. ἡ μετὰ—λα ἀττικὸν μόριον καὶ τοῦ τρεῖν, ὃ σ. τὸ φ.* :—

25. *ἢ εἰς ἕτερόν τι*] *ἤ τι ἕτερον* Gr.

26. *ὅμιλον*] *ὅμιον δὲ τοῦτο* I., quod aut *ὅμιον δὲ τούτῳ* scribendum erat aut proximum *τὸ* in *τῷ* mutandum.

ib. *ὕδατος*] *ὕδου* I.

611. ὡς: ἵνα. B. Gr. ἵνα, ὅπως. M. παῖδα: τὴν θυγατέρα τὴν ἐμήν. Gr. πανυστάτοις: ὑστέροις, τελευταίοις. Fl. 17. ἀντὶ τοῦ τοῖς ὑστάτοις. Fl. 6. 9. 21. 56. 59. 76. ἐσχάτοις. Fl. 33. Gr.

612. νύμφην: Ἀχιλλέως. Fl. 10. ὡς μνηστευθεῖσαν τῷ Ἀχιλλεῖ. Gu. ἄνυμφον: ἐν ἴσῳ τῷ κακόγαμον. M. κακόνυμφον. Gr. ὡς μὴ τῆς μνηστείας τετελεσμένης. Gu. ἀπάρθενον: ἤγουν ὑστυχῆ παρθένον. Fl. 6. 9. 10. 21. 56. 59. 76. Gr. σημείωσαι τὸ τραγικὸν ἔθος νύμφην ἄνυμφον ἔσεσθαι. παρὰ τὸ πυκνότερον τοὺς ποιητὰς οὕτως κεχρῆσθαι, λέγοντας γάμον ἄγαμον, ἤτοι κακόγαμον, καὶ νῦν λέγει νύμφην τ' ἄνυμφον καὶ παρθένον τ' ἀπάρθενον. Fl. 33. πρὸς τὸ τραγικὸν ἔθος. νύμφη, διότι ἔμελλε καλλωπίσαι ταύτην καὶ προθήσειν, ἄνυμφος δὲ διότι οὐκ ἔζη, ἀλλὰ ἀπέθανεν. Fl. 59. ἀπάρθενον: κακοπάρθενον. Gr. εἰς κακὸν τὴν παρθενίαν φυλάξασαν. Gu. οἱ μὲν τὸ ἀπάρθενον ἀντὶ τοῦ κακοπάρθενόν φασιν, ἐμοὶ δὲ οὐχ οὕτω δοκεῖ, ἀλλ' εἰποῦσα "νύμφην τ' ἄνυμφον" νύμφην μὲν ὡς μνηστευθεῖσαν τῷ Ἀχιλλεῖ, ἄνυμφον δὲ ὡς τῆς μνηστείας μὴ τελεσθείσης, ἐπήγαγε πρὸς μὲν τὸ νύμφην τὸ ἀπάρθενον, πρὸς δὲ τὸ ἄνυμφον τὸ παρθένον. Gu. I. τὸ ᾱ σημαίνει ἑπτά, ὡς τὸ ἀοίκητος, ὁ μὴ ἔχων οἰκίαν. ἐπίτασιν, ὡς τὸ ἄξυλος ὕλη. ὁμοῦ, ὡς τὸ ἄκοιτις ἡ ὁμόκοιτος. κακόν, ὡς τὸ ἄφωνος ὁ κακόφωνος. ὀλίγον, ὡς τὸ ἀμαθὴς ὁ ὀλιγομαθής. ἄθροισιν, ὡς τὸ ἅμα ἀντὶ τοῦ ὁμοῦ, καὶ πλεονασμὸν, ὡς τὸ πᾶς ἅπας. A.

613.—615. προθῶμαι: εἰς τὸ μέσον θήσω, ὡς μὲν ἀξία, ἐστὶ δηλονότι, πόθεν; οὐδαμῶς δυναίμην. (τὸ πόθεν καὶ τὸ οὐδαμῶς ταυτὸ σημαίνει· διαφέρουσι δὲ κατὰ τοῦτο, ὅτι τὸ μὲν πόθεν ἐμφαίνει ἐρώτησίν τινα, τὸ δὲ οὐδαμῶς τελείαν ἀπόφασιν.) ὡς δὲ ἔχω καὶ δύναμαι ποιήσω. ταῦτα λέγει ἀποβλέπουσα πρὸς τὴν πρόσθεν αὐτῇ προσοῦσαν εὐδαιμονίαν καὶ τὴν νῦν ἀπορίαν. I. τὸ τε τοῦ

7. δυστυχῆ παρθένον etiam in M.
8. ἔθος] ἔθνος Fl. 33. Correxi ex scholio quod B. a m. sec. habet, νύμφην δὲ ἄνυμφον καὶ παρθένον ἀπάρθενον· ἐν ἴσῳ τὸ (corr. τῷ) κακόγαμον καὶ δυστυχῆ παρθένον. σημείωσαι δὲ πρὸς τὸ τραγικὸν ἔθος:—
11. τραγικὸν] στρατιωτικὸν Fl. 33.
12. προθήσειν scripsi pro προθῆσαι.
15. εἰποῦσα] εἰπὼν Gu.
16. τῆς μ. μὴ τελεσθείσης] μὴ τῆς μνηστείας τετελεσμένης Gu.
ib. μὲν τὸ] μὲν τὴν I.
27. ταῦτα King. πόθεν ταῦτα I.
28. τὸ τε τοῦ] τὸ δὲ King.

κόσμον τ' ἀγείρασα πρὸς τὸ ὡς δ' ἔχω οὕτως ἐστὶν, ἀξίως μὲν οὐκ ἂν δυναίμην αὐτὴν λοῦσαί τε καὶ προθέσθαι· ὡς δὲ ἔχω, ποιήσω τοῦτο καὶ ἀγείρασα κόσμον ἀπὸ τῶν αἰχμαλωτίδων. Gu. I. προθῶμαι: προθήσω. Fl. 6. 10. ποιήσω. Fl. 56. προθήσω ἀντὶ τοῦ θάψω. M. Fl. 21. θάψω. Fl. 10. 17. νεκρὸν ἔμπροσθεν πολλῶν θήσω. Gr. εἰς μέσον θήσω. Gu. ὡς δ' εὐπορῶ, προθήσω. M. ὡς: καθά. Fl. 59. 76. ἀξία: ὑπάρχει. Fl. 59. 76. ἐστί. Fl. 17. πόθεν: οὐδαμῶς. Gr. γράφεται πόθεν, ἀντὶ τοῦ ἀπό τινος πράγματος. Gr. προθῶμαι: προθήσεμαι. ἀντὶ τοῦ θάψω, ὡς μὲν ἀξία ἡ παρθένος προτεθῆναι οὐκ ἂν δυναίνην προθεῖναι αὐτήν· πόθεν γάρ; ὡς δὲ ἔχω προθῶμαι αὐτὴν κόσμον ἀγείρασα παρὰ τῶν αἰχμαλωτίδων, ἵν' ἧ περιττὸς ὁ τε. τὸ πόθεν δὲ ἀντὶ τοῦ οὐδαμῶς. ἔστι δὲ ἐπίρρημα ἀρνήσεως. B. a m. sec. ὡς μὲν ἀξία ἐστὶν ἡ παρθένος προθῶμαι αὐτὴν, πόθεν; μὴ ἔχουσα τὰ ἄξια αὐτῆς· ὡς δὲ δύναμαι προθῶμαι αὐτὴν κόσμον ἀγείρασα αἰχμαλωτίδων πάρα. ἵν' ἧ περιττὸς ὁ τε. ὡς μὲν ἀξίως αὐτὴν προθῶμαι οὐκ ἂν δυναίμην, ὡς δὲ ἔχω, οὕτως αὐτὴν προθῶμαι. A.B.M. Fl. 59. προθήσω ἐπὶ τῷ κλαῦσαι αὐτήν. ὡς μὲν ἀξία, πόθεν; ἐπεὶ γὰρ βασιλὶς ἦν, ἀξία ἦν καλλωπισθῆναι ἐν τῷ θανάτῳ αὐτῆς, ὡς νύμφης, πολυτελῶς, οἷα τὰ τῶν βασιλέων. μὴ ἔχουσα δὲ ἡ Ἑκάβη λέγει πόθεν, ἀντὶ τοῦ οὐδαμῶς ἔχω τινὰ καλλωπίσματα ἁρμόζοντα τῇ θυγατρί μου. τοιοῦτον γάρ ἐστι τὸ πόθεν, ἤγουν πόθεν ἔχω εὑρεῖν ταῦτα; οὐδαμῶς· οὐκ ἂν δυναίμην, οὐκ ἔχω, οὐκ εὐπορῶ τῶν ἁρμοζόντων. ὡς δὲ ἔχω, προθήσω τὰ κατ' ἀξίαν μὴ ἔχουσα. τί γὰρ πάθω; εἰ πολλάκις ἀπὸ τῶν αἰχμαλωτίδων τινὲς λαθοῦτες ἑαυτῶν δεσπότας, ὅτε ἐν τῇ Τροίᾳ ἐσκύλευον, παρεκρίψαντό τινες κόσμους αὐτῶν, τούτους ἀραμένη, καὶ καλλωπίσασα προθήσω αὐτήν. Fl. 59. πόθεν: γρ. καὶ τυχεῖν. M.

614. δυναίμην: κοσμῆσαι. Fl. 17. οὐ μὴ δυνηθῶ. Fl. 56.

1. ἔχω—λοῦσαι] ἔχω ἐστὶν οὕτω, ὡς μὲν ἀξία ὑπάρχει δηλονότι, οὐκ ἂν δυναίμην λοῦσαί I.

12. Verba πόθεν ἀντὶ τοῦ οὐδαμῶς ἐπίρρημα ἀρνήσεως sunt etiam in M. Fl. 25. Gu.

14. προθῶμαι] πρόθωμαι hic et infra B. Proxima πόθεν; μὴ—προθῶμαι αὐτὴν addidi ex A.

ib. αἱ. πάρα] παρὰ τῶν αἱ. Fl. 59.

16. ὡς μὲν—πρόθωμαι] Rectius Fl. 25. ὡς μὲν ἀξία αὐτὴν προθεῖναι, οὐκ ἂν δ. ὡς δὲ ἔ. οὕ. α. προτίθημι, MATTH. αὐτὴν προτίθημι etiam A.B.

ib. ἀξίως] ἀξία B. Fl. 59.

ὡς δ' ἔχω: καθὼς δὲ δύναμαι προθῶμαι. Fl. 6. 9. 21. 56. 59. 76. Gu. ὡς δὲ ἀπορῶν προτίθημι. B. προθήσω ὡς εὐπορῶ. Fl. 10. τί γὰρ πάθω: ἤγουν τί ποιήσω; τὸ γὰρ πιεῖν πάθος ἐστὶν. ἐπειδὴ ὁ ποιῶν τι πάσχει τρόπον τινὰ κατ' αὐτὸ τὸ ποιεῖν. Gu.

615.—618. κόσμων: καλλωπισμὸν ἀγείρασα παρὰ τῶν αἰχμαλωτίδων, αἳ εἰκεῖσιν ἔνδυν τῶνδε τῶν σκηνῶν σύνεικι ἐμοί, ἐάν τις λαβεῖσα τοὺς νεωστὶ δεσπότας, ἤγουν τοὺς Ἕλληνας, ἔχει τι κλέμμα τῶν ἑαυτῆς δόμων. I. κόσμων τῶν αἰχμαλωτίσων λέγει χρυσία, ἱμάτια καὶ ἄλλ' ἄττα. ἵνα δὲ μή τις αὐτῷ ἐναντιωθῇ, ὡς αἰχμαλώτισες οὖσαι οὐδὲν οὐδ' ὁτιοῦν κέκτηνται, φησὶν, εἴ τις ἔλαβε τοὺς ἑαυτῆς δεσπότας καὶ ἔχει τι τῶν οἰκείων, κλέψασα τοῦτο τοὺς δεσπότας καὶ μὴ ὑπ' ἐκείνων ἀφαιρεθεῖσα. Gu. I. κόσμος τὸ πᾶν, καὶ ὁ καλλωπισμὸς, καὶ τὸ κατὰ τάξιν, οἷον κατὰ κόσμον ἔκειντο τὰ ὅπλα. Fl. 25. Gr. ἐγκόσμια. Fl. 56. περιττὸς ὁ τε. Gu. ἀγείρασ': ἀθροίσασα. Fl. 6. 9. 21. 56. 59. 76. Gr. συνάξασα. Fl. 56. συναθροίσασα. Fl. 33. αἰχμάλωτος ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ, καὶ αἰχμαλωτίς ἐπὶ θηλυκοῦ. Gr. πάρα: ἀπό. B.

616. πάρεδροι: συγκάτοικοι. B. ἐγκάτοικοι. Fl. 17. παρακαθήμεναι, παραμένουσαι. Fl. 6. 9. 21. 56. 59. 76. Gr. συγκάθεδροι. Gu. σκηνωμάτων: τῶν σκηνῶν. Gr. κατοικιῶν. Gu. κατὰ τοῦτο λέγεται καὶ σκήνωμα τὸ τοῦ ἀνθρώπου σῶμα διὰ τὸ πρὸς χρόνον βραχὺν κατοίκησιν εἶναι τῆς ψυχῆς. σκηνὴ γὰρ καὶ σκήνωμα ἡ πρὸς χρόνον βραχὺν ὡς ἔτυχε γενομένη οἰκία ἢ τέντα ἢ ἄλλο τι τοιοῦτον. Fl. 25. Gr.

617. εἴ τις: ἀπὸ πληθυντικοῦ μεταπίπτει εἰς ἑνικὸν, ὅσως διὰ τὸ μὴ ἔχειν ἀπάσας. Gr. δεσπότας: Ἕλληνας. M.

619. κλέμμα: κλοπή. B. τῶν: ἀπό. B.

619.—628. ὦ σχήματ' οἴκων: ὦ καλλωπισμοὶ τῶν οἴκων, ὦ δόμοι οἱ ποτὲ εὐτυχεῖς. ὦ Πρίαμε εὐτεκνώτατε. ὁ ἔχων πλεῖστα καὶ πολλὰ καὶ κάλλιστα, ἡ γεραιά τε ἐγὼ αὐτὴ ἡ μήτηρ τῶν τέκνων,

1. καθὼς] καθὰ Gu.
9. ἵνα δὲ] ἵνα δὴ I.
ib. αἰχμαλώτιδες] Frequens in libris accentus pro αἰχμαλωτίδες.
10. οὖσαι om. I.
11. ἔχει] ἔχειν I.
22. ψυχῆς] ψυχῆς τοῦ ἀνθρώπου Fl. 25.
23. τέντα] *Tentorium*. Vid. Ducang.

λίαν ἤλθομεν εἰς τὸ μηδὲν, στερηθέντες τῆς πρώην ἐπάρσεως. εἶτα δῆτα καὶ ἐπαιρόμεθα, ὁ μέν τις ἐν δώμασι πλουσίοις, ὁ δὲ τίμιος κεκλημένος ἐν πολίταις. τὰ δὲ, ὁ πλοῦτος καὶ τὰ τοιαῦτα, οὐδέν εἰσι ὀνηλούτι· μάτην αἱ στρεφαὶ τῶν λογισμῶν καὶ ἡ μεγαλορρημοσύνη. ἐκεῖνος δ' ἐστὶν εὐτυχέστατος, ᾧτινι καθ' ἡμέραν, ἤγουν κατὰ τὴν ζωὴν, μηδὲν ὑπάρχει κακόν. I.

ὦ σχήματ' οἴκων: *ἀπιδοῦσα ἡ Ἑκάβη πρὸς τὴν προτέραν αὐτῆς τύχην καὶ τὴν νῦν δουλείαν φησὶ, τῶν πραγμάτων οὕτως ἐχόντων, καὶ τοῦ μὲν πρόσθεν εὐδαίμονος ὄντος νῦν δυστυχοῦς, τοῦ δὲ πρὶν δυστυχοῦς νῦν εὐδαίμονος, εἶτα ἐπαιρόμεθα, ὁ μὲν ἐν πλούτῳ, ὁ δὲ ἐν πολιτικῇ τιμῇ. ταῦτα δὲ πάντα, ὅ τε πλοῦτος καὶ ἡ δόξα τά τ' ἄλλα τἀνθρώπινα, οὐδέν ἐστιν, ἄνω καὶ κάτω τῆς τύχης Εὐρίπου δίκην ἰούσης. τὸ δὲ εἶτα ἢ κατ' ἐρώτησιν, ἢ ἀποφαντικὸν καὶ συλλογιστικόν. τὸ δὲ ἄλλως φροντίδων βουλεύματα, ἤτοι διανοήματα. τουτέστι ματαίως φροντίζουσι περὶ τούτων οἱ ἄνθρωποι· τὸ γὰρ φροντίδων βουλεύματα ἀντὶ τοῦ φροντίδες, περιφραστικῶς.* Gu. I.

ὦ σχήματ' οἴκων: *τύποι καλλωπισμάτων.* Fl. 17. *κάλλη, εὐπρέπειαι καὶ σχηματισμοί.* Gu. *ἐνθυμηθεῖσα ἡ Ἑκάβη ὅτινα εἶχε πλοῦτον καὶ καλλωπισμὸν, νῦν δὲ μὴ ἔχουσα κοσμῆσαι τὴν Πολυξένην, ἀποκλαίεται.* Fl. 59. *λέγουσα περὶ κόσμου ἀνεμνήσθη ὧν εἶχε, καὶ περὶ ἐκείνων λέγει μετὰ θρήνου ποιεῖται, ἀφεῖσα τὸν προκείμενον αὐτῆς λόγον.* Gr. *ὅτε ἐβασίλευον. ταῦτα δὲ λέγει ἀποβλέπουσα πρὸς τὴν πρόσθεν αὐτῇ προσοῦσαν εὐδαιμονίαν καὶ τὴν νῦν ἀπορίαν.* Gu.

620. *πλεῖστα*: *πολλά.* Fl. 33. *πράγματα.* Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. *κτήματα ἢ τέκνα.* Gu.

621. *τέκνων*: *τῶν τέκνων τοῦ Πριάμου, ἤγουν καὶ ἐγὼ ἥδε ἡ γραῖα, ὡς συμμετέχουσα ἐκείνῳ τῆς εὐτεκνίας.* Fl. 6. 9. 21. 56. 59. 76.

622. *ὡς*: *λίαν.* Gr. *ὄντως.* Gu. *τὸ ὡς καὶ τὸ εἰς ἐκ παραλ-*

7. *ὦ—*] Ἄλλως praefixum in I.

ib. *ἀπιδοῦσα*] *πιδοῦσα* Gu. pr., omissa ut solet litera initiali ab rubricatore addenda, cujus litera rubra nunc obliterata, imposito ε atro. Eodem errore eadem manus in initio scholii 643. (p. 383, 6.) Ἂν posuit, obliterata rubricatoris litera quae haud dubie ε fuit.

9. *ὄντος* om. I.

11. *πολιτικῇ*] *πολλῇ* I.

13. *ἀποφαντικὸν*] *ἀποφατικὸν* I.

λήλευ· τὸ γὰρ ὡς, ὅτε ἐπὶ κινήσεως τίθεται, ἀντὶ τῆς εἰς λαμβάνεται. οἱ δὲ τὸ ὡς ἀντὶ τοῦ ὄντως ἢ λίαν ἐνταῦθα λέγοντες καὶ οὕτοι δοκοῦσιν εὖ λέγειν. Gu. ὡς εἰς τὸ μηδέν: λιάν εἰς τὸ εὐτελές. φρονήματος δὲ τοῦ πλούτου καὶ τῆς πράγη ἐπάρσεως. B. τὸ μηδέν: ἤγουν εἰς τὸ εὐτελές. Fl. 10. 17. ἤκομεν: κατέστημεν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. φρονήματος: δόξης, πλούτου. Fl. 17. τοῦ πλούτου. M. φρόνημα ἐνταῦθα τὴν ἐκ τοῦ πλούτου λέγει ἔπαρσιν καὶ τὴν δόξαν· φρόνησις δὲ κυρίως ὁ νοῦς καὶ ἡ καθεστηκυῖα σύνεσις. A. Gu. ἐπάρσεως. Gr. ὑπερηφανίας πλούτου, βασιλείας, εὐτυχίας, τῆς πρόσθεν ὑπεροχῆς καὶ λαμπρότητος. Gu.

623. πρίν: ἔμπροσθεν. Florr. πρώην. Gu. στερεύντες: στερηθέντες. Gr. στέρημι Αἰολικῶς, καὶ ὁ παρατατικὸς ἐστέρην, ἡ μετοχὴ ὁ στερεὶς, τοῦ στερέντος. Gu. εἶτα δῆτ' ὀγκούμεθα: ὑπονοούμεθα, ὑπερηφανευόμεθα. ἐν ἐρωτήσει δὲ ὁ λόγος καὶ ἤθει ἕως τοῦ "τὰ δ' οὐδέν." B. ὁ μέν τις ἀφ' ἡμῶν ἠλαζονεύετο τοῖς πλουσίοις δώμασιν, ἤτοι τοῖς ποικίλοις, τοῖς λαμπροῖς, οἷς εἶχε πρότερον, ὁ δὲ ἠλαζονεύετο ἐν τῇ ἀρχῇ, ἐν τῇ ἐξουσίᾳ· οἱ γὰρ ἄρχοντες παρὰ τοῖς πολίταις, ἤτοι τοῖς ἀρχομένοις, τίμιοι καλοῦνται. ταῦτα δὲ οὐδέν εἰσι. Fl. 59. ὀγκούμεθα: ἀπονοούμεθα. M. ἐπαιρόμεθα, μεγαλαυχοῦμεν. Fl. 6. 9. 21. 56. 59. 76. Gr. οἱ ἄνθρωποι. Fl. 33. εἶτα δῆτ' ὀγκούμεθα: ἐπειδὴ εἶπε καὶ ἀνεκαλέσατο τοὺς αὐτῆς δόμους τοὺς πρὶν εὐτυχεῖς, εἶπε δὲ καὶ ὅτι συναγείρω κόσμον ἐκ τῶν αἰχμαλωτίδων, ἐὰν ἔχωσί τι καὶ θάλῳ κοσμίως καὶ πλουσίως τὴν Πολυξένην, μετέγνω καί φησιν, εἰς τὸ μηδὲν ἤκομεν. εἶτα δὴ νῦν ὀγκούμεθα καὶ ἐπαιρόμεθα καὶ ζητοῦμεν θάψαι πολυτελῶς τὴν Πολυξένην. A.

624. πλουσίοις: ὑπερηφάνοις. Gu.

625. τίμιος: ἔνδοξος. Gu. κεκλημένος: πεφημισμένος. Fl. 17.

626. τὰ δ' οὐδέν: ταῦτα πάντα, ἤγουν ἡ τιμὴ τῶν πολιτῶν. B. ταῦτά εἰσιν. Gr. ὁ πλοῦτος, ἡ τιμὴ, τά τ' ἄλλα. ἐνταῦθα λέγει καὶ τὰς βουλὰς καὶ τὰ πάντα τοῦ βίου ὡς μάτην ἔχουσιν. Gu.

14. ὑπονοούμεθα—οὐδέν] Pars scholii est in Gr. et Fl. 33. 59. ἐν ἐρωτήσει (ἐν ἤθει Gr.) ὁ λ.—τὰ δ' οὐδέν.

ἄλλως: ματαίως. M. ἄλλως φροντίδων: τοῦτο κατ' ἰδίαν ἀναπεφώνηται. μάτην εἰσὶν τὰ βουλεύματα καὶ τὰ τῆς γλώττης καυχήματα. B. τὸ ἄλλως καὶ μάτην. εἰ μὲν ἓν λ γράφεται, ἀπὸ τοῦ ἄλη ἡ πλάνη γίνεται· οἱ γὰρ πλανώμενοι μάταιοί εἰσιν· εἰ δὲ δύο λλ, ἤγουν ἄλλως καὶ ἀλλοτρόπως ἔχει τὸ πρᾶγμα παρὸ λέγεις σὺ, ἤγουν οὐκ ἔχει οὕτως. ἀπὸ δὲ τούτου συνάγομεν τὸ ματαίως ἤγουν μάτην λέγεις. Fl. 59. φροντίδων: λογισμῶν. Gr. φροντίδων βουλεύματα: ἤγουν φροντίδες Ἀττικῶς. Gu. βουλεύματα: στροφαί. Gr. ἐφευρήματα, διανοήματα. Gu. μάταιά εἰσι τὰ βουλεύματα τῶν φροντιδων, ἤτοι οἱ ἐγκαυχώμενοι ἐπὶ τῷ πλούτῳ καὶ τῇ δόξῃ αὐτῶν μάτην καυχῶνται, μὴ γινώσκοντες ποῦ μέλλει ἀποβῆναι ὁ βίος αὐτῶν καὶ ἡ ἀρχή. Fl. 59.

627. γλώσσης τε κόμποι: καὶ μεγαλορημοσύναι. Gr. ἐπάρσεις, μεγαλαυχήματα, ῥητορεῖαι. Gu. καυχήσεις. Fl. 10. 17. καυχήματα. Fl. 21. 59. μάτην εἰσὶ τὰ βουλεύματα καὶ ἐφευρέματα τῶν φροντίδων καὶ ἐπινοιῶν, οἱ κόμποι τε καὶ αἱ μεγαλορρημοσύναι, καὶ αἱ κενοδοξίαι, καὶ αἱ γαυριώσεις καὶ αἱ ῥητορεῖαι τῆς γλώσσης. Fl. 33. ὀλβιώτατος: εὐτυχέστατος. Gr. εὐδαίμων ὑπάρχει. Gu. ἐκεῖνος δὲ ὀλβιώτατος, πλουσιώτατος, μακαριστὸς, ᾧτινι μηδὲν ἐπέλθῃ λυπηρὸν παντὶ τῷ βίῳ αὐτοῦ, ἀλλὰ τυγχάνει χωρίς τινος θλίψεως. Fl. 59.

628. κατ' ἦμαρ: κατὰ τὴν ζωήν. B. καθ' ἑκάστην ἡμέραν. M. Fl. 10. καθ' ἡμέραν, ἤγουν κατὰ τὴν ζωήν. Gr. κατὰ τὴν παροῦσαν ζωὴν, παρ' ὅλην τὴν ζωήν. Gu. μηδὲν κακόν: μηδεμία δυστυχία. Fl. 6. 9. 21. 56. 59. 76. Gr. τυγχάνει: ὑπάρχει, συμβαίνει. Gu.

629.—648. ἐμοὶ χρὴν συμφοράν: ἤτοι ἀπέκειτο γενέσθαι βλάβην, ἐξ ἐκείνου τοῦ καιροῦ δηλονότι, ὅτε κατὰ τὴν ἀρχὴν ἔκειρεν ὁ Ἀλέξανδρος ὕλην ἀπὸ ἐλάτης δένδρου, πλεύσων ἐπὶ τὸ κῦμα τὸ θαλάσσιον διὰ τὰ λέκτρα τῆς Ἑλένης, ἣν ὡραιστάτην ὁ λαμπρὸς βλέπει ἥλιος. πόνοι γὰρ καὶ ἀνάγκαι ἐπικρατέστεραι τῶν πόνων κυκλοῦσιν, ἡμᾶς δηλονότι. κοινὸν δὲ κακὸν ἀφανιστικὸν ἐξ ἰδίας μωρίας ἐπῆλθε τῇ Τρωϊκῇ γῇ συμφοραί τε, ἀπ' ἄλλων συμφορῶν

1. ἀναπεφώνηται] πεφώνηται Fl. 2. καυχήματα etiam M. 33. 59. qui reliqua omittunt. 31. ἐπικρατέστεραι] ἐπικρατέστεροι I.

δηλονότι. ἐκρίθη δὲ, ἀντὶ τοῦ διεκρίθη, ἡ ἔρις, ἀν, ἀντὶ τοῦ δι' ἣν ἔριν ἐδίκασεν ἐν τῇ Ἴδῃ τὰς τρεῖς θυγατέρας τῶν θεῶν ὁ βουκόλος Ἀλέξανδρος. ἐπὶ πολέμῳ καὶ φόνῳ καὶ βλάβῃ τῶν ἐμῶν οἰκημάτων. I. οἷον αὐτὴ.....ὡς ἄξιον τὴν Ἑλένην. ἀλλ...μοι.....
χρῆν πήματα.....χρὸς αὐτὴν ἀνακλαίεται, καί φησιν, ἐμοὶ ἀπέκειτο συμφορὰν καὶ πημονὴν γενέσθαι ἀπ' ἐκείνης τῆς ἡμέρας, ἀφ' ἧς ὁ Ἀλέξανδρος ἔτεμε τὴν ἀπὸ τῆς Ἴδης τοῦ ὄρους ὕλην τὴν ἐλατίνην (ἐλάτη δὲ εἴδός ἐστι δένδρου), ναυστολήσων εἰς τὴν θάλασσαν διὰ τὰ λέκτρα Ἑλένης, ἤγουν διὰ τὴν κοίτην τῆς Ἑλένης. εἰς ἣν ὁ ἥλιος λάμπει, πόνει δὲ μείζονες ἐπέρχονται, καὶ κοινὸν τῇ Σιμουντίδι γῇ ἐπεισῆλθεν ἐξ ἰδίας ἀνοίας, ἤγουν ἐκ τῆς τοῦ Ἀλεξάνδρου. Ἴδιον γὰρ τὸ χωρὶς, ἡ δὲ σύνταξις οὕτως· ἐμοὶ χρῆν συμφορὰν, ἐμοὶ χρῆν πημονὴν γενέσθαι πρῶτον ὅτε ὁ Ἀλέξανδρος ἔτεμε τὴν Ἰδαίαν ὕλην μέλλων αὐτομολῆσαι ἐπὶ κῦμα θαλάσσης ἐπὶ τὰ τῆς Ἑλένης λέκτρα. ἣν αὐγάζει ὁ χρυσοφαὴς ἥλιος, ἀντὶ τοῦ εἰς ἣν λάμπει ὁ ἥλιος. A.

629. ἐμοὶ χρῆν συμφορὰν: ἔδει μοι ἄρα, ὡς ἔοικε καὶ εἱμαρμένον ἦν. συμφορὰν γενέσθαι. B.M. αὕτη μοι ἀρχὴ συμφορᾶς ὅτε ἐναυπηγήσατο ὁ Ἀλέξανδρος ὡς ἄξων τὴν Ἑλένην. B.M. ἀπέκειτο ἐμοὶ συμφορὰν γενέσθαι, ἀπέκειτο ἐμοὶ βλάβην γενέσθαι, ὅτε πρῶτον ὁ Ἀλέξανδρος ἐτάμετο τὴν Ἰδαίαν ὕλην τὴν εἰλατίνην, ἤγουν τὰ ἀπὸ τῆς Ἴδης τοῦ ὄρους δένδρα τὰ ἐλάτινα, στόλον νηῶν μέλλων κινήσειν ἐπὶ τὸ κῦμα τὸ θαλάσσιον ἐπὶ τὴν κοίτην τῆς Ἑλένης, ἣν εὐειδεστάτην λάμπει ὁ χρυσοφαὴς ἥλιος. Gr. Bar. 74. ἀπέκειτο καὶ εἱμαρμένον μοι ἦν παθεῖν συμφορὰν ἀπ' ἐκείνης τῆς ἡμέρας, ἧς πρῶτον καὶ κατὰ τὴν ἀρχὴν ἔκοψεν ὁ Ἀλέξανδρος ἀπὸ τῆς Ἴδης τὰ ἀπὸ ἐλάτων δένδρων ξύλα μέλλων ἀπελθεῖν ἐπὶ τὰ λέκτρα τῆς Ἑλένης, ἥντινα τὴν Ἑλένην τὴν καλλίστην λαμπρύνει ὁ χρυσοφαὴς ἥλιος, ἤγουν τὴν ὡραιστάτην· ἑτέραν γὰρ ὡραιστάτην ταύτης ὁ χρυσοφαὴς ἥλιος οὐκ ἐθεάσατο. Fl. 59.

χρῆν: ὑπῆρχεν, ἀπέκειτο. B. Gr. εἱμαρμένον ἦν, χρεὼν ὑπῆρχε. ὁ χορὸς ἑαυτὸν ἀνακλαίεται. Gu.

4. οἷον—] In A. lemma praefixum Ἰδαίαν ὅτε πρῶτον.
16. καὶ εἱμαρμένον ἦν hic om. M., sed habet separatim εἱμαρμένον μοι.
18. ὁ Ἀλέξανδρος om. Bar.
20. τὴν εἰλατίνην—στόλον] τὴν ἀπὸ ἐλάτης δένδρου στόλον Bar.
30. ὑπῆρχεν om. Gr.

630. πημονάν: βλάβην. Gu. γενέσθαι: παραγενέσθαι. Gr. ὑπάρξαι. Fl. 17.

631. Ἰδαίαν: τὴν ἀπὸ τῆς Ἴδης τοῦ ὄρους. Gr. Fl. 59. δύο Ἴδαι, μία ἐν τῇ Τροίᾳ. καὶ ἑτέρα ἐν τῇ Κρήτῃ. Gr. ὅτε: ἀφ' οὗ καιροῦ. Gr. Fl. 17. ὕλαν: τὰ ξύλα λέγει τῶν καραβίων. Fl. 59. ὕλη ἤγουν τὰ δένδρα. Gr.

632. εἰλατίναν: ἀπὸ ἐλάτης δένδρου. Fl. 6. 9. 21. 56. 59. 76. εἶδος δένδρου ἐπιτήδειον εἰς κατασκευὴν νηῶν· ὄρθιον γὰρ καὶ μακρόν. Fl. 59.

633. ἐτάμεθ': ἔκοψεν. Gr. ἔτεμεν. Gu. ἐπ' οἶδμα: ἐπὶ τὴν θάλασσαν. M. ναυστολήσων: πλεύσων. Gu. Fl. 6. 21. 33. μέλλων πλεῦσαι. B. Fl. 17. στόλον νηῶν κινῆσαι. Gu.

635. ἐπὶ λέκτρα: διὰ τά. B. ἐπὶ τὴν ἁρπαγὴν τῆς Ἑλένης. Fl. 59. διὰ στρωμνάς. Gr. τὴν κοίτην. Gu. λέκτρα πόθεν ἐτυμολογεῖται; ἀπὸ τοῦ λήγω τὸ καταπαύω. Fl. 17. τάν: ἥντινα τὴν Ἑλένην. B.

636. καλλίστων: κρείττω τῶν ἄλλων γυναικῶν. Fl. 59. ὡραιοτάτην. Gr. εὔμορφον. Gu. χρυσοφάης: ὁ χρυσᾶ φάη ἔχων. Gr. ὁ χρυσοῦ δίκην ἀστράπτων. Gu.

637. αὐγάζει: θεωρεῖ, λάμπει. Gr. δεικνύει. διὰ τὸ κάλλος ταύτης τοῦτο εἴρηκεν. Gu. ὁρᾷ, βλέπει. B. ἥλιος ὁρᾷ. M.

638. πόνοι: ὀδύναι. Gr. δυστυχίαι. Gu. αὕτη ἡ κατασκευὴ πρὸς τὸ ἐμοὶ χρῆν συμφοράν. Gu.

639. ἀνάγκαι: βίαι. Gr. δυστυχίαι. Gu. κρείσσονες: ἐπικρατέστεραι τῆς ἡμῶν δυνάμεως. Gr. μείζονες τῶν πρὸ αὐτῶν. Gu. μείζονες καὶ χείρονες. B.M. κυκλοῦνται: περικυκλοῦσιν ἡμᾶς. Gr. ἐπέρχονται, περιλαμβάνουσιν. Gu. ἐπικυκλοῦνται καὶ ἐπιφέρονται. B. ἐπιφέρονται, ἐπικυλίονται. M. Fl. 10. 21. ἐπέρχονται. Fl. 33. κυκλοῦσι γὰρ ἡμᾶς ἀνάγκαι καὶ πόνοι μείζονες τῶν ὧν ἔχομεν πόνων. Fl. 59. ὅταν καὶ νῦν σφαξαμένης. Fl. 10.

8. ἐλάτης] ἐλατίνης Gr. ἐλάτης τῆς Florr.

26. μείζονες κ. χ.] μείζονες, χείρονες, χείρους Fl. 59. 10.

30. ὅταν καὶ νῦν σφαξαμένης] Sic legendum videtur: intricata enim et manca est scriptura. Sequitur forsan de sacrificio Polyxenae. FURIA.

640.—642. *κοινὸν δ' ἐξ*: *κοινὸν δὲ κακὸν ἀφανιστικὸν καὶ συμφορὰ ἐπῆλθεν ἀπ' ἄλλων ἀνθρώπων τῇ Τρωϊκῇ γῇ ἐξ ἰδίας ἀφροσύνης τῆς γῆς δηλονότι· ἡ γὰρ τοῦ Πάριδος ἀφροσύνη οὐκ ἀλλοτρία τῶν Τρώων ἦν.* Gr. Fl. 6. 9. 21. 56. 59. 76. *ἢ καὶ οὕτως· ἐξ ἰδίας ἤγουν μερικῆς ἀνοίας, ἤτοι τοῦ Ἀλεξάνδρου μόνου, κοινὸν κακὸν ἐπῆλθε τῇ Τρωϊκῇ γῇ.* Gr. *ἐκ δὲ τοῦ Πάριδος τῆς ἰδίας ἀνοίας κοινὸν κακὸν καὶ ὀλέθριον ἔμολε τῇ Τροάδι γῇ, οὐκ ἰδίως αὐτῷ τῷ Ἀλεξάνδρῳ, καίτοι αὐτοῦ παρανομήσαντος καὶ ἀδικήσαντος· ἔδει γὰρ μόνῳ τῷ ἐργασαμένῳ γενέσθαι τὸ δεινὸν ἐπὶ τῇ κρίσει τοῦ μήλου, ὅτε ἐν τῇ Ἴδῃ ἔκρινεν ὁ Ἀλέξανδρος ἔχειν τὸ μῆλον τὴν Ἀφροδίτην, τὰς ἄλλας δὲ θεὰς παραβλέψας.* Fl. 33.

640. *κοινὸν δ' ἐξ ἰδίας ἀνοίας*: *κοινὸν δὲ κακὸν ἔμολε τῇ Σιμουντιδε γῇ ἐξ ἰδίας ἀνοίας, ἤγουν τῆς τοῦ Ἀλεξάνδρου, καὶ συμφορὰ ἀπ' ἄλλων, ἤγουν Ἥρας, Ἀθηνᾶς καὶ Ἀφροδίτης. ἐκρίθη δὲ ἡ ἔρις εἰς τὰς τρεῖς θεὰς ταύτας, ἣν κρίνει ὁ βουκόλος Ἀλέξανδρος ἐπὶ βλάβῃ τῶν ἐμῶν δόμων.* Λ. *κοινόν*: *καθολικόν.* Gr. *εἰς πάντας τοὺς Τρῶας.* Gu. *ἰδίας*: *οἰκείας ἢ μερικῆς.* Gr. *ἑνὸς ἀνθρώπου, ἤγουν ἐκ τοῦ Ἀλεξάνδρου.* Gu. *μονομεροῦς, ἤγουν τοῦ Ἀλεξάνδρου ἀγνωσίας.* Fl. 6. *ἀνοίας*: *μωρίας.* Gr. *ἀγνωσίας.* Gu.

641. *Σιμουντίδι γῇ*: *Σιμόεις ποταμὸς παραρρέει τῇ Τροίᾳ καὶ διὰ τοῦτο Σιμουντὶς ἡ ἐκεῖσε γῆ κέκληται.* Bar. 74. Gu. *Σιμουντὶς δὲ λέγεται ἡ Τρωϊκὴ γῆ διὰ τὸ ῥεῖν ἐκεῖσε τὸν Σιμόεντα ποταμόν, ἤγουν τὸν Σκάμανδρον.* Gr. *Σιμουντὶς λέγεται ἡ Τροία ἀπὸ ποταμοῦ Σιμόεντος καλουμένου παραρρέοντος ἐκεῖσε.* Fl. 25.

6. *ἐκ δὲ τοῦ*—] Brevius in M. *ἐκ δὲ τῆς πάριδος ἰδίας ἀνοίας κοινὸν κακὸν ἔμολε τῇ τρῳάδι γῇ. ἔδει δὲ*—*τὸ δεινὸν*:—

ib. *ἐκ δὲ τοῦ*—*δεινόν*] Flor. 59. brevius scholion habet: *ἐκ δὲ τῆς τοῦ Π. ἰδίας ἀνοίας κοινὸν κακὸν ἔμ. τῇ Τρ. γῇ· ἔδει γάρ* etc. Fl. 10. *κἂν καὶ ἔδει μόνῳ τῷ ἐργ.* etc. Fl. 33. *ἀδικήσαντος μόνῳ αὐτῷ τῷ ἐργ. γενέσθαι τῶν δεινῶν.* MATTH. In B. hoc scholion bis legitur, in margine exteriore et interiore, *ἐκ δὲ τῆς τοῦ πάριδος (πριάμου* m. ext.) *ἰδίας ἀνοίας κοινὸν κακὸν καὶ ὀλέθριον (καὶ ὀλέθριον* om. m. int.: in Florentinis est *ὄλεθρον,* omisso *καί*) *ἔμολε τῇ τρωάδι γῇ οὐκ ἰδία*—*τὸ δεινόν,* omissis in marg. int. verbis *οὐκ ἰδία*—*ἀδικήσαντος.* In A. est *ἐκ δὲ τῆς τοῦ πριάμου ἰδίας*—*κακὸν ὀλέθριον*—*εἶδει δὲ μόνῳ*—*δεινόν.*

20. *παραρρέει*] *παραρέει* Gu.

21. *τοῦτο*—*κέκληται*] *τοῦτο ἡ ἐκεῖ γῆ σιμουντὶς καλεῖται* Bar.

ib. *Σιμουντὶς δὲ*] *δὲ* additum quia haec in Gr. adjuncta sunt scholio v. 640. post verba *τῇ Τρωϊκῇ γῇ.*

642. ἀπ' ἄλλων: ἀνθρώπων. Gr. ἤτοι τῶν Ἑλλήνων, ἢ ἀπὸ τοῦ Ἀλεξάνδρου καὶ τοῦ Φερέκλου. Gu. καὶ ἀπὸ ἑτέρων, ἤγουν τοῦ Πάριδος καὶ τῆς Ἑλένης, ἔμελε κοινὴ συμφορά. Fl. 59. συμφορῶν. Fl. 33. μεγαλωτέρα τῶν ἄλλων, ἐξαίρετος καὶ μεγάλη, οἵαν πρὸς τὰς ἄλλας συμφορὰς ἐξηλλαγμένη. M. Fl. 10. 21. 59.

643. ἐκρίθη δ' ἔρις: ὁ δέ ἀντὶ τοῦ γάρ. M. ἐν Πηλέως καὶ Θέτιδος γάμῳ, τῶν τριῶν κεκλημένων θεῶν, Ἥρας, Ἀθηνᾶς, Ἀφροδίτης σὺν ἄλλοις θεοῖς, ἐπεὶ τὴν Ἔριν οὐκ εἶχεν ὁ γάμος, δυσχεράνασα μῆλον κατασκευάζει χρυσοῦν, ἐν ᾧ "τῇ καλῇ τὸ μῆλον" γεγραφυῖα, ἀναβᾶσα ἐπὶ τοῦ τέγους, ῥίπτει τοῦτο παρὰ ταῖς τρισὶ θεαῖς. αἱ δὲ ἀναγνοῦσαι τὸ μῆλον ἤριζον πρὸς ἀλλήλας, ἑαυτὴν ἑκάστη καλλίω τῆς ἄλλης λέγουσα. ἀπελθοῦσαι οἷν παρὰ τῷ Διΐ, ἠξίουν αὐτὸν τῇ μᾶλλον ὥρᾳ λαμπούσῃ διδόναι τὸ μῆλον. ὁ δὲ τὴν κρίσιν ἀποφυγὼν, τῷ μὴ δόξαι πρὸς χάριν ταυτηνὶ πεποιῆσθαι καὶ οὐκ εἰκότως—εἴτε γὰρ ἐδεδώκει τῇ Ἥρᾳ, ὡς γυναικὶ ἂν δεδωκέναι ὑπείληπτο, εἴτε τῇ Ἀθηνᾷ, ὡς θυγατρὶ, εἴτε τῇ Ἀφροδίτῃ, ἀδελφὴν ἂν τιμῶν ἔδοξεν.—τοῦτο οὖν δεδιὼς, καὶ τῆς αἰτίας ἔξω γενέσθαι βουλόμενος, καθίζει κριτὴν ταῖς θεαῖς Ἀλέξανδρον τὸν Πριάμου, βουκόλον ὄντα τότε παρὰ τὴν Ἴδην, ὡς ἀνεπιφθόνως καὶ χάριτος ἔξω δικάσοντα. ἀπελθοῦσαι οὖν παρ' αὐτὸν αἱ θεαὶ σὺν Ἑρμῇ Διὸς ἐπιπέμψαντος ἐκέλευον τῇ κάλλει νικώσῃ τὸ μῆλον δωρήσασθαι, ἐπαγγελλόμεναι καὶ μείζους δώσειν αὐτῷ δωρεὰς, εἰ πρὸς ταύτην, καὶ μὴ πρὸς ἐκείνην, νεύσει τῇ κρίσει. ἡ μὲν γὰρ Ἥρα βασιλείαν, αὐτοῦ μὴ στερηθεῖσα, ὑπέσχετο, ὡς ἔφορος ταύτης· Ἀθηνᾶ δὲ, ἐν πολέμῳ κρατεῖν, καὶ μηδενὶ τῶν ἀντιπάλων ἡττᾶσθαι· πολεμικὴ γὰρ

4. μεγαλωτέρα τῶν ἄλλων om. M.
8. σὺν ἄλλοις θεοῖς om. Gu.
10. γεγραφυῖα] ἐπιγράψασα I. Idem mox ἐπί et τρισί om.
ib. ἐπὶ om. Gu.
ib. τοῦτο] τουτὶ Gu.
ib. τρισὶ om. Gu.
11. αἱ δὲ] αἳ δὴ I.
12. οἷν om. Gu.
13. ὥρᾳ λαμπούσῃ] ὡραίᾳ I.
14. τῷ (τὸ Gu.) μὴ δ. πρὸς χάριν] τῷ μὴ δ. τὴν χάριν I.
15. εἰκότως] ἀπεικότως Bar.
17. δεδιὼς] δεδοικὼς Bar. I.
19. παρὰ τὴν ἴδην — ἀπελθοῦσαι om. I.
21. ἐπιπέμψαντος] πέμψαντος Gu.
ib. τῇ—μῆλον] τὴν κάλλει νικῶσαν τῷ μήλῳ Gu.
22. εἰ πρὸς—νεύσει] εἰ μὴ πρὸς ἐκείνην καὶ μὴ πρὸς ταύτην νεύσῃ I.
23. β., αὐτοῦ μὴ] β. αὐτῷ, μὴ King.
24. αὐτοῦ μὴ στερηθεῖσα om. Gu.
25. πολέμῳ] πολέμοις Gu.
ib. πολεμικὴ] πολεμικὸς Gu.

ἡ θεός· Ἀφροδίτη δὲ τὴν Ἑλένην προτείνει, καὶ δι' ἐκείνης γνητεύει τὸν ἄνθρωπον, καὶ νικᾷ, καὶ λαμβάνει τὸ μῆλον ἆθλον ὧν ἐπηγγείλατο. τὰ δὲ ἦν, πείσαι τὴν ἄνθρωπον ἀκολουθῆσαι αὐτῷ, εἰ πρὸς Λακεδαίμονα ἀφίκειτο. ναῦς οὖν Φερέκλου κατασκευάσαντος αὐτῷ, ἐπιβὰς ἀνάγεται πρὸς τὴν Σπάρτην, καὶ κατηρκὼς ἐκεῖσε καὶ τὴν Ἑλένην λαβών, ἀπῆλθεν αὖθις εἰς Ἴλιον. Gu. I.

ἐκρίθη: κατέστη. Gr. ἐτελειώθη καὶ διεχωρίσθη, ἐτελέσθη, εἰς κρίσιν ἔβη. Gu. σύναπτε τὸ ἐκρίθη ἐπὶ δορί. Gu. ἐκρίθη δὲ ἔρις ἦν ὁ ἀὴρ ὁ βουκόλος ἤγαγον ὁ Ἀλέξανδρος ἔκρινεν ἐν τῇ Ἰδῃ τὰς τρεῖς παῖδας τῶν μακάρων ἐπὶ πολέμῳ καὶ φόνῳ καὶ βλάβῃ τῶν ἐμῶν οἰκημάτων. Gr. ὁ δὲ ἀντὶ τοῦ γάρ. Fl. 21. 59. ἔρις: ἡ φιλονεικία δηλονότι τῶν θεῶν. Fl. 21. στάσις τῆς ἔριδος τῶν τριῶν θεῶν ἦν αὕτη· ἐν τῷ τῆς Θέτιδος γάμῳ παρῆσαν τρεῖς θεαί, Ἥρα, Ἀφροδίτη καὶ Ἀθηνᾶ. ἡ Ἔρις οὖν ἄκλητος οὖσα καὶ ζηλοτυποῦσα ἔρριψε μῆλον ἐν μέσῳ τῶν ῥηθεισῶν θεῶν καθημένων ἐν τῷ γάμῳ ἐπιγεγραμμένον οὕτως, τῇ καλῇ τὸ μῆλον. Fl. 25. καὶ ἀφ' οὗ καιροῦ ἐκρίθη καὶ διεχωρίσθη, ἡ ἔρις, ἣν εἶχον περὶ τοῦ μήλου ἥ τε Ἀθηνᾶ, ἡ Ἥρα καὶ ἡ Ἀφροδίτη. ἐπιδώσας ὡς φιλήδονος τὴν Ἀφροδίτην τὸ μῆλον διὰ τὴν ὑπόσχεσιν τῆς Ἑλένης, ἀπ' ἐκείνου καιροῦ ἀπέκειντο ἡμῖν τὰ δεινά. ἐπὶ πολέμῳ τοίνυν καὶ φόνῳ ἡ βλάβη τῶν ἐμῶν οἴκων ἔκρινε τὰς θεὰς ὁ Ἀλέξανδρος. προτιμησάμενος τὴν Ἀφροδίτην. Fl. 59. ἂν ἐν Ἴδῃ: ἦν ἐν τῇ Ἴδῃ. M.

645. κρίνει: ἔκρινε. B. τρισσάς: ἀντίπτωσις. B. σύνταξις ἑρμηνευτική. Fl. 33.

646. παῖδας: λέγω. B. βοΐτας: βουκόλας ἤγαγον ὁ Ἀλέξανδρος. Gr. ὁ βουκόλος. B. μετὰ ποιμένων ἀνετράφη, ἤγαγον ὁ Ἀλέξανδρος, ποιμανῶν κἀκεῖνος πρόβατα. Fl. 59.

647. ἐπὶ δορί: ἐπὶ πολέμῳ. Gr. ἀσπὶς πλείστη καὶ χεὶρ ἰσχυρὰ ἐπὶ στρατοπέδου· δόρυ δὲ καὶ ξίφος ἐπὶ πολέμου. γράφεται καὶ δουρί· εἰ γὰρ παλαιοὶ δοῦρα ἐκάλουν τὰ ξύλα. λέγεται καὶ ξυστὸς ἀπὸ τοῦ ξύεσθαι. Gr. μελάθρων: οἰκημάτων. Gr. οἴκων.

1. Ἀφροδίτη δὲ] δὲ om. I.
3. ἀκολουθῆσαι] ἀκολουθήσειν Gu.
4. κατασκευάσαντος] κατασκευακότος Gu.
5. κατηρκὼς ἐκεῖσε] κατηρτυκὼς ἐκεῖ I.
6. ἀπῆλθεν αὖθις] ἀπῆλθε πάλιν I.
10. ἐπὶ—γάρ] ἐπὶ ἦν ἐν τῇ Ἴδῃ. ὁ δὲ δὲ ἀντὶ τοῦ γάρ B.

Gu. *μέλαθρον καὶ μέγαρον διαφέρουσι. μέλαθρον γὰρ λέγεται τὸ μαγειρεῖον ἀπὸ τοῦ μελαίνειν τὸν ...ε . θμ... μέγαρον δὲ τὸ παλάτιον, ἢ καὶ ἄλλοτι τῶν εὐγενῶν οἴκημα, καὶ γίνεται ἀπὸ τοῦ μεγαίρω τὸ φθονῶ.* Λ. *λώβα: βλάβη, φθορᾷ.* Gr. *ἀπωλείᾳ.* Gu. *ἤγουν αἰχμαλωτίσας καὶ φόνῳ τῶν ἀνδρῶν καὶ ἐπὶ βλάβῃ τῶν ἐμῶν οἴκων.* Fl. 33. 5

648. *στένει δὲ καί τις: στενάζει δ' ἐν τοῖς οἴκοις καί τις κόρη τάλαινα πολυδάκρυς εἰς τὸν Εὐρώταν ποταμὸν τὸν πολύρρουν, μήτηρ τε τίθεται χεῖρα ἐπὶ κρᾶτα λελευκασμένον, ἕνεκα τῶν θανόντων τέκνων, ὀρύπτεταί τε καὶ ξαίνεται τὴν παρειάν, ποιοῦσα τὸν ὄνυχα ᾱἱματωμένον διὰ τῶν σπαραγμῶν.* I. *οὐ μόνον αἱ Τρῳάδες θρηνοῦσιν, ἀλλὰ καὶ τῶν Ἑλλήνων οὐκ ὀλίγαι γυναῖκες, ἡ μὲν ὡς ἀποθανόντος τοῦ ἀνδρὸς αὐτῆς ἐν Τροίᾳ, ἡ δὲ ὡς στερηθεῖσα τῶν τέκνων. δέον δὲ εἰπεῖν ἀμφὶ πᾶσαν τὴν Ἑλλάδα, ὁ δὲ ἀμφὶ τὸν εὔρουν Εὐρώταν εἶπεν, ἀπὸ μέρους τὸ πᾶν. ποταμὸς δὲ οὗτος ἐν Λακεδαιμονίᾳ.* Gu. I. *στένει δὲ καί τις κόρη Λάκαινα ἐν τοῖς δόμοις πολυδακρύτως περὶ τὸν Εὐρώταν τὸν εὔρουν.* Gr. 10 15

στένει: στενάζει, θρηνεῖ. Gr. Fl. 6. 9. 21. 56. 59. 76. *οὐ μόνον δὲ εἰς τὸ κοινὸν τῇ Τροίᾳ τὰ τῆς ἀνοίας τοῦ Ἀλεξάνδρου προῆλθεν, ἀλλὰ καὶ αὐτῇ τῇ Ἑλλάδι, οἷον οὐ μόνον αἱ Τρῳάδες θρηνοῦσιν, ἀλλὰ καὶ τῶν Ἑλληνίδων τινές.* M. Fl. 33. *οὐ μόνον δὲ αἱ Τρωϊκαὶ θρηνοῦσι γυναῖκες, οὐ μόνον ἐπὶ τῇ Τροίᾳ ἦλθε τὸ κακὸν, ἀλλὰ καὶ ἐπὶ τοῖς Ἕλλησι. θρηνεῖ καί τις κόρη πολυδάκρυτος ἐν τῇ Λακεδαιμονίᾳ ἀμφὶ τὸν εὔρουν Εὐρώταν—ἐκεῖσε γὰρ ῥέει ὁ Εὐρώτας ποταμὸς—ἤγουν καὶ αἱ τῶν Ἑλλήνων γυναῖκες θρηνοῦσιν, αἱ μὲν τοὺς αὐτῶν ἄνδρας, αἱ δὲ τοὺς παῖδας, ἀλλὰ καὶ μητέρες θανόντων τῶν τέκνων αὐτῶν ξέουσι τὰς παρειὰς αὐτῶν ποιοῦσαι τὸν ὄνυχα αἱματώδη.* Fl. 10. 59. *εὔρουν: πολύρρουν.* Gr. *παρήχησις.* Fl. 20 25

11. Ἑλλήνων] ἑλληνίδων Gu., omisso *γυναῖκες*.

ib. *ὡς* hic et mox om. I. et om. *αὐτῆς ἐν Τροίᾳ*.

14. Λακεδαιμονίᾳ] λακεδαίμονι Gu. Pars hujus proximique scholii est in B. *στένει δὲ καί τις: οὐ μόνον—ἀλλὰ καὶ ἡ ἑλληνίδες γυναῖκες:—ἄλλως. οὐ μόνον δὲ εἰς τὸ κοινὸν—τῇ ἑλλάδι:—* Et in altero margine, *στένει δὲ καί τις: οὐ μόνον αἱ τρωάδες—ἀλλὰ καὶ τῶν ἑλληνίδων. ἄλλως. οὐ μόνον δὲ—ἑλλάδι:—*

18. *εἰς τὸ*] τὸ om. M.

19. Τρῳάδες] *ἀπώλλυντο* καὶ add. Fl. 33.

20. Ἑλληνίδων] ἑλλήνων Fl. 33. τινὲς om. M.

27. *παρήχησις*] In *παράκλησις* corruptum in Fl. 17.

17. Gu. Εὐρώταν: ὄνομα ποταμοῦ Λακεδαιμονίας. M. ὄνομα ποταμοῦ περὶ τὴν Λακεδαιμονίαν. Fl. 17. σύνηθες τοῖς παλαιοῖς ἀπὸ ποταμῶν καὶ πηγῶν καλεῖν τοὺς τόπους, διὰ τὸ εἶναι ταῦτα ἀνεξάλειπτα. Gr

650. πολυδάκρυτος: γενομένη τότε. B. πολυδακρύτως. Gu. Fl. 6. 9. 21. 56. 59. 76.

651. πολιόν: γηραιάν. Fl. 59. λελευκασμένον. Gr. λευκήν. Gu. ἐπί: κατά. B. κρᾶτα: κεφαλήν. Fl. 56. 59. κάρα. Fl. 21.

652. τίθεται: τίθησι. Gu. Fl. 21. 56.

655. δρύπτεται: ξαίνεται. Gr. κόπτει, καταξέει, σπαράττει. Gu.

656. δίαιμον: τὸν αἱματώδη. B.M. γρ. καὶ (γράφε Fl. 10.) δίδυμον. B. Fl. 10. ἡματωμένον. Gr. αἱματώδη. πᾶς γὰρ ὁ τὴν ἑαυτοῦ παρειὰν ξαίνων ἀνάγκῃ καὶ τὸν ὄνυχα αἱματοῖ. Gu. ἠλλαγμένην. Fl. 17. τιθεμένα: ποιοῦσα. Gr. σπαραγμοῖς: ἐν ξέσεσι. Fl. 59. ἐν τοῖς σχίσμασι. Fl. 21.

657.—660. γυναῖκες: μία τῶν δούλων Ἑκάβης ἔρχεται φέρουσα τὸ σῶμα τοῦ Πολυδώρου. ἦν γὰρ πεμφθεῖσα ὑπὸ τῆς Ἑκάβης ἐπὶ τῷ γεμίσαι ὕδωρ εἰς τὰ λουτρὰ τῆς Πολυξένης. αὕτη οὖν ἡ δούλη ἀπελθοῦσα παρὰ θάλασσαν εὑρίσκει τὸ σῶμα τοῦ Πολυδώρου. καὶ ἔρχεται δεικνύουσα αὐτὸ τῇ Ἑκάβῃ. B.M.I. λέγει δὲ πρὸς τὸν χορὸν τῶν αἰχμαλωτίδων, ὦ γυναῖκες, ποῦ ἐστιν ἡ ἀθλιωτάτη Ἑκάβη, ἡ νικῶσα ἐν ταῖς δυστυχίαις πάντα ἄνδρα καὶ θήλειαν γενεάν, οὐδεὶς τὸν τῆς δυστυχίας στέφανον ἀντ' αὐτῆς λήψεται. I. οὐδεὶς μᾶλλον αὐτῆς ἀποίσει στέφανον, νικήσας αὐτὴν ἐν κακοῖς. ἐπεὶ γὰρ εἶπεν ἄνω ὡς πάντα ἄνδρα καὶ γυναῖκα νικᾷ ἐν τοῖς κακοῖς, ἐπήγαγε τοῦτο· ἔπονται γὰρ τῇ νίκῃ στέφανοι. Gu. I.

659. θῆλυν σποράν: θήλειαν γενεάν. Gr. γυναῖκας πάσας. Gu.

660. κακοῖσιν: ἐν ταῖς δυστυχίαις. B. Gr. οὐδεὶς στέφανον: οὐδεὶς μᾶλλον αὐτῆς ἀποίσει στέφανον, νικήσας αὐτὴν ἐν δυστυχίαις. οὐδεὶς αὐτὴν ἐν τοῖς κακοῖς νικήσει ποτέ. B. οὐδεὶς τὸν στέφανον αὐτῆς ἀφαιρήσει νικήσας αὐτὴν εἰς κακά. M. οὐδεὶς τὸ πρωτεῖον

10. ξαίνεται] ξένεται Gr.
16. Ἑκάβης] αὐτῆς B.M.
18. τῷ γεμίσαι] τὸ κομίσαι I.
ib. εἰς τὰ] τὰ om. M.
20. ἔρχεται δεικνύουσα] ἐλθοῦσα δείκνυσι B.I.
24. ἀποίσει στέφανον] στέφανον λάβῃ Gu.
25. ἄνω] ἄνωθεν Gu.
29. οὐδεὶς—] Hoc scholion in B. legitur post p. 394, 18.

λάβῃ εἰς τὰ κακά. B. ἐν τοῖς κακοῖς δηλονότι. Gu. οὐδεὶς στέφανον τῆς δυστυχίας ἀντ' αὐτῆς λήψεται. Gr. στέφανον ἀνθαιρήσεται: οὐδεὶς ἀπὸ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν νικήσει ταύτην τὴν Ἑκάβην ἐν τοῖς κακοῖς Gu. οὐδεὶς νικήσας ἐκείνην ἐν κακοῖς στέφανον λάβῃ, ἀλλ' ἐκείνη νικῶσα πάντας ἐν κακοῖς στεφανωθήσεται. τοῦτο λέγει διὰ τὸ τοὺς νικῶντας ἐν τοῖς ἀγῶσι στεφανοῦσθαι. Gr.

661. τί δ', ὦ τάλαινα: τί ἐστι τὸ βούλημα τῆς σῆς κακοφήμου βοῆς: ὡς καὶ λίαν, ἢ ὅτι, οὐδέποτέ σου ἠρεμεῖ τὰ λυπηρὰ μηνύματα. I. στικτέον εἰς τὸ τί δέ ἀντὶ τοῦ τί ἐστιν, ἵνα καθ' ὑπόκρισιν ᾖ ἡ ἐρώτησις, τὰ δὲ λοιπὰ κατὰ ἀναφώνησιν. B.

τί δ': ἀντὶ τοῦ τί ἐστιν. ἕνεκα σῆς. τὸ δὲ λοιπὸν κατὰ ἀναφώνησιν. M. τί ἐστιν, τί λέγεις. Fl. 59. σῆς: ἕνεκα σῆς κακοφήμου βοῆς. Fl. 59.

662. ὡς: ὄντως. Gr. ὅτι, λίαν. Gu. εὖδει: ἠρεμεῖ. Gr. ἡσυχάζουσιν, ἤγουν οὔπωτε παίσῃ δυστυχῆ ἀγγέλλουσα. Gu. οὐδέπο ε παύουσι τὰ λυπηρά σου κηρύγματα. Fl. 59.

663. Ἑκάβῃ: τῇ Ἑκάβῃ φέρω ταύτην τὴν λύπην. ἐν ταῖς δυστυχίαις δὲ οὐκ εὔκολον ἀνθρώποις εὐφημεῖν κατὰ τὸ στόμα, ἤτοι εὔφημα λέγειν καὶ ἀγαθά. I.

Ἑκάβῃ φέρω: ἡ ἀπολογία εἰς τὸ "τί δ' ὦ τάλαινα." Fl. 59. ἐν κακοῖσι: πολλῶν κακῶν προκειμένων. Gu.

664. οὐ ῥᾴδιον: οὐκ εὐχερῶς. Fl. 33. ὅταν καταλάβῃ τινά τι κακὸν, καὶ ἄλλα μείζονα ἐπακολουθοῦσι τούτῳ. ἐν τοῖς κακοῖς δὲ τοῖς καταλαβοῦσί τινα οὐκ εὔκολον ὑπάρχει εὐφημεῖν καὶ καλῶς λέγειν τοῖς βροτοῖς ἐπὶ παραμυθίᾳ τῆς λύπης αὐτῶν, ἀλλὰ καὶ μᾶλλον ἐπιφέρειν καὶ ἕτερα λυπηρότερα. Fl. 59. εὐφημεῖν: οὐ ῥᾴδιον τὸ τῶν ἀνθρώπων στόμα σιωπᾶν. Bar. 74. Gr. εὔφημα λέγειν, καλῶς λέγειν. Gu. εὔφημον ἔχειν. B.M.

665. καὶ μὴν περῶσα τυγχάνει: ἀντὶ τοῦ περᾷ, ἀπὸ τῶν οἰκημάτων αὔτη. εὐκαίρως δὲ φαίνεται τοῖς σοῖς λόγοις. I.

καὶ μήν: ὄντως. Gr. περῶσα: διαπερῶσα. M. ἐρχομένη. Gr. ἤγουν περᾷ καὶ ἐξέρχεται. Gu. περᾶν καὶ ἐπὶ θαλάσσης καὶ ἐπὶ ξηρᾶς, ὡς ἐνταῦθα· καὶ πόρος ἐπὶ θαλάσσης καὶ ἐπὶ

8. τί δὲ ἔστιν, ὦ τάλαινα—βοῆς in Gr. 10. στικτέον] Conf. p. 389, 5.

ξηρᾶς λέγεται. οὕτω καὶ ὁδεύειν καὶ ἐπὶ θαλάσσης καὶ ἐπὶ ξηρᾶς. καὶ ὁδὸς ἐπ' ἀμφοτέρων λέγεται, ὁδοιπορεῖν δὲ ἐπὶ ξηρᾶς μόνον. Gr. Fl. 25. δόμων ἄπο : ἐπέκεινα ἥγειν ἔξω. Gu. ἔξω τῶν σκηνῶν. Fl. 59.

666. ἐς καιρόν: εἰς πρέπον (M.), ἐγκαίρως. Fl. 6. 9. 17. 21. 56. 76.

667.—670. ὦ παντάλαινα : καὶ παναθλία, καὶ ἔτι μᾶλλον παναθλία δηλονότι, ἢ καὶ παρὸ λέγω. ὦ δέσποινα, ὄλωλας, καὶ ἐφθάρης, καὶ οὐκέτι ὑπάρχεις βλέπουσα φῶς, χωρὶς παιδὸς, χωρὶς ἀνδρὸς, χωρὶς πόλεως. ἐξεφθαρμένη. I. τὸ ὄλωλας πρὸς τὸ ἐξεφθαρμένη συναπτέον, τὸ δὲ "οὐκέτ' εἶ βλέπουσα φῶς" διὰ μέσου, οὕτως· ὄλωλας ἐξεφθαρμένη, ἄπαις, ἄνανδρος, ἄπολις. Gu. I.

ὦ παντάλαινα : ὦ παναθλία δέσποινα, καὶ ἔτι πλέον ἢ παναθλία. Gu. Fl. 6. 9. 21. 56. 59. 76. κἄτι τἄλλα. Gr. κἄτι ἔκθλιψις καὶ κρᾶσις. τὸ δὲ πάθος ἦν συναλοιφή. Gu. ἔτι. Ἀττικὴ ἡ συναλοιφή. B.

668. ὄλωλας : ἐφθάρης. Gr. ἀπωλέσθης. ὄλωλα ἐγὼ, ὠλωλέκειν δὲ ἕτερον. Gu. κοὐκέτ' εἶ: οὐδαμῶς ὑπάρχεις, ἤγουν ἀπέθανες. Gr. γράφεται· οὐκ ἔως ἐζώσας (sic) ζῇς. Fl. 33. οὐκέτι βλέπεις φάος καὶ ζῶσα οὐ ζῇς. Fl. 17.

669. ἄνανδρος ἡ μὴ ἔχουσα ἄνδρα καὶ ἡ ἔχουσα καὶ ἀπεβαλιμένη, ὡς ἐνταῦθα, καὶ ἄνανδρος ὁ δειλός. Gr.

ἐξεφθαρμένη : παντελῶς διεφθαρμένη. Fl. 17. 33. κατὰ πολὺ ἀφανισθεῖσα. Gu.

670.—673. οὐ καινὸν εἶπας : οὐ νέον εἶπας, εἰδόσι δ' ὠνείδισας, ἤτοι εἰς ὀνειδισμὸν προέφερες. διὰ τί δὲ ἦλθες μοι φέρουσα τάφον τὸν νεκρὸν τῆς Πολυξένης, ἧς ὁ ἐνταφιασμὸς ἐδηλώθη ἡμῖν ὑπὸ πάντων τῶν Ἑλλήνων σπουδάζεσθαι. I.

οὐ καινὸν εἶπας : νομίζουσα ἡ Ἑκάβη ὅτι ἡ θεράπαινα τὸν τῆς Πολυξένης φέρει νεκρὸν, καὶ διὰ ἐκεῖνον ἀποκλαίεται, καὶ τέλος δ' εἰς ταύτην αὐτὴν λέγει, οὐ παράδοξόν τι λέγεις, γινώσκουσι δὲ ἡμῖν τὴν λύπην λέγεις. διὰ τί δὲ φέρεις τὸν νεκρὸν τῆς Πολυξένης ἐνταῦθα ταφῆναι ἀτίμως καὶ κρυφίως, ἤστινος ὁ τάφος ἀπηγγέλθη γενέσθαι ἔμπροσθεν πάντων Ἀχαιῶν ἐνδόξως καὶ ἐντίμως, πάντων

19. ζῶσα οὐ ζῇς] Hoc etiam in B. In M. βλέπουσα φῶς καὶ ζῶσα οὐ ζῇς.

τῶν Ἑλλήνων συνεργούντων ἐπὶ τῷ τάφῳ. ἤγουν τῇ ταφῇ αὐτῆς. Fl. 59. εἰδόσιν· εἰδυίαις. Ἀττικῶς. Gr. ὠνείδισας· τὴν σφαγὴν τῆς Πολυξένης ἀνέμνησας, εἶπας. Fl. 59. εἰδόσι προήγαγες τὰ δυστυχήματα ὀνειδίζειν γάρ ἐστι τὸ προφέρειν δυστυχήματα. Fl. 21. 59. παροιμιακῶς. Gu.

071. ἀτὰρ τί· στικτέον εἰς τὸ τί, ἵνα καθ' ὑπόκρισιν ᾖ ἡ ἐρώτησις. A.B.M. Fl. 21. 33. εἰς ἀγγεῖον ἐσκεπασμένον βασταζούσης τῆς θεραπαίνης τὸν Πολύδωρον ἰδοῦσα ἡ Ἑκάβη τὸ ἀγγεῖον ἔξωθεν ἐδόκει ὡς τὸ τῆς Πολυξένης σῶμα ἐστι, καί φησι, τί τὸ Πολυξένης σῶμα κομίζεις, ἧς ἀπηγγέλθη τάφος σπουδαζόμενος παρὰ τῶν Ἑλλήνων; A.

ἀτὰρ τί· τί δέ. Fl. 6. 9. 56. 59. 76. Gr. διὰ τί. Gu. νεκρόν· ἐνόμισεν ἡ Ἑκάβη τὴν Πολυξένην εἶναι. Fl. 33.

072. ἀπηγγέλθη· ἐδηλώθη ἡμῖν ὁ ἐνταφιασμός. Gr. ἐμηνύθη μοι παρὰ Ταλθυβίου. Gu. τάφος· ἐνταφιασμός. B.

073. πάντων Ἀχαιῶν· ἐπειδὴ ἤκουσεν ὅτι οἱ μὲν αὐτὴν ἐφυλλοβόλουν τιμῶντες, αἱ δὲ ξύλα παρεκόμισαν εἰς τὴν πυρκαϊάν, ταῦτά φησιν. A. Fl. 33. 59.

διὰ χερός· κομισάντων εἰς τὴν πυρκαϊὰν φύλλα καὶ ξύλα. Fl. 10. σπουδὴν ἔχειν· ἐπιμέλειαν. Gu. ἀγῶνα. Fl. 59. ἤγουν σπουδάζεσθαι. Fl. 59. Gr. τιμήν. Fl. 33.

074. ἡ δ' οὐδὲν εἶδε· κατ' εἰρωνείαν. B. ἥδε ἡ Ἑκάβη οὐδὲν γινώσκει, ἀλλὰ θρηνεῖ τὴν Πολυξένην μοι, νέων δὲ πημάτων οὐκ αἰσθάνεται. I. ἡ θεράπαινα πρὸς τὰς τοῦ χοροῦ γυναῖκάς φησιν, οὐ πρὸς τὴν Ἑκάβην. B.

ἥδ'· αὕτη. Fl. 56. ἀποστροφὴ πρὸς τὰς γυναῖκας. Fl. 21. καθ' ἑαυτὴν τοῦτο λέγει. Gr. μοι· ἕνεκά μου. Fl. 17. παρέλκον. Fl. 59. ὑπ' ἐμοῦ κινηθεῖσα. Gu.

075. νέων δὲ πημάτων· τῆς νεαρᾶς βλάβης οὐχ ἅπτεται, ἤτοι τοῦ ἀποθανεῖν τὸν Πολύδωρον. Ἄλλως. τῆς νέας βλάβης, ἤγουν

4. προφέρειν M. pro φέρειν, quod προσφέρειν scriptum in B. et Flor. 10. 25. 33. in quibus similis legitur annotatio. In M. duae sunt annotationes, προήγαγες τὰ δυστυχήματα, et ὀνειδίζειν ἐστὶ τὸ προφέρειν δυστυχήματα.

6. στικτέον] ὑποστικτέον A. στικτέον in annotatione simili p. 387, 10.
ib. ἵνα om. Fl. 21. 33.
ib. ᾖ ἡ] εἴη A. ᾖ om. Fl. 21. 33.
17. ταῦτά φησιν om. Fl. 33. 59.
30. Ἄλλως addidi.

τῆς τοῦ Πολυδώρου σφαγῆς καὶ τῆς ἐν θαλάσσῃ τούτου ἀπορριφῆς οὐκ αἰσθάνεται. A. ἤγουν τῆς Πολυδώρου σφαγῆς καὶ τῆς ἐν θαλάσσῃ τούτου ἀπορριφῆς. Gu. νεων φησὶν ὡς προγεγονυίας τῆς σφαγῆς τῆς Πολυξένης. Gr. οὐχ ἅπτεται: οὐκ αἰσθάνεται. Gr. 5 οὐ λαμβάνει αἴσθησιν. Gu. τῶν κατὰ τὸν Πολύδωρον. B.M.

676. οἳ ἐγώ: φεῦ, τάλαινά εἰμι ἐγώ. ἆρα φέρεις δεῦρο τὸ βακχευτικὸν κάρα τῆς μάντεως Κασάνδρας; I. βακχεῖον κάρα τῆς Κασάνδρας λέγει τὸ μανικὸν, ὡς μαντικῆς· οἱ γὰρ μάντεις θείᾳ μανίᾳ κατεχόμενοι μαντεύονται. φησὶ γὰρ Πλάτων ἐν Γοργίᾳ ὡς ἡ 10 μαντικὴ μανικὴ οὖσα πρῶτον προστεθέντος τοῦ τ, μαντικὴ γέγονεν. Gu. I.

οἳ 'γὼ τάλαινα: ἡ Ἑκάβη φησὶ, φεῦ ἐγὼ ἀθλία· εἶτα τὴν θεράπαιναν ἐρωτᾷ βλέπουσα ἀγγελῶν ἐσκεπασμένον βαστάζουσαν, ἐν ᾧ ἦν ὁ Πολύδωρος, ἆρα τὴν Κασάνδραν βαστάζεις; ἡ δὲ θεράπαινά 15 φησι πρὸς τὴν Ἑκάβην, τὴν ζῶσαν λέγεις, τὸν θανόντα δ' οὐ στένεις καὶ κλαίεις τοῦτον. ἐπιδεικνύει γὰρ αὐτῇ τὸν νεκρὸν τοῦ Πολυδώρου. A.

μῶν: ἆρα. M. Gr. τὸ μῶν ἀντὶ τοῦ ἆρα ἀπὸ τοῦ μὴ οὖν γίνεται κατ' ἐκβολὴν τοῦ η καὶ τροπῇ τοῦ οὖν εἰς ῶν. Gr. βακχεῖον: τὸ μαντικὸν τὸ τῷ βακχείῳ συνδιατιθέμενον. B.M. Ἄλλως. 20 κινητικὸν ἢ σύντονον, ἢ ἀντὶ τοῦ θρηκητικόν. Ἄλλως. οὐκ ἐκ Διονύσου μαθοῦσα τὸν γυναικεῖον νόμον, ἀλλ' ἐξ ἀλαστόρων τινός. B. ἡ Κασάνδρα μάντις καὶ ὁ Ἕλενος. B. μαντικήν. Fl. 17. 76. μανικόν. Fl. 10. 33. 59. τὸ μαντικὸν, τὸ ἐνθουσιαστικὸν κάρα, ἤγουν τὸ σῶμα, ἀπὸ τοῦ κρείττονος μέρους τὸ ὅλον. ὡς φαμὲν καὶ ἱερὰν 25 κεφαλὴν, τῆς μάντεως Κασάνδρας φέρεις: I.

677. θεσπιῳδοῦ: τῆς μάντεως. Gr. τῆς μαντικῆς, χρησμῳδοῦ. Gu. τῆς ἐπὶ τὰς θυσίας μαντευομένης. Fl. 33. τῆς τὰ θεῖα λεγούσης. Fl. 33. θεσπῳδὸς ἐτυμολογεῖται ἀπὸ τοῦ θεὸς καὶ τοῦ ἔπω τὸ λέγω καὶ τοῦ ᾠδὴ ἡ τραγῳδία, ὁ τὰ θεῖα λέγων. 30 Fl. 6. 25.

678.—680. ζῶσαν λέλακας: τὴν ζῶσαν εἶπας, τὸν θανόντα δὲ

8. μαντικῆς] μανικῆς I.
9. Γοργίᾳ] Phaedro p. 244 C.
19. συνδιατιθέμενον] διατιθέμενον M.
23. τὸ μαντικὸν et κάρα e Gr. addidi, in quo desunt ultima: τὸ ὅλον etc. In his lacuna esse videtur post κεφαλὴν, fortasse sic explenda: κεφαλὴν. ἢ τὴν κεφαλὴν τῆς μ. Κ. φ. Ceterum in I. hoc scholion sequitur post paraphrasin v. 681—687. MATTH.

τόνδε οὐ θρηνεῖς. ἀλλ' ἄθρησαι καὶ ἴδε σῶμα νεκροῦ γυμνωθὲν, ἐπεὶ φανεῖταί σοι ἔκπληξις καὶ παρὰ προσδοκίαν. I.

λέλακας: ἀντὶ τοῦ εἶπας ἢ θρηνεῖς. B. εἴρηκας. Gr. τὸ λέλακας ἐπὶ ὄρνιθος μόνον λαμβάνεται, ὡς καὶ Ἡσίοδός φησι "δαιμονίη, τί λέληκας;" περὶ ἀηδόνος λέγων. ὁ δὲ παρὼν τραγῳδὸς καὶ ἐπὶ τοῦ ἀνθρώπου ἐδέξατο τοῦτο. A. Gu.

679. ἄθρησον: θέασαι. βλέψον. Fl. 6. 9. 21. 56. 59. 76. ἴδε, θέασαι. Gu. ταῦτα λέγουσα ἀνακαλύπτει τὸν νεκρόν. A.B.M. γυμνωθέν: ἀνακαλυφθέν. ἀνακαλύπτει τὸ σῶμα τοῦ Πολυδώρου ταῦτα λέγουσα. Gr. περικεκάλυπτο γὰρ τῷ αὐτῆς πέπλῳ. Gu.

680. εἰ: ἵνα, ὅπως. Fl. 59. ἐπεί. Gr. θαῦμα: ἔκπληξις. Gu. παρ' ἐλπίδας: ἐξαίφνης. Fl. 59. προσδοκίαν. Gu.

681.—687. οἴμοι: βλέπω δὲ τὸν ἐμὸν παῖδα Πολύδωρον τεθνηκότα, ὃν ἐφύλαττεν ἐμοὶ ἐν τοῖς οἴκοις ὁ Θρᾴξ Πολυμήστωρ. ἀπωλόμην ἡ δύστηνος, οὐκέτι δὴ εἰμί. ὦ τέκνον, αἳ αἳ, κατάρχομαι μελῶν μανικῶν, ἀρτιμαθὴς οὖσα δηλυτί κακῶν ἐξ ἐχθροῦ τινός. I.

682. μοι: ἕνεκα ἐμοῦ: Fl. 17. ἐξ ἐμοῦ. Gr.

683. ἀπωλόμην: ἐφθάρην. Fl. 17. 21. ἀπωλέσθην. Gu. δύστηνος: ἤγουν ἡ ἀθλία. Fl. 17. ζητητέον ἐπὶ τοῦ "οὐκέτ' εἰμὶ δή, ἀπωλόμην δύστηνος" διὰ τί Ἑκάβη, καὶ πρότερον ἔχουσα λύπας πολλὰς τῶν τε παίδων καὶ τοῦ ἀνδρὸς αὐτῆς, καὶ ἀλλοτρόπως θρηνοῦσα, οὐκ εἶπε καὶ τότε τὸ "οὐκέτ' εἰμὶ δή." καὶ φαμὲν ὅτι πρότερον πολλὰς ἔχουσα λύπας, ὅμως ἐθάρσει εἰς τὸν Πολύδωρον, ὅπως, ἀνατραφέντος τούτου, κρατήσῃ πάλιν τὴν Τροίαν, καὶ γενήσεται διάδοχος τοῦ πατρὸς αὐτῆς, καὶ ἔσται ἡ γενεὰ αὐτῆς ὡς καὶ πρότερον· νῦν δὲ ἰδοῦσα καὶ τοῦτον σφαγέντα, ὡς μὴ ἔχουσα ἄλλου τινὰ παῖδα, εἰς ὃν ἔχει τὴν ἐλπίδα, ἀποκλαίουσα ἑαυτὴν λέγει, ἕως τοῦ νῦν εἶχόν τινα ἐλπίδα εἰς τὸν Πολύδωρον, ἀπὸ τοῦ νῦν δὲ οὐκέτι ὑπάρξω ἔχουσα ἐλπίδα εἰς τὸ κρατῆσαι καὶ αὖθις τὴν Τροίαν. Fl. 59.

3. ἀντὶ τοῦ εἶπας] Sic etiam M. Solum εἶπας est in Gu.

ib. τὸ λέλακας —] Pars hujus scholii est etiam in Fl. 25. usque ad τί λέλακας. Proxima in Gu. sic scripta ἐπὶ μόνων ὀρνίθων λέγεται, ὡς καὶ ἡσίοδος, δαιμονίη — καὶ ἐπὶ ἀνθρώπων ἐδέξατο τοῦτο. Verba ὁ παρὼν τραγῳδὸς recentem produnt scholii auctorem. Locus Hesiodi est Op. 207.

10. π. γὰρ τῷ αὐτῆς πέπλῳ] Haec habet etiam Bar. 74. Priora habent etiam Flor. 10. 33. ταῦτα λέγ. ἀνακ. τὸν νεκρὸν τοῦ Π. ἡ Πολύβοια. MATTH.

685. κατάρχομαι: εὕρηται τὸ ἄρχω καὶ παρὰ Πινδάρῳ αἰτιατικῇ "ἄρχε δὲ οὐρανῶ πολυνεφέλα κρέοντι, θύγατερ, δόκιμον ὕμνον." εὕρηται δὲ καὶ ἔν τινι τῶν παλαιῶν οὕτως. I. ἀρχὴν ποιοῦμαι. Gu. νόμων: μελῶν. Gr. νόμος γὰρ τοῖς μαινομένοις θρηνεῖν. Gu. κατάρχομαι γόων ἤγουν θρηνητικῆς ᾠδῆς· νόμους γὰρ οἱ παλαιοὶ τὰς ᾠδὰς ἔλεγον. Fl. 17. 21. 25. καὶ γὰρ αὕτη ἡ λύπη ἀφόρητος οὖσα οὐκ ἐᾷ με τοῦτο φέρειν, ἀλλὰ ποιεῖν ὡς μαινομένη βάκχη. Fl. 21. ἀρχὴν ποιοῦμαι τοῦ θρήνου τὸν βακχεῖον νόμον· οἱ γὰρ βακχευόμενοι μαινομένοις ἐοίκασιν. ἦλθε δὲ εἰς ἡμᾶς ἡ ἀρχὴ τοῦ θρήνου τούτου ἐξ ἀλάστορός τινος, ἤγουν κακῆς τύχης, ἢ ἐκ τοῦ ἀλάστορος, ἤγουν τοῦ Πολυμήστορος, ἀρτίως μαθοῦσα τὰ νῦν κακά. Fl. 59. ἀρχομένη λέγει τὸ αἲ αἴ, ὅπερ ἐστι νόμος ἀπὸ τῶν Βακχῶν· αἱ γὰρ Βάκχαι πρῶτον τὸ αἴ ἐξεφάνησαν. Fl. 33.

685. αἰαῖ κατάρχομαι νόμον: κατάρχομαι γόων βακχείων ἐξ ἀλάστορος, οὐκ ἐκ Διονύσου τὸν βακχεῖον νόμον μαθοῦσα, ἀλλ' ἀπό τινος ἀλάστορος· οἱ γὰρ γόοι τῶν Βακχῶν μεθ' ἡδονῆς γίνονται· μαινόμεναι γὰρ οὐ λυποῦνται. καί φησι καὶ Ἑκάβη, καὶ ἐγὼ βακχείων γόων κατάρχομαι, ἀλλ' ἐξ ἀλάστορος καὶ ἀηδόνου δαίμονος· οὐ γὰρ ἡδονὴν ἔχει ὁ ἐμὸς γόος ὥσπερ ὁ τῶν Βακχῶν δαίμων. Ἄλλως. ταῦτα λέγουσα ἀνακαλύπτει τὸν νεκρὸν, οὐκ ἐκ Διονύσου μαθοῦσα τὸν βακχεῖον νόμον. ἀρτιμαθὴς δέ ἐστιν ἀπηρτισμένα μαθοῦσα ὑπὸ τοῦ ὀνείρου. Ἄλλως. οὐκ ἐκ Διονύσου μαθοῦσα τὸν βακχεῖον νόμον, ἀντὶ τοῦ τῆς θρηνητικῆς ᾠδῆς. νόμους γὰρ ἔλεγον οἱ παλαιοὶ καὶ τὰς ᾠδάς. ἀρτιμαθὴς ἀντὶ τοῦ ἀπηρτισμένως καὶ ὑγιῶς καὶ ἀρτίως μαθοῦσα τὰ κακὰ ὑπὸ τοῦ ὀνείρου οὗ εἶδεν ἔνθα φησὶν "εἶδον γὰρ βαλιὰν ἔλαφον" καὶ τὰ ἑξῆς. A.

Βακχεῖον: Βάκχαι ἱέρειαι ἦσαν τοῦ Διονύσου, καὶ κατεχόμεναι ὑπ' ἐκείνου ἐδόκουν μαίνεσθαι, ἄνετοι οὖσαι τὰς κόμας καὶ τὰ ἱμάτια περιερρηγμέναι, βοῶσαι τῷ Διονύσῳ ἴακχε ἴακχε· ἐντεῦθεν γὰρ καὶ Βάκχαι ἐκλήθησαν. Βακχείων οὖν ἐνταῦθα νόμων λέγει τῶν μανικῶν,

1. Πινδάρῳ] Nem. 3, 16.
3. παλαιῶν] ἀντιγράφων add. King.
4. κατάρχομαι—ἔλεγον] In B. νόμον (νόμων superscripto γρ. γόων M.): ἀντὶ τοῦ θρηνητικῆς ᾠδῆς· νόμους γὰρ ἔλεγον οἱ παλαιοὶ τὰς ᾠδάς. Huc usque etiam M. βακχεῖον δὲ κινητικὸν —τινος (ut in scholio ad v. 676.)
14. βακχείων] βακχεῖον A.
25. ἔνθα φησὶν] V. 90.

καὶ οἷς χρῶνται αἱ Βάκχαι, ὑμνοῦσαι τὸν θεόν. γράφεται δὲ καὶ βακχείων γόων. Gu. I.

βακχείων: μανικῶν. Gr. *παραφρενεῖν ποιούντων, ἢ θρηνητικῶν.* Gu. *ἤγουν τοῦ Διονύσου.* Fl. 17. *βακχεῖον δὲ θρηνητικὸν ἢ κινητικὸν ἢ σύντονον, ἀλλ' οὐκ ἐκ Διονύσου μαθοῦσα τὸν βακχεῖον νόμον, ἀλλὰ ἐξ ἀλάστορος, ἤγουν πονηροῦ δαίμονος· οἱ γὰρ γόοι τῶν βακχείων μετ' ἠδονῆς γίνονται, ὁ δ' ἐμὸς οὐχ οὕτως.* Fl. 25. *κινητικὸν ἢ σύντονον, ἢ ἀντὶ τοῦ θρηνητικόν, ἢ τὸν τῷ βακχείῳ διασυντιθέμενον, οὐκ ἐκ Διονύσου μαθοῦσα τὸν βακχεῖον νόμον.* Fl. 33. *ἐξ ἀλάστορος: ἐχθροῦ.* Gr. *τοῦ Πελυμήστορος.* Gu. *ἐξ ἐχθροῦ, φθονηροῦ (πονηροῦ, ut 6.). ἐξ ἐχθροῦ δαίμονος.* Fl. 21. *κακοποιοῦ δαίμονος.* Fl. 17. *ἐκ κακοῦ δαίμονος.* Fl. 21. 59. *ἀλάστωρ κυρίως λέγεται ὁ φονεύς, ἢ ὁ ἄλαστα καὶ ἀλάθητα ἔργα πεισῶν· οὐδέποτε γὰρ δύναται κρυβῆναι ὁ φόνος· ἢ ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶμαι· ὁ γὰρ φονεύσας τινὰ κατὰ τὴν παλαιὰν συνήθειαν ἐξήρχετο τοῦ τόπου αὐτοῦ, καὶ περιπατῶν κατὰ τόπους ἐπλανᾶτο ἔνθεν κἀκεῖθεν, ζητῶν τὴν ἴασιν τοῦ φόνου οὗ ἔπραξεν, ἕως οὗ ἔζη. μαρτυρεῖ δὲ τοῦτο καὶ Ὅμηρος, εἰς τὸν Βελλεροφῶντα πλανώμενον λέγων "ἤτοι ὁ καπεδδίου τοῦ Ἀλητίου οἶος ἀλᾶτο," ἤγουν μόνος. Ἀλήϊον δὲ ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶμαι.* Fl. 59. *ἀλάστωρ ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ λήθη, ὁ διάβολος, ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶ, καὶ ὁ φθορεὺς ἀπὸ τοῦ ἁλίσκω.* Fl. 33.

686. *ἀρτιμαθής: ἐξ ὁλοκλήρου μαθοῦσα τὰ κακά.* B. *ἀρτίως ἀντὶ τοῦ νεωστί, καὶ ἀρτίως ἀντὶ τοῦ ὁλοκλήρως. ἐνταῦθα οὖν ἀρτιμαθὴς κακῶν, ἀντὶ τοῦ ἀρτίως καὶ νεωστὶ ἕτερα μαθοῦσα κακά.* Gu. I. *ἢ τελεία οὖσα εἰς μάθησιν.* Gu. *ἀρτιμαθὴς κακῶν: γρ. ἀρτιμαθῆ νόμων. ἀρτιμαθὴς δὲ ἀπηρτισμένως μαθοῦσα, ἢ ἀρτίως μαθοῦσα ὑπὸ τοῦ ὀνείρου.* B.M. *ἢ μαθοῦσα τὰ κακὰ ἄρτι, ἢ πάντα*

8. *ἢ ἀντὶ*] *ἢ* om. Fl. 33. Addidi ex M. qui post *θρηνητικόν* pergit, *ἄλλως οὐκ ἐκ δ. μ. τὸν β. νόμον*:—

ib. *διασυντιθέμενον*] Immo *συνδιατιθέμενον*, ut p. 390, 19.

17. *Ὅμηρος*] Il. 6, 201.

24. *ἀντὶ τοῦ νεωστὶ*] *ἀντὶ τοῦ* om. I.

ib. *ἀρτίως ἀντὶ*] *ἀρτίως* om. Gu.

26. *ἢ τελεία οὖσα εἰς μάθησιν*] Haec e Gu. accesserunt, in quo vv. *ἀρτίως καὶ νεωστὶ ἕτ.*—*μάθησιν* inter lineas scripta sunt. Idem scholion est in marg. ab eadem manu. In eo desunt ultima *ἢ τελεία* etc. MATTH.

ib. *κακῶν: γρ. ἀρτιμαθῆ* om. B.

τὰ κακὰ διελθοῦσα. Fl. 33. τῶν τοῦ υἱοῦ αὐτῆς ἀρτίως μαθοῦσα. Fl. 59. ὑπ' ὀνείρου. Fl. 6. ἀπηρτισμένη, μαθοῦσα ἀπὸ τῶν ὀνείρων. Fl. 10.

687. ἔγνως γάρ: ἤδη ἐπέγνως τὴν ἀληθῆ αἰτίαν καὶ τὸ συμβὰν περὶ τὸν παῖδά σου. A. ἐνόησας. B. ἔγνως δὴ, ὦ δύστηνε, τὴν βλάβην τοῦ παιδός σου. I. ἄτην: ἤγουν ὑπὸ τίνος πεφόνευται. Gu. ὦ δύστηνε σύ: ἡ κατὰ ἀπόφασιν. Gu. λείπει τὸ οὖσα. B. M.

688. ἄπιστ' ἄπιστα: τουτέστιν, οὐ πιστεύεσθαι δυνάμενα βλέπω, ἕτερα δὲ κακὰ ἀπὸ ἑτέρων κακῶν κυρεῖ, ἀντὶ τοῦ ἐντυγχάνει, ἡμῖν δηλονότι, οὐδέποτε καταλήψεται ἐμὲ ἡμέρα χωρὶς δακρύων καὶ χωρὶς στεναγμῶν. I.

ἄπιστα: οὐ πιστεύεσθαι δυνάμενα. Gr. ἀπροσδόκητα, ἃ εἰ ἔκ τινος ἤκουον, οὐκ ἐπίστευον. Gu. οὐ πιστεύεσθαι δυνάμενα, παράδοξα, ἃ οὐκ ἤλπιζον μηδεμίαν ἔχοντα πίστιν, βλέπω. Fl. 59. 76. διττολογεῖ τὸ πάθος σφόδρα σχετλιαστικὸν ὁ τραγῳδὸς ἐν τῇ τραγῳδίᾳ ποιῶν. Fl. 33. τὸ ἐπαναλαμβάνειν τοὺς αὐτοὺς λόγους ἐν τῷ θρηνεῖν σφόδρα σχετλιαστικὸν καὶ πάθος ἐγεῖρον ἐν τῇ τραγῳδίᾳ. A.B.M. Fl. 10. 21. καινά: παράδοξα. Gr. διὰ τὸ ἀνέλπιστον. Gu.

689. ἕτερα δ' ἀφ' ἑτέρων: μεθ' ἕτερα εὐθὺς κατὰ διαδοχήν. Fl. 6. 9. 21. 56. 59. 76. Gr. κυρεῖ: τυγχάνει. B.M. ἐπέρχεται. B. rec. ἐντυγχάνει ἡμῖν. Gr. καταλαμβάνει ἐμὲ, ἐπιγίνεται, ἐπέρχονται. Gu. ὑπάρχει. Fl. 17. κυκλεῖ ἡμᾶς. Fl. 21.

690. ἀδάκρυτον: χωρὶς δακρύων. Gr. ἀστένακτον: χωρὶς στεναγμῶν. Gr. πρὸς μὲν τὸ ἡμέρα τὸ ἀδάκρυτος καὶ ἀστένακτος ἀποδοτέον, πρὸς δὲ τὸ ἐμὲ ἀδάκρυτον καὶ ἀστένακτον. Gu. δακρύων καὶ στεναγμῶν μὴ μετέχουσα. M. Fl. 10. 21. 33.

691. ἐπισχήσει: καταλήψεται. Gr. καταλάβῃ, κωλύσει. Gu. κατέλαβε. Fl. 59. παύσει ἢ σχήσει ἐμέ. Fl. 21.

692. δεινά: χαλεπά. Gr. Fl. 6. 9. 21. 56. 59. 76. τὸ τῆς Ἑκάβης πάθος οἰκεῖον ὁ χορὸς λογίζεται, ὡς βασιλίδος οὔσης πρόσθεν αὐτῆς. Gu.

18. ἐγεῖρον M. ἀγεῖρον Fl. 10, 21., omittit B. In A. θρηνεῖν ὅτι ἐν τῇ τ. διεγερμὸν καὶ σφόδρα σχ. πάθος ἐν θρηνῳδίᾳ :—

24. πρὸς μὲν — ἀποδοτέον] Haec etiam in I.

25. δ.—μετέχουσα] δ. στεναγμῶν (στεναγμάτων Fl. 10. 33) μὴ τετυχοῦσα (μήτε τυχοῦσα Fl. 21.) M. Fl. 21.

693.—695. ὦ τέκνον: ὦ τέκνον ἀθλίας μητρὸς, τίνι μόρῳ ἔθανες, τίνι τύχῃ κεῖσαι, πρὸς τίνος ἀπὸ τῶν ἀνθρώπων: μόρῳ μὲν, τῷ θανάτῳ· πότμῳ δὲ, τῇ προφάσει. ἵν' ἧ, ποίῳ θανάτῳ καὶ ποίᾳ προφάσει; ἢ τίς ὁ ἀνελών σε; εἰπὲ, τέκνον. I.

ὦ τέκνον: ὁ λόγος πρὸς τὸν Πολύδωρον. Gr. ὡς ἐμψύχῳ τῷ σώματι προσδιαλέγεται. Gu.

695. τίνι μόρῳ: θανάτῳ, ἤγουν ποίῳ τρόπῳ θανάτου. Gr. μόρος ἀπὸ τοῦ μερίζεσθαι τὴν ψυχὴν ἀπὸ τοῦ σώματος. Gu. θνήσκεις: ἀντὶ τοῦ ἔθανες. Gr. πότμῳ: τύχῃ, ἤγουν διὰ ποίαν αἰτίαν. Gr. δυστυχίᾳ. Gu. προφάσει. δυστυχίᾳ. Fl. 10. 21. κεῖσαι: ἀπόκεισαι. Fl. 17. ἔθανες. Fl. 21.

696. πρὸς τίνος: ἀπό. Gr. παρὰ Fl. 56. Gu. παρὰ τίνος ἀνθρώπων (ὑπὸ τίνος τῶν ἀ. Fl. 10. 21.) ἐφονεύθης. Fl. 10. 21. 59. παρὰ τίνος διόλλυσαι. Fl. 17.

οὐκ οἶδα: οὐ γινώσκω· κυρῶ δὲ, ἀντὶ τοῦ εὗρον καὶ κατέλαβον αὐτὸν ἐπὶ τῷ αἰγιαλῷ. ἐκβεβλημένον ὑπὸ τῆς θαλάσσης, ἢ πτῶμα ὑπὸ ὀρνέων φονικῶν, ἤτοι ὑπό τινος φονευθέντα: ἐξήνεγκεν αὐτὸν ὁ πελάγιος κλύδων τοῦ πόντου ἐν ψαμάθῳ λευρῇ, ἤτοι πλατείᾳ καὶ ὁμαλῇ. I.

οὐκ οἶδ': ὁ τῆς θεραπαίνης λόγος πρὸς τὴν Ἑκάβην, τῆς Ἑκάβης πρὸς τὸν παῖδα λεγούσης. τοῦτο δὲ συμβαίνει οὕτω γίνεσθαι ἐν ταῖς λύπαις. Gr. κυρῶ: εὗρον, ἔτυχον. B.M. ἐντυγχάνω. Fl. 10.

698. ἔκβλητον: ἀποπνιγέντα ὑπὸ θαλάσσης καὶ ἐκβεβλημένον, ἢ ἀναιρεθέντα ξίφει. πέσημα γὰρ τὸ πτῶμα. B. πεπνιγμένον. Gr. ἐκπεπνιγμένον καὶ ἐκβεβλημένον ὑφ' ἁλός. Gu. τουτέστιν ἐκπνιγέντα τῆς θαλάσσης. Fl. 17. ἤγουν τετρωμένον (om. 23.), ἤγουν ἀποπνιγέντα ὑπὸ (10. 21. ἀπὸ) θαλάσσης. Fl. 10. 21. 23. 59. πέσημα: πτῶμα. M. Gr. ἢ ὑπό τινος φονευθέντα. Gu. ἢ ἀναιρε-

2. μόρῳ μὲν—τέκνον sunt etiam in Fl. 33. qui post προφάσει addit πρὸς τίνος. καταλάβει δὲ ἵν' ἧ —— post ἀνελών σε autem εἴτε ὥστε διαφέρει πότμος καὶ μόρος. πότμος μὲν γάρ ἐστι τὸ αἴτιον. MATTH. μόρῳ—τέκνον sunt etiam in A.B.M. qui post τῇ προφάσει addunt πρὸς τίνος δὲ ὑπὸ τίνος.

23. ἀποπνιγέντα ἀπὸ (sic)—ξίφει sunt etiam in M., omisso καὶ ἐκβεβλημένον, sed cum gl. interlin. ἐκβεβλημένον. In A. φονίου ὀρνέου: ἀποπνιγέντος ἀπὸ τῆς θ. ἢ ἀναιρεθέντος τῷ φονικῷ ὄρνιτι ὑπό τινος ἀνδροφόνου, εἶτα εἰς θάλασσαν ῥιφέντα.

θέντα ἐν ξίφει (ἐκ ξίφους 17. ξίφοις 10. 21. ξίφει 33. τῷ ξίφει 10. 59.). πέσημα γὰρ τὸ πτῶμα. Fl. 25.

699. ψαμάθῳ: ἄμμῳ. ἄμμος τὸ τῆς γῆς χῶμα παρὰ τὸ ἀμαθὲς καὶ ἀμέτρητον εἶναι. Gu. ἄμμος ἡ ἐν ξηρᾷ, ὡς ἐν ἐρήμῳ, ψάμαθος ἡ ἐν θαλάσσῃ. Gr. λευρᾷ: ὁμαλῇ ψάμμῳ. M. ὁμαλῇ, πλατείᾳ. Gr. λεπτῇ. Gu.

701. πόντου: θαλάσσης αὐτόν. Gr. πόντος ποιητικῶς τὸ πέλαγος, κοινῶς δὲ μέρος θαλάσσης· ὅθεν καὶ ποντικοὶ οἱ ἐν τῇ ξηρᾷ τοῦδε τοῦ μέρους κατοικοῦντες. Gr.

ἐξήνεγκε: ἔξω ἔφερε. Fl. 56. 59. ἐξήνεγκεν ἡ κρίσις λόγους, ἐξήνεγκεν ἡ θάλασσα Πολύδωρον. Fl. 33. πελάγιος κλύδων: περιφραστικῶς τὸ πέλαγος. Fl. 17. τὸ ὕδωρ. Fl. 59.

702. ὤμοι αἶ αἶ: ἔμαθον τὴν νυκτερινὴν ὄψιν τῶν ἐμῶν ὀφθαλμῶν, οὐ παρέβη με τὸ φάσμα τὸ σκοτεινὸν καὶ ταχέως ἀφιστάμενον, ὃ ἐθεασάμην, ὦ τέκνον, περὶ σοῦ, οὐδαμῶς ὄντος ἐν τῷ φωτὶ τοῦ Διός. I.

ἔμαθον: ἔγνων. Gu. Fl. 17. ἔγνωκα. Fl. 6. 9. 21. 56. 59. 76. τὸ ἐνύπνιον ἢ πρὸς τὸ ὄψιν συναπτέον, ἵν' ᾖ τὴν ἐνύπνιον καὶ κατὰ τοὺς ὕπνους φανεῖσάν μοι ὄψιν τῶν ἐμῶν ὀμμάτων, ἢ πρὸς τὸ ἐνύπνιον ὑποστικτέον, ἵν' ᾖ τὸ ὄψιν τῶν ἐμῶν ὀμμάτων, ὥσπερ ἑρμηνεία τοῦ ἐνύπνιον. κρεῖττον δέ ἐστι τὸ πρῶτον. Gu. I. ὀμμάτων: τουτέστιν ἣν εἶδον τὰ ἐμὰ ὄμματα. Fl. 6. 9. 21. 56. 59. 76. Gr. ἔμαθον τὸ ἐνύπνιον τῶν ἐμῶν ὀμμάτων, διελύθη τὸ ὄναρ, ὅπερ εἶδον· εἰς γὰρ τὴν ἀρχὴν τοῦ δράματος εἶδε τοῦτο ἡ Ἑκάβη· οὐδὲ γὰρ ἦλθε τὸ φάντασμα ὡς οὐδὲν, οὐδὲ ἡ μελανόπτερος ὄψις, ἣν εἶδον, ὦ παῖ, διὰ σὲ οὐκέτι μέλλοντα ὁρᾶν τὸ φῶς, ἀλλὰ ἀληθὲς ἀπεδείχθη. μελανόπτερον δὲ τὴν ὄψιν, καὶ τὰ μὲν πτερὰ διὰ τὴν ταχύτητα καὶ τὴν ἀνυπόστασιν, ἣν ἔχει, καὶ ἀφανίζεται εὐθέως ἀποχωρήσαντος τοῦ ὕπνου, μέλανα δὲ διὰ τὸ σκοτεινὸν τῆς νυκτός. Fl. 59.

703. παρέβα: παρῆλθε. B. Gr. παρέδραμε, ἀλλ' ἐγνώσθη. Gu. φάσμα: φάντασμα. Fl. 6. 9. 21. 56. φαντασία. Fl. 59. ὄνειρον. Fl. 17. τὸ βλεπόμενον. Fl. 33.

18. τὸ ἐνύπνιον] τὸ om. I. ib. τὴν ἐνύπνιον] τὸ ἐνύπνιον I.
22. ἣν] ἃ Gr.

705. μελανόπτερον: τὸ σκοτεινὸν ..... ἀφιπτάμενον. B. σκοτεινὸν καὶ ἄγνωστον. μεσεμβόλημα. Gu.

706. τὸ ἂν πρὸς τὴν ὄψιν ἐστὶ, τὸ δὲ οὖ με παρέβα μελανόπτερον φάσμα διὰ μέσου. Gu. ἐσεῖδον: ἀντὶ τοῦ εἶδον. Gu. Fl. 6. 9. 21. 56. 59. 76. ἀμφί σ': οἰκτρόν. Fl. 17. περὶ σοῦ. Gr. Ἰωνικῶς. Gu.

708. ὄντα: πρὸς τὸ σημαινόμενον τοῦ, ὦ τέκνον, ὦ παῖ, ἀπέδωκε τὸ ὄντα· εἰ γὰρ πρὸς τὸ τέκνον, ὃν ἔδει εἰπεῖν. Gu. οὐκέτι μέλλοντα ἔσεσθαι. Fl. 59. λείπει τὸ ὡς, ὡς οὐκέτ' ὄντα Διὸς ἐν φάει. A.B.M. Fl. 21. Διός: τοῦ ἀέρος. Fl. 6. 9. 21. 56. 59. 76. φάει: ἐν τῷ παρόντι βίῳ. Fl. 56. ἤγουν οὐ ζῇς. Fl. 21.

709. τίς γάρ: τίς δέ. Fl. 59. τίς γάρ νιν ἔκτεινεν, ὦ ἐξ ὀνειράτων φρενοῦσα καὶ διανουμένη Ἑκάβη; M. τίς αὐτὸν ἐφόνευσεν; γινώσκεις, ὦ ἐξ ὀνείρων φρενοῦσα καὶ διανουμένη, εἰπεῖν; Fl. 59. ὀνειρόφρων: ὡς ὄνειρον φρενοῦσα καὶ διανουμένη Ἑκάβη. B. ὦ ἡ ἀπὸ τῶν ὀνείρων διανουμένη. Gr. ἡ τοὺς ὀνείρους κρίνουσα, ἡ φρενοῦσα καὶ πιστεύουσα τοῖς ὀνείροις. Gu. τοῦτο λέγει ἡ θεράπαινα διὰ τὸ εἰπεῖν τὴν Ἑκάβην, ἔμαθον ἐνύπνιον. Gr. ἀκούσασα ἡ θεράπαινα τὴν Ἑκάβην λέγουσαν ὅτι οὐ παρῆλθε τὸ φάντασμα ψευδὲς, λέγε, ὦ ὀνειρόφρον, ἤγουν τὸ ὄνειρον φρενοῦσα λέγειν τὴν ἀλήθειαν, καὶ τίς ἐφόνευσεν αὐτόν. Fl. 59.

710. ἐμὸς φίλος ἔκτεινεν Θρῃξ, ὅπου ὁ πατὴρ ὁ γέρων ἔκρυψεν αὐτόν. B.

ξένος: φίλος. κατ' εἰρωνείαν λέγει τὸ φίλος ἡ Ἑκάβη. Gr. κατ' εἰρωνείαν εἴρηται, ὀνομαζόμενος φίλος. B. ἱππότας: φίλιππος. Gr. Fl. 6. 9. 21. 56. 59. 76. φιλιππικός. Fl. 17. καβαλλάριος. Fl. 33.

3. τὸ ἂν] τὸ ἀν δὲ I.

9. Διὸς ἐν φάει om. A.B.M.

18. ἀκούσασα—τίς ἐφόνευσεν αὐτόν] Brevius in A. ὦ ἐξ ὀνείρων φρενοῦσα καὶ διανουμένη Ἑκάβη, τίς ἐφόνευσεν αὐτόν. Quod scholion ultimum est folii 16b. post quod decem exciderunt folia versus complexa 712 (αἷμοι—κτανών)—1068. (φέγγος ἀπαλλάξας.) Horum foliorum loco dua inserta sunt folia chartacea, numeris 17. et 18. notata, quorum pagina quarta (fol. 18b.) vacua est, tres priores paginae versus continent 712.—781. a manu recenti scriptos, scholiis perpaucis.

24. κατ' εἰρωνείαν εἴρηται etiam Gu. Florr. 21. 25. 33. κατ' εἰρωνείαν (εἴρηται addit 21.) ἢ ὀνομαζόμενος φίλος. MATTH.

712. ὤμοι, τί λέξεις: οἴμοι τί λέγεις; ἔκτεινε δηλονότι, ἵνα κτανὼν ἔχῃ τὸν χρυσόν; I. τί λέξεις: τί λέγεις. Gr. ἤγουν τίνα αἰτίαν ἐρεῖς τοῦ θανάτου; Gu. τὸν μέλλοντα ἀντὶ ἐνεστῶτος. Fl. 59.

713.—717. ἄρρητα: οὐ δυνάμενα ῥηθῆναι, περαιτέρω, μείζονα θαυμάτων, οὐχ ὅσια, οὐδὲ φορητά. I. ποῦ ἐστιν ἡ δικαιοσύνη τῶν φίλων, ἢ ποῦ ἐστιν ἡ Δίκη τῶν ξένων, ἤγουν ἡ τούτους ἐφορῶσα θεὸς καὶ τιμωρουμένη τοὺς αὐτοὺς ἀποκτείναντας, ὃ καὶ κρεῖττόν ἐστιν τοῦ πρστέρου. Gu. I. ὦ καταρᾶν ἄξιε ὑπὲρ πάντας ἀνθρώπους, Πολυμῆστορ, μονονουχὶ καὶ εἰς μέρη διεῖλες τὰ τοῦ παιδὸς μέλη, ὅστις ἐμέρισας τὸ σῶμα, κόψας φασγάνῳ σιδηρῷ. I.

ἄρρητα: οὐ δυνάμενα ῥηθῆναι· ὑπερβολικῶς δὲ λέγεται. Gr. τὰ καταλαβόντα ἡμᾶς πράγματα καὶ ἃ ἐκεῖνος ἐποίησε. Gu. μὴ δυνάμενα λεχθῆναι βλέπω. Fl. 59. ἀπόρρητα καὶ ἀδιήγητα ταῦτα τὰ παρόντα δηλονότι. B.M. Fl. 10. 33. τὸ ἄρρητον λέγεται τριχῶς· ἐπὶ ἀγαθοῦ, ὡς τὸ ἄρρητος ἡ φιλανθρωπία τοῦ θεοῦ· ἐπὶ κακῆς τινος πράξεως, ἧς διὰ τὸ κακὸν οὐκ ἔστι καλὸν ῥηθῆναι ταύτην· καὶ ἐπὶ πολλῆς θλίψεως, ὡς καὶ νῦν. Fl. 59. ἀνωνόμαστα: μὴ δυνάμενα ὀνομασθῆναι. Gu. τὸ ἀνωνόμαστα μεγεθύνεται, ὡς τὸ ἀώνυμος καὶ τὰ παρ' αὐτοῦ. Fl. 59. πέρα: ἐπέκεινα. Gu. Fl. 6. 9. 17. 56. 59. 76. περαιτέρω καὶ μείζονα. B.M. περαιτέρω. Fl. 10. 21. 33. ὅτε μὲν δηλοῖ τόπον, γράφεται μετὰ τοῦ ν, ὡς τὸ πέραν τοῦ χειμάρρου τῶν κέδρων, ὅτε δὲ χωρὶς τοῦ ν, δηλοῖ τὸ ἐπέκεινα. Fl. 33.

715. ὅσια: δίκαια. Gr. Fl. 21. 56. τὸ ὅσιον ἐπὶ θεοῦ, τὸ δὲ δίκαιον ἐπὶ ἀνθρώπου, τὸ κηδεμονικὸν ἐπὶ ζώων. Fl. 33. ἀνεκτά: ὑπομονητά. Gu. φορητὰ πάσχομεν δηλονότι. Gr. δίκα ξένων: ἡ ἔφορος τῶν ξένων. Gr. Fl. 6. 9. 21. 56. 59. 76. ποῦ τὸ δίκαιον

5. μείζονα King. Ω μείζονα I.
6. ποῦ] ἢ ποῦ Gu., ἢ ab rubicatore addito. In Gu. lemma est δίκα ξένων, in I. ποῦ δίκη ξένων. Verba πῦ ἐστιν ἡ δικαιοσύνη τῶν φίλων cum lemmate ποῦ δίκα ξένων in I. leguntur etiam supra post verba διὰ μέσου, quibus finitur scholion v. 706.
7. θεὸς proximumque τοὺς om. I.
9. προτέρου] πρώτου νοῦ I.
ib. Πολυμῆστορ] πολυμήστορ (sic) I.
10. ὅστις—σιδηρῷ om. B.
14. ἀπόρρητα] ἤγουν ἀπόρρητα B.
ib. καὶ ἀδιήγητα om. Fl. 10.
15. δηλονότι om. B. Fl. 10.
19. ὡς addidit Matth.
23. χειμάρρου τῶν κέδρων] Reg. 2, 15, 23.

τὸ ἐν τοῖς φίλοις (τοῦ ξενίου Διός addit 10.) ἢ ποῦ ἡ ἐκδίκησις τῶν ξένων. Gu. Fl. 10. 21. ποῦ ἐστιν ἡ δίκη τῶν φονευόντων τοὺς ξένους. Fl. 59.

716. ὦ κατάρατ' : ὦ κατάρας ἄξιε ὑπὲρ τοὺς ἀνθρώπους Πολυμῆστορ. M. ἀντὶ τοῦ καταρατότατε. (Fl. 6. 9. 21. 56. 59. 76.) τοῦτο πρὸς τὴν Πολυμήστορα (Fl. 17. 59.) λέγει ἡ Ἑκάβη βλέπουσα τὰς τομάς. Gr. διεμειράσω : ἔκεψας. Gr. μονονυχὶ εἰς μέρη διεῖλες. B.M. Gu. ἔταμες. Fl. 17. ἤγουν εἶλες. Fl. 6.

718. φασγάνῳ : ξίφει. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

720. μέλεα : εἰς μέλη. Gr. ᾤκτισας : ᾤκτειρας. Fl. 10. 17. 59. ἠλέησας. Gr.

721. ὡς : λίαν. Gr. ὄντως, λίαν. Fl. 17. 59. πολυπονώτατην : πολυστένακτον. Fl. 33. πολύλυπον. Gr. ἀθλιωτάτην. Gu.

723. δαίμων : κακοποιὸς θεός. Fl. 17. ὁ θεός. Gr. ἡ τύχη. Gu. βαρύς : κακός. Fl. 21. 56. κακωτικὸς, ἐπαχθής. Gr. πολέμιος, κακοποιὸς, ἐπάδυνος. Gu.

724. ἀλλ' εἰσορᾷ γάρ : τὸ ἀλλά πρὸς τὸ τοὐνθένδε συναπτέον. τὸ δὲ " εἰσορᾷ γὰρ τοῦδε δεσπότου δέμας Ἀγαμέμνονος" διὰ μέσου. Gu. I. περιφραστικῶς δὲ τὸ τοῦ δεσπότου Ἀγαμέμνονος δέμας, ἀντὶ τοῦ, τὸν δεσπότην Ἀγαμέμνονα. I. τὶ γάρ περισσὸν κατὰ συνήθειαν τραγικήν. Gu.

725. τοὐνθένδε : κατὰ τὸ ἀπὸ τοῦδε. I. ἕνεκα τούτου. Fl. 17. ἀπεντεῦθεν, ἀπὸ τοῦ νῦν. Fl. 6. 10. ἀπὸ τοῦ νῦν, τοπικὸν καὶ χρονικόν. Gu. σιγῶμεν : αἰδεσθεῖσαι αἱ γυναῖκες τὴν παρουσίαν τοῦ Ἀγαμέμνονος, σιγῶσιν, ὡς δεσπότην αὐτῶν ὄντα. Fl. 59. φίλαι : γυναῖκες. Fl. 56. Τρῳάδες δηλονότι. Fl. 21.

726. Ἑκάβη, τί μέλλεις : Ἑκάβη, διὰ τί βραδύνεις τὴν σὴν

1. ἐν τοῖς φίλοις B., qui reliqua om. ἐν τῷ ξένῳ Fl. 21. In M. ποῦ τὸ δ. τὸ ἐν τῷ ξένῳ.

5. καταρατότατε] καταρώτατε Gr. (sed superscripto ατ ab Gu.) et Florr.

7. μονονυχὶ om. Gu.

17. πρὸς τὸ] Aberat τό.

18. τοῦδε] τοῦ I.

19. περιφραστικῶς δὲ τὸ τοῦ δεσπότου] κατὰ περίφρασιν ἀντὶ τοῦ δεσπότου Gr. In B.M. Fl. 10. 33. περιφραστικῶς τὸν δεσπότην :—

27. Ἑκάβη —καλῶς ἐστι] Haec omnia desunt in I. Addidit King., non e codice, ut opinor, sed e glossis suprascriptis et scholiis editis a se concinnata, quod e comparatis scholiis, imprimis Guelpherbytanis, patebit. MATTH.

θυγατέρα θάπτειν ἐλθοῦσα, καθάπερ ὁ Ταλθύβιος ἀνήγγειλέ μοι, μὴ ψαίειν μηδένα τῶν Ἀργείων τῆς σῆς θυγατέρος. ἡμεῖς μὲν οὖν εἰάσαμεν, οὐδὲ ἐψαύσαμεν· σὺ δὲ βραδύνεις, ὥστε με θαυμάζειν. μέλλω δὲ ἀποστελεῖν σε· τὰ ἀπ' ἐκείνου γὰρ μέρους καλῶς ἐπράχθησαν, εἴ τι τῶν πραχθέντων καλῶς ἐστι.

τί μέλλεις: διὰ τί βραδύνεις. Gr. ὑπερτίθῃς. Gu. μέλλειν τὸ βραδύνειν, τὸ ἀπακεῖσθαι, καὶ τὸ φαίνεσθαι. Gr. I. κρύπτειν τάφῳ: θάπτειν. Gu.

727. ἐλθοῦσ': τὸ ἐλθοῦσα Ἀττικὴ σύνταξις· τὸ κοινὸν ἐλθεῖν. Gr. ἐφ' οἵσπερ: καθά. B.I. καθάπερ. Gr. ὡς τοῦ Ταλθυβίου ἀναγγείλαντός μοι· καὶ γὰρ ἤγγειλέ μοι. Fl. 21. ὡς τοῦ Ταλθυβίου ἀπαγγείλαντος αὐτῷ ἃ ἡ Ἑκάβη αὐτῷ ἐν τοῖς προλαβοῦσιν εἶπε. B. M. Fl. 25. 33. καθάπερ. Gu. ἤγγειλέ μοι: ἀνήγγειλέ μοι. Gu.

728. θιγγάνειν: ψαύειν. I. ἅπτεσθαι. Fl. 59.

729. ἐῶμεν: ἀντὶ τοῦ ἐάσωμεν. I. ἀντὶ τοῦ εἰάσαμεν. Gr. κατὰ τὸν σὸν λόγον. Gu. ἤγουν ἀφίεμεν. Fl. 17. ψαύομεν: ἐψαύσαμεν. Gr. ἤγουν προσεγγίζομεν. Fl. 17. ἐθάψαμεν. Fl. 33. τοῦτο τὸ σχῆμα ἀντιχρονία λέγεται. Fl. 21. ἄρσις καὶ θέσις σημαίνουσα τὸ αὐτό. Fl. 59.

730. σχολάζεις: ἐμβραδύνεις. B.M. βραδύνεις. Gr. I. σχολὴ ἡ ἐπιμονὴ καὶ ἡ ἀργία καὶ ἡ βραδύτης· ὅθεν καὶ σχολαῖον βάδισμα. ἀπὸ τούτων καὶ ῥήματα· σχολάζει ἀντὶ τοῦ ἀργεῖ, καὶ ἀντὶ τοῦ βραδύνει, καὶ ἀντὶ τοῦ ἐπιμένει. Gr. θαυμάζειν: ἐκπλήττειν. Fl. 56. τὴν βραδυτῆτά σου. Fl. 59. ἐκπλήττεσθαι, διὰ θαύματος ἔχειν. Gu.

731. ἥκω: ἦλθον. Gu. Fl. 17. 59. ἀντὶ τοῦ εἶμι αὖθις ἐκεῖ πέμψων σε. Gu. μέλλω σε ἀποστελεῖν. Gr. I. ἀποστελῶν: μετακαλούμενος. B. μεταπεμπόμενος. Fl. 33. τἀκεῖθεν: ἤτοι τὰ ἀπὸ τοῦ στρατοῦ γενέσθαι πρέποντα, πῦρ τε λέγω ποιῆσαι, καὶ ξύλα συνάξαι, καὶ τἆλλα τὰ πρὸς τὴν ταφὴν ἐπιτήδεια ἐγεγόνει καλῶς. λοιπὸν οὖν ἐστι σέ τε ἐλθεῖν καὶ κρύψαι τὴν παῖδα ἐν τῷ τάφῳ.

6. ὑπερτίθῃς] In M. τί ὑποτίθη.
7. ἀποκεῖσθαι] ἀπόκεισθαι Gu.
18. ἀντιχρονία] I.e. enallage temporum.
27. μέλλω] μέλλων I.
28. ἤτοι] ἡ I.
29. γενέσθαι πρέποντα] πρέποντα γενέσθαι I.
30. τὴν ταφὴν] τὴν om. I.

οὕτω τὸ τἀκεῖθεν νοητέον, καὶ οὐχ ὡς ἐκεῖσε, ὡς οἴονταί τινες. τὸ δὲ εἴ τι τῶνδ' ἐστὶ καλῶς, διὰ τοῦτο λέγει· ἐπεὶ λυπηρὸς ἐδόκει τῇ Ἑκάβῃ ὁ τῆς θυγατρὸς θάνατος, οὕτως ἀθλίως ἀγρηγμένης, ἢ ὅτι καὶ τὰ πρὸς ταφὴν παρασκευαζόμενα ἐπιτήδεια λυπεῖ τοὺς ὁρῶντας, καὶ οὐκ ἔστιν ὃς ἰδὼν ταῦτα οὐ στενάξειεν. Gu. I. τὰ ἀπ' ἐκείνου τοῦ μέρους. Gr. τὰ ἀπὸ τοῦ στρατοῦ γενέσθαι πρέποντα. Gu. τὰ κατὰ τὴν Πολυξένην ἐπιτήδεια παρεσκενάσθησαν. Gu. ἤγουν τὰ ἐν τῇ ταφῇ καλῶς ἐπράχθησαν, ἐὰν δυνατόν ἐστι καλεῖν ταῦτα τὰ πραχθέντα καλῶς. ἔστι γὰρ σφαγὴ καὶ τάφος τι κακόν· ἤγουν ἐὰν τέως ἄξιον ὑπάρχει καλεῖν ταῦτα τὰ πραχθέντα καλῶς. Fl. 59. ἐν τῷ στρατῷ πάντα εὐτρέπισται, ἤγουν ἡ πυρά. Fl. 25.

732. πεπραγμέν' ἐστίν: καλῶς ἐπράχθησαν. Gr. τῶνδε: ἅτινα ἐπράχθησαν. Fl. 17. τῶν πραχθέντων. Gr. I. τῶν μετὰ τὴν ταφὴν πεπραγμένων. Gu. κολάζει τὸν λόγον. Gu. ἐστὶν καλῶς: κατ' εἰρωνείαν. B. ἀντὶ τοῦ ἔχων ἐστὶ καλῶς. Fl. 17. γινόμενα. Fl. 59. καὶ ἐὰν εἰσὶ καὶ τὰ ἐντεῦθεν ὄντως καλῶς εὐτρεπισμένα. ἢ οὕτως· ἐὰν δοκῇ σοι, Ἑκάβη, τῶν ἐκεῖσε πραχθέντων καλῶς. Fl. 25.

733.—735. ἔα: ἐπὶ ἐκπλήξεως. Gr. I. τίς ἐστιν ὁ ἀποθανὼν οὗτος ἀνὴρ τῶν Τρώων, ὃν εἰσορῶ ἐπὶ ταῖς σκηναῖς: Gr. I. οὐ γὰρ πέπλοι τῶν Ἀργείων τὸ σῶμα αὐτοῦ περικαλύπτοντες συμβάλλειν διδάσί μοι. I. ἐπὶ σκηναῖς: κείμενον δηλονότι βλέπω. Fl. 17. ἐντὸς τῶν σκηνῶν. Gr.

734. Ἀργείων: εἶναι δηλονότι. Fl. 17. ὅτι γὰρ οὐκ ἔστιν Ἑλληνικὸς ὁ νεκρός, φανερόν μοι ποιοῦσιν οἱ πέπλοι μὴ ὄντες Ἑλληνικοί, ἀλλὰ Τρωϊκοί. B.M. Fl. 10. 33. 59. οὐ γὰρ οἱ πέπλοι οἱ περιπτύσσοντες καὶ περισκέποντες τὸ σῶμα λέγουσιν ἐμοὶ εἶναι τὸν ἀποθανόντα Ἀργεῖον, ἤγουν Ἕλληνα. Fl. 25. οὐ γὰρ οἱ πέπλοι οἱ περικαλύπτοντες τὸ σῶμα αὐτοῦ λέγουσί μοι αὐτὸν συστέλλεσθαι. Fl. 59.

735. περιπτύσσοντες: περικαλύπτοντες. Gr. ἀγγέλλουσί μοι:

1. τὸ τἀκεῖθεν] τἀκεῖθεν Gu. τὰ ἐκεῖθεν I. Addidi τό.
ib. καὶ οὐχ—τινες om. I.
4. λυπεῖ] λυπῇ I.
7. τὰ κατὰ τὴν Π. etiam B.M.
Fl. 10. 17. 21.
9. ἔστι γὰρ] Matth. pro ἐπεὶ γάρ.
24. ὅτι] In B. lemma praefixum ἀργεῖοι πέπλοι, ut in textu legitur, non ἀργείων πέπλοι.

διδόασί μοι συμβάλλειν. Gr. εἶναι Τρῶον καὶ οὐκ Ἀργεῖον δηλονότι. Gr. μηνύουσιν, ἑρμηνεύουσι, δηλοῦσιν. Gu.

736.—738. δύστηνε: ταῦτα καθ' ἑαυτὴν λέγει ἡ Ἑκάβη· πότερον πρὸς τὸ γόνυ προσελθοῦσα τούτου πέσω, ἢ ὑπομένω διὰ σιγῆς τὰ κακά; I. ὦ δύστηνε Πολύδωρε, τί δράσω ἐγὼ ἡ Ἑκάβη. ἐγκύψασα δὲ διαλέγεται πρὸς τὸν νεκρὸν Πολύδωρον καὶ πρὸς ἑαυτήν. ὅτι γὰρ ἀποστραφεῖσα ταῦτα λέγει δῆλον ἐξ ὧν καὶ ὁ Ἀγαμέμνων φησὶ πρὸς αὐτήν "τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν δύρῃ." τὸ δὲ δύστηνε ὁ Δίδυμός φησι πρὸς τὸν Πολύδωρον λέγειν τὴν Ἑκάβην, ὦ δύστηνε Πολύδωρε, ἐμαυτὴν γὰρ λέγω, δύστηνον ἀποκαλοῦσα σέ. τί δράσω, πότερον ἱκετεύσω Ἀγαμέμνονα, ἢ σιωπήσω; B.M.I. τὸ δύστηνε οἱ μὲν διὰ τὸν Πολύδωρόν φασι τὴν Ἑκάβην οὕτω λέγειν, ὦ δύστηνε Πολύδωρε· λέγουσα γὰρ ἐγὼ ἡ Ἑκάβη σὲ δύστηνον, ἐμαυτὴν λέγω, ἢ πρὸς ἑαυτὴν οὕτως, ὦ Ἑκάβη δύστηνε. λέγουσα γάρ σε δύστηνον ἐμαυτὴν λέγω. οὗ γὰρ τὸ ὄνομα ἐπαινεῖται ἢ ψέγεται, οὗτος αὐτὸς ὁ τὸ ὄνομα ἔχων ἐπαινεῖται ἢ ψέγεται. ἱστέον δὲ ὅτι οἱ ἐκλαμβάνοντες τὸ δύστηνον πρὸς τὸν Πολύδωρον οἱ μὲν τὸ Ἑκάβη συντάσσουσιν ὡς ἡμεῖς ἔφαμεν, οἱ δὲ στίζουσι μὲν πρὸς τὸ σέ, τὸ δὲ Ἑκάβη πρὸς τὸ κάτω συνάπτουσι, λέγοντες τὴν Ἑκάβην πρὸς ἑαυτὴν ἠρέμα κοινολογεῖσθαι τὸ πότερον προσπέσω. διὸ καὶ κρεῖττόν ἐστι τὸ δύστηνε πρὸς τὸν Πολύδωρον, καὶ οὐ πρὸς ἑαυτὴν λέγεσθαι. Gu. I. δύστηνε: καθ' ἑαυτὴν λέγει τὸν λόγον ἡ Ἑκάβη μέχρι

1. συμβάλλειν] συμβάλειν Gr.

5. ὦ δύστηνε] ἄλλως praefixum in I.

6. ἐγκύψασα δὲ διαλέγεται] Ante haec verba in Flor. 33. leguntur ista: ταῦτα πρὸς ἑαυτὴν λέγει ἡ Ἑκάβη, τὸ δὲ δύστηνος πρὸς τὸν Πολύδωρον ἀποτείνεται, ὡς καὶ τοῦ (leg. τὸ) μέχρι τοῦ οὐδέν τι τούτων ἂν σὺ δοξάζεις, ἄναξ (v. 759.) ἐγκρύψασα (sic) διαλέγεται κ. τ. λ. MATTH.

ib. ἑαυτήν] αὐτήν M. in quo scholion hic finitur, sed in altero margine est, ὦ δύστηνε πολύδωρε, τί δράσω; πρὸς ἑαυτὴν ἀποστραφεῖσα λέγει δηλονότι ἐξ ἧς ὁ ἀγαμέμνων πρὸς αὐτὴν λέγει, τί μοι πρωσώπῳ νῶτον. τὸ δὲ δύστηνε ὁ δίδυμος—λέγειν καὶ τὴν ἑκάβην ἢ σιωπήσω:—

8. φησὶ] λέγει I.

ib. δύρῃ] ὀδυρῇ B., o a m. rec. superne adscripto. ὀδύρῃ I.

11. πότερον B.M. πότερα I.

ib. τὸ δύστηνε] ἄλλως ὦ δύστηνε praefixum in I.

12. οὕτω λέγειν] λέγειν οὕτω Gu.

13. ἐγὼ addidi e Gu. ex quo etiam paulo ante scripsi λέγειν οὕτω pro οὕτω λέγειν.

14. ἢ πρὸς ἑαυτὴν—ἐμαυτὴν λέγω om. Gu.

15. οὗ] οὐ I.

17. μὲν om. I.

20. ἠρέμα om. I.

πολλοῦ μὴ ἀπεκρινομένη τῷ Ἀγαμέμνονι. Gr. ὦ ἄθλιε Πολύδωρε. Fl. 33. λέγω: ὀνομάζω. Fl. 33.

737. Ἑκάβη: ὥσπερ ἄλλη τις οὖσα λεγομένη Ἑκάβη. Gu. προσπέσω γόνυ: πρὸς τὸ γόνυ προσελθοῦσα πέσω. Gr. κατὰ διάλυσιν, ὅτι προσπίπτω δοτικῇ συντάσσεται. Gu. τοῦτο ἀντίπτωσίς ἐστι. Fl. 21. ὑπέρβατον. Fl. 33.

739. τί μοι προσώπῳ: καθ' ἑαυτὴν συλλογίζεται ἡ Ἑκάβη. B. ἀπορούσης τῆς Ἑκάβης καθ' ἑαυτὴν ἆρα προσπέσω τῷ Ἀγαμέμνονι, καὶ βοηθεῖν πείσω, ἢ οἴσω τὰ κακὰ ἐν σιγῇ, ἰδὼν ὁ Ἀγαμέμνων οὕτως αὐτὴν ἐνδοιάζουσαν, φησὶ, τί ἐγκλίνασα καὶ στρέψασα τὸ σὸν νῶτον ἐμοὶ θρηνεῖς, καὶ οὐ στρέψασα πρόσωπον πρὸς πρόσωπον λέγεις τὸ πραχθέν; τίς ἐστιν οὗτος ὁ νεκρός; τὸ δέ μοι καὶ τὸ προσώπῳ καθ' ὅλον καὶ μέρος εἴρηται, τὸ μὲν ἐμοί ὅλον, τὸ δὲ προσώπῳ μέρος. μέρος γὰρ τοῦ παντὸς σώματος τὸ πρόσωπον. Gu. I.

τί μοι προσώπῳ: τί με ἀποστραφεῖσα καὶ τῷ προσώπῳ μου τὸν νῶτόν σου δοῦσα θρηνεῖς; B.M. διὰ τί ἐν τῷ προσώπῳ μου κλίνασα ἤγουν τρέψασα τὸν σὸν νῶτον. Gu. τί τὸ πρόσωπον πρὸς τὸν νῶτον δοῦσα ὀδύρῃ καὶ θρηνεῖς; ἀντίπτωσις. τί τὸ πρόσωπόν σου κρύβεις καὶ στρέφεις ὀπίσω εἰς τὴν ῥάχιν, καὶ οὐ λαλεῖς; Fl. 33. ἐγκλίνασα: ὑποκύψασα. Fl. 59.

740. ὀδύρῃ: θρηνεῖς. Gr. τὸ ὀδυρῇ ἀντὶ τοῦ ὀδύρῃ, ὁ μέλλων ἀντὶ ἐνεστῶτος. ὁ γὰρ ἐνεστὼς μακρὸν ἔχει τὸ δυ, καὶ οὐ συμφωνεῖ τῷ μέτρῳ. Gu. δύρῃ: κατὰ ἀφαίρεσιν τοῦ ō. ὀδύρῃ γάρ ἐστιν. B.

741. ἀλλ' εἴ με: ταῦτα καθ' ἑαυτήν φησιν ἡ Ἑκάβη. ἀλλ' ἐὰν εἴπω τοῦτον τὰ κακὰ τὰ ἐμὰ, ἢ κρατήσω τὸ γόνυ τούτου, φοβοῦμαι μὴ ἡγησάμενος ἐμὲ εἶναι ποτὲ πολεμίαν, νῦν δὲ δούλην, ἀποδιώξει με τῶν γονάτων αὐτοῦ, καὶ ἀπεδιωχθεῖσα προσθήσω ἐμαυτῇ πλειοτέραν θλίψιν. Fl. 59.

8. προσπέσω] προσπέσει Gu.
9. βοηθεῖν πείσω, ἢ οἴσω] βοηθεῖν αὐτῇ δεήσεται, ἢ φέρει Gu.
10. στρέψασα τὸν] τρέψασα τὸν Gu. et mox iterum τρέψασα.
12. δέ μοι καὶ τὸ] δὲ ἐμοὶ καὶ τῷ I.
17. πρόσωπον πρὸς Matth. pro πρὸς νῶτον πρόσωπον.
21. ὀδύρῃ] Sic Gu. in textu.
23. δύρῃ] In textu B. ὀδύρῃ, litera o et circumflexo a m. rec. additis.
25. ταῦτα—Ἑκάβη] Similiter Fl. 21. καθ' ἑαυτὴν καὶ ταῦτα λέγει.

742. ἀπώσαιτ᾽: ἀποδιώξει. εὐκτικὸν ἀντὶ ἐνεργητικοῦ. Fl. 59. ἀποδιώξει ἐμὲ δηλονότι. Fl. 21. ἄλγος: λύπην. Gr. τὸ ἐκ τοῦ ἀπωσθῆναι. Gu. προσθείμεθ᾽ ἄν: τῷ ἄλγει δηλονότι. Gr. τῷ περὶ τοῦ παιδὸς ἄλγει. Gu. τῷ ἄλγει δηλονότι, ἤγουν τῇ λύπῃ. Fl. 6. 9. 21. 56. 59. 76. ἀλλ᾽ ἐὰν ἀπώσαιτο καὶ ἀποδιώξῃ ὁ Ἀγαμέμνων, ἡγούμενος ἐμὲ ἐχθρὰν, προσθείμεθα καὶ προσθήσομεν ἄλγος ἐν τῷ ἄλγει, ἤγουν λύπην περισσοτέραν. προσθείμεθα κανόνισον· τίθημι, ὁ μέλλων θήσω, ὁ β᾽ ἀόριστος ἔθην, ὁ μέσος ἐθέμην, καὶ τὸ εὐκτικὸν θείμην θεῖο θεῖτο, τὸ πληθυντικὸν θείμεθα καὶ προσθείμεθα. Fl. 25.

743. κλύων: ἀκούων. Gr. τί πάσχεις. Gu. ἐκ τοῦ κλύω τὸ ἀκούω γίνεται καὶ τὸ περίκλυτος ὁ ἐξάκουστος ἤγουν ὁ περισσῶς ἀκουόμενος. Gr.

744. ἐξιστορῆσαι: ἀντὶ τοῦ μαθεῖν. M. Gr. γνωρίσαι, γνῶναι. Gu. ὁδόν: μέθοδον. Gr. τὴν θέλησιν, τὸν τρόπον. Gu. ὑπόθεσιν. B. βουλευμάτων: βούλημα, τὸ θέλημα, βούλευμα δὲ τὸ ἀπὸ τῆς βουλῆς ἤγουν σκέψεως κατάντημα. Gr. ὁδὸν βουλευμάτων: τὰ σὰ βουλεύματα περιφραστικῶς. Gu.

745. ἦ᾽ ἐκλογίζομαι: εἰπεῖσα ἄνωθεν ὡς πολεμίαν καὶ δούλην ἡγεμένος αὐτὴν Ἀγαμέμνων τὴν ταύτης ἀπώσαιτο δέησιν νῦν φησιν, ἆρα ἐκλογίζομαι καὶ ὑπιλαμβάνω τὰς φρένας τεῖδε πρὸς τὸ δυσμενὲς καὶ τὸ ἐχθρὸν μᾶλλον ἢ τὸ φιλάνθρωπον, εὐκ ὄντος δυσμενοῦς καὶ ἐχθροῦ; ἐκ δὲ τοῦ οὕτω διαπορεῖν φαίνεται ἑαυτὴν μὲν μεμφομένη, ὡς οὐ ταληθῆ περὶ ἐκείνου ὑπιλαμβάνουσαν. ἐκεῖνον δὲ τῆς αἰτίας ἀπολύουσα. Gu. I. ἦ᾽ ἐκλογίζομαί γε: ἐὰν στίξωμεν εἰς τὸ τεῖδε, νοητέον οὕτως· ἆρα χαλεπὰς καὶ ἐχθρὰς λογίζομαι τὰς τούτου φρένας τοῦ Ἀγαμέμνονος οὐκ ὄντος δυσμενοῦς, ἵν᾽ ᾖ τὸ πᾶν περὶ Ἀγαμέμνονος. ἢ εἰς τὸ μᾶλλον στικτέον, ἵν᾽ ᾖ οὕτως· ἆρα πρὸς τὸ δυσμενὲς μᾶλλον ῥέπω, τούτου ὄντος οὐχὶ δυσμενοῦς τὰς φρένας. B.M. Fl. 10. I.

ἐκλογίζομαι: διανοοῦμαι. B. ἀντὶ τοῦ διαλογίζομαι. M. καὶ τοῦτο καθ᾽ ἑαυτήν φησιν ἡ Ἑκάβη. B. ἀντὶ τοῦ συλλογίζομαι,

23. μὲν om. I.
ib. μεμφομένη] μεμφομένην I. et infra ἀπολύουσαν.
25. ἆρ᾽] ἄλλως praefixum in I.
27. τούτου addidi ex M.
ib. ὄντος M. ὄντος αὐτοῦ ceteri.
ib. τὸ πᾶν] ὁ λόγος ἅπας Flor. 10.

ἤγουν νοῦ. Gr. Fl. 6. 9. 21. 56. 59. 76. ὑπολαμβάνω, διαλογίζομαι, ἔξω τοῦ νοὸς λογίζομαι, (Fl. 33. ἔξω τοῦ νοὸς κρίνω) ἔξω τοῦ καθήκοντος λογίζομαι καὶ τάττω. Gu. ὑποπτεύω. Gu. ἆρα παραλογίζομαι καὶ ἐκλαμβάνω τοῦτον δυσμενῆ. Gu. ἄρα χαλεπὰς καὶ ἐχθρὰς λογίζομαι τούτου τὰς φρένας. Fl. 10. 33. δυσμενές: ἐχθρῶδες. Fl. 21. Gu. πρὸς τὸ ἐχθρόν. Fl. 59. ἔχθος. Fl. 56. χαλεπόν. Fl. 33. ἰδοῦσα ἡ Ἑκάβη τὸν Ἀγαμέμνονα πρᾴως ὁμιλοῦντα αὐτῇ καὶ ὡς εἰπεῖν συλλυπούμενον λέγει, ἆρα ὑπολαμβάνω μᾶλλον τὰς φρένας τοῦ Ἀγαμέμνονος εἶναι πρὸς τὸ δυσμενὲς καὶ τὸ ἐχθρωδέστερον, μὴ ὄντος τοῦ Ἀγαμέμνονος οὐχὶ ἐχθροῦ, ἀλλὰ καὶ μᾶλλον φίλου; Fl. 59.

747.—748. εἴ τί με βούλει: εἰ μηδὲν ἀπὸ τούτων βούλει εἰδέναι με, συμφωνεῖς ἐμοί· καὶ γὰρ οὐδ' ἐγὼ βούλομαι ἀκούειν. I.

τῶνδε: τῶν κακῶν. Fl. 56. μηδέν: μή τι. ὄνομα γάρ ἐστιν ἐνταῦθα τὸ μηδέν. Gr. Fl. 6. 9. 21. 56. 59. 76.

748. εἰς ταυτὸν ἥκεις: τὰ αὐτά μοι βουλεύῃ. M. συμφωνεῖς ἐμοὶ. ἤγουν ὅπερ θέλεις ἐκεῖνο θέλω. Gr. ἥκεις καὶ ἔρχῃ σὺ εἰς τὴν αὐτὴν γνώμην ἐμοί. Gu. ταυτόν: τὸ ἓν καὶ ὅμοιον. Gu. ἤγουν τὰ ἴσα μοι φρονεῖς· καὶ γὰρ οὐδὲ ἐγὼ θέλω κλύειν· ἢ εἰς τὴν αὐτὴν γνώμην ἥκεις ἐμοί. Fl. 25. εἰ θέλεις ἐμὲ μηδέν τι τούτων γινώσκειν, εἰς τὸ ὅμοιον ἐμοὶ ἦλθες· καὶ γὰρ οὐδὲ ἐγὼ θέλω ἀκούειν. Fl. 59.

749.—753. οὐκ ἄν: οὐκ ἂν δυναίμην χωρὶς τοῦδε βοηθεῖν τοῖς ἐμοῖς τέκνοις. διὰ τί στρέφω ἐπὶ νοῦν καὶ διαλογίζομαι τάδε; ἀνάγκη τιλιᾶν, ἀντὶ τοῦ ἐπιχειρεῖν, εἰπεῖν, κἂν τύχω βοηθείας δηλονότι, κἂν μὴ τύχω. ὦ Ἀγάμεμνον, ἱκετεύω σε πρὸς τῶνδε τῶν γονάτων, καὶ πρὸς τοῦ σοῦ γενείου, καὶ πρὸς τῆς δεξιᾶς, χειρὸς δηλονότι, τῆς εὐτυχοῦς καὶ εὐδαίμονος. I.

749. οὐκ ἂν δυναίμην: δυνηθῶ. Fl. 59. οὐ μὴ δυνηθῶ. Fl. 56. καθ' ἑαυτὴν λέγει ἡ Ἑκάβη, οὐ μέλλω δυνηθῆναι χωρὶς τοῦ Ἀγαμέμνονος βοηθῆσαι τοῖς τέκνοις μου, ἤγουν φονεῦσαι τὸν Πολυμήστορα. Fl. 59. τιμωρεῖν: βοηθεῖν. B. Gr. τιμωροῦμαι τὸ ἁπλῶς κολάζω καὶ ἀνταμύνομαι· καὶ τιμωρῶ τὸ ἁπλῶς βοηθῶ καὶ τὸ ἐκδικῶ. τὰ πρῶτα αἰτιατικῇ, τὰ δεύτερα δοτικῇ. Gr. τιμωρῶ τὸ

8. αὐτῇ Matth. pro ταύτην. 18. τὸ ἓν atrum, ὅμοιον rubrum in Gu.

βοηθῶ δοτικῇ συντάσσεται, τιμωρῶ δὲ τὸ κολάζω αἰτιατικῇ. Fl. 25. 33. ἀπεκδικεῖν. Fl. 21.

750. τί στρέφω ταῦτα : διαλογίζομαι, ἤγουν τί σκέπτομαι ταῦτα ; B. διὰ τί. ἐπὶ νοῦν δηλονότι, ἢ στρέφω κατὰ νοῦν, ἢ στρέφω ἀπὸ τοῦ Ἀγαμέμνονος, κινοῦμαι πρὸς ἐκεῖνον. Gr. τί τῇδε κἀκεῖσε ταῦτα φέρω, τί σκέπτομαι καὶ λογίζομαι, ἀναπεμπάζω καὶ κατὰ νοῦν περιφέρω. Gu. τί σκέπτομαι λάθρα, καὶ οὐ λέγω ταῦτα. Fl. 59.

751. τολμᾶν : θαρρεῖν. B. ἐπιχειρεῖν. Gr. τοῦτο τὸ εἰπεῖν. Gu. ὑπομένειν λέγειν. Gu. ἀνάγκη τολμᾶν καὶ θαρρεῖν προσπέσαι τοῖς γόνασι τοῦ Ἀγαμέμνονος, κἂν ἀκούσῃ μου κἂν οὔ. Gu. τολμᾶν κατὰ κοινοὺς τὸ ὑπὲρ δύναμιν ἐπιχειρεῖν, κατὰ δὲ τοὺς ποιητὰς τὸ τὰ τυχόντα ἐπιχειρεῖν καὶ τὸ ὑφίστασθαι. Gu. ἀνάγκη ὑπάρχει τολμῆσαί με εἰπεῖν ταῦτα πρὸς τὸν Ἀγαμέμνονα, κἂν τύχω βοηθείας κἂν μὴ τύχω. Fl. 59. ἀνάγκη : ἀπαραίτητόν ἐστιν. Gr. ὑπάρχει. Fl. 59. Gu. ἐμὲ ὁμιλεῖν τούτῳ δηλονότι. Fl. 21.

752. ἱκετεύω : ἤγουν παρακαλῶ σε. Fl. 17. τῶνδε : πρός. Gr. ἁπτομένη. ἕνεκα. Gu. οἱ Ἕλληνες ὅταν ἔμελλον παρακαλέσαι τινὰ, εἰ μὲν ἐκάθητο, πρῶτον μὲν ἠσπάζοντο παρακαλοῦντες τὸ γόνυ αὐτοῦ, εἶτα τὴν χεῖρα, εἶτα ἐκράτουν τῆς γενειάδος αὐτοῦ, ἵνα διὰ μὲν τοῦ γόνατος βαδίσῃ ἕνεκεν τῆς αὐτοῦ βοηθείας πρὸς τὸν βασιλέα, διὰ δὲ τῆς χειρὸς, ἵνα διὰ τῆς αὐτοῦ βασιλείας χειραγωγήσῃ αὐτὸν πρὸς τὰ χρήζοντα, διὰ δὲ τῆς γενειάδος, ἐπεὶ ὁ νοῦς ἀφανὴς καὶ ἀκατάσχετός ἐστιν, ἀντὶ νοῦ τὴν γενειάδα κατεῖχον, ὡς μὴ ἐπιλήσμων τῆς ὑπομνήσεως τάχα γένηται. Fl. 25. γενειάδος καὶ δεξιᾶς καὶ γονάτων ἥπτοντο οἱ παλαιοὶ καθικετεύοντες, διὰ τῆς γενειάδος τὸ τίμιον ὑπεμφαίνοντες, διὰ τῆς δεξιᾶς τὴν πρᾶξιν, διὰ τῶν γονάτων τὴν κίνησιν, πραγματικῶς, οἱονεὶ λέγοντες, κινηθεὶς πρᾶξον ἐντίμως εἰς ἐμέ. Gl.

753. εὐδαίμονος : εὐτυχοῦς. Gr. βασιλικῆς. Gu. εὐδαίμων γὰρ ἦν, ὢν ἄναξ πάντων Ἑλλήνων. Fl. 21.

754. τί χρῆμα : ποῖον πρᾶγμα ἐπιζητοῦσα. B. M. Fl. 59. τί

3. τί σκέπτομαι etiam M. σκέπτομαι Fl. 6. 9. 21. 56. 59.

πρᾶγμα ζητοῦσα, ἱκετεύεις δηλονότι; ποιῆσαι τὸν τῆς ζωῆς σου χρόνον ἐλεύθερον; ῥάδιόν ἐστί σοι, τοῦτο δηλονότι. I.

τί χρῆμα μαστεύουσα: τὸ μαστεύουσα μεταφορικὸν ἀπὸ τῶν βρεφῶν τῶν τοὺς μαστοὺς τεῖς χείλεσιν ἀνιχνευόντων. Gr. τί χρῆμα ἐπιζητοῦσα; μὴ οὖν ἐλεύθερον· ἐκ μεταφορᾶς τοῦ μαστοῦ. Fl. 33. ἆρα ζητεῖς ποιῆσαι τὴν σὴν ζωὴν ἐλευθέραν; μαστεύω τὸ ζητῶ καὶ παρακαλῶ· ἡ μεταφορὰ ἀπὸ τῶν νηπίων τῶν τὴν μητρὸς ἐπιζητοῦσαν μαστήν. Fl. 25. ἀμοιβαῖοι οἱ παρόντες στίχοι, διὰ δὲ τὴν γλυκύτητα συγκόπτει τοὺς λόγους τῶν προσώπων κατὰ μικρόν. Fl. 59. μῶν: ἆρα. Fl. 17. ἆρα. Gu. μὴ οὖν μαστεύεις. Gr. ἄρα θέλεις. Fl. 6. 9. 21. 56. 59. 76. ἐλεύθερον: ἀκαταδούλωτον. Fl. 59. δοῦλαι γὰρ ἦσαν τῶν Ἑλλήνων πᾶσαι αἱ αἰχμαλωτισθεῖσαι. Gu.

735. αἰᾶνα: τὸν τῆς ζωῆς χρόνον. Gr. ἤγουν τὸν ἅπαντα βίον. αἰὼν ὁ χρόνος καὶ ἡ ἑνὸς ἑκάστου ζωή. Gu. θέσθαι: ποιῆσαι. Gr. ποιήσασθαι. Gu. ῥᾴδιον: εὔκολον. Fl. 17. 59. Gu. ἔστι σοι: τὸ τυχεῖν τούτου δηλονότι. M. Fl. 21. ποιῆσαί σοι τοῦτο. Fl. 59.

736. οὐ δῆτα: οὐδαμῶς βούλομαι δηλονότι ἐλευθερωθῆναι, τοὺς κακοὺς δὲ κολάζουσα τὸν ἅπαντά μου βίον θέλω δουλεῦσαι. I. οὐδαμῶς θέλω τοῦτο. Fl. 59. μαστεύω τεῦτο δηλονότι. Fl. 21. τιμωρουμένη: κολάζουσα. Gr. τιμωρῶ τὸ βοηθῶ προφέρεται ἐνεργητικῶς, τιμωροῦμαι δὲ τὸ κολάζω παθητικῶς. Fl. 33.

737. δουλεῦσαι: δούλη εἶναι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. δούλη ἔσεσθαι. Fr. 59.

738. καὶ δή τιν' ἡμᾶς: καὶ δὴ εἰς τίνα ἐπάρκειαν καὶ βοήθειαν καλεῖς ἡμᾶς, ἤγουν ἐμέ; I. καὶ διὰ τίνα βοήθειαν λέγει ἡμᾶς ἐνταῦθα, τί θέλουσα. Fl. 59. τὸ εἰς ἀναστροφὴν, εἰς τίνα βοήθειαν ἡμᾶς καλεῖς. Gu.

739. οὐδέν τι: οὐδέν τι τούτων, ὧν σὺ ὑπονοεῖς, ἄναξ, θέλω δηλονότι. ὁρᾷς τόνδε τὸν νεκρὸν, καθ' οὗ στάζω δάκρυον; I. εἰς οὐδέν τι τούτων καλῶ σε, ὦ ἄναξ, ὧν ὑπονοεῖς· ἃ ἔμελλεν εἰπεῖν, διὰ δὲ τὴν προηγησαμένην πτῶσιν εἶπεν ὧν. Fl. 17. αὐτῷ δηλονότι, ἐπιθυμῶ, τὸ ζητεῖν με ἐλευθέραν ζωήν. Gu. δοξάζεις: ὑπονοεῖς.

17. δηλονότι om. M.

δοξάζει ἀντὶ τοῦ τιμᾷ, καὶ ἀντὶ τοῦ ὑπολαμβάνει, καὶ ἀντὶ τοῦ στέργει. οἷον τὰ τῶν Ἰουδαίων δοξάζει. Gr. ὑπολαμβάνεις. Gu.

760. οὗ: ἀντὶ τοῦ ὑπὲρ οὗ. M. ὑπέρ. Fl. 10.

761. ὁρῶ· τὸ μέντοι μέλλον: ἤτοι ὃ μέλλεις περὶ τούτου εἰπεῖν οὐ δύναμαι νοῆσαι. I. τὸ μέντοι: ἤγουν τί (ἤτις Gu.) ἐστὶν ἡ δέησις περὶ τούτου (ἡ ὑπὲρ τούτου τοῦ νεκροῦ Gu.) οὐ δύναμαι νοῆσαι. Fl. 6. Gu. τὸ δὲ μέλλον, διὰ ποῖον τρόπον ἐφονεύθη, οὐ δύναμαι νοῆσαι. Fl. 59. ῥηθήσεσθαι. οὐκ ἔχω: οὐ δύναμαι. Gr. ὃ περὶ τούτου μέλλεις εἰπεῖν. Gu. τὸ μέλλον καὶ ἑσόμενον διαφέρει, παρότι τὸ μὲν ἀμφίβολον, τὸ δὲ ἀναμφίβολον. Gu. μαθεῖν: νοῆσαι. Gr. ἢ εἰπεῖν. γρ. φράσαι. Gu.

762. τοῦτόν ποτ': τοῦτον ἔτεκεν ποτὲ καὶ ἔφερον ὑπὸ τῆς ζώνης, τουτέστιν ἐν γαστρὶ εἶχον. καὶ ἔφερον ζώνης ὕπο, ἀντὶ τοῦ ὑποκάτω τῆς ζώνης ἐβάσταζον ποτὲ τοῦτον, καὶ ἔτεκον ὑπὸ τῆς ζώνης. ὅμοιον τῷ "ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' εἵματος κρύπτοντα χεῖρα" καὶ τῷ "περᾷ γὰρ ἤδ' ὑπὸ σκηνὴν πόδα." I. ἔτεκεν κἄφερον: πρωθύστερον, (ὑστερολογία Gu.) ἀντὶ τοῦ ὑποκάτω τῆς ζώνης ἐβάσταζον ποτὲ καὶ ἔτεκον. Gr. πρωθύστερον ποίησον, ἵνα γένηται σαφές· τοῦτόν ποτε ἔφερον ζώνης ὕπο καὶ ἔτεκον. Καὶ ἄλλως. τοῦτον ποτὲ εἶχον κατὰ γαστρὸς ὑπὸ τὴν ζώνην καὶ ἐγέννησα αὐτόν. B.M. Fl. 10. 21. 25. 33. παρὰ σοῦ. τί ἄρα ἔστιν οὐκ ἔχω ὑπονοῆσαι γαστρὸς ὑπὸ ζώνης. Fl. 33.

763. ἔστιν δὲ τίς: ἔστι δὲ, ὦ τλῆμον, οὗτος τίς τῶν σῶν παίδων; I. τίς: ποῖος. τὸ τί ἐπὶ τῆς οὐσίας τίθεμεν ἐρωτῶντες, οἷον τί ἐστι τόδε; τὸ δὲ τίς ἐπὶ τῶν ὀνομάτων, οἷον τίς ἐστιν ὅδε; Gu. τίς δὲ καὶ ποῖος ἀπὸ τῶν σῶν τέκνων ὑπάρχει οὗτος, ὦ ἀθλία; Fl. 59. παρασχηματισμός. B.

764. οὐ τῶν θανόντων: οὐκ ἔστιν ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου τῶν θανόντων ἐν Ἰλίῳ. I. οὐ: λείπει τὸ ναί. Fl. 33. ὑπ' Ἰλίῳ: ἐντὸς τῆς Ἰλίου. ἡ ὑπό δηλοῖ τὸ κάτω, οἷον ὑπὸ τὸ δένδρον. δηλοῖ δὲ καὶ τὸ ἐντὸς, ὡς ἐνταῦθα καὶ παρὰ Θουκυδίδῃ "ὑπὸ νύκτα ἔφυγεν οἱ

15. τῷ—καὶ τῷ] V. 342. et 53.
ib. χεῖρα] τὴν χεῖρα I.
20. τὴν ζώνην M. Fl. 33. τῆς ζώνης ceteri. Quae post ζώνης sequuntur om. B.
ib. καὶ M. Fl. 33. καὶ εἶτα ceteri.
25. ἔστιν] ἔειν I. Gl. οὐκ ἔστιν est in Gu., υἱῶν τοῦ πριάμου in Gr.

πολέμιοι." Gr. ὑπὸ μετὰ θυτικῆς κατὰ Ἀττικούς· κατὰ δὲ κοινοὺς γενικῇ καὶ αἰτιατικῇ. Gu.

765. ἦ γάρ: ἆρα ἕτεκες καὶ ἄλλον τινὰ παρὸ ἐκείνους; Gu. I. ἐρωτηματικὸς ὁ ἦ σύνδεσμος. ἆρα γάρ τινα ἄλλον ἐγέννησας παῖδα παρ' ἐκείνους ἑτέρῳ τινί; B.M. Fl. 21. 25. 33. Gu. ἆρα, ὦ γύναι, ἐκείνους μόνους ἔτεκες, ἢ καὶ ἄλλον τινά; Fl. 59.

766. ἀνόνητά γε: ἀνωφελῶς, ὡς φαίνεται, ἔτεκον καὶ τόνδε, ὃν ὁρᾷς. I. ὡς φαίνεται, ἀνωφελῶς ἐγέννησα τοῦτον, ὃν βλέπεις, μηδεμίαν ὠφέλειαν παρέχοντά μοι. Fl. 59.

767. ποῦ δ' ὤν: ποῦ δὲ ἦν, ἡνίκα ἐφθείρετο ἡ πόλις; I.

768. πατήρ νιν: ὁ πατὴρ ἐξέπεμψε, φοβούμενος μὴ καὶ αὐτὸς ἀποθάνῃ, ὥσπερ δηλονότι οἱ ἄλλοι, ἁλούσης τῆς Τροίας. I. ὀρρωδῶ: ὀρρωδῶ τὸ φοβοῦμαι, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων, τῶν τὴν οὐρὰν συστελλόντων διὰ φόβον ἐπὶ τὸν πρωκτὸν καὶ ἐν τοῖς αἰδοίοις δεσμοῦσι. Fl. 25. ἡ μεταφορὰ ἀπὸ τῶν κυνῶν τῶν φοβουμένων καὶ τῷ πρωκτῷ τὴν οὐρὰν βαλλόντων. Fl. 10. φοβούμενος. M.

769. ποῖ τῶν τότε: ποῦ ἐξέπεμψε δηλονότι, χωρίσας μόνον τῶν τότε ὄντων τέκνων. I. ποῦ ἐξαπέστειλεν αὐτὸν μόνον ἀποχωρίσας ἀπὸ τῶν ἄλλων τέκνων αὐτοῦ. Fl. 59. τοῦτον τὸν στίχον ἡ Ἑκάβη ἔμελλεν εἰπεῖν· τὸ γὰρ ποῖ μόνον μέλλει τῷ Ἀγαμέμνονι, ἀλλ' ἵνα σώσῃ ὁ στίχος καὶ τὴν ἔννοιαν τῆς Ἑκάβης. Gu.

770. ἐς τήνδε χώραν: εἰς τήνδε τὴν Χερρόνησον, ὅπου εὑρέθη θανών. I.

771. πρὸς ἄνδρα: τὸν Πολυμήστορα δηλονότι, ὃς ἄρχει τῆσδε τῆς χθονός. Gr. I. πρὸς ἄνδρ': καὶ οὕτως ὁ λόγος τῆς Ἑκάβης. Gu. ἄρχει: ἀντὶ τοῦ βασιλεύει καὶ ἀντὶ τοῦ προηγεῖται, ὡς τὸ ἄρχει φιλίας, ἤγουν πρῶτος αἰνεῖται εἰς φιλίαν· ἄρχεται δὲ τοῦ ἔργου παθητικῶς ἀντὶ τοῦ ἀρχὴν τίθησι τῷ ἔργῳ, καὶ ἄρχεται ἀντὶ τοῦ ὑπ' ἀρχὴν ἐστὶν, ἤγουν ἐξουσιάζεται. Gr.

772. ἐνταῦθ': ναὶ, ἐνταῦθα ἐπέμφθη ὁ Πολύδωρος, φύλαξ χρυσοῦ

3. παρὸ super παρὰ scriptum habet Gr. et in paraphrasi hujus v. Gu. παρὸ (sic) I.

5. παρ'] παρὸ Gu.

ib. ἐκείνους] ἐκείνου B.M. ἐκείνῳ Fl. 33.

ib. ἑτέρῳ] ἐν ἑτέρῳ Fl. 21. 25. Gu.

12. ὀρρωδῶ—αἰδοίοις habet B. sic scripta, ὀρρωδῶ—συστελλόντων ἐν τοῖς αἰδοίοις διὰ δέος:—

πικροτάτου. πικρότατον λέγει τὸν χρυσὸν, ὡς αἴτιον τῷ Πολυδώρῳ τοῦ φονευθῆναι γενόμενον· αἴτιος γὰρ γέγονε πικρίας τῷ παιδὶ ὁ χρυσός. I. πικρότατον τὸν χρυσὸν εἶπε διὰ τὸ αἴτιον αὐτὸν γενέσθαι θανάτου καὶ σφαγῆς. B.M.

773. θνήσκει δέ: ἀντὶ τοῦ ἔθανε παρὰ τίνος, καὶ τίνος θανάτου τυχών. I. παρὰ τίνος. B.M.

774. τίνος: ὑπὸ τίνος ἄλλου, ἔθανε δηλονότι. ὁ Θρᾷξ ὁ φίλος ὤλεσεν αὐτόν. Gr. I. ξένος: ὁ νομιζόμενος φίλος. B. Fl. 10. ξένος ὁ προσδεχθεὶς καὶ ὁ προσδεξάμενος, ὡς ἐνταῦθα. Gu.

775. ὦ τλῆμον: τὸ τλῆμον ἢ πρὸς τὸν Πολυμήστορα ἢ πρὸς τὸν Πολύδωρον. καὶ πρὸς μὲν τοῦτον ὡς χρυσοῦ ἕνεκα φονέα γενόμενον, πρὸς δὲ τὸν Πολύδωρον ὡς ἀδίκως φονευθέντα, ἢ πρὸς τὴν Ἑκάβην διὰ τὸν τοῦ παιδὸς φόνον. Gu. τὸ ἢ πρὸς ἐκεῖνον, ἢ πρὸς τὸν Πολύδωρον. B. τοῦτο δύναται νοηθῆναι καὶ πρὸς τὴν Ἑκάβην διὰ τὸν φόνον τοῦ παιδὸς, πρός τε τὸν Πολυμήστορα, ὡς χρυσοῦ ἕνεκα φονέα γενόμενον, καὶ πρὸς τὸν Πολύδωρον, ὡς ἀδίκως φονευθέντα. I. ὦ ὑπομενητικὴ ἐν τοῖς δεινοῖς. ἢ τὸν Πολυμήστορα τλήμονα λέγει, διὰ τὸ κέρδος ἀσεβείᾳ κοινωνήσαντα. B. M. I. ἠράσθη: ὁ Πολυμήστωρ. I. ἐπεθύμησε, καὶ διὰ τοῦτο ἔκτεινε δηλονότι. Fl. 21.

776. τοιαῦτ': καὶ τοιαῦτα ἐποίησεν ἀφ' οὗ τὴν συμβᾶσαν βλάβην ἔγνω τῶν Φρυγῶν, ἤτοι τῶν Τρώων. οἱ γὰρ νεώτεροι τὴν αὐτὴν Τροίαν καὶ Φρυγίαν φασίν. I. ἀντὶ τοῦ οὕτως ἐποίησε. B. ναὶ οὕτως. Gr. ἐποίησεν, ἔπραξεν, εἰργάσατο. Gu. Φρυγῶν: ὅτι οἱ νεώτεροι τὴν αὐτὴν Φρυγίαν καὶ Τροίαν φασί. M. Fl. 33. τοιαῦτα πληθυντικῶς εἶπεν ἀντὶ τοῦ τοιοῦτόν τι ἐστιν. M. Fl. 33.

777. εὖρες: ποῦ δὲ εὖρες αὐτόν; ἢ τίς ἔφερε νεκρόν; I. τὸ εὑρεῖν ἐπὶ τὸ πλεῖστον ἐπὶ τῶν ζητουμένων λέγεται, τὸ δὲ ἐντυχεῖν ἐπὶ τῶν ἐξαίφνης καὶ ἀπροσδοκήτων. Gu.

1. πικρότατον — γενόμενον habet etiam Gu., reliqua Gr. inter lineas.

3. εἶπε] ἔφη B.

8. ὁ νομιζόμενος] ὁ om. B.

17. δεινοῖς] κακοῖς M. In Gu. est ἀθλίᾳ ἑκάβῃ, ἢ ὑπομενητικὴ ἐν τοῖς δεινοῖς.

ib. τλήμονα M. τλήμονα καὶ ὑπομενητικὸν B. I.

18. κέρδος ἀσεβείᾳ] ἀσεβείᾳ; M., omisso κέρδος.

23. ὅτι] Hoc est σημειωτέον ὅτι, vel, ut alibi in his scholiis, τὸ X ὅτι —. ὅτι om. M.

24. τοιαῦτα—ἐστιν] τὸ δὲ τοιαῦτα πληθυντικῶς ἀντὶ τοῦ ἐστι Fl. 33.

778. ἦδ᾽: τὴν θεράπαιναν δείκνυσι. B.M. ἦδε ἡ θεράπαινα ἦνεγκεν ἐντιχεῦσα ἐπὶ τοῦ αἰγιαλοῦ. I. τυγχηρῶς τοῦτον εὑροῦσα. Gr.

779. τοῦτον ματεύουσ᾽: ψηλαφῶσα. B. τοῦτον ζητοῦσα, ἢ ἐνεργοῦσα ἄλλην ἐνέργειαν. I. πονοῦσ᾽: Ἀττικῶς, ὡς τὸ γράφω γραφὴν καὶ λέγω λόγον, οὕτω καὶ πονοῦσα πόνον. Gu. Fl. 28.

780. λουτρ᾽ ἧκετ᾽ εἴσω᾽: ἐπορεύθη κομίσασα ὕδατα, λουτρὰ τῆς Πολυξένης. I. ἦγουν ὕδατα ἐπὶ λουτρῷ ἐπορεύθη μέλλουσα εἴσειν (κομίσουσα ἀπὸ τῆς θαλάσσης Gr.) χάριν τῆς Πολυξένης. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὕδωρ ὤφειλεν εἰπεῖν εἰς λουτρὰ τῆς Πολυξένης. διότι δὲ τὸ ὕδωρ διὰ τὰ λουτρὰ τῆς Πολυξένης ἔχρηζεν, αὐτὸ εἶπε λουτρά. Fl. 59. λουτρὰ τὰ ὕδατα, ὁ μισθὸς ὁ ἐπὶ τοῖς λουτροῖς διδόμενος, καὶ αὐτὸ τὸ κτίσμα. Gu.

781. κταιὼν νιν: κταιὼν αὐτὸν, ὡς φαίνεται, ἔρριψεν ὁ φίλος. I. ὁ Πολυμήστωρ. B. M. ἐκβάλλει: ἀντὶ τοῦ ἐξέβαλεν, ἤγουν ἔρριψεν. ἁρμοδία ἡ λέξις ἐπὶ θανάτου· καὶ ἔκβλητον γὰρ λέγεται, ὅπερ βιφῇ ὑπὸ θαλάσσης. Gr.

782. θαλασσόπλαγκτον: ὑπὸ τῆς θαλάσσης φέρεσθαι, οὕτω διακόψας τὸ σῶμα ἔρριψεν. I. ὧδε: ὡς ὁρᾷς. Gu. οὕτως δεικνύει τὰς τομάς. Gr. διατεμών: φονεύσας, διαμερίσας, διαμελίσας τὸ σῶμα ὁ Πολυμήστωρ. Gu.

783. ὦ σχετλία: ὦ οἰκτρὰ σὺ τῶν ἀναριθμήτων ἕνεκα θλίψεων. I. σχετλία: δυστυχής. Gu. οἰκτρά. βλέπων τὰς τομὰς ταῦτα λέγει ὁ Ἀγαμέμνων. Gr.

784. ὄλωλα κοὐδέν: ὄλωλα, φησὶν, ὑπὸ τῶν κακῶν καὶ τῶν συμφορῶν, καὶ εἰς τὸ οὐδὲν ἧκω. ἢ ἐλλειπτικῶς, φασὶν. ὄλωλα, ὦ Ἀγάμεμνον καὶ οὐδὲν λοιπὸν τῶν κακῶν ἄκος εὑρεῖν δύναμαι, ἢ οὐδὲν ὑπολείπεταί μοι κακὸν, ὃ οὐ πέπονθα. B. Fl. 33. I. τελέως ἐφθάρην. Gu. ἐφθάρην. Fl. 17. 21. ἀπὸ τοῦ νῦν ἐφθάρην, ὦ Ἀγάμεμνον, παντελῶς καὶ οὐδέν ἐστιν ἐπίλοιπον τῶν κακῶν, ἀλλὰ πάντα συνήλθοσαν εἰς ἐμέ. κοὐδὲν λοιπόν: ἐπίλοιπον, ὃ μέλλω πείσεσθαι. Gu. ὑπόλοιπον. Gr. ἦγουν οὐδὲν ἀπὸ τῶν κακῶν ἐναπέμεινεν, ὅπερ οὐκ

18. φέρεσθαι] πλάζεσθαι Gr. in scholio simili.
26. οὐδὲν] μηδὲν Fl. 33. I.
ib. φασὶν] φησὶν I.
ib. ὄλωλα, ὦ Ἀ.] ὄλωλα, φησὶν, ἀ. Gu. I.

ἔπαθον. Gr. τὸ λοιπὸν οἱ παλαιοὶ οὐ τιθεῖσιν ἀντὶ τοῦ διὰ τοῦτο· πεζὸν γάρ ἐστιν, εἰ μὴ ἀντὶ τοῦ ἐπίλοιπον. γίνεται δὲ ἀπὸ τοῦ λείπω λοιπὸς καὶ λοιπὸν τὰ ἔχοντα τὸ ε. Fl. 59. κακῶν : ὑπό. Fl. 10.

785. φεῦ φεῦ : τίς ἄλλη γυνὴ σοῦ δυστυχεστέρα ἐγένετο. I. ὑπάρχει. B.

786.—794. οὐκ ἔστιν : οὐκ ἔστιν ἑτέρα δυστυχεστέρα ἐμοῦ δηλονότι, εἰ μή που αὐτὴν τὴν δυστυχίαν λέγεις. ἀλλ' ὧν χάριν προσπίπτω τοῖς σοῖς γόνασιν ἄκουσον. καὶ εἰ μὲν δίκαιά σοι παθεῖν φαίνομαι, ἀγαπάτω ἄν· εἰ δὲ τὸ ἐναντίον, τουτέστιν ἀνόσια ἔπαθον, βοηθὸς ἐμοὶ γενοῦ ἕνεκα τοῦ ἀνοσιωτάτου ξένου, ὃς οὔτε τοὺς κάτω θεοὺς, ἤγουν τοὺς καταχθονίους, οὔτε τοὺς ἄνω, τουτέστι τοὺς οὐρανίους, δείσας, ἔργον ἀνοσιώτατον πεποίηκεν. (τοὺς μὲν κάτω θεοὺς, ὅτι ἄταφον αὐτὸν ἔρριψεν, τοὺς δὲ ἄνω, ὡς ἐφόρους ὄντας φιλίας, οὐκ ἔδεισεν. ἀλλ' εἰργάσατο φόνον παιδὸς ἐμοῦ, τυχὼν ἐμοὶ τραπέζης κοινῆς, τουτέστι μετ' ἐμοῦ πολλάκις ἑστιαθείς, καὶ τὰ πρῶτα τῶν ἐμῶν φίλων τυγχάνων, καὶ οὐκ αἰδεσθεὶς οὔτε τοὺς κοινοὺς ἄλας οὔτε τὴν φιλίαν αὐτήν). I.

οὐκ ἔστιν : τίς γυνὴ δυστυχεστέρα ἐμοῦ οὐκ ἐγένετο πώποτε, εἰ μὴ καὶ μόνη αὐτὴ ἡ Δυστυχία. σωματοποιεῖ τὴν Δυστυχίαν. ἐκείνη πέμπει τὴν δυστυχίαν εἰς τοὺς ἀνθρώπους. χωρὶς γοῦν αὐτῆς τῆς Δυστυχίας ἑτέρα τις γυνὴ οὐκ ἐγένετο ἐμοῦ δυστυχεστέρα. Fl. 59. ἐντοῦθα γὰρ προσωποποιεῖ τὴν Δυστυχίαν. Gu. τὴν δυστυχίαν δηλονότι. B.M.

787. οὕνεκ' : τὸ οὕνεκα λαμβάνεται καὶ ἀντὶ τοῦ ὅτι καὶ ἀντὶ τοῦ χάριν· ἀντὶ τοῦ ὅτι, ὡς τὸ "οὕνεκα τὸν Χρύσην" ἀντὶ τοῦ χάριν, ὡς καὶ ἐνταῦθα. τὸ δὲ ἕνεκα ἀντὶ τοῦ οὕνεκα οὐ λαμβάνεται πώποτε. Fl. 59.

788. εἰ μὲν ὅσια : εὐσεβῆ, δίκαια. B.M. ὅσιον λέγεται τὸ δίκαιον. διαφέρει δὲ τοῦτο, ὅτι τὸ δίκαιον, ὥσπερ γένος ὄν, διαιρεῖται εἰς ὅσιον καὶ δίκαιον· καὶ τὸ μὲν πρὸς θεοὺς ἐξ ἀνθρώπων γενόμενον

3. τὸ ε] τὸ ὁ Matth.
12. τουτέστι scripsi pro οὔτε.
13. τοὺς μὲν κάτω—φιλίαν αὐτήν] Haec pars scholii est etiam in Gu, incipiens, θεοὺς δηλονότι, καὶ τοὺς μὲν κάτω, ὅτι etc.
17. οὔτε τοὺς ex Gu. οὔτε om. I.
23. τὴν et δηλονότι om. B.
27. οὕνεκα Matth. pro ἕνεκα.
29. εὐσεβῆ om. B.

ὅσιον καλεῖμεν, τὸ δὲ πρὸς ἀνθρώπους, δίκαιον. ἐνταῦθα δὲ καταχρηστικῶς ἡ Ἑκάβη τὸ ὅσιον λέγει. Gu. I.

789. στέργοιμ' ἄν: ἀγαπῴην ἄν. Gr. ὑπομένοιμι, ὑπομένω. Gu. ὁ ἄν σύνδεσμος ἐν τέλει λέξεων κεῖται, καὶ εὐκτικῇ φωνῇ συντάσσεται, ὁριστικῇ δὲ σημασίᾳ. Gr. καρτερῶ. Fl. 10. τοὔμπαλιν: ἤγουν τὸ ἐναντίον, τουτέστιν ἀνόσια. Gr. δοκῶ παθεῖν. δεξιὸν καὶ σύντομον ῥήτορες. Gu. ἤγουν ἐὰν δοκῶ παθεῖν ἀδίκως. Fl. 17. 59. 76. εἰ μὲν δοκῶ σοι παθεῖν δίκαια, ἔπαθον, ἵνα ὑπομεινῶ τοῦτο· εἰ δὲ ἀδίκως δοκῶ σοι παθεῖν, σύ μοι γενοῦ βοηθός. Fl. 59.

790. τιμωρός: κολαστής. Fl. 6. 10. 21. βοηθός. Gr. ἐκδικητὴς, κολαστής. Gu. ἀνοσιωτάτου: ἀδικωτάτου, ἀκολάστου. Fl. 6. 10. 21. 59. 76.

791. τοὺς τῆς νέρθεν: ἤγουν ὃς οὔτε τοὺς κάτω τῆς γῆς, θεοὺς δηλονότι, ἤγουν τὸν Πλούτωνα καὶ τὴν Περσεφόνην, τοὺς καταχθονίους, οὔτε τοὺς ἄνω δείσας πεποίηκεν ἔργον ἀνοσιώτατον. Gr. χθονίους μὲν διὰ τὸ ἄταφον ἐᾶσαι φονεύσαντα, οὐρανίους δὲ διὰ τὸν ξένιον καὶ φίλιον Δία. B. rec. M. διὰ τὸ ἄταφον αὐτὸν ἐᾶσαι φονεύσαντα. Fl. 10. 33. τοὺς ἄνω: τὸν Δία καὶ τοὺς λοιπούς. Gu.

792. δείσας: φοβηθείς. δείδω τὸ φοβοῦμαι· καὶ δέδοικα καὶ δέδια τὸ αὐτό· δεδίττω δὲ τὸ φοβῶ ἕτερον. Gr.

793. κοινῆς τραπέζης: πολλάκις συγκοινωνήσας ἐμοὶ τραπέζης, ἀπολαύσας. Gr. Fl. 6. 9. 21. 56. πολλάκις φαγὼν καὶ πιὼν μετ' ἐμοῦ, καὶ ἐν τῷ ἀριθμῷ τῶν φίλων μου πρῶτος ὑπάρχων. Fl. 6. 9. 17. 21. 56. 59. 76. καὶ ἐν ἀριθμῷ, ἤγουν ἐν τάξει, δεξιώσεως φίλων πρῶτος ταττόμενος δηλονότι τῶν ἐμῶν φίλων. Gr. Florr. iidem. λείπει ἡ ἐν πρόθεσις, ἐν τῷ ἀριθμῷ τῶν ἐμῶν φίλων πολλάκις τῆς κοινῆς τραπέζης καὶ τῆς ξενίας τὰ πρῶτα τυχών. B. Fl. 59. εἰ γὰρ τοὺς ἅπαξ κεκοινωνηκότας ἁλῶν καὶ ἄρτου μετά τινος οὐκ ἔξεστιν κτείνειν, πόσῳ μᾶλλον τοὺς πολλάκις τῆς αὐτῆς τυχόντας τραπέζης; καὶ τῆς ξενίας τὰ πρῶτα λαχὼν καὶ λαβὼν προμηθίαν, ὅ ἐστι χρήματα καὶ πᾶσαν τὴν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν τῶν κατ' ἐμὲ πραγμάτων. Fl. 25. 23. 59. ἐν τῷ ἀριθμῷ τῶν ἐμῶν φίλων πολλάκις τῆς

25. δηλονότι om. Gr.
26. πρόθεσις om. B.
27. πρῶτα τυχών] πρῶτος καὶ λαβὼν—πραγμάτων habet.
λαχὼν Fl. 59.
31. τὴν addidi ex B., qui verba

κοινῆς τραπέζης καὶ τῆς ξενίας τὰ πρῶτα τυχών. Fl. 10. πολλάκις: ἀντὶ τοῦ πλειστάκις. καὶ ἅπαξ. Gr. ἐν πολλοῖς καιροῖς. Gu.

794. ξενίας: φιλίας. B. M. Gu. ὑποδοχῆς φιλικῆς. ξενία ἡ ὑποδοχὴ καὶ κυβέρνησις ἡ εἰς τοὺς ξένους, καὶ ξενία ἡ ξενιτεία. Gr. ἀριθμῶ: τὸ ἀριθμῶ ἐπὶ τοῦ τάττω, τὸ μετρῶ ἐπὶ τοῦ σκοπῶ. Fl. 33. πρῶτα: ἔχων. Gr. ὤν. Gu.

ἐμῶν φίλων: γρ. καὶ ξένων. M. ἐν τῷ ἀριθμῷ τῶν ἐμῶν φίλων πολλάκις τῆς κοινῆς τραπέζης καὶ τῆς ξενίας τὰ πρῶτα τυχών. M.

795. καὶ λαβών: ἐπιτυχὼν δὲ ὁπόσων πρέπει τυχεῖν φίλον, καὶ λαβὼν προμηθίαν (ὅ ἐστι τὰ χρήματα καὶ πᾶσαν τὴν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν· ἢ πρόνοιαν τῶν κατ' ἐμὲ πραγμάτων,) ἐφόνευσε, τύμβου δ' οὐκ ἠξίωσεν, ἐπεὶ φονεῦσαι ἤθελεν, ἀλλ' ἔρριψεν εἰς τὴν θάλασσαν. ἡμεῖς μὲν οὖν δεδουλωμένοι καὶ ἀδύνατοι εἰς ἐκδίκησιν ἐπίσης ὑπάρχομεν· ἀλλ' οἱ θεοὶ ἰσχύουσι, καὶ ὁ νόμος ἐκείνων ὁ κρατῶν πάντων· νόμῳ γὰρ θεὸν ἴσμεν, τῷ σέβειν θεοῦ νόμους. τῷ γὰρ φυλάττειν τὰ ὑπὸ τοῦ θεοῦ νενομοθετημένα καὶ τὸ θεῖον νομίζομεν. I.

τὸ τυχὸν δ' ὅσων δεῖ καὶ λαβὼν προμηθίαν νοητέον ἢ ὅτι τυχὸν ἐξ ἡμῶν ὅσων δεῖ τυγχάνειν τοὺς φίλους πρὸς φίλων καὶ λαβὼν πρέπουσαν κηδεμονίαν ἔκτεινε τὸν ἐμὸν υἱόν, ἢ ὅτι τυχὸν ὅσων δεῖ τυγχάνειν τοὺς βασιλέων παῖδας ἐν οἴκοις τρέφοντας, χρημάτων καὶ τῆς λοιπῆς δαπάνης. καὶ τὸ μὲν πρῶτον νοεῖται ἐκ τοῦ "κοινῆς τραπέζης τυχὼν ἐμοί," καὶ "τὰ πρῶτα τῶν ἐμῶν φίλων ὤν," τὸ δὲ δεύτερον πρὸς τὸ ἔκτεινεν. Gu. I. τυχών: φιλίων πραγμάτων καὶ ἑτέρων. Fl. 59.

λαβὼν προμηθίαν: λαβὼν τὴν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν, ὅ ἐστι χρήματα. Ἄλλως. πρόνοιαν τῶν κατ' ἐμὲ πραγμάτων, ὅτι πορθηθείσης τῆς Τροίας ἐδυστύχησα εἰς πολλὰ μεγάλως. M. προμηθίαν: Ἰωνικὸν, τὸ κοινὸν προμήθεια, ἀντὶ τοῦ ἐπιβουλήν. Gr. πρόνοιαν, κηδεμονίαν. Gu. τὴν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν καὶ ὠφέλειαν, ὅ ἐστι χρήματα. Fl 10. οἱ δὲ πεζογράφοι προμήθειαν γράφουσιν. Fl. 59.

18. τὸ om. I.
20. τυχὼν ὅσων] τυχὼν δ' ὅσων I.
21. τοὺς βασιλέων—λοιπῆς] τοὺς τῶν βασιλέων παῖδας τρέφοντας ἐν οἴκοις, χρημάτων λέγω καὶ λοιπῆς I.

796. εἰ: τὸ εἰ ἀντὶ τοῦ ἐπεί, σύνδεσμος συναπτικὸς ἀντὶ παρασυναπτικοῦ. Fl. 21.

797. οὐκ ἠξίωσεν: ἄξιον ἔκρινεν. ἀξιῶ τὸ καθικετεύω αἰτιατικῇ· ἀξιῶ τὸ ἄξιον κρίνω καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ ἀπὸ αἰτιατικῆς εἰς γενικήν· καὶ ἀξιῶ τὸ τιμῶ, ὅθεν καὶ ἀπηξίωσεν. Gr. ἀφῆκε: ἔρριψεν. B. Gr. πόντιον: εἰς τὴν θάλασσαν. B. Gr. θαλάσσιον. Gu.

798. ἴσως: ἀντὶ τοῦ ἐπίσης, μὴ ἔχοντες παρὰ τινὸς τινὰ βοήθειαν. Fl. 6. 9. 21. 56. 59. 76. ἀντὶ τοῦ ἐπίσης. Gr. ὁμοίως, ἐξίσης. Gu. ἴσως δὲ λέγει, ἐπεὶ ἔχει ἔτι τινὰ ἐλπίδα τιμωρήσασθαι. Gr.

799. σθένουσι: ἰσχύουσιν, καὶ ὁ νόμος ἐκείνων, ἤγουν τῶν θεῶν, ὁ κρατῶν τῶν ἀνθρώπων δηλονότι, ἐξουσιάζων. Fl. 6. 9. 21. 56. 59. 76. Gr. δύνανται, ὥστε κολάσαι αὐτόν. Gu. κρατῶν: ὁ δυνάμενος, ὁ ἰσχύων. Gu.

800. νόμῳ γάρ: διὰ τοῦ νόμου γὰρ τοὺς θεοὺς γινώσκομεν (ἤγουν διὰ νόμου καταλαμβάνομεν εἶναι θεούς Gu.), καὶ ζῶμεν διὰ τοῦ νόμου τὰ δίκαια καὶ τὰ ἄδικα τάξαντες. τῶν νόμων ἐκ θεοῦ ὄντων τιμωμένων σώζεται καὶ ἡ εἰς ἐκεῖνον τιμὴ, μὴ τιμωμένων δὲ καταλύεται. Gr. ἐν νόμῳ γὰρ νομίζομεν ζῆν τοὺς θεούς, ἤγουν νομίμως καὶ δικαίως διεξάγειν καὶ διακυβερνᾶν τὰ πάντα. ὑπὸ τῶν θεῶν δὲ διεξαγόμεθα ἡμεῖς τάξαντες ἡμᾶς ζῆν δίκαια. ἡμεῖς δὲ ζῶμεν ἄδικα καίπερ ὡρισμένοι τὴν δικαιοσύνην κρατεῖν καὶ δίκαια ζῆν. Fl. 59. ὑπολαμβάνομεν τοὺς θεοὺς ζῆν ἐννόμως. ἢ οὕτως· διὰ τοῦ θεοῦ γινώσκομεν τοὺς θεοὺς, καὶ ζῶμεν ἄδικα. Fl. 25. θεὸν ἴσμεν τῷ σέβειν θεοῦ νόμους. τῷ γὰρ φυλάττειν τὰ ὑπὸ θεοῦ νενομοθετημένα εἶναι καὶ τὸ θεῖον νομίζομεν. Fl. 10. 59. διπλῶς τοῦτο εἶπεν· ἢ ὅτι τοὺς θεοὺς

21. διακυβερνᾶν Matth. pro διακερβενᾶν.

26. τῷ γὰρ φ.—νομίζομεν] Haec sunt etiam in Gu. sed scriptum est τὸ pro τῷ et ἤδειν pro εἶναι. Idem scholion mancum est in Florr. 10. 33. 59. τὸ γὰρ φυλάττειν τὰ ὑπὸ θεοῦ νομίζομεν. Etiam superiora θεὸν ἴσμεν—νόμους sunt in iisdem codd. bis, sed ibi τὸ σέβειν scriptum est. Iidem exhibent sqq. κακοσυθέτως κ. τ. λ. sed vitiose, δεῖ γὰρ εὖ. εἰπ. καὶ ζ. ἀδίκως τὰ δ. ὁρ. παρὰ τῶν θεῶν ἐν τοῖς πρ. τηρ. in quo παρὰ τῶν θεῶν fort. verum. MATTH. In B. est θεὸν γὰρ ἴσμεν—νόμους:—ἄλλως. τῷ γὰρ—νομίζομεν.

ἐννόμως ἡγούμεθα καὶ νομίζομεν ζῆν, ἢ ὅτι ἐννόμως καὶ τοῖς νόμοις πειθόμενοι τοὺς θεοὺς σεβόμεθα. Fl. 10. 33. 59.

801. καὶ δίκαι᾽ ὡρισμένοι: ἀφωρισμένοι καὶ πρόδηλα ἔχοντες. M. κακοσυνθέτως εἶπεν. ἔδει γὰρ οὕτως εἰπεῖν, καὶ τὰ δίκαια ὁρισθέντες παρὰ τοῦ θεοῦ τηρεῖν ἐν τοῖς πράγμασιν ἀδίκως βιοῦμεν. B. I. ὁρίσαντες, τάξαντες. Gr. ὑπὸ τῶν θεῶν, διακρίναντες. Gu. ἤγουν ὁρισθέντες καὶ προσταχθέντες. ὥσπερ γὰρ φαμὲν προσετάχθην τὰ καὶ τὰ, οὕτως ὡρίσθην δίκαια καὶ ἄδικα ὑπὸ τοῦ νόμου, ἵνα τὰ μὲν φεύγω, τὰ δὲ πράττω. Gu.

802.—805. ὃς εἴς σ᾽ ἀνελθῶν: ὁ θεῖος νόμος ἀναχθεὶς εἰς σὲ, εἰ ἀκυρωθήσεται, καὶ μὴ ποινὴν δώσουσιν, οἳ τοὺς φίλους φονεύουσι καὶ ἱεροσυλοῦσιν, οὐκ ἔστιν ἀπὸ τῶν πολιτενομένων πραγμάτων ἐν τοῖς ἀνθρώποις ἐν ἰσότητι οὐδὲν, ἤγουν ἐν δικαιοσύνῃ. I. ὃς ὁ νόμος ἀνελθὼν εἰς σὲ, ὡς σὺ ὑπάρχεις βασιλεὺς, καὶ τὸ καταλῦσαι τὸν νόμον ἐν σοί ἐστιν καὶ τὸ συστῆσαι τοῦτον, εἰ διαφθείρεται καὶ μὴ δώσουσι δίκην, οἵτινες φονεύουσι τοὺς ξένους, ἢ τολμῶσι φέρειν, ἀντὶ τοῦ καταλύειν, τὰ ἱερὰ, ἤγουν τοὺς νόμους τῶν θεῶν, οὐ μὴ εἴπω ὅτι ἔστι τι τῶν ἐν ἀνθρώποις πραγμάτων δικαίως πραττόμενον, ἀλλὰ πάντα δηλονότι ἄδικα. Fl. 59. ὅς: τουτέστιν ὁ νόμος. M.

802. ἀνελθών: θαυμαστῶς ἐνταῦθα τὸ ἀνελθὼν κεῖται· διὰ γὰρ τὸ τῆς βασιλείας ὕψος ταύτῃ τῇ λέξει ἐχρήσατο· τὸ γὰρ ἀνά τὴν ἄνω φορὰν δηλοῖ. Gu. I. ὡς λέγομεν ἀνῆλθε καὶ ἀνέδραμεν ὁ θεῖνα εἰς ὑπερέχον πρόσωπον, ἵνα λάβῃ ἐκδίκησιν, οὕτω λέγει καὶ τὸν νόμον ἐνταῦθα ἀνελθεῖν εἰς τὸν Ἀγαμέμνονα. Gr. διαφθαρήσεται: ἀκυρωθήσεται. Gr. ἀτιμασθήσεται, παραβαθήσεται. Gu.

803. δίκην: τιμωρίαν. Gu. Fl. 21. 56. 59.

804. θεῶν ἱερά: ἱερὰ θεῶν λέγει ἢ τοὺς περὶ τῆς φιλίας γενομένους ὅρκους, καὶ αὐτὴν τὴν μετὰ σπονδῆς θεῶν ἀρχιμένην φιλίαν, καὶ τὸ πρὸς τοὺς ξένους παρὰ τῶν θεῶν ταχθὲν δίκαιον. Gu. I. ἱερὰ τολμῶσιν φέρειν: ἱεροσυλήσωσιν. M. ἤγουν ἱερισυλεῖν. Gr Fl.

4. ἔδει] δεῖ B.

11. ἀκυρωθήσεται] Sic Gr. Fl. 6. 17. 56. 59. 76. qui priora ista habent, cum explic, ἀτιμασθήσεται, ἀπολεῖται. In I. εἰ οὐ κυρωθήσεται. MATTH.

21. τὴν ἄνω φορὰν] φορὰν τὴν ἄνω Gu.

27. γενομένους] γινομένους Gu.

28. ἀρχομένην] ἀρχομένων I.

6. 9. 17. 21. 33. 56. 76. *φέρειν*: *ἀντὶ τοῦ κλέπτειν.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. *ἔχειν, κινεῖν, καταλύειν, κλέπτειν ἢ παρακινεῖν.* Gu.

805. *ἴσον*: *δίκαιον, ὑγιὲς, βέβαιον.* Gu. *ἴδιον τοῖς ἐπειγομένοις εἴς τι δι' οἰκείαν ὠφέλειαν ἀπὸ τῶν μερικῶν τὰ καθόλου κρίνειν, ἢ ἀπὸ τῶν ὑπερεχόντων προσώπων ἢ πραγμάτων τὰ ἄλλα.* Gr.

806. *ταῦτ' οὖν*: *ἀντὶ τοῦ τοῦτο, ἤγουν τὸ ἀκυρῶσαι καὶ μὴ πληρῶσαι τὸν θεῖον νόμον, αἰσχρὸν καὶ ἄδικον ἡγησάμενος, ἐντράπηθί με.* I. *ἅπερ εἶπον, διανοηθεὶς ὅτι εἰσὶν αἰσχρὰ καὶ κακὰ τὰ παρ' ἐκείνου πραχθέντα.* Fl. 6. 25. *ταῦτ' οὖν, ἅπερ σοι λέγω, θέμενος ἐν αἰσχρῷ, ἤγουν ἐν αἰσχύνῃ, αἰδέσθητί με, ποῦ μὲν καὶ διὰ τὸν νόμον αὐτὸν, ποῦ δὲ καὶ διότι ὑπάρχω μὴ ἔχουσα τινὰ ἕτερον εἰς βοήθειαν.* Fl. 59. *ἅπερ λέγω, τὸ κτείνειν τοὺς ξένους καὶ τῶν θεῶν ἱερὰ κινεῖν.* Gu. *ἐν αἰσχρῷ θέμενος*: *ἤγουν αἰσχυνθείς.* Gr.

807. *ὡς γραφεύς τ' ἀποσταθείς*: *ὡς ζωγράφος ἀπωτέρω στὰς κατανοεῖ τὰς εἰκόνας, εἰ καλῶς ἐγράφησαν, οὕτω καὶ σύ με ἄθρησον, οἵοις κακοῖς περιέπεσον. τὸ δὲ ἴδου βαρυτονεῖται, ῥῆμα ὄν· ἐπίρρημα δὲ, ὀξύνεται.* B.I. *ἀποσταθείς*: *τὸ σταθεὶς οὐ πρὸς τὸν Ἀγαμέμνονα νοητέον, ἀλλὰ πρὸς τὸ γραφεύς, οὕτω· καὶ ἰδοῦ με καὶ ἀνάθρησον, οἷα ἔχω κακὰ, ὥσπερ γραφεὺς τὴν εἰκόνα βλέπει, σταθεὶς ἄπω, ἵνα μὴ πλησίον ὢν διαχεθείη τοὺς ὀφθαλμοὺς καὶ οὐ κατάληψιν ἀκριβῆ ποιήσαιτο. οἱ δὲ πρὸς τὸν Ἀγαμέμνονα τὸ σταθεὶς λέγοντες οὐ μόνον εὐήθεις εἰσὶν, ἀλλὰ καὶ τὸν Εὐριπίδην συμπαραλαμβάνουσι μετ' αὐτῶν. πῶς γὰρ οὐκ ἠλίθιός τις, λέγων σταθεὶς ἄπω, ὦ Ἀγάμεμνον, ὥσπερ γραφεύς.* Gu. I. *ἀποσταθείς*: *τοῦτο πειθῦσιν οἱ ζωγράφοι· ἡ αἴσθησις γὰρ ἀπρακτεῖ τῇ ἄκρα ἐγγύτητι, ὡς τῷ λίαν πόρρω.* Gr.

808. *ἰδού με κἀνάθρησον*: *θέασαι καὶ ἀνασκόπησον.* Fl. 6. 9.

15. *ὡς ζωγράφος—περιέπεσον* habet etiam Flor. 33. Aliud scholion in codem et 10. *ὡς ζωγρ. πορρωτέρω στὰς κατανοεῖ τὰς εἰκόνας, εἰ καλῶς γέγραπται τὸ ζῴδιον, οὕτω καὶ σύ.* Sequentia iidem codd. sic: *ἰδοὺ βαρυτόνως ῥῆμα, ὀξυτόνως ἐπίρρημα.* MATTH. Cum Fl. 10. 33. fere consentit M. in quo est *ὡς ζωγράφος ἀπωτέρω—εἰ καλῶς γέγραπται τὸ ζῴδιον*:—

18. *τὸ σταθεὶς* om. I.

19. *ἰδοῦ*] *ἴδου* (sic) I.

22. *ἀκριβῆ*] *ἀκριβῶς* I.

ib. *οἱ δὲ*—] In Gu. *οἱ δὲ πρὸς τὸν ἀ. τὸ στ. λέγοντες οὐ καλῶς λέγουσιν*, reliquis omissis. Quae Arsenius interpolasse videtur.

24. *λέγων* Matth. pro *λέγειν*.

17. 21. 56. 59. 76. Gr. πολλάκις θεώρησον καὶ ἐκ δευτέρου βλέψον καὶ ἀναλόγισαι. Gu. ἴδου: βαρυτόνως τὸ ῥῆμα, ὀξυτόνως τὸ ἐπίρρημα. M.

809. τύραννος: δέσποινα. Gr. βασιλίς. ἐλέου εἰσβολή, σύγκρισις ἀπὸ τοῦ μείζονος. Gu. σέθεν: εἰμὶ δηλονότι, πρὸς ὃ ἀποδίδοται τὰ ἑξῆς. Fl. 6. 17. 21. 56. 59. 76.

810. εὔπαις ποτ' οὖσα: λάμβανε τὸ ἦν βασίλισσα ἀπὸ κοινοῦ, ἵν' οὕτως ᾖ εὔπαις ποτ' οὖσα ἦν βασίλισσα. νῦν δὲ γραῦς, καὶ ἄπαις. Gu. I. πολλοὺς καὶ καλοὺς παῖδας ἔχουσα. Fl. 59. εὔπαις ὁ καλοὺς παῖδας ἔχων καὶ ὁ καλῶς ἔχων περὶ γένναν παίδων. Gr. γραῦς: αἱ γὰρ γραῖαι οὐδὲ παιδοποιοῦσι. Fl. 59.

811. ἔρημος: ἐστερημένη καλῶν. Gr. πάντων. Gu. Fl. 59.

812. οἴμοι τάλαινα: παρεπιγραφὴ τὸ σχῆμα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. κατοῦσα τὰ γόνατα τοῦ Ἀγαμέμνονος ἥψατο τοὺς πόδας κινοῦντα. ὥστε ἐκβαλεῖν τῶν χειρῶν αὐτῆς. Gr. ποῖ μ' ὑπεξάγεις πόδα: ποῦ μεταφέρεις τὸν πόδα σου; τὸ ἐντελὲς, ποῦ μοι ὑπεξέρχῃ. ἐδιχοστάτει γὰρ αὐτῇ ἐπικουρεῖν ὁ Ἀγαμέμνων, διὰ τὸ φίλον εἶναι τὸν Πολυμήστορα· οὐ γὰρ συνεμάχησεν ὅδε τοῖς Τρωσὶ χαριζόμενος τοῖς Ἕλλησι. B.M.I. ὑπεξάγεις: ἀπ' ἐμοῦ, ἀντὶ τοῦ ἐξάγεις. Gr. κρυφίως μεταφέρεις, κινεῖς. Gu. ἰδοῦσα τὸν Ἀγαμέμνονα ἐπὶ συνοιᾳ γενόμενον καὶ διχοστατοῦντα εἰς βοήθειαν αὐτῆς, ὡς φίλου ὄντος τοῖς Ἕλλησι τοῦ Πολυμήστορος, λέγει, ποῦ ὑπεκφέρεις τὸν πόδα, ἤγουν τὸν νοῦν σου, ἀπὸ μεταφορᾶς τῆς βαδίσεως τοῦ ποδός, διαλογιζομένου τοῦ ἀθλίου. ποίαν ἄρα ὁδὸν κρατήσῃ. ἢ εἴτως· ἐν συνοιᾳ τὴν Ἀγαμέμνονα γενόμενον καὶ ἐγερθέντα τῆς καθέδρας αὐτῆς διαλογίζεσθαι αὐτὸν περιπατοῦντα. εἶα

2. ἴδου] Hoc accentu M. in textu. Conf. p. 417, 17.
8. ἵν' οὕτως ᾖ om. I.
12. καλῶν om. Fl. 59.
17. ἐδιχοστάτει] ἐδιχοστάτη M.
ib. ὁ Ἀγαμέμνων] ὁ om. B.
18. συνεμάχησεν ὅδε τοῖς] συνεμάχησε τοῖς I.
ib. Verba τὸ ἐντελὲς—Πολυμήστορα sunt etiam in Flor. 33. qui om. μοι posi ποῦ, et addit ὁ ante Ἀγαμ. Ultima οὐ γὰρ—Ἕλλησι habet 10. sed priora sic: αἰκ ἤθελεν γὰρ αὐτῇ ἐπικουρεῖν Ἀγαμέμνων διὰ τὸ φίλον εἶναι τῷ Πολυμήστορι. Totum ἐδιχοστάτει—Ἕλλησι Flor. 59. qui etiam ὁ Ἀγαμ. Idem etiam habet ποῦ μεταφέρεις τὸν πόδα, om. σου, et addit ἤγουν τὸν νοῦν. Longius abit Gu. ἐνταῦθα δείκνυται ὡς ἀκούσας Ἀγαμέμνων ἀπὸ τῆς Ἑκάβης τῶν περὶ τοῦ βοηθῆσαι αὐτῇ δεήσεων ὑποχωρεῖ ἀπ' αὐτῆς, διὰ τὸ φίλον αὐτοῦ εἶναι—τοῖς Ἕλλησι. MATTH.

εἰώθασιν οἱ ἐν δισταγμῷ ὄντες ποιεῖν. Fl. 59. τί με ποιεῖς ἐπὶ πολὺ ὀδυρόμενον; εἶπε δὲ τοῦτο, διότι εἶδεν ἐκεῖνον ὑποχωροῦντα. Fl. 33.

813. πράξειν: ἀνύσειν. Gu. οὐδέν: ὧν ἐβουλόμην, ἀπὸ τούτων ὧν χρήζω. Gu.

814.—818. τί δῆτα θνητοί: ῥητορικῆς ἔπαινος. διὰ τί ζητοῦμεν ἃ οὐδέν ἐστι, τὴν δὲ πειθὼ μόνην οὐκ ἀσκοῦμεν, ἰσχυρὰν οὖσαν, μισθοὺς διδόντες. I.

815. μοχθοῦμεν: μετὰ πόνου μανθάνομεν. I. μοχθοῦμεν ὡς χρὴ πάντα: ζητοῦμεν ἃ οὐδέν ἐστι, τὴν δὲ πειθὼ μόνην οὐκ ἀσκοῦμεν μισθοὺς διδόντες. Ἄλλως. πειθὼ δὲ τὴν τύραννον ὁ νοῦς· οὐ σπουδάζομεν τὴν πειθὼ μανθάνειν ἀκριβῶς, ἧς ἔδει μᾶλλον τῶν ἄλλων τεχνῶν ἀντιποιεῖσθαι, ἵν' εἴ ποτε πείθειν ἔδει, καὶ τὰ ἑξῆς. οὐκ ἀνατίθησι δὲ ἀεὶ τοῖς ῥήτορσι τὴν τοῦ πείθειν δύναμιν, εἰπὼν τὸ ποτέ ὡς οὐκ ἀεὶ πείθειν δυναμένοις, ἀλλ' ὅτε δεῖ καὶ ἐν οἷς, ἵνα ὑπάρχῃ, φησὶ, τὸ πείθειν εἰς ἃ τις βούλεται. B.M. πονοῦμεν. Gu. κοπιῶμεν, μετὰ μόχθου μανθάνομεν. μοχθῶ καὶ πονῶ περὶ τὸ πρᾶγμα μετὰ προθέσεως κοινὸν, χωρὶς προθέσεως ποιητικόν. ἐπιλαμβάνονται καὶ ἐνταῦθα τοῦ ποιητοῦ, βαρβάρῳ προσώπῳ ταῦτα λέγοντος. Gr. ἐπιζητοῦμεν. B. ζητοῦμεν. Gr. Fl. 10. 33.

816. πειθώ: τὴν δὲ πειθὼ μανθάνειν ἀκριβῶς οὐ σπουδάζομεν, ἧς ἔδει μᾶλλον τῶν ἄλλων τεχνῶν ἀντιποιεῖσθαι, ἵνα ὑπάρχῃ, φησὶ, πείθειν εἰς ἃ τις βούλοιτο. εἰπὼν δὲ τὸ ποτέ οὐκ ἀεὶ αὐτῇ ἀνατίθησι τὴν τοῦ πείθειν δύναμιν. I. πειθὼ τὴν τύραννον: τὴν, ὥσπερ βασιλεὺς, ὑπάγουσαν πάντας πρὸς τὸ δοκοῦν ἑαυτῇ λόγοις ποικίλοις

4. ἀνύσειν] ἀνύσαι B.

6. διὰ τί—διδόντες] Florr. 6. 9. 17. 21. 56. 59. 76. κοπιῶμεν, διὰ μόχθου μανθάνομεν, ὡς ἐνδέχεται, ζητοῦμεν etc. omissis vv. ἰσχυρὰν οὖσαν. Verba ζητοῦμεν—διδόντες sine ἰσχ. οὖ. habent etiam 10. 33. qui subjiciunt: ὤφειλεν ὁ ἄνθρωπος τὸν βίον αὐτοῦ ὅλον διδόναι καὶ μανθάνειν ἃ μὴ θέλει πράττειν. MATTH.

11. Ἄλλως om. M.

ib. τὴν τύραννον om. B.

13. Post ἀντιποιεῖσθαι M. pergit, καὶ ἄλλως. οὐκ ἀνατίθησιν οὐδὲ τοῖς ῥήτορσι τὴν τοῦ πείθειν δύναμιν:—reliquis quae B. habet omissis.

22. Verba in I. omissa τῶν ἄλλων τ. sunt e Florr. 10. 25. 33. In v. ἀντιποιεῖσθαι desinit scholion cod. 10. sed 25. 33. pergunt, ἵν' ἦ ποτε πείθειν ἔδει (l. ἃ ἔδει) καὶ τὰ ἑξῆς. οὐκ ἀνατίθησι δὲ τοῖς ῥήτορσι τοῦ πείθειν δύναμιν, ἀλλ' ὅτε δεῖ, καὶ ἐν οἷς, ἵνα ὑπάρχῃ, φησὶ, τὸ πείθειν εἰς ἃ τις βουλοιτο. MATTH.

καὶ πιθανοῖς. Gu. I. τὴν τὸ πείθειν ἐπιτηδεύουσαν τέχνην τῶν λόγων, τὴν μόνην ἐν τοῖς ἀνθρώποις δέσποιναν, ἤγουν τὴν ῥητορικήν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὴν καταπείθησιν, τὴν δύναμιν τοῦ πείθειν τὴν ῥητορικήν· δι' αὐτῆς γὰρ τὸ πείθειν. Gu.

817. οὐδέ τι μᾶλλον: ἀντὶ τοῦ οὐδαμῶς, ὄνομα ἀντὶ ἐπιρρήματος, ὡς τὸ ταχὺς ἦλθεν ἀντὶ τοῦ ταχέως. ὡς ὄνομα γὰρ δύναται ἔχειν ὑποτεταγμένον τὸ τί. Gr. I. εἰς τέλος: μέχρι τέλους. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. εἰς τὸ ἄκρον, τελείως. Gu. σπουδάζομεν: μετὰ σπουδῆς ἐργαζόμεθα καὶ μανθάνομεν. Gu.

818. μισθούς: πολλούς. Fl. 59. διδόντες: τοῖς διδάσκουσι. Gu. μανθάνειν: ὥστε. B. Gu. διδάσκεσθαι ταύτην εἰς ἄκρον. Fl. 59. ἀσκεῖν. Fl. 10. ἴν' ἦ ποτε: ἵν' ὑπάρχῃ τὸ πείθειν εἰς ἅ τις βούλοιτο πράξειν καλῶς. M. Fl. 33. ὅπως ὑπάρξῃ. Gr.

819. ἅ: εἰς ἅτινα. Gr. ὡς τὸ "ἦ ῥά μοι πείθοιο ὅττι κεν εἴπω" παρ' Ὁμήρῳ μετὰ αἰτιατικῆς. πείθει χρυσὸς, δάκρυα, κάλλος καὶ λόγος. Gu. βούλοιτο: πείθειν δηλονότι. Gr. θέλοι, ἐλπίσειεν. Gu. τυγχάνειν: ὧν χρείαν ἔχει. Gr. βούλοιτο. Gu.

820. τί οὖν: πῶς οὖν. M. πῶς οὖν ἔτ' ἄν τις: εἰς τί οὖν ἐλπίσειέ τις πράξειν καλῶς. B.I. εἰς τὸ ἑξῆς. Gr. ἀπὸ τοῦ νῦν. Gu. ἐλπίσαι: θαρρήσειε. Gu. ἐλπίσειεν εὐτυχήσειν. Gr. Fl. 59. 76. ἀντὶ τοῦ εὐπραγήσειν ἐμέ. Fl. 59. 76. ἀπὸ τοῦ νῦν τίς ἐλπὶς ἐν ἐμοὶ εὐπραγήσειν, στερηθείσῃ τῶν τέκνων μου· ἐγὼ δὲ πορεύομαι βούλη ἐπὶ τοῖς αἰσχροῖς πράγμασι. Fl. 59. περὶ ἑαυτῆς λέγουσα σχηματίζει τὸν λόγον εἰς τρίτον πρόσωπον, συμπεραίνει δὲ πάλιν διὰ τῶν ἐπαγομένων εἰς πρῶτον. τοῦτο καὶ τοῖς λογογραφοῦσι σύνηθες. Gr. Fl. 25.

822. ἐπ' αἰσχροῖς: ἀπρεπέσιν. Gr. λυπηροῖς. Gu. οἴχομαι: φθείρομαι. Gr. πορεύομαι. Gu.

823. ὑπερθρώσκοντα: γρ. καὶ ὑπερτέλλοντα. B. ὑπερτέλλοντα. I. ἀνερχόμενον καὶ ὑπερπηδῶντα. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀκμὴν δὲ καὶ τὸν καπνὸν τῆς πόλεως καυθείσης βλέπω ὑπερθρώσκοντα καὶ ὑπεράνω αὐτῆς πηδῶντα. Fl. 59.

6. τὸ et γὰρ om. Gu.
13. βούλοιτο] βούλεται M. in textu et in scholio,
15. Ὁμήρῳ] Il. 14, 190. ubi ἦ ῥά νύ μοί τι πίθοιο—.
19. ἐλπίσειέ τις] ἐλπίσει δέ τις I.

824. καὶ μὴν ἴσως: σεμνότης τὸ σχῆμα παρὰ τοῖς ῥήτορσιν. ἴσως, φησὶ, κενὸν ὑπάρχει τὸ τὴν Ἀφροδίτην εἰς μεσιτείαν προτείνειν, ἀλλ' ὅμως λεχθήσεται. I.

824.—845. καὶ μὴν ἴσως: καὶ μὴν ἴσως κενὸν καὶ ἄκαιρον τόδε, τὸ ἔμπροσθεν τοῦ λόγου ποιεῖσθαι τὴν συνουσίαν τῆς θυγατρὸς, ἀλλ' ὅμως εἰρήσεται. πρὸς ταῖς σαῖς πλευραῖς εἰς ὕπνον τρέπεται ἡ ἐμὴ μαντικὴ παῖς, ἥντινα ἀνομάζουσιν οἱ Φρύγες Κασάνδραν. ποῦ δῆτα δείξεις, ὦ ἄναξ, τὰς προσφιλεῖς νύκτας, ἢ ποῦ ἕξει ἡ ἐμὴ παῖς — τὸ ποῦ κατὰ κοινοῦ — χάριν τινὰ καὶ ἀνταμοιβὴν, ἕνεκα τῶν ἐν τῇ εὐνῇ φιλτάτων ἀσπασμάτων καὶ φιλημάτων, τίνα χάριν ἕξει ἡ ἐμὴ παῖς ἀπὸ σοῦ, ἀπ' ἐκείνης δ' ἐγώ; ἐκ τῆς νυκτὸς γὰρ καὶ ἐκ τῶν νυκτερινῶν φίλτρων πάνυ μεγίστη γίνεται χάρις τοῖς βροτοῖς. ἄκουε δὴ νῦν· ὁρᾷς τόνδε τὸν θανόντα, ἤγουν τὸν Πολύδωρον· τοῦτον δρᾷν καλῶς, ἤτοι εὐεργετῶν, ὄντα γυναικαδελφὸν σέθεν, ἤγουν σοῦ, δράσεις εὖ δηλονότι. ἑνός ἐστιν ἐμοὶ ὁ μῦθος ἐλλιπής. εἴθε γένοιτό μοι λαλιὰ ἐν τοῖς βραχίοσι καὶ ἐν ταῖς κόμαις καὶ ἐν τῇ βάσει τῶν ποδῶν, ἢ ἐν τέχναις Δαιδάλου, ἤ τινος ἀπὸ τῶν θεῶν, ἵνα πάντα τὰ μέλη μου ἅπτοιντο ὁμοῦ τῶν σῶν γονάτων, κλαίοντα καὶ ἐντελλόμενα παντοίους λόγους. ὦ δέσποτα, ὦ μέγιστον φάος τοῖς Ἕλλησιν, ἀντὶ τοῦ τῶν Ἑλλήνων, πείσθητι, καὶ δὸς ἐμοὶ τῇ πρεσβύτιδι χεῖρα βιηθόν, εἰ καὶ μηδὲν ἔστιν ἡ ἱκετεύουσά σε δηλονότι, ἀλλ' ὅμως δεῖ αὐτὴν παρὰ σοῦ ἐλεηθῆναι. ἴδιον γὰρ ἀνδρὸς ἀγαθοῦ τῇ δικαιοσύνῃ βοηθεῖν καὶ τοὺς κακοὺς δρᾶν ἀεὶ πανταχοῦ κακῶς, ἤτοι τιμωρεῖσθαι. I.

824. καὶ μήν: τοῦτο εἰς μεταπτώσεις ὑποθέσεων κεῖται. Gr. προθεραπεία καὶ διόρθωσις. Gu. τοῦ λόγου: γρ. ὁ λόγος. κενόν: ἄκαιρον. τόδε: γρ. ὅδε. Gr. περισσὸν, μάταιον. Gu. μάταιον, ἀδόκιμον. B.M. Fl. 59. μάταιος, ἀδόκιμος. Fl. 6. 9. 21. 56. κενὸν τοῦτο λέγει (Fl. λέγουσα) καίτοι γε μέγα (Fl. μεγάλα) δυνάμενον, συγ-

1. σεμνότης] σεμνότατον I. Correxi ex B. in quo nihil est praeter σεμνότης τὸ σχῆμα παρὰ τοῖς ῥήτορσι.

15. εἴθε—] Haec habet Fl. 59. additamentis nonnullis aucta, τέχναις τοῦ ἀγαλματοποιοῦ Δαιδάλου ἢ δυνάμει καὶ θελήματι τινος—λόγους παρακινοῦντάς σε εἰς βοήθειαν. Praeterea pro ἐν τοῖς βραχ.—ποδῶν habet εἰς πάντα μου τὰ μέλη, tum ὁμοῦ ἅψοιντο, et προφασιζόμενα pro ἐντελλόμενα.

27. ἄκαιρον] Superscriptum ἄκαιρος spectat ad ὁ λόγος.

ib. μάταιον] μάταιον καὶ B.

κρίνουσα οἷς εἶπεν, ὅτι νόμῳ τοὺς θεοὺς ἡγούμεθα, καὶ τοῖς ἄλλοις. Fl. 25. Gr. ἤγουν ὁ λόγος ὁδὲ ἄκαιρός ἐστιν. Gu. Fl. 17. 59. 76. κενός. Fl. 59.

825. Κύπριν: συνουσίαν. B. Gr. ἀφροδίτην, μῖξιν. Gu. μίξιν τῆς Κασάνδρας συνουσίας. Fl. 25. 33. 59. προβάλλειν: ὥστε. B. εἰς μεσιτείαν προτείνειν. Gr. προφέρειν. Gu.

826. πρὸς σαῖσι πλευραῖς: οὐ μαστροπεύδεις οἱ λόγοι, ἀλλ' ἀφαιρεθεῖσα τὸν τὴν τύχης ὄγκον εἰς πᾶν ὁτιοῦν καταβαίνει, καθομιλοῦσα τοῖς καιροῖς, καὶ λέγουσα ταῦτα δι' ἃν ἔμελλε θηρᾶσθαι βοήθειαν. B.M. Gr. Fl. 25. 33. 59.

826. κοιμίζεται: εὐνάζεται. Gu. πᾶς κοιμώμενος καὶ κοιμίζεται, οὐ μὴν πᾶς ὁ κοιμιζόμενος καὶ κοιμᾶται. Gr.

827. Φοιβάς: ἡ μαντική. Gr. ἡ μάντις, ἀπὸ τοῦ Φοῖβος ὁ Ἀπόλλων. Fl. 10. 25. Κασάνδραν: ἡ Κασάνδρα πρώην Ἀλεξάνδρα ἐκαλεῖτο, ὡς καὶ Λυκόφρων φησίν, ἐκλήθη δὲ Κασάνδρα παρὰ τῶν Τρώων διὰ τὸ κάσιν καὶ ἀδελφὸν ἀνδρεῖον ἔχειν τὸν Ἕκτορα. Gu.

828. ποῦ: τοπικὸν, ποῦ εἶρες τὸν δεῖνα; καὶ αἰτίαν ἠθλοῦν, ποῦ ἐστι τόδε δίκαιον, ἀντὶ τοῦ ἐν τίνι πράγματί ἐστι δίκαιον· καὶ ποῦ ἀντὶ τοῦ ἐν τίνι, ὡς ἐνταῦθα. Gr. τὰς φίλας εὐφρόνας: τὴν διὰ τῆς νυκτὸς γινομένην εὐφροσύνην (Fl. 6. 9. 17. 21. 56. 59. 76.), ἢ τὰς ἐνηδύνους νύκτας. Gr. εὐφροσύνη δὲ ἡ νὺξ λέγεται. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὰς νυκτερινὰς προσφιλεῖς συνουσίας. Fl. 59. τὰς εὐφραντικὰς νύκτας διὰ τὸ ἐν αὐταῖς καλῶς φωνεῖν καὶ σκέπτεσθαι. Fl. 10. 21. 25.

829. ἀσπασμάτων: φιλημάτων. Gr.

830. χάριν: ἀντίχαριν. Gr. ἀνταμοιβὴν, ἀνταλλαγμα. Gu. εὐεργεσίαν δώσει. Fl. 17. κείνης δ' ἐγώ: τίνα δὲ χάριν ἕξω καὶ λάβω ἐγὼ ἐκείνης, εἰ μὴ νῦν βοηθήσεις μοι. Gu. ἐπ' ἐκείνῃ δὲ ἐγώ. B.M.

7. πρὸς σαῖσι πλευραῖς] Hoc lemma est in B. In Gr. hoc scholion legitur post ὡς ἐνταῦθα, quo finitur schol. v. 828.

8. τὸν habent B.M. omittunt ceteri.

9. ταῦτα] τοιαῦτα Fl. 33.

15. Λυκόφρων] Qui carmen suum Alexandrae nomine inscripsit Casandrae nomine nusquam memorato.

23. τὰς εὐφραντικὰς—σκέπτεσθαι] Similiter in M. εὐφράνας διὰ τὸ ἐν αὐταῖς σκέπτεσθαι, et B. rec. φοιβὰς ἡ μάντις. εὐφρόνας δὲ τὰς νύκτας διὰ τὸ ἐν αὐταῖς καλῶς σκέπτεσθαι:—

831. *σκότου*: *τῆς νυκτός*. Gu. *νυκτέρων*: *νυκτερινῶν*. M.

832. *φίλτρων*: *φίλτρον ἡ ἀγάπη, ὡς ἐνταῦθα. καὶ τὸ εἰς φιλίαν ἐνοῦν, ὡς παρὰ Θεοκρίτῳ "πᾶ μοι τὰ φίλτρα;" οὕτω λέγεται καὶ λύτρον ἡ ἐλευθερία, καὶ λύτρον ὃ δίδωσί τις ἐλευθερῶν τινά.* Gr. *μεγίστη*: *πολλαὶ γὰρ δωρεαὶ γίνονται πρὸς τὸ μέρος τῆς γυναικὸς, ὅτε ὁ ἀνὴρ εἰς συνουσίαν αὐτῆς ἔλθῃ καὶ εἰς γυναῖκα ἄξει.* Fl. 59. *χάρις*: *ἀπ' ἀλλήλων δηλονότι.* Fl. 6. 9. 17. 56. 59. 76. Gr.

833. *ἄκουε δή νυν*: *λοιπόν.* Fl. 56. *τὸν θανόντα*: *τὸν θανόντα τοῦτον, ὃν βλέπω, δράσας καλῶς, ἤγγυν ἐκδικήσας, γυναικαδελφόν σου ὄντα καλῶς ποίησον.* Fl. 59.

834. *κηδεστήν*: *το χ ὅτι ἀντὶ γαμβροῦ κηδεστὴν εἶπεν· ἀδελφὸς γὰρ ἦν τῆς Κασσάνδρας.* B. *ἀγχίστην.* Fl. 59. *γυναικάδελφον.* B. rec. Gr. *κηδεστὰς νῦν λέγομεν τοὺς πενθερούς, οἱ παλαιοὶ δὲ ἁπλῶς ἅπαντας τοὺς ἐξ ἐπιγαμβρίας συγγενεῖς.* Gr. *γαμβρόν.* Fl. 10. *κηδεστὴς μὴ μόνον ὁ πενθερὸς λέγεται, ἀλλὰ καὶ πάντες οἱ ἐκ συμπενθερίας συγγενεῖς, ἤγγυν οἱ ἀγχιστεῖς. κηδεσταὶ λέγονται κοινῷ ὀνόματι πάντες οἱ ἐξ ἀγχιστείας.* Fl. 59.

835. *δράσεις*: *καλῶς.* B. Gr. *ἑνός μοι*: *ὁ λόγος ἐμοῦ ἑνὸς ἔτι ἐνδεής.* Gr. *πράγματος ὑπάρχει.* Gu. *ἐνδεής*: *ἐλλειπής.* Gu. *ἔτι*: *ἀκμήν.* Gu. *ἑνὸς πράγματος ἀκμὴν ἑστερημένος ὑπάρχει ὁ λόγος μου.* Fl. 59.

836. *τὸ εἰ ἀντὶ τοῦ εἴθε.* B.

837. *ποδῶν βάσει*: *γρ. καὶ βαδίσματι.* B.

838. *Δαιδάλου τέχναισι*: *περὶ τῶν Δαιδάλου ἔργων ὅτι ἐκινεῖτο καὶ πρόϊει φωνὴν αὐτός τε ὁ Εὐριπίδης ἐν Εὐρυσθεῖ λέγει,*

οὐκ ἔστιν, ὦ γεραιὲ, μὴ δείσῃς τάδε·
τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ
βλέπειν τ' ἀγάλματ'· ὦδ' ἀνὴρ κεῖνος σοφός.

3. Θεοκρίτῳ] 2, 1.

ib. *μοι*] δὲ codex Cantabr.

12. *ἀντὶ τοῦ γαμβροῦ κηδεστὴν εἶπεν* est etiam in M.

25. *περὶ τῶν Δαιδάλου ἔργων*] Ex hoc scholio haec sunt excerpta in Gu. *τὸν δαίδαλόν φασι ποιεῖν εἴδωλα καὶ μετὰ τὸ πληροῦν αὐτὰ ποιεῖν ταῦτα κινεῖσθαι καὶ φθέγγεσθαι. ὅτι δὲ ἐκινεῖτο καὶ προΐει φωνὴν αὐτὸς ὁ εὐριπίδης —γηραιὲ—κινεῖσθαι δοκεῖ:—*

26. ὁ om. B.I.

28. *δοκεῖ*] *δόκει* Valckenarius.

29. *βλέπειν* Grotius pro *βλέπει*, quod est etiam ap. Tzetzam Hist. 1, 518.

ib. *ἄδ'*] *ὦδ'* B.

καὶ Κρατῖνος ἐν Θρᾴτταις "Πανὶ κακὸν δεῦρο μαστεύων τινὰ ποτὲ χαλκοῦν ἢ ξύλινον καὶ χρύσεον προσῆν, οὐδαμῶς ξύλινος ἐκεῖνος, ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. πότερον Δαιδάλειος ἦν, ἢ τίς ἐξέκλεψεν αὐτόν;" καὶ Πλάτων

A. οὗτος, τίς εἶ; λέγε ταχύ· τί σιγᾷς; οὐκ ἐρεῖς:
B. Ἑρμῆς ἔγωγε Δαιδάλου φωνὴν ἔχων
ξύλινος βαδίζων αὐτόματος ἐληλάθα.—B.M.I.

Δαιδάλου τέχναισι: ἀγαλματοποιὸς ὁ Δαίδαλος, ποιῶν ἀγάλματα οὕτω κάλλιστα ὡς ἱστορηθῆναι περὶ τούτων τοῖς ποιηταῖς ὅτι φωνὴν ἠφίεσαν καὶ ἐκινοῦντο. οὗτος δὲ ὁ Δαίδαλος καὶ πτερὰ, ὅτε ἐβούλετο, περιετίθει ἑαυτῷ καὶ ἵπτατο. ἐπεὶ καὶ τὸν υἱὸν Ἴκαρον, ἐκ κηροῦ πτερὰ πλασάμενος καὶ περιθεὶς αὐτῷ, ἐποίησεν εὐαέριον κομισθῆναι. διαλυθέντος δὲ τοῦ κηροῦ πέπτωκεν εἰς τὸ νῦν ἀπ' αὐτοῦ καλούμενον Ἰκάριον πέλαγος. φασὶ γὰρ ἀμυνόμενον τὸν Ἥλιον Δαίδαλον, ὡς πεποικότα τὴν θυγατέρα αὐτοῦ Πασιφάην, ἐρασθεῖσαν ταύρου, μιγῆναι αὐτῷ, ἐπεὶ τότε πετόμενον εἶδε τὸν υἱὸν αὐτοῦ Ἴκαριον, ἐκ κηροῦ πτεροῖς χρώμενον, σφοδρῶς ἐμπεσεῖν τοῖς πτεροῖς, καὶ διαλυθῆναι ταῦτα παρασκευάσαι, καὶ τὸν ἐν τούτοις κονιζόμενον Ἴκαριον κατενεχθέντα πεπίχθαι. Gu. I. Δαιδάλου: ὃς καὶ τὰ εἴδωλα ἐποίει καὶ κινεῖσθαι καὶ λαλεῖν. Fl. 10. ὁ Δαίδαλος ἀνὴρ ἦν ἀγαλματοποιός· ἐποίει δὲ ἀγάλματα ξύλινα, καὶ ἐκινοῦντο καὶ ἐλάλουν. Fl. 33. πῶς δὲ μέλλει γίνεσθαι τοῦτο. Gu. τὸν Δαι-

1. Κρατῖνος] Cratini fragmentum ex quattuor versuum, metro Eupolideo scriptorum reliquiis compositum est, quorum incerta emendatio est, tentata ab Dobraeo ad Aristoph. Nub. 518. hunc in modum,

Πανὶ κάδον δεῦρο βάστασόν τινα.
β. πότερα χαλκοῦν ἢ ξύλινον; α. καὶ χρυσοῦν, ἐὰν προσῇ.
β. οὐδαμῶς, ξύλινος δ' ἐκεῖνός σοι, χαλκοῦς μοί ποτ' ἦν,
ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. α. πότερα Δαιδάλειος ἦν,
ἢ τις ἐξέκλεψεν αὐτόν;

ib. μαστεύων M. μαστάων B.I.
2. προσῇν] πρὸς ἦν M.
3. ἀπέδρα] ἀπέδραι B.
ib. ἐξέκλεψεν B.M. ἔκλεψεν I.
4. Πλάτων] In hoc fragmento personarum notas A. et B. addidi. Prima verba οὗτος τίς εἶ; λέγε ταχύ. τί σιγᾷς om. M. Notandus autem in hoc versu anapaestus post tribrachum positus, quod perraro factum.
7. αὐτόματος] αὐτομάτου B.I.
10. οὗτος δὲ] δὲ om. I.
11. ἑαυτῷ καὶ ἵπτατο om. I.
13. ἀπ' αὐτοῦ κ.] κ. ἀπ' αὐτοῦ I.
16. ταύρου] τοῦ ταύρου I.
ib. υἱὸν αὐτοῦ] αὐτοῦ υἱὸν I.

δαλον λέγουσι μεταμείβειν ἑαυτὸν εἰς ποικίλα εἴδη καὶ μορφὰς, καὶ ἀγάλματα ποιεῖν βαδίζοντα. ἔστι δὲ μῦθος, λέγεται δὲ οὕτως διὰ τὸ ποικίλας ὑπὲρ πάντας καὶ παρηλλαγμένας μορφὰς προσφέρειν τοῖς ἀγάλμασι, καὶ διὰ τὸ διαλελυμένους τοὺς πόδας τῶν ἀγαλμάτων ποιοῦντα, τῶν ἄλλων συνημμένους ποιούντων. Gr.

839. ὡς πάνθ' ὁμαρτῆ: ἵνα μου πάντα τὰ μέλη φωνὴν ἀφιέντα κατὰ ταυτὸν ἱκετεύσῃ σε. B. Fl. 10. 33.

840. ἐπισκήπτοντα: μεθ' ἱκεσίας ἐπάγοντα. Gr. ἐπιφέροντα, προβαλλόμενα. Gu. ἐπισκήπτει κεραυνός· καὶ ἐπισκήπτει ἀντὶ τοῦ μεθ' ἱκεσίας λέγει· καὶ ἐπισκήπτει ἀντὶ τοῦ μετὰ θειασμοῦ ὑποτίθησι. Gr.

842. χεῖρα τιμωρόν: βοηθόν. M. Gr. βοήθειαν. Gu.

843.—845. εἰ καὶ μηδὲν ἐστιν: εἰ καὶ μηδέν ἐστιν ἡ ἱκετεύουσά σε, ὡς αἰχμάλωτος καὶ δούλη. ἀλλ' οἶν δι' αὐτὸ τὸ δίκαιον τιμώρησαι τὸν Πολυμήστορα. τοῦτο γάρ ἐστιν ἀνδρὸς ἀγαθοῦ, τὸ τοὺς κακοὺς ἐννόμως τιμωρεῖσθαι. B. εἰ καὶ μηδὲν ὑπάρχει ἡ γραῦς, ἡ ἱκετεύουσά σε, ἤγουν ἐγὼ δούλη οὖσα καὶ αἰχμάλωτος, ἀλλ' ὅμως βοήθησον αὐτὸ τὸ δίκαιον. ἀγαθοῦ γὰρ ἀνδρὸς τὸ ὑπουργεῖν καὶ τὸ ὑπηρετεῖν τῇ δίκῃ, ἤγουν τὸ πράττειν τὰ δίκαια — σωματοποιεῖ τὴν δίκην, ὡς θεόν — καὶ τὸ πράττειν κακῶς πάντοτε τοὺς κακοὺς καὶ μὴ ἐλεεῖν. Fl. 59. ἡ ἱκετεύουσά σε, ἀντὶ τοῦ, μὴ ὡς αἰχμάλωτον καὶ δούλην παρίδῃς. M. Fl. 10. 33. 59. ἀλλ' ὅμως: ἀλλ' ὅμως δεῖ αὐτὴν παρὰ σοῦ ἐλεηθῆναι. Gr. παράσχε διὰ τὸ δίκαιον. Gu.

846.—849. δεινόν γε θνητοῖς: ἐπειδὴ τὴν Ἑκάβην ὁ χορὸς εἶδε δεομένην τοῦ Ἀγαμέμνονος βοηθῆσαι αὐτῇ, ἐχθροῦ ὄντος, ὡς τὴν πόλιν ταύτης πορθήσαντος, λέγει δεινοπαθῶν· δεινόν ἐστιν ὅτι συμπιτνεῖ καὶ συμπίπτει πάντα τοῖς θνητοῖς, καὶ οὔτε ὁ φίλος ἀεὶ φίλος, οὔτε ὁ ἐχθρὸς ἀεὶ ἐχθρός. ἀλλ' ὁ μὲν φίλος ἔστιν ὅτε ἐχθρὸς γίνεται, ὁ δὲ ἐχθρὸς φίλος. καὶ οἱ νόμοι κελεύοντες τὸν μὲν φίλον ἀεὶ φίλον ἡγεῖσθαι, τὸν δὲ ἐχθρὸν ἀεὶ ἐχθρὸν, λέγουσι κεχωρισμένως τὰς ἀνάγκας τιθέντες διὰ τούτων τοὺς φίλους ἐχθροὺς, καὶ τὸ ἀνάπαλιν.

6. πάντα post μέλη Fl. 10. 33.
7. κατὰ ταυτὸν om. Fl. 10. 33.
20. θεόν] θεός Fl. 59.
21. μὴ ὡς—παρίδῃς] ὡς—οὐ παρίδῃς M.
25. ἐπειδὴ] ἐπεὶ I.

εἶον ἐάν τις ἀνάγκη συμβῇ. ὥσπερ καὶ νῦν, ὁ μὲν φίλος ἐχθρὸς, ὁ δὲ ἐχθρὸς φίλος καθίσταται. οὕτω τοῦτο νοεῖται. οἱ δὲ ἐναλλάσσοντες τὰς λέξεις καὶ τὰς ἀνάγκας ἀντὶ τοῦ ἀνάγκαι, καὶ τὸ νόμοι ἀντὶ τοῦ νόμους, καὶ τὰ ἄλλα ὁμοίως λέγοντες, οὐ καλῶς λέγουσι. Gu. I.

δεινόν γε θνητοῖς : μεταλλακτέον τὰς πτώσεις. ἔστι γὰρ, καὶ αἱ ἀνάγκαι τοὺς νόμους διώρισαν. ὁ δὲ νοῦς· δεινὸν ὅτι πάντα συνέρχεται τὰ κακὰ κατὰ ταυτὸν τοῖς ἀνθρώποις καὶ αἱ ἀνάγκαι τὰ νενομισμένα τοῖς ἀνθρώποις μετήλλαξαν. ἐδέδοκτο γὰρ πολέμιον εἶναι τῇ Ἑκάβῃ τὸν Ἀγαμέμνονα, ἀλλ' ἡ ἀνάγκη τὸν νενομισμένον τῇ Ἑκάβῃ μετήλλαξεν. Ἄλλως. ἐναντίως εἶπεν· ἔδει γὰρ, καὶ τοὺς νόμους αἱ ἀνάγκαι διορίζουσιν. αὗται γὰρ καὶ νόμων ἐπικρατέστεραι, οὐ τὸ ἐναντίον, διότι οἱ νόμοι τὰ ἐκούσια τιμωρεῖνται, οὐχὶ τὰ ἐξ ἀνάγκης δρώμενα, ὡς καὶ νῦν ἡ γραῦς ἐξ ἀνάγκης φίλον ποιεῖται τὸν πολέμιον. B.M.I. ὁ δὲ Δίδυμος οὕτως· μᾶλλον ὤφειλεν εἰπεῖν ὅτι τοὺς νόμους αἱ ἀνάγκαι διορίζουσιν· αἱ γὰρ ἀνάγκαι καὶ τῶν νόμων ἐπικρατέστεραι, οὐχ οἱ νόμοι τῶν ἀναγκῶν. καὶ νῦν οὖν τοὐναντίον εἶπεν. M. Fl. 21. Καὶ ἄλλως. αἱ ἀνάγκαι οὐκ ἀκολούθως τοῖς νόμοις πράττουσιν. M. Fl. 59.

δεινόν γε : θαυμαστὸν πρᾶγμα ὑπάρχει, ὡς τὰ πάντα τά τε καλὰ καὶ τὰ κακὰ συνέρχονται τοῖς βροτοῖς, καὶ τὰς ἀνάγκας, ἤγουν τὴν εἱμαρμένην αὐτὴν, διέταξαν οἱ νόμοι, — ὅπου γὰρ εἱμαρμένον, ἐκεῖ νόμος οὐκ ἔστι· — φίλους τιθέντες τοὺς πολεμιωτάτους, καὶ ἀνάπαλιν τοὺς φίλους ἐχθρούς. ὁ γὰρ Ἀγαμέμνων πρὸ τῆς τοιαύτης συντυχίας τῆς Ἑκάβης, ἤγουν τοῦ φόνου τοῦ Πολυδώρου, ἐχθρὸς ἦν αὐτῇ, Ἑκάβῃ, ὡς αἰχμαλωτίσας αὐτήν· νῦν δὲ, καταλαβὸν ταύτην

2. οὕτω τοῦτο νοεῖται] Haec in Gu. legi nequeunt.

ib. ἐναλλάσσοντες] ἀλλάσσοντες I.

4. οὐ καλῶς λέγουσι Gu. literis prope evanidis. ἀμαθεῖς I.

5. δεινόν] ἄλλως praefixum in I. In B.M. lemma καὶ τὰς ἀνάγκας οἱ νόμοι.

7. κατὰ ταυτὸν] καταυτὸν M.

ib. αἱ om. M.

ib. τὰ ν. τοῖς ἀ. M.I. τοῖς ἀ. τὰ ν. B.

8. γὰρ] γοῦν M.

9. ἡ ἀνάγκη] ἡ om. M.

10. Ἄλλως] καὶ ἄλλως M.

11. αἱ om. M.I.

ib. αὗται γὰρ] γὰρ om. B.I.

12. οἱ νόμοι om. I. Legitur non solum in B., sed etiam in Fl. 10.: vide infra.

13. ἡ γραῦς—ποιεῖται] ἡμᾶς—ποιεῖσθαι I.

14. οὕτως Cobetus. οὐ M. et Fl. 21.

15. αἱ γὰρ] καὶ γὰρ Fl. 21.

17. καὶ ἄλλως. αἱ ἀνάγκαι] ὤφειλεν εἶναι, αἱ ἀνάγκαι Fl, 59.

ἕτερον δεινὸν, καὶ εἰς βοήθειαν Ἀγαμέμνονα χρήζουσα, φαίνεται φίλος ταύτης ὁ πρώην ἐχθρὸς, ὁ δὲ Πολυμήστωρ, ὁ πρώην φίλος, μετὰ τὴν τοῦ Πολυδώρου σφαγὴν ἐχθρὸς ἐγένετο τῇ Ἑκάβῃ ὁ πρώην αὐτῇ φίλος. διὸ καὶ τὰ καλὰ καὶ τὰ κακὰ συνέρχονται τοῖς ἀνθρώποις. Fl. 59. ἀντίπτωσις. καὶ αἱ ἀνάγκαι τοὺς νόμους διεμέρισαν, διορίζουσι, τάσσουσι, διέταξαν. Fl. 10. 17. 33. 56. 59. 76. οἱ νόμοι τὰ ἐκούσια τιμωροῦνται, οὐ τὰ ἐξ ἀνάγκης δρώμενα, ὡς καὶ νῦν ἐξ ἀνάγκης φίλιον ποιεῖται τὸν πολέμιον· ἐπικρατέστεραι γὰρ τοῦ νόμου αἱ ἀνάγκαι. Fl. 10. οὐκ ἔστι τι, ὅπερ οὐκ εὐμαρῶς ἔρχεται τῇ φύσει τῶν ἀνθρώπων. καὶ ἡ ἀνάγκη γὰρ αὐτὴ, ᾗ συνδέονται φίλοι ἢ συγγενεῖς, καταλύεται καὶ τρέπεται τοῖς νόμοις, καὶ ἡγεύμεθα τὸν παρανομοῦντα φίλον πολέμιον, τὸν δὲ μὴ παρανομοῦντα καὶ ἀδικούμενον φίλον, εἰ καὶ πολέμιός ἐστι. τοῦτο λέγει ὁ χορὸς προκαταλαμβάνων τὸν τοῦ Ἀγαμέμνονος λόγον, καὶ ἀποφαινόμενος ὡς λίαν δικαίου ὄντος τοῦ πράγματος βοηθηθῆναι τὴν Ἑκάβην. Gr.

δεινόν: χαλεπὸν καὶ ἄδικόν ἐστι λίαν τὸ μὴ πάσχειν τοὺς κακοὺς κακῶς καὶ τοὺς ἀγαθοὺς καλῶς. Fl. 33. μέγα πρᾶγμα ὑπάρχει. Fl. 6. 9. 17. 21. 56. 59. 76. φοβερὸν, δυσνόητον, θαυμαστόν. Fl. 33. ἅπαντα: κακά. Fl. 10. ἃ βούλονταί τε καὶ οὐ βούλονται, καλὰ, κακά. Gu. συμπιτνεῖ: συμβαίνει. Gr. συμπίπτει. Gu.

847. τὰς ἀνάγκας: αἱ ἀνάγκαι τοὺς νόμους μετήλλαξαν. B. τὰς ἀλύτους διαθέσεις. Gr. ἐν ταῖς ἀνάγκαις. διὰ τῶν ἀναγκῶν. Gu. διώρισαν: διετύπωσαν, ἀφορίζουσιν. B.M.I. οἷον αἱ ἀνάγκαι οὐκ ἀκολούθως τοῖς νόμοις πράττουσιν· ὅθεν αἱ ἀνάγκαι τῶν νόμων ἐπικρατέστεραί εἰσιν, οὐχ οἱ νόμοι τῶν ἀναγκῶν. B.I. ἀντὶ τοῦ διέστησαν. διορίζομαι τὸ διαβεβαιοῦμαι, τὸ διαμερίζω, ὡς ἐνταῦθα. Gr. ἐχώρισαν τῶν ἄλλων ὧν διακελεύονται, μετήλλαξαν. Gu. ὁρίζω τὸ προστάσσω, καὶ ὁρίζομαι κατὰ φιλοσόφους τὸ ὁρισμὸν λέγω, οἷον τὸν ἄνθρωπον ζῶον λογικὸν, καὶ τὰ ἑξῆς. ἐξορίζω τὸ εἰς ἐξορίαν πέμπω. διορίζω τὸ διῖστῶ καὶ διαστέλλω, ὡς ἐνταῦθα· διορίζομαι τὸ προστάσσω καὶ διαβεβαιοῦμαι. ἀφορίζω τὸ μακρὰν πέμπω καὶ τὸ ἐκλέγομαι, καὶ τὸ ἀφορισμοὺς γράφω. Gr.

848. τούς γε πολεμιωτάτους: ἤγουν τοὺς πρὶν ἐχθρούς. Gr. διὰ τὸν Ἀγαμέμνονα. Fl. 59.

849. ἐχθρούς: Πολυμήστορα. Fl. 10. πρίν: δεδεκημένους. Fl. 10. εὐμενεῖς: ἤγουν τοὺς φίλους. Fl. 17. 56. διὰ τὸν Πολυμήστορα. Fl. 59.

850. ἐγώ σε καὶ σὸν παῖδα: ἐγώ σε καὶ τὸν παῖδά σου καὶ τὰς δυστυχίας καὶ τὴν ἱκεσίαν χεῖρα ἐλεῶ. B.M.I. καὶ θέλω, φησὶν, ἕνεκα τῶν θεῶν καὶ τοῦ δικαίου ταύτην σοι δοῦναι τὴν χάριν, τὸ τιμωρήσασθαι δηλαδὴ τὸν ἄδικον ξένον, εἴ πως δυνατὸν γένοιτο, ὥστε καὶ σοὶ καλῶς γενέσθαι, καὶ τοῖς Ἕλλησι μὴ δόξω διὰ Κασσάνδραν τιμωρεῖσθαι τὸν Πολυμήστορα. B.I.

τύχας: δυστυχίας. B. Gr. Fl. 33.

851. δὶ οἴκτου: ἤγουν θέλω ἐλεῆσαί σε καὶ ἔχω κατ᾽ οἶκτον. Fl. 59. ἤγουν ἐλεῶ. Gr.

852. καὶ βούλομαι: βούλομαι ἕνεκα τῶν θεῶν, καὶ ἕνεκα τοῦ δικαίου, δοῦναί σοι τὸν ἀνόσιον τήνδε τὴν δίκην. I. καὶ θέλω παρασχεῖν σοι τήνδε τὴν χάριν, ἤγουν τοῦ ἐκδικῆσαί σε, ἕνεκα τῶν θεῶν καὶ ἕνεκα τοῦ δικαίου αὐτοῦ εἰς τὸν ἀνόσιον ξένον, ἤγουν εἰς τὸν φόνευ, ὃν ἔπραξεν ὁ Πολυμήστωρ, ἵνα φανείην, ὥστε ἔχειν καλῶς ἔν σοι, ἤγουν βοηθῆσαί σοι, καὶ ἵνα μὴ δόξω ἐν τῷ στρατῷ, ὅτι χάριν τῆς Κασάνδρας ἐπιβουλεύω τῷ Πολυμήστορι τοῦ φονεῦσαι αὐτόν. Fl. 59.

854. εἴ πως: καὶ θέλω, ὅπως, ἵνα. Fl. 59. φανερὸν μὲν ὂν τὸ πρᾶγμα, τίθεται ἀδιστάκτως τὸ ὅπως ἢ τὸ ἕνεκα, ἐλθὲ, ἵνα ποιήσωμαι τόδε· τὸ δὲ ἔχειν δισταγμὸν, εἴτε μέλλων γενήσεσθαι, εἴτε καὶ μὴ, τίθεται εἴ πως. Fl. 59. σκοπῶ, διανοοῦμαι, τίνι τρόπῳ. Gr. κατὰ τίνα τρόπον. Gu. φανείη: τὸ πρᾶγμα. Gr. δειχθείην τὸ πρᾶγμα εἰς τὸ βοηθῆσαί σοι. Fl. 6. 9. 17. 21. 56. 59. 76. εἴ πως φανείη σοι τοιαύτη συμμαχία, ὥστε καὶ σοὶ καλῶς γενέσθαι, καὶ τοῖς Ἕλλησι μὴ δόξαι διὰ Κασσάνδραν τοῦτον τιμωρεῖσθαι. M.

4. ἐγώ σε—δυστυχίας (nisi quod M. τὴν δυστυχίαν) B.M. ἐγώ σε καὶ τὸν σὸν παῖδα: καὶ τὴν δυστυχίαν σοι I.

5. τὴν ἱκεσίαν] In Gu. gl. παρακλητικήν.

ib. θέλω] θέλων I.

6. τῶν θ. καὶ τοῦ δ.] τοῦ δ. καὶ τῶν θ. I.

7. εἴ πως] Novi scholii initium in B. cum lemmate εἴ πως φανείη.

8. Κασσάνδραν] κασάνδραν I.

13. βούλομαι] ἄλλως praefixum in I. In M. est, καὶ βούλομαι θεῶν θ' οὕνεκα: τὸ ἑξῆς, καὶ βούλομαι θεῶν οὕνεκα καὶ τοῦ δικαίου ἀνόσιον ξένον τήνδε σοι δοῦναι δίκην:—

27. τοιαύτη om. M.

28. τοῦτον om. M.

Fl. 10. 21. 33. ἔχειν: διακεῖσθαι. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr.

855. μὴ δόξαιμι: δέον δόξαι εἰπεῖν, πρὸς τὸ σοί τ' ἔχειν — ὁ γὰρ τε σύνδεσμος τοῦτο ἀπήτει — δόξαιμι εἶπε πρὸς τὸ φανείην. ζητῶν δὲ πανταχοῦ ταύτην εὑρήσεις τὴν σύνταξιν. I. δόξαιμι: νομισθείην. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr.

856. βουλεῦσαι: μελετῆσαι. Gr. τὸ ἐπιβουλεύω καὶ συμβουλεύω οἱ Ἀττικοὶ χωρὶς τῶν προθέσεων γράφουσι, βουλεύω λέγοντες μόνον, ὡς καὶ τὴν τροφὴν ἀντὶ τοῦ ἀνατροφήν. Fl. 59.

857. ἔστιν γὰρ ᾗ ταραγμός: ἀντὶ τοῦ τετάραγμαι καὶ πεφόβημαι. B. λείπει τὸ τίς, ἵν' ᾖ, ἔστι γάρ τι, φησὶ, καθ' ὃ τετάραγμαι. ποῖον τοῦτο; τὸν ἄνδρα τοῦτον φίλιον ἡγεῖται στρατός. B.M. Gu. I. Ἄλλως. ἔμελλεν εἰπεῖν ὅτι ἔστι φίλος τοῖς Ἕλλησιν· εἶτα ἀντὶ τοῦ τετάραγμαι μεταλογιζόμενός φησι, ταραγμὸς ἐμπέπτωκέ μοι, ἐννοήσας ὅτι φίλος ἐστὶ τῷ στρατεύματι ὁ Πολυμήστωρ. B.I. τοιοῦτό ἐστιν ὃ ταραγμὸν ἐμποιεῖ τῷ Ἀγαμέμνονι. Gr. ἔστι γὰρ μερὶς, ἐφ' ᾗ, ὅπου. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. ἔν τινι. Fl. 33. ταραγμός: δειλία. Fl. 56. Gu. ἐμπέπτωκε: ἐπῆλθε. Fl. 56. ἔπεσεν. Fl. 33. ὑπερβατὸν μέχρι καὶ τοῦ διαβληθήσομαι. Gu.

858. τοῦτον: τὸν Πολυμήστορα. Gr. φίλον: προσφιλῆ. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. τὸ φιλεῖν καὶ ὁ φίλος διφορεῖται παρὰ τοῖς ποιηταῖς· ἔστι γὰρ καὶ μακρὸν καὶ βραχὺ τὸ φίλος. Fl. 21.

859. τὸν κατθανόντα: τὸν Πολύδωρον. Gr. Florr. εἰ δέ σοι φίλος: εἰ δὲ φίλος ὑπάρχει σοι ὁ Πολύδωρος, χωρὶς ὑπάρχει τῷ στρατῷ τοῦτο. μόνη σὺ ἔχεις αὐτὸν φίλον, στρατὸς δὲ οὔ. μᾶλλον τὸν Πολύμηστορα ἔχει τὸ κοινὸν φίλον. Fl. 59. τὸ εἰ ἐνταῦθα ἀντὶ τοῦ πολλάκις. Fl. 17. εἰ δέ σοι φίλος Πολύδωρος, τοῦτο οὐ κοινὸν τῷ στρατῷ, ὡς συμπονῆσαί σοι. Fl. 25.

860. ὅδ': ὁ υἱός σου. Fl. 10. δηλονότι ὁ Πολύδωρος. M. ὁ κατθανών. Gu. χωρὶς τοῦτο: κατ' ἰδίαν σοὶ μόνῃ τοῦτο. Gr. ἰδίως, κεχωρισμένως ὑπάρχει, ἤγουν ἴδιον ὑπάρχει σοι τὸ ἀγαπᾶν

11. λείπει τὸ τί] τὸ τί ἐλλείπει I.
ib. γάρ τι] γάρ τι πρᾶγμα Gu.
ib. φησὶ om. M. Gu.
12. τοῦτο] το M.
ib. φίλιον] φίλον B. Gu. I.
14. ἀντὶ τοῦ τετάραγμαι hoc loco M., post ἐμπέπτωκέ μοι ceteri.
ib. μεταλογιζόμενος M. μεταλογισάμενος ceteri.
ib. ταραγμὸς] ὅτι ταραγμὸς I.

τὸν υἱόν σου, καὶ οὐ συντείνει πρὸς τὸν στρατὸν ἡ πρὸς τοῦτόν σοι φιλία. Gu. χωρὶ ἀντὶ τοῦ ἄνευ, χωρὶς ἀντὶ τοῦ μακράν. Fl. 21. κοινόν: δηλονότι εἰ ἐστὶ φίλος σοι, οὐκ ἐστὶ τῷ στρατῷ τῷ Ἑλληνικῷ. Fl. 21. εἴπομεν οἱ Ἕλληνες ἐμοί· εἰ δέ σοι φίλος Πολύδωρος, τοῦτο οὐ κοινὸν τῷ στρατῷ. καὶ ἄλλως ἀπὸ τοῦ Ἀγαμέμνονος τῇ Ἑκάβῃ· εἴ σοι φίλος, ὡς υἱός, ὁ Πολύδωρος, ἀλλ' οὐχὶ καὶ τῷ στρατῷ, ὡς συμπονῆσαί σοι. Καὶ ἄλλως. εἰ δὲ ὅδε καὶ οὗτός ἐστι σοι φίλος. ἤγουν εἰ καὶ ἐγὼ φίλος σου εἰμί, ἀλλ' οὐ κοινὸν τοῦτο καὶ τῷ στρατῷ, ὡς εἶναι κἀκείνους φίλους σούς. Gr.

861. φρόντιζε: γίνωσκε. Gr. σκόπει. Florr. Gu. σὺ δὲ, ὦ Ἑκάβη, φρόντιζε, ὡς ἔχεις με ταχὺ θέλοντα βοηθῆσαί σοι, βραδὺν δὲ, εἴπερ χάριν Κασάνδρας διαβληθήσομαι. Fl. 25. πρὸς ταῦτα σκόπει ὡς ὅτι θέλοντα μὲν καὶ βουλόμενον καὶ ὀρεγόμενον ἔχεις ἐμὲ εἰς τὸ βοηθῆσαί σοι, καὶ ταχὺν αὖθις εἰς τὸ προσαρκέσαι σοι. εἰ δὲ διαβληθήσομαι καὶ κατηγορήθησομαι ἐν τοῖς Ἀχαιοῖς. ὅτι τὸν υἱόν σου βοηθῶ, ἔχεις με βραδὺν εἰς βοήθειαν. Fl. 59.

862. ξυμπονῆσαι: συγκοπιάσαι. Gr. προσαρκέσαι: βοηθῆσαι. M. εἰς τὸ ἐπαρκέσαι ἤγουν εἰς τὸ βοηθῆσαι. Gr. Florr.

863. βραδύν: ἀκίνητον. M. ἀργὸν, ἀκίνητον, τουτέστιν οὐ βοηθοῦντά σοι, ἔχεις. Gu. διαβληθήσομαι: προδοθήσομαι. Gr. καταγνωσθήσομαι, εἰ μέλλω κατηγορηθῆναι, χάριν Κασάνδρας βοηθεῖν σοι. Gu. διαβάλλω τὸ ψευδῆ κατηγορῶ, ὅθεν καὶ διαβολεὺς καὶ διάβολος· καὶ διαβάλλω τὸ ἁπλῶς κατηγορῶ, ὡς τὸ διαβάλλουσι τὸν ἅγιον τὸν τῶν Χριστιανῶν πρεσβεύοντα. Gr.

864.—867. φεῖ, οὐκ ἔστι θνητῶν: ταῦτά φησιν, ἐπειδὴ ἐν ἐξουσίᾳ ἦν ὁ Ἀγαμέμνων οὐ δύναται αὐτῇ χάριν παρασχεῖν, ὑφορώμενος τοὺς Ἕλληνας. B.M.I. φεῦ, οὐκ ἔστι: οὐκ ἔστιν ὅστις ἀπὸ τῶν θνητῶν ἐστιν ἐλεύθερος, ἀντὶ τοῦ ὅστις οὐκ ἔστι δοῦλος· ἢ γὰρ δοῦλός ἐστι χρημάτων [κατὰ κοινοῦ], ἤγουν φιλοχρήματος, ἢ δοῦλος, κατὰ κοινοῦ, τύχης καὶ εὐτυχίας, ἢ τὸ πλῆθος, ἤγουν ὁ δῆμος τῆς πόλεως, ἢ αἱ γραφαὶ τῶν νόμων, ἤτοι αἱ νομικαὶ διατάξεις, κωλύουσιν αὐτὸν μὴ χρῆσθαι τοῖς νόμοις κατὰ γνώμην καὶ κατὰ θέλησιν. I. οὐκ ἔστι τις ἀπὸ τῶν θνητῶν ὅστις ὑπάρχει ἀκαταδούλωτος· ἢ χρημάτων γὰρ δοῦλός ἐστιν, ἤγουν ὁ ἐπιθυμῶν χρημάτων

25. ἐπειδὴ om. B.M. 29. κατὰ κοινοῦ delet Matth.

βουλεῦται καὶ οὐ πράττει εἴ τι βούλεται, ἀλλ' ὅσων παρὰ τοῦ δεσπότου αὐτοῦ προσταχθῇ· καὶ λέγεται ἐκεῖνος δοῦλος χρημάτων· διὰ γὰρ τὰ χρήματα ἐβουλεύθη. ἢ τῆς τύχης ἐστὶ δοῦλος, ὡς καὶ ἡ Ἑκάβη, πρότερον δέσποινα οὖσα, ὕστερον ὑπὸ τῆς τύχης ἐγένετο δούλη. καὶ λέγεται τοῦτο δοῦλος τύχης, ὅστις κακοπραγεῖ. ἢ ἐστὶ δοῦλος τοῦ πλήθους, ὡς ὁ βασιλεύς. καὶ νῦν ὁ Ἀγαμέμνων βασιλεὺς ὢν ὅμως φοβεῖται τὸ πλῆθος τὸ βοηθῆσαι τὴν Ἑκάβην καὶ φονεῦσαι τὸν Πολυμήστορα· οὐ γὰρ δύναται βασιλεὺς πρᾶξαί τι, μὴ θέλοντος τοῦ κοινοῦ· ὁ γὰρ τυχὼν ἄνθρωπος ἕνα μόνον φοβεῖται, τὸν βασιλέα, ὁ δὲ βασιλεὺς οὐχ ἕνα μόνον, ἀλλὰ τὸ πλῆθος. Fl. 59. ἀστοχήσασα ἡ Ἑκάβη τοῦ ζητουμένου καθόλου γνωματευμένη πεισεῖται τὸν λόγον. ὡς πάντες οἱ ἄνθρωποι δεδούλωνταί τισι καὶ οὐκ εἰσὶν ἐλεύθεροι, ὥστε πράττειν τὰ κατὰ βούλησιν. Gr.

865. ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης: δοῦλος τύχης ἐστὶν ὁ ὑπὸ τύχης ἀναγκαζόμενος δουλεύειν. Ἄλλως. τύχης: εὐτυχίας εὐδαίμονος ἀνδρός· τῇ γὰρ εὐτυχίᾳ τῶν μειζόνων δουλεύομεν. οὕτως τινές. οὐ τῆς θείας οἶν τύχης φησὶν, ἀλλὰ τῆς μερικῆς καὶ ἐν ἀνθράσιν ὁρωμένης. B.M. τῷ ὄχλῳ δὲ τὸ πλέον νέμεις, ἀντὶ τοῦ τὰ κεχαρισμένα τοῖς Ἕλλησι πράττεις. B. δοῦλος πᾶς ἐστιν ἐκείνου τοῦ πράγματος οὗ ἥττων ἐστὶ, καὶ πράττει τὰ ἀρέσκοντα ἐκείνῳ. Gr. ἢ τύχης: τύχη λέγεται κυρίως, ὅταν ἄλλο ἐνεργῇ τις, εἶτα ἄλλο συμβῇ. τύχαι γὰρ παρ' Ἕλλησι καὶ αἱ ταπειναὶ τάξεις τῶν ἀνθρώπων καὶ ὑποτεταγμέναι, καὶ αἱ ὑψηλαὶ καὶ ἐπικρατοῦσαι. ἀπὸ τῆς τύχης γὰρ ἐνόμιζον ταῦτα γίνεσθαι τοῖς ἀνθρώποις, οὐκ ἀπὸ εὐβουλίας τε καὶ κακοβουλίας. ἐνταῦθα κατὰ τὸ δεύτερον σημαινόμενον λέγεται, ἤγουν ἢ χρημάτων γάρ ἐστι δοῦλος, ἢ τύχης ἐστὶ δοῦλος, τουτέστιν ὑψηλοτέρας τινὸς τάξεως καὶ ἐπικρατούσης. δια-

1. παρὰ Matth. pro περί.

14. δοῦλος τύχης — πράττεις] Ex hoc scholio excerpta sunt quae minus emendate leguntur in Fl. 33. ἢ χρημάτων γάρ: τῆς εὐτυχίας εὐδαίμονος—οὕτως τίνες. ἢ τῆς θείας γοῦν τύχης φησὶ, ἀλλὰ τῆς—ὁρᾶμεν. δοῦλος τύχης ἐστὶν ὁ ἀπὸ τύχης ἀ. δ. οἷον τὰ χαρισμένα (sic) πράττεις τοῖς Ἕλλησιν.

17. οἶν om. M.

ib. φησὶν post ὁρωμένης habet B. Post ὁρωμένης pergit M. φεῦ, οὐκ ἔστι θνητῶν—Ἕλληνας:—(ad v. 864.)

19. Verba τὰ κεχαρισμένα πράττεις τοῖς Ἕλλησιν habet etiam M. et iterum ad v. 868. οἷον κεχαρισμένα ποιεῖς Ἕλλησι.

22. γὰρ om. I.

ib. τάξεις] πράξεις I.

24. ταῦτα] πάντα I.

φέρει δὲ ἡ τύχη τοῦ αὐτομάτου τῷ τὴν μὲν τύχην εἶναι τοῦτο ὅπερ εἴρηται, τὸ δὲ αὐτόματον, ὅταν γένηταί τι μηδενὸς ἄλλου ἐνεργοῦντος. δοῦλος δὲ τύχης ἐστὶν ὁ ἀναγκαζόμενος βουλεύειν τῇ τῶν κρειττόνων εὐτυχίᾳ. Gr. I.

866. πλῆθος πόλεος : ὁ δῆμος κωλύει τὸ μὴ πράττειν ὃ βούλεται. Fl. 17. 59. 76. σχῆμα ζεῦγμα. Fl. 33. εἴργουσιν. ζεῦγμα· νόμος γὰρ ἦν μὴ κακοποιεῖν κοινὸν φίλου πόλεως δι' οἰκείαν ἔχθραν. Gu. ἢ νόμων γραφαί : νόμοι γεγραμμένοι. Gr. ἢ νόμων γραφαὶ κωλύουσιν αὐτὸν μὴ χρῆσθαι τοῖς κατὰ γνώμην τρόποις· θέλει γάρ τις ἵνα πορνεύσῃ ἢ κλέψῃ, ἀλλ' ἐνθυμηθεὶς ὅσον ὁ νόμος περὶ τούτου διακελεύεται, φοβεῖται καὶ οὐ πράττει ὅσον βούλεται. Fl. 59.

867. εἴργουσι χρῆσθαι : κωλύουσι μὴ χρῆσθαι τοῖς τρόποις τοῖς ἑαυτοῦ δηλονότι κατὰ γνώμην, ἤγουν κατὰ θέλησιν. Gr. Fl. 59. 76. κατὰ τὸ θέλημα αὐτοῦ. τοῦ μὴ δὲ καὶ ὄντος καὶ ἀπόντος σῴζεται ὁ λόγος. Fl. 59. 76. τρόποις : τοῖς θελήμασι, βουλεύμασι τῇ τῆς ψυχῆς προαιρέσει. Gu.

868.—875. ἐπεὶ δὲ ταρβεῖς : ἐπεὶ δὲ φοβῇ καὶ τῷ ὄχλῳ πλέον νέμεις, ἀντὶ τοῦ κεχαρισμένα τοῖς Ἕλλησιν, ἐγὼ ποιήσω σε ἀπολελυμένον τοῦδε τοῦ φόβου. συνεπίστασο, ἐὰν βουλεύσω τι κακὸν τῷ ἀποκτείναντι, τὸν Πολύδωρον δηλονότι, καὶ μὴ συμπράξῃς. ἐὰν δὲ πάσχοντος τοῦ Πολυμήστορος εἶα πείσεται καὶ ὑπομενεῖ, φανῇ ἐκ τῶν Ἀχαιῶν θόρυβός τις ἢ καὶ βοήθεια, κώλυε, μὴ φαινόμενος δι' ἐμὲ εἴργειν δηλονότι. τὰ δ' ἄλλα, κατὰ τὰ ἄλλα, θάρρει, ἐγὼ ποιήσω πάντα καλῶς. I.

τῷ τ' ὄχλῳ πλέον νέμεις : τῷ γε πλήθει, ἤγουν τὸ πλῆθος προτιμᾷς. Fl. 17. 59. πλέον : τὴν νίκην. B. τῆς σῆς διαθέσεως. Gr. τουτέστι τὰ προσφιλῆ καὶ κεχαρισμένα τοῖς Ἕλλησι πράσσεις, ἀντὶ τοῦ πλέον πίπτεις εἰς τὸ μέρος τῶν Ἑλλήνων ἢ εἰς ἐμέ. Gu. νέμεις : δίδως. Fl. 59.

869. ἐλεύθερον : ἀπολελυμένον. Gr. ἀμέτοχον. Fl. 17.

870. σύνισθι : συνεπίστασο. Gr. συγγίνωσκε. Gu. συγγί-

1. τῷ] ὅτι I.
2. γένηταί τι μηδενὸς ἄλλου (μηδενὸς hic repetit Gr.) ἐνεργοῦντος] γένηταί τι ἄλλο, ἄλλου μηδαμῶς ἐνεργοῦντος I. Sequentia δοῦλος—εὐτυχίᾳ om. Gr.
13. ἑαυτοῦ] ἑαυτῶν Gr.
22. καὶ βοήθεια Matth. pro κακοήθεια.

νωσκε μὲν ἐάν τι κακὸν ἐργάσωμαι τῷ τὸν Πολύδωρον ἀποκτείναντι Πολυμήστορι, μὴ μέντοι συμπράξῃς μοι. B. συγγίνωσκε μὲν γὰρ οἱονεὶ τῷ τὸν Πολύδωρον δηλονότι ἀποκτείναντι. M. συγγίνωσκε μὲν γὰρ τῷ μέλλοντι φονεῦσαι τοῦτον τὸν Πολυμήστορα, ἐὰν βουλεύσω τι κακὸν περὶ αὐτοῦ, μηδὲν δὲ συνδράσῃς καὶ οὐ συμπράξεις σὺν ἐμοὶ εἰς τὸν φόνον αὐτοῦ. Fl. 59. *βουλεύσω*: ἐργάσωμαι. Gu. ἤγουν ἐὰν φονεύσω αὐτόν. Fl. 59.

871. συνδράσῃς δὲ μή: διχῶς τοῦτο νοητέον, ἢ μὴ συνδράσῃς ἐμοὶ τῷ ἀποκτείναντι, ἤγουν κατὰ τοῦ ἀποκτείναντος τόνδε τὸν Πολύδωρον δηλονότι, ἢ μὴ συνδράσῃς τῷ ἀποκτείναντι τόνδε. Fl. 21. ἢ τὸ ὑποτακτικὸν ἀπαγορευτικὸν ἀντὶ τοῦ προστακτικοῦ κατὰ Ἀττικούς, ἤγουν μὴ σύνδρασον. Gu. ἤγουν μὴ βοηθήσῃς. Gu. μηδὲ συμβοηθήσῃς ἐμοί. Fl. 59. τὸ μή κεῖται κατὰ περισσοτέραν ἐνάργειαν, ὡς λέγομεν, κωλύει τὸν δεῖνα τοῦ μὴ ἱερατεύειν. Fl. 25. Gr. καὶ τὸ μή μετὰ τοῦ παρατατικοῦ προστακτικῶς συντάσσεται, μὴ τύπτε, καὶ μετὰ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν καὶ τῶν πληθυντικῶν τοῦ ἀορίστου, μὴ ποιησάτω, μὴ ποιησάτωσαν, μετὰ δὲ τοῦ δευτέρου τῶν ἑνικῶν ὑποτακτικῶς μὴ ποιήσῃς, καὶ τοῦ ὑποτακτικοῦ προστάγῃν δηλοῦντος. Gr.

872. *θόρυβος*: ταραχή. Gu. ἕνεκεν τῆς δίκης, ἣν ἐκείνῳ ποιήσομεν. Fl. 21. ἐπικουρία: συνδρομὴ, βοήθεια. Gr. *βοήθεια Πολυμήστορι*. Fl. 6. 9. 17. 21. 56. 59. 76. φοβηθεῖσα ἡ Ἑκάβη μή πως, ὅταν ἔμελλε φονεῦσαι αὐτὸν, ἀποτύχῃ τούτου, καὶ γίνεται θόρυβος, ἢ, ὅταν ἔμελλε φονεύειν αὐτὸν, λαλήσῃ καὶ γένηται ἴχλησις, καὶ ἀκούσαντες οἱ Ἕλληνες ἔλθωσι καὶ οὐκ ἐάσωσι φονεῦσαι αὐτὸν, λέγει, ἐὰν δὲ πολλάκις, φονευομένου τοῦ Πολυμήστορος, φαγῇ ἀπὸ τῶν Ἀχαιῶν τις θόρυβος ἢ βοήθεια, οἷα πείσεται, ἤγουν οἷα μέλλει παθεῖν παρ' ἐμοῦ, τοῦτο κώλυσον, μόνον μὴ δοκῶν διὰ τὴν ἐμὴν χάριν ποιεῖν τοῦτο, διὰ δὲ τὸ δίκαιον. εἰς τὰ ἄλλα, ἤγουν εἰς τὸν φόνον

4. *βουλεύσω* Matth. pro *βουλεῦσαι*.

9. *κατὰ τοῦ ἀποκτ. τόνδε ἤγουν τὸν πολύδωρον* etiam in Gr.

11. *ἢ τὸ*] Sic liquido exaratum in Gu. In eo hoc scholion in margine interiore scriptum est, id quod sequitur, inter lineas eadem manu. Fortasse cohaerent *ἤγουν μὴ βοηθήσῃς, ἢ τὸ ὑποτ.* MATTH.

13. *ἐνάργειαν*] *ἐνέργειαν* Fl. 25.

29. *ποιεῖν* Matth. pro *ποιῶν*.

αὐτοῦ, θάρσει· πάντα ἐγὼ πράξω καλῶς, ἤγουν δύναμαι φονεῦσαι αὐτόν. Fl. 59.

873. πάσχοντος: τινὸς πράγματος γενομένου. Fl. 17. πείσεται: συμβαίνει. B.

874. εἶργε: κώλυε τοῦτο. Fl. 17. 59. 76. δεκῶν: φαινόμενος. Gr. μὴ νομιζόμενος εἴργειν. Gu. ἐμήν: διὰ τήν. B.

875. τὰ δ' ἄλλα: κατὰ τὰ ἄλλα. Gr. ἤγουν ὅπως φονευθῇ. Gu. ἤγουν πῶς μέλλω φονεῦσαι αὐτόν. Fl. 6. 9. 17. 21. 56. 59. 76. θάρσει: ἤγουν μεγάλην ἀφοβίαν ἔχε. Gr. θάρρος ἐξ ἐλπίδος ἀφοβία, θάρσος ἐκ μεγάλης ἐλπίδος ἀφοβία, θράσος ἡ ἀπερίσκεπτος ὁρμή. Gr. Fl. 25. ἀπὸ τοῦ θέρω τὸ θερμαίνω ἐτυμολογεῖται τὸ θράσος, ὅπερ μετατιθέμενον γίνεται καὶ θάρσος. καὶ θράσος μὲν ὁ ἀλόγιστος θυμός, θάρσος δὲ ὁ ἔλλογος ἐπὶ ψυχῆς. Fl. 59. θήσω καλῶς: διαθήσω καλῶς. M.

876.—879. πῶς οὖν: τί οὖν πράξεις, ὦ γραῖα; πότερα μετὰ ξίφους φονεύσεις αὐτὸν ἢ μετὰ φαρμάκων ἢ μετὰ βοηθείας τινός; τίς χεὶρ καὶ ποία δύναμις ἔσται μετὰ σοῦ; πόθεν ἔχεις τοὺς φίλους τοὺς μέλλοντας βοηθῆσαί σοι; Fl. 59.

πῶς οὖν; τί δράσεις: κατὰ τίνα τρόπον ποιήσεις καλῶς. Gr. τὸ πῶς μὲν δηλοῖ τὸν τρόπον, τὸ δὲ τί τὸ πρᾶγμα. Gu.

877. γραίᾳ: σὺ ἡ γεραιὰ, ἢ χειρὶ γεραιᾷ. Fl. 21. ἐμφαντικὴν ἀδυναμίας. Gu. βάρβαρον: ἐμφαντικὸν δυνάμεως. Gu.

878. φαρμάκοισιν: γητείαις. Gu. μαγείαις, ἢ δηλητηρίοις. φάρμακα γὰρ καὶ αἱ μαγεῖαι. Gr. ἐπικουρίᾳ: συμμαχίᾳ. B. Gu.

879. συνέσται: ποία δύναμίς σοι συμβάλλεται; M. σύμμαχος ἔσται. Gr. χείρ: τίς σοι συνυπάρξει δύναμις. I. δύναμις. B. Gr. βοήθεια. Gu. πόθεν: ἐκ ποίας μηχανῆς καὶ ἀφορμῆς, αἰτίας. Gu. κτήσῃ: λάβῃς. B. ἕξεις. Gr.

880. στέγαι: σκηναί. B. Gr. κεκεύθουσι: κρύπτουσι. Gr. I. ἔστι δὲ τὸ κε ἀναδίπλωσις ποιητική, ὡς τὸ κεκάδονται. Gu. κεύθουσι. Fl. 33.

881. τὰς αἰχμαλώτους: ἐμφαντικὸν ἀδυναμίας. Gr. Ἑλλήνων

11. ὁρμή om. Gr.
13. θάρσος Matth. pro θράσος.
16. ἢ μετὰ Matth. ἢ om. Fl. 59.
17. σοῦ Matth. pro μοῦ.

ἄγραν: ἤγουν ἃς ἤγρευσαν ἀντὶ τοῦ ἠχμαλώτευσαν οἱ Ἕλληνες. Gr. τὰς—ἄγραν: ἐρωτηματικόν. Gu. Fl. 21.

882. τὸν ἐμὸν φονέα: οἰκειοῦται τὸν τοῦ παιδὸς θάνατον. Gr. Fl. 17. 59. 76. τιμωρήσομαι: κολάσω. I. φονεύσω. Fl. 59. τιμωρῶ, τὸ βοηθῶ γράφεται πάντοτε ἐνεργητικῶς, οὐ μὴν δὲ καὶ παθητικῶς· τὸ δὲ τιμωρῶ τὸ κολάζω παθητικῶς γράφεται καὶ ἐνεργητικῶς. Fl. 59.

883. καὶ πῶς: καὶ πῶς ἔσται ταῖς γυναιξὶ κράτος τῶν ἀρσένων, ἤγουν καὶ πῶς αἱ γυναῖκες κρατήσουσιν ἢ νικήσουσι τοὺς ἄνδρας; Gr. καὶ πῶς ὑπάρξει ταῖς γυναιξὶ κράτος καὶ δύναμις κατὰ τῶν ἀρσένων, ἤγουν αἱ γυναῖκες πῶς μέλλουσι φονεῦσαι ἄνδρα; Fl. 59. κράτος: ἐπικράτεια. I. νίκη, κυρίευσις. Gu.

884. δεινόν: χαλεπὸν τὸ πλῆθος καὶ σὺν δόλῳ δυσκαταγώνιστον. I. χαλεπόν. Gr. ἰσχυρόν. Gu. σὺν δόλῳ; μετὰ δόλου. Gu. δύσμαχον: ἀκαταμάχητον. M. Gr. δυσμάχητον, δυσκαταγώνιστον. Gu.

885. δεινόν: ναί, ἀλήθειαν λέγεις. Gu. χαλεπόν. Gr. μέμφομαι: ψέγω. Gr. καταγινώσκω καὶ φαῦλον ἡγοῦμαι· ἀσθενὲς γὰρ καὶ μαλακόν. Gu.

886. τί δ'; οὐ γυναῖκες: τί δέ; οὐ γυναῖκες ἀνεῖλον τὰ τέκνα τοῦ Αἰγύπτου, καὶ τοὺς ἄρσενας ἐξεικισθῆναι ἐποίησαν τῆς Λήμνου; ἀντίστροφον, ἀντὶ τοῦ τοὺς ἄρσενας ἐξώκισαν ἄρδην τῆς Λήμνου. I. Ἱστορία. Αἴγυπτος καὶ Δαναὸς ἀδελφοὶ ἦσαν, ἀπὸ Ἰοῦς τῆς Ἰνάχου θυγατρός. τούτων ὁ μὲν Αἴγυπτος ἔσχε πεντήκοντα παῖδας ἄρρενας, ὁ δὲ Δαναὸς ἔσχε καὶ αὐτὸς πεντήκοντα θυγατέρας. οὗτος φθονῶν τῷ ἀδελφῷ Αἰγύπτῳ διὰ τὴν τῶν ἀρρένων παίδων κτῆσιν, καὶ φοβηθεὶς ὅπως μὴ ὑπ' αὐτῶν ἐκβληθῇ τῆς βασιλείας, ἀνδρωθέντων τῶν

23. Ἱστορία om. B.M. Gu.
ib. ἀπὸ Ἰοῦς τῆς] Ἰοῦς δὲ τῆς Gu. I.
24. θυγατρός] παῖδες addit Gu., ἀπόγονοι I.
ib. πεντήκοντα (ν̄ B.M.) παῖδας ἄρρενας] παῖδας ἄρσενας πεντήκοντα (ἄρρενας ν̄ Gu.) Gu. I.
25. Δαναὸς ἔσχε καὶ αὐτὸς πεντήκοντα (ν̄ B.) θυγατέρας] δαναὸς καὶ αὐτὸς θυγατέρας ν̄ Gu. I.
ib. φθονῶν post Αἰγύπτῳ Gu. I.
26. ἀρρένων (ἀρσένων Gu.) παίδων κτῆσιν] ἀρσένων κτῆσιν I., omisso παίδων.
27. ὅπως—βασιλείας] μή πως ὑπ' αὐτοῦ τῆς βασιλείας ἐκβληθῇ Gu. I.
ib. τῆς] ἐκ τῆς M.

υἱῶν αὐτοῦ, ἐδίωξεν αὐτὸν εἰς τὴν Αἴγυπτον ἅμα τοῖς παισὶν, ὅθεν καὶ ἀπ' αὐτοῦ ἡ χώρα Αἴγυπτος ἐκλήθη. χρόνου δέ τινος παρελθόντος καὶ τῶν παίδων ἀνδρωθέντων, θαρρῶν τῇ τῶν παίδων δυνάμει, παρεγένετο εἰς τὸ Ἄργος. ὁ δὲ Δαναὸς φοβηθεὶς αὐτὸν καὶ πρόνοιαν ἑαυτοῦ ποιούμενος καὶ τῆς βασιλείας, ἐπιβουλὴν κατὰ τῶν Αἰγύπτου υἱῶν ταύτην ἐσκέψατο· συνέθετο γὰρ τῷ Αἰγύπτῳ συνάψαι πρὸς γάμιν τὰς ἑαυτοῦ θυγατέρας τοῖς υἱοῖς αὐτοῦ. ἑτοίμως δὲ τοῦτο κατεπαγγειλάμενος τῷ Αἰγύπτῳ ὁ Δαναὸς συνεβούλευσε ταῖς θυγατράσιν ὥστε ἀνελεῖν νύκτωρ τοὺς ἑαυτῶν ἄνδρας πρὸ τῆς μίξεως τῆς πρὸς αὐτὰς, θάνατον ἐπαπειλήσας ταῖς μὴ τοῦτο ποιούσαις. αἱ μὲν οὖν πᾶσαι τὸ τοῦ πατρὸς ἔχουσαι πρόσταγμα ἀνεῖλον τοὺς ἄνδρας, μία δὲ μόνη τούτων ἡ Ὑπερμνήστρα ἐφείσατο τοῦ Λυγκέως, ἀπὸ τῆς μίξεως διάθεσιν ἐσχηκυῖα πρὸς αὐτόν. οὗτος δὲ σωθεὶς ἐξεδίκησε τοὺς ἀδελφούς. ἐφόνευσε γὰρ τὰς θυγατέρας τοῦ Δαναοῦ, ἅμα καὶ αὐτὸν, καὶ τῆς τούτου βασιλείας ἐκράτησε τοῦ Ἄργους ἅμα τῇ Ὑπερμνήστρᾳ. καὶ γίνεται ἐκ τούτων Ἄβας, ἐξ Ἄβαντος Προῖτος καὶ Ἀκρίσιος, ἐξ Ἀκρισίου Δανάη, ἐκ Δανάης Περσεὺς, ἐκ Περσέως Ἀλκαῖος, Ἠλεκτρίων καὶ Σθένελος, ὧν ὁ μὲν Ἀλκαῖος Ἀμφιτρύωνα ἔσχε παῖδα, ὁ δὲ Ἠλεκτρύων τὴν Ἀλκμήνην, ἐξ Ἀλκμήνης δὲ Ἡρακλῆς καὶ Ἰφικλος, ἐξ οὗ Ἰόλαος. B. M. Gu. I. φασὶ δὲ οἱ ποιηταὶ ταύτας ἐν Ἅιδου διὰ τὸν φόνον τῶν ἰδίων ἀνδρῶν κολάζεσθαι, ὑδροφο-

1. τὴν Αἴγυπτον] τὴν om. B. Gu. I.
ib. παισὶν] παισὶν αὐτοῦ I.
2. ἀπ' αὐτοῦ] ὑπ' αὐτοῦ M.
ib. παρελθόντος] διαγενομένου Gu. διαγινομένου I. γενομένου M.
3. θαρρῶν—ἐσκέψατο] θαρρῶν ὁ αἴγυπτος τῇ τούτων δυνάμει—αὐτὸν πρόνοιαν—βασιλείας κατὰ τῶν αἰγύπτου υἱῶν τοιαύτην ἐσκέψατο τὴν ἐπιβουλὴν Gu. I.
ib. τῶν παίδων B. τούτων Gu. I. τούτου M.
8. κατεπαγγειλάμενος] κατεπαγγελλόμενος I.
ib. ὁ Δαναὸς om. Gu.
9. τῆς μίξεως τῆς πρὸς αὐτὰς (sic M.: ceteri αὐτούς)—ἐπαπειλήσας] τοῦ μιγῆναι τούτους αὐταῖς—ἀπειλήσας Gu.
10. ποιούσαις] ποιησάσαις Gu.
11. πᾶσαι] ἄλλαι I.
ib. ἔχουσαι] τηρήσασαι Gu.
12. μόνη τούτων] τούτων μόνη I.
ib. ἡ Ὑπερμνήστρα om. B.M.
13. οὗτος—Ὑπερμνήστρᾳ] οὗτος σωθεὶς τῶν ἀδελφῶν ἀμύντωρ ἐγένετο, καὶ φοιεύσας τὸν δαναὸν σὺν ταῖς θυγατράσι τῆς Ἄργους βασιλείας ἐκράτησεν ἅμα τῇ ὑπερμνήστρᾳ Gu. qui sequentia καὶ γίνεται—Ἰόλαος omittit.
16. τούτων] τούτου I.
17. ἐκ Δανάης om. B.
18. Ἀμφιτρύωνα ἔσχε] ἔσχε τὸν ἀμφιτρύωνα I.
19. Ἀλκμήνης δὲ] δὲ om. M.
20. Ἴφικλος] ἰφικλῆ (i. e. ἰφικλῆς) M.
21. κολάζεσθαι ante διὰ τὸν φόνον I.

ρεῖν καταδικασθείσας ἐν τετρυπημένῳ πίθῳ. ὅθεν καὶ παροιμίαν ἐπὶ τῶν ἀνήνυτα μοχθούντων εἰς τετρυπημένον πίθον ἀντλεῖν λέγομεν. Gu. I. Ἱστορία. ἐξ Ἰοῦς τῆς θυγατρὸς Ἰνάχου ἐγένοντο δύο παῖδες, Αἴγυπτος καὶ Δαναός. ἔχων οὖν ὁ Δαναὸς θυγατέρας πεντήκοντα φοβηθεὶς τὸν ἀδελφὸν ἔχοντα πεντήκοντα υἱοὺς ἐξέβαλε μετὰ δόλου τῆς πόλεως. ἀλώμενος οὖν ἐκεῖνος εἰς ἀλλοτρίους τόπους ἐπανῆλθεν ἀνδρωθέντων τῶν υἱῶν. φοβηθεὶς οὖν ὁ Δαναὸς τὴν πολιορκίαν μηνεῖ διὰ πρέσβεων τῷ Αἰγύπτῳ περὶ κήδους τῶν θυγατέρων καὶ τῶν παίδων ἐκείνου. τοῦτο οὖν γίνεται καὶ ἀναιροῦσιν ἅπαντας τῷ καιρῷ τῆς μίξεως ξιφιδίοις ὑποθήκαις τοῦ πατρὸς, μιᾶς φεισαμένης τοῦ Λυγκέως καὶ ἐξειπούσης τὸ ἀπόρρητον. Gr.

887. καὶ Λῆμνον ἄρδην: ἐν Λήμνῳ γυναῖκες ἐτέλουν ἑορτὴν ἐτήσιον τῇ Ἀφροδίτῃ. ἐπεὶ οὖν ποτὲ καταφρονήσασαι τῆς θεοῦ ἀπέλιπον τὸ ἔθος, ὀργισθεῖσα ἡ Ἀφροδίτη ἐνέβαλεν αὐταῖς δυσοδμίαν, ὡς μὴ δύνασθαι τοὺς αὐτῶν ἄνδρας αὐταῖς πλησιάσαι. αἱ δὲ νομίσασαι ὑπὸ τῶν ἀνδρῶν καταφρονεῖσθαι τούτους πάντας ἀπέκτειναν. Gu. I.

Αἱ Λήμνιαι μὴ τιμῶσαι τὴν Ἀφροδίτην, καθὰ καὶ αἱ ἄλλαι γυναῖκες, ὀργισθεῖσα ἡ θεὰ δέδωκεν αὐταῖς δυσωδίαν εἴς τε τὴν αἰδὼ καὶ εἰς τὸ στόμα. ἦσαν τοίνυν μισούμεναι παρὰ τῶν ἀνδρῶν αὐτῶν. ἐκεῖναι δὲ αὐτοῖς μὴ συγκοιταζόμεναι μετὰ τῶν ἀνδρῶν αὐτῶν ἐμίσησαν αὐτοὺς καὶ ἀπέκτειναν. Fl. 59. ἔθος ἦν τοῖς Λημνίοις κατ' ἔτος θύειν τῇ Ἀφροδίτῃ. παριδόντες οὖν τὸ τοιοῦτον ἐτήσιον ἔθος σχεδὸν οὐ μνήμην ἐποίουν αὐτῆς. αὕτη οὖν ὀργισθεῖσα ἐπέβαλε ταῖς γυναιξὶν αὐτῶν δυσωδίαν, δι' ἣν οἱ ἄνδρες αὐτὰς ἀπεστρέφοντο. αἱ δὲ ὀργισθεῖσαι ἀνεῖλον τοὺς ἑαυτῶν ὁμευνέτας. μόνη δὲ Ὑψιπύλη ἔσωσε τὸν ἑαυτῆς ἄνδρα Θόαντα. τούτου οὖν ἀναμιμνήσκουσα τὸν Ἀγαμέμνονα ἡ Ἑκάβη δηλοῖ ὅτι οὐκ ἔστι δυσκατόρθωτον τὸ τοὺς ἄνδρας ὑπὸ γυναικῶν φονεῦσαι. Fl. 33.

καὶ Λῆμνον ἄρδην: ὁ Δίδυμος οὕτως· Πελασγοὶ ἐπιθέμενοι ποτὲ

1. παροιμίαν] παροιμία I.
7. μηνεῖ] Sic codex. Requiritur μηνύει vel πέμπει vel simile quid.
12. ἑορτὴν ἐτήσιον] ἐτήσιον ἑορτὴν I.
14. ὀργισθεῖσα om. I.
ib. δυσοδμίαν] δυσωδίαν I.
15. αὐτῶν] ἑαυτῶν I.
18. τιμῶσαι] τιμῶντες Fl. 59.
30. ὁ Δίδυμος] ὁ δὲ δίδυμος I., nullo lemmate praefixo.

ταῖς Ἀθήναις πολλοὺς τῶν ἐξ Ἀθηνῶν ἁρπάσαντες ἤγαγον εἰς Λῆμνον, ἐν οἷς καὶ γυναῖκας Ἀττικάς, αἷς καὶ παλλακίσι χρησάμενοι ἔσχον παῖδας· οὓς αἱ μητέρες τήν τε πατρῴαν γλῶσσαν καὶ τὰ ἤθη ἐδίδαξαν. οἱ δὲ συνήρχοντο τότε ἀλλήλοις, καὶ εἴ τις τύπτοι τινὰ αὐτῶν, ἐβοήθουν ἅπαντες. καὶ τέλος ἄρχοντα ἴδιον ποιήσαντες παρώξυναν τοὺς Πελασγοὺς οὕτως ὥστε ἐκείνην ἀνελεῖν τε τοὺς παῖδας ἅπαντας καὶ Ἀττικὰς πάσας γυναῖκας. καὶ μετὰ ταῦτα καὶ αἱ Λήμνιαι γυναῖκες τοὺς σὺν Θόαντι πάντας ἀπέκτειναν. δι' ἀμφότερα ταῦτα ἡ παροιμία ἐδόθη, τὰ Λήμνια κακά. B.M.I.

καὶ Λῆμνον: οἱ Πελασγοὶ Ἀθήνας εἷλον στρατεύσαντες κατ' αὐτῶν, καὶ γυναῖκας εἰς Λῆμνον ἤγαγον καὶ χρησάμενοι ἐπαιδοποίησαν. αἱ δὲ τὴν πάτριον φωνὴν τοὺς παῖδας καὶ τὰ ἤθη ἐπαίδευσαν· οἳ καὶ διῆγον φίλοι τε ἀλλήλοις ὄντες καὶ ἀμυνόμενοι τοὺς ἀδικοῦντας, προκρίναντες καὶ ἄρχοντα ἐξ αὐτῶν ἕνα. ἐφ' οἷς ἀγανακτήσαντες οἱ πατέρες αὐτούς τε καὶ τὰς μητέρας ἀνεῖλον. ὅθεν φοβηθεῖσαι αἱ περιλειφθεῖσαι Λημνιάδες μὴ καὶ αὐταὶ τὰ ὅμοια πάθωσιν ἀνεῖλον πάντας τοὺς ἄνδρας. ἐξ ἀμφοῖν οὖν ἡ παροιμία ἐλέχθη Λήμνια κακὰ, ἐξ ὧν τε οἱ ἄνδρες μετὰ παίδων τὰς γυναῖκας ἀνεῖλον καὶ ἐξ

1. πολλοὺς] πολλὰ M.
2. γυναῖκας om. M.
ib. αἷς καὶ] καὶ om. B.I.
3. τήν τε πατρῴαν] τῶν τε πατέρων τὴν B.I.
ib. γλῶσσαν—ἔθη] γλῶτταν—ἤθη I.
4. τινὰ αὐτῶν] ἀπ' αὐτῶν τινα I.
5. καὶ τέλος—Ἀττικὰς πάσας γυναῖκας habet M., om. B.I.
6. ἐκείνην] Sic M.
7. καὶ αἱ] αἱ om. B.I.
8. ἀμφότερα] ἀμφότερα δὴ B.
10. οἱ Πελασγοὶ—] Simile scholion est in M. quod ex parte tantum legi nunc potest, καὶ ἄλλως. πελασγοὶ ἀθήναις ἐπιθεμενοι ἥρπασαν ἄλλα τε καὶ γυναῖκας εἰς λῆμνον ἤγαγον καὶ χρησάμενοι ἐπαιδοποίησαν. αἱ δὲ τὰ τοὺς παῖδας τὴν πάτριον φωνήν τε καὶ ἤθη ἐπαίδευσαν. οἱ δὲ ἠθη. . . . φίλοι τε ἀλλήλοις ἦσαν καὶ ἀμυ. . . . τοὺς ἀδικοῦντας· πελασγοὶς καὶ ἄρχοντα αὐτοὺς . . . ἐφ' οἷς ἀγανακτήσαντες—λειλει . . . . . μνιάδες τοὺς σὺν θόαντι ἀνεῖλον. δι' ἄμφω οὖν ἡ παροιμία ἐλέχθη τὰ λήμνια κακά:—quae redintegrari possunt ex Fl. 33. οἱ Πελασγοὶ ταῖς Ἀθήναις ἐπιθεμενοι ποτὲ πολλοὺς τῶν ἐξ Ἀθηνῶν ἁρπάσαντες ἤγαγον εἰς Λῆμνον, ἐν οἷς ἔτι καὶ γυναῖκας ἥρπασαν, αἷς πολλάκις (sic) χρησάμενοι ἐπαιδοποίησαν. αἱ δὲ τοὺς παῖδας τὴν πάτριον φωνὴν καὶ τὰ ἤθη ἐδίδαξαν· οἳ καὶ βήσαντες (leg. ἠβήσαντες) συνήρχοντο ἀλλήλοις καὶ φίλοι ἦσαν, καὶ τοὺς ἀδικοῦντας αὐτοὺς ἠμύνοντο. καὶ εἴ τις ἕτυπτέ τινα αὐτῶν, ἐβοήθουν ἅπαντες, καὶ τέλος ἄρχοντας ἰδίους ποιήσαντες ἐπέστησαν· ἐφ' οἷς ἀγανακτήσαντες οἱ πατέρες αὐτούς τε καὶ τὰς μητέρας τὰς Ἀττικὰς, τουτέστι πάντα, ἀνεῖλον. μετὰ δὲ ταῦτα αἱ Λημνιαῖαι γυναῖκες τοὺς σὺν Θόαντι πάντας ἀπέκτειναν etc.
12. ἔθη] ἤθη Gu. Conf. l. 3.
16. περιλειφθεῖσαι] περιληφθεῖσαι Gu.

ὧν αἱ γυναῖκες τοὺς ἄνδρας. Gu. αἱ Λήμνιαι γυναῖκες ὑπερφερεῖς οὖσαι τῷ κάλλει ἐπήρθησαν κατ' Ἀφροδίτης. χολωθεῖσα οὖν ἐκείνη ἐμβάλλει ταῖς σαρξὶ τούτων δυσωδίαν, δι' ἣν ὑπὸ τῶν ἀνδρῶν ἀπεστρέφοντο. ὅθεν καὶ ἐμπεσοῦσαι μιᾷ τῶν νυκτῶν ἀναιροῦσιν ἅπαντας ὀλίγων πάντη φεισάμεναι γονῆς χάριν. Gr. ἄρδην: παντελῶς, ὁμοῦ. Fl. 9. 17. 21. 56. 59. 76. παντελῶς. ἐπὶ κακοῦ κεῖται τὸ ἄρδην ἀεί ποτε. Gr. ἐξῴκισαν: ἐξικισθῆναι ἐποίησαν, ἐξῳκισμένους ἐποίησαν. Gu.

888.—897. ἀλλ' ὡς γενέσθαι: ἀλλὰ πῶς χρὴ γενέσθαι, τόνδε μὲν τὸν λόγον ἄφες· παράπεμψον δὲ χάριν ἐμοῦ τήνδε τὴν γυναῖκα διὰ τοῦ στρατοῦ ἀκινδύνως. καὶ σύ, ὦ γύναι, πλησιάσασα τῷ φίλῳ τῷ Θρᾳκὶ, λέξον· καλεῖ σε ἡ Ἑκάβη ἡ ποτὲ ἄνασσα τῆς Τροίας, διὰ χρείαν σὴν μᾶλλον ἢ ἐκείνης, καὶ παῖδας, καλεῖ δηλονότι, ὅτι δεῖ γνώσκειν καὶ τὰ τέκνα τοὺς ἀπ' ἐκείνης λόγους. τὸν δὲ τάφον, ἤτοι τὴν ταφὴν τῆς νεοσφαγοῦς Πολυξένης, καρτέρησον, ὦ Ἀγάμεμνον, ἵνα εἴτι οἱ ἀδελφοὶ, ἡ διπλῆ φρουτὶς ἐμοὶ, ἐν μιᾷ φλογὶ κρυφθῆτον, ἀντὶ τοῦ ἐν τῇ χθονὶ πλησίον ἀλλήλων δηλονότι. I.

ἀλλ' ὡς γενέσθαι: μέλλει. B. ἀλλ' ὥστε μὲν γενέσθαι τὴν τιμωρίαν τοῦ Πολυμήστορος, ἄφες τὸν περὶ τούτου λόγον. Fl. 59. διχῶς νοητέον τοῦτο· ἀλλ' ὡς χρὴ γενέσθαι, ἢ πῶς χρὴ γενέσθαι, μέθες τόνδε τὸν λόγον ἐμοί· ἢ ἀλλ' ὡς ἥγουν οὕτως γενέσθαι τοῦτο, ὡς ἐκεῖνο τῶν γυναικῶν. Fl. 21.

889. πέμψον: παράπεμψον, ὁδήγησον. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. ἀσφαλῶς: ἀνεμποδίστως. Florr. Gr. ἀφόβως καὶ ἀκινδύνως, ἵνα μή τις τῶν Ἑλλήνων κωλύσῃ αὐτὴν αἰχμάλωτον οὖσαν. M. Gu. ὡς αἰχμάλωτος καὶ ὡς γυνὴ, ἁπρεπὲς ἦν διέρχεσθαι μέσον τοῦ στρατοῦ· ἐν γὰρ τῷ στρατῷ καὶ ἀκόλαστοί εἰσιν ἄνδρες. καὶ φοβηθεῖσα μή πως κρατήσῃ τις ταύτην, καὶ ἡ φθείρῃ—νέα γὰρ ἦν ἡ ἀπατηλθεῖσα—ἢ ἀλλοτρόπως ἐπηρεάζῃ, λέγει τὸν Ἀγαμέμνονα, ὡς ἐπιδώσῃ αὐτῇ τι σημεῖον βασιλικὸν εἰς τὸ διέρχεσθαι ταύτην μέσον τοῦ στρατοῦ ἀφόβως. Fl. 59.

890. πλαθεῖσα: ἐγγίσασα. M. πλησιάσασα. B. Gr.

892. σὸν οὐκ ἔλασσον: ἀντὶ τοῦ μᾶλλον, ἵνα ᾖ διὰ σὸν μᾶλλον

5. χάριν] Sequitur in Gu. ἄλλως. (p. 438, 10.)
οἱ πελασγοί — γυναῖκες τοὺς ἄνδρας ib. παντελῶς etiam M.

χρέος ἤπερ ἐκείνης. B. ὄφελος. B. κείνης χρέος: μὴ λάβῃς εἰς τὸ χρέος ἔξωθεν τὸ διά, ἀλλ' ἔστιν αὕτη ἡ αἰτιατικὴ πρὸς τὸ σέ, οὕτω· καλεῖ σε ἡ Ἑκάβη χρέος καὶ χρείαν σοὶ οὐκ ἔλασσον ἢ ἐκείνη, ἤγουν εἰ ἀφίξῃ, σαυτῷ οὐκ ἔλασσον ἢ ἐκείνη ὑπάρξεις χρεία. ὥσπερ γὰρ φαμὲν, καλῶ τὸν δεῖνα ἑαυτῷ βοήθειαν οὐχ ἧττον ἢ ἐμοί, οὕτω καὶ τοῦτο· δέον δὲ εἰπεῖν σοί, σὸν εἶπε πρὸς τὸ χρέος. Gu. I. διὰ χρέος καὶ χρείαν οὐκ ἔλασσον σὴν, ἀντὶ τοῦ μᾶλλον σὴν παρὸ διὰ χρείαν ἐκείνης. Fl. 59. ἀντὶ τοῦ μᾶλλον, ἵν' ᾖ, διὰ σοῦ μᾶλλον χρέος ἢ διὰ ἐκείνην. Fl. 33.

893. καὶ παῖδας: σὺ δὲ κάλεσον καὶ τοὺς παῖδας ὡς ὅτι δεῖ καὶ τοὺς ἐξ ἐκείνης παῖδας εἰδέναι τοὺς ἡμετέρους λόγους. B.

895. ἐπίσχες: καρτέρησον. Gr. ἀνάμεινον, κράτησον, κώλυσον. Gu. καρτέρησον, ἀντὶ τοῦ ἀναβαλοῦ τὴν ταφὴν αὐτῆς. M. Fl. 56. 59.

896. ὡς τῶδ' ἀδελφῷ: δυϊκῶς τοὺς ἀδελφούς. ὅπως τοὺς ἐμοὺς παῖδας τόν τε Πολύδωρον καὶ τὴν Πολυξένην εἰς μίαν πυρκαϊὰν ἐμβαλεῖσα τῆς ἐμῆς μερίμνης θάψω. Ἄλλως. ἵνα οὕτω οἱ δύο ἀδελφοὶ πλησίον μιᾷ φλογὶ κρυφθῶσι χθονί. μέριμναι δὲ ἀλγηδόνες τῆς μητρός. B. πλησίον: ἀλλήλων τεθέντες δηλονότι. Gr. μιᾷ φλογί: καυθέντες. Gr.

897. κρυφθῆτον: οἱ Ἀττικοὶ ἐκρύφθην γράφουσιν, οἱ δὲ πεζογράφοι ἐκρύβην. ἵνα οἱ δύο ἀδελφοὶ καυθῶσιν ἐν μιᾷ φλογὶ καὶ ταφῶσιν ἐν ἑνὶ τάφῳ. ἐν διπλῇ δὲ μερίμνῃ ὑπάρξουσι τῇ μητρὶ, ἤγουν δύο μερίμνας μέλλω ἔχειν, τοῦ τε Πολυδώρου καὶ τῆς Πολυξένης, εἰ καὶ ἑνὶ τάφῳ κρυφθῶσιν. Fl. 59.

898.—904. ἔστω τάδε: οὕτως, ὡς λέγεις, δηλονότι. καὶ γὰρ, εἰ μὲν ἦν τῷ στρατῷ καιρὸς πλοῦ, οὐκ ἂν εἶχόν σοι δοῦναι τὴν ὠφελὰν ταύτην. νῦν δὲ — οὐ γὰρ ἀφίησιν ὁ Ποσειδῶν πνοὰς ἐπιτηδείας —

1. εἰς τὸ χρέος om. I.

3. ἔλασσον] ἔλαττον I. et mox ἐλάττους.

4. ἢ ἐκείνη ὑπάρξεις] ἡ ἐκείνη om. Gu.

10. καὶ παῖδας—] Hujus scholii et praecedentis nunc fragmenta tantum legi possunt in M. ἵνα καὶ διὰ τὴν χρείαν .. καὶ .... οὐκ ἔλασσον τοὺς παῖδας ἢ ὅτι δεῖ καὶ τοὺς ἐξ ἐκείνης παῖδας εἰδέναι τοὺς ἡμετέρους λόγους:—

13. ἀναβαλοῦ] ἀναβάλλου M.

ib. ταφὴν αὐτῆς] αὐτῆς ταφήν Fl. 56. 59.

15. ὡς τῶδ' ἀδελφῷ] Hujus scholii pars extrema superest in M. ..... λως .... ἀδελφοὶ πλησίον—τῆς μητρός.

ἀνάγκη προσκαρτερεῖν προσδοκῶντας πλοῦν ἥσυχον. εἴθε δὲ γένοιτο κατά τινα τρόπον, πραχθῆναι δηλονότι τὰ κατὰ σὲ, εὖ καὶ καλῶς· καὶ ἑνὶ ἑκάστῳ καὶ πόλει καταθύμιον τόδε· λέγω τὸ τὸν μὲν κακὸν πάσχειν κακὸν, τὸν δὲ χρηστὸν εὐτυχεῖν. I.

898. *καὶ γὰρ εἰ μὲν ἦν: οὐ καλῶς φησι ταῦτα ὁ Ἀγαμέμνων. ἐχρῆν γὰρ αὐτὸν ἅπαξ δόντα τὴν χάριν σιωπῆσαι καὶ μὴ ἐλέγξαι τὴν ἑαυτοῦ γνώμην· οὐ γὰρ ἀνάγκη τοιαύτη ὑπέκειτο βασιλεὺς ὤν.* B.M.I.

899. *εἶχον: ἠδυνάμην.* Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr.

900. *οὐ γὰρ—θεός: διὰ μέσου.* Gu. *ἀφίησιν ἐπιτηδείους.* M. *οὐρίας: εὐφόρους, ἐπιτηδείους.* Gr. *εὐδιεινούς.* Gu. *οὔριος ἄνεμος ἀπὸ τῆς οὐρᾶς, ἤγουν ὁ ἀπόπισθεν τοῦ καραβίου· ὅταν γὰρ ἔχῃ τὸν ἄνεμον ἀπὸ τῶν ὀπισθίων μερῶν, τότε ταχέως τρέχει, ὅτε δὲ ἀπὸ τῶν ἔμπροσθεν, οὐ δύναται πλεῦσαι.* Fl. 59. *θεός: ὁ Ποσειδῶν.* Gu.

901. *ὁρῶντας: ἐκδεχομένους, προσδεχομένους.* Gr. *βλέποντας.* Gu. *ἥσυχον: γαληνὸν ἄνεμον.* M. Fl. 10. 21. *ἀνενέργητον.* Gu.

902. *γένοιτο δ' εὖ πως: εἴη δὲ πραχθῆναι τὸ κατὰ σὲ καλῶς, ὅτι καὶ πᾶσι καταθύμιον τοῦτο· ὁ γὰρ φόνον δράσας κοινὸν τοῖς ἀνθρώποις ἀδίκημα ἐποίησε, λυμηνάμενος τῷ κοινῷ νόμῳ, καὶ ἀδικήσας τὸ τῆς φύσεως ὁμοιογενές.* B.M.I. *γένοιτο δὲ σοὶ καλῶς, ὥστε φονεῦσαι τοῦτον. ὅπερ μέλλεις πρᾶξαι τὸ κοινὸν συμφέρον ἔνι τοῖς πᾶσιν καὶ ἰδίᾳ· ἀπὸ γὰρ τῆς τοιαύτης τιμωρίας μέλλουσι σωφρονισθῆναι οἱ φονεῖς καὶ οἱ ξένων πραγμάτων ἐρῶντες, καὶ κατὰ νόμους ἔνι τὸν μὲν κακὸν πάσχειν κακῶς, τὸν δὲ καλὸν εὐτυχεῖν.* Fl. 59. *κοινόν: στεργόμενον παρὰ πάντων, ἀγαθόν.* Gr.

903. *ἰδίᾳ θ' ἑκάστῳ: καὶ καθ' ἕκαστον πάντες καὶ ὁμοῦ πάντες τοῦτο ἀποδέχονται, τὸ τὸν κακὸν κολάζεσθαι, τὸν δὲ χρηστὸν εὐεργετεῖσθαι.* Gr. *ἰδίᾳ: κατ' ἰδίαν.* Gr. *ἑκάστῳ: ἀνθρώπῳ ὑπάρχει.* Gu. *πόλει: κοινῶς.* Gr.

6. δόντα] διδόντα I.
7. οὐ γὰρ] ἀλλ' οὐκ B.I.
ib. ἀνάγκη — ἄν] ἀνάγκη ἀφίησιν M.
18. εἴη δὲ—] Idem scholion est in Flor. 21, 33. cum hac diversitate: παθῆναι 21. pro πραχθῆναι. — λυμαινόμενος.—ἐμογενές. Iidem praemittunt haec: γένοιτο δ' εὖ πως, ὃ σὺ βούλῃ δρᾶσαι τῷ Πολυμήστορι. MATTH.
ib. τὸ κατὰ] τὸ om. M.
19. καὶ πᾶσι] καὶ om. M.
20. λυμηνάμενος] λυμαινόμενος M.

905.—922. σὺ μέν, ὦ πατρὶς Ἰλιάς: ἡ μὲν θεράπαινα κατὰ τὴν πρόσταξιν τῆς Ἑκάβης ἀπέρχεται πρὸς τὸν Πολυμήστορα, ὁ δὲ χορὸς τῶν αἰχμαλωτίδων γυναικῶν λέγει τὰς συμφορὰς αὐτῶν, ἵνα μὴ ἀργῇ τὸ δρᾶμα, μέχρις οὗ ἔλθῃ ὁ Πολυμήστωρ. λέγεται δὲ οὕτως· σὺ μέν, ὦ πατρὶς Τρωϊκὴ, οὐδαμῶς κληθήσῃ πόλις τῶν ἀπορθήτων· τοιόνδε νέφος καὶ πλῆθος τῶν Ἑλλήνων περικαλύπτει σε πορθηθεῖσαν ἐν δορὶ καὶ πολέμῳ. ἀπεκόπης δὲ τὴν στεφάνην καὶ τὸν καλλωπισμὸν τῶν πύργων, κατεχρώσθης δὲ, ἤτοι μεμελάνωσαι, ἐλεεινότατα κηλῖδι καπνοῦ αἰθάλου καὶ καυστικοῦ. ὦ τάλαινα, πατρὶς δηλονότι, οὐκέτι ἐνδιατρίψω καὶ ἐμπεριπατήσω σοι. κατὰ τὸ μεσονύκτιον ἐφθάρην, ὁπηνίκα ἐκ τῶν δείπνων, ἤτοι μετὰ τὰ δεῖπνα, κέχυται ἐπὶ τοῖς ὀφθαλμοῖς ὕπνος γλυκύς. ἀπὸ τῶν ὕμνων δὲ καὶ ἀπὸ τῶν χαροποιῶν θυσιῶν καταπαύσας, ἑαυτὸν δηλονότι, ὁ πόσις ἔκειτο ἐν τοῖς θαλάμοις, οὐδαμῶς ὁρῶν τὸν ναυτικὸν ὅμιλον περιπατοῦντα εἰς τὴν Τροίαν, τὸ δόρυ δὲ, ἔκειτο κατὰ κοινοῦ, ἐπὶ τῷ πασσάλῳ. τὸ δὲ ἀκόντιον εἶπεν ἀπὸ μέρους ἐδήλωσεν ὅλα τὰ ὅπλα. I.

905. πατρίς: τὸ πατρὶς ἤγουν ἀπὸ τοῦ πατρὸς καλεῖται ἡ πατρίς. πῶς δὲ οὐ καλεῖται καὶ ἀπὸ τῆς μητρὸς ματρὶς, ὡς πατρίς; καὶ φησὶν ὁ Θεσσαλονίκης ὅτι ἀπὸ μὲν τοῦ πατρὸς ἔλαβε τὸ ὄνομα τῆς πατρίδος, οὐκ ἐκλήθη δὲ καὶ ἀρσενικῶς ὁ πάτρος ἢ ἄλλο τι· ἀπὸ δὲ τῆς μητρὸς ἔλαβε τὴν κλίσιν, καὶ κλίνεται θηλυκῶς ἡ πατρίς. καὶ ἀπὸ μὲν τοῦ πατρὸς ἔλαβε τὸ ὄνομα, ἀπὸ δὲ τῆς μητρὸς τὴν κλίσιν τῶν θηλυκῶν, καὶ διὰ τοῦτο σώζει ἐν ταυτῷ καὶ τῶν δύο. Fl. 59.

906. ἀπορθήτων: μία τῶν μὴ ἁλωθέντων ἀπὸ τῶν πολεμίων. Fl. 6. 21. 56. ἔλεγον πρὸ τῆς πορθήσεως τῆς Ἰλίου εἶναι ταύτην ἀπορθήτων ὡς θεσθμητος· ὁ γὰρ Ποσειδῶν καὶ ἕτεροι θεοὶ ἔκτισαν ταύτην, καὶ ἕνεκα τούτου ἐκάλουν αὐτὴν ἀπόρθητον. νῦν δὲ πορθηθεῖσα λέγει ὁ χορός· ἀπὸ τοῦ νῦν, ὦ πατρὶς Ἰλιὰς, οὐκέτι καὶ εἰς τὸ μετὰ ταῦτα κληθήσῃ πόλις τῶν ἀπορθήτων, ἀλλὰ δηλονότι τῶν πορθηθέντων· μέγα γὰρ νέφος καὶ πλῆθος τῶν Ἑλλήνων περιέκρυψε καὶ ἠφάνισέ σε, πορθῆσαν καὶ σκυλεῦσαν ἐν δορὶ καὶ ἐν κονταρίῳ. Fl. 59. λέξει: καταριθμήσῃ. Fl. 10. 21. οὐδαμῶς εἰς τὸ ἑξῆς ῥηθήσῃ. Gr. ὀνο-

19. ὁ Θεσσαλονίκης] Intelligitur ἐπίσκοπος. Videtur autem Eustathium dicere.

μασθήσῃ, κληθήσῃ. Gu. οὐκέτι, φησὶν, ὦ πατρὶς Ἰλιὰς, ταῖς ἀπορθήτοις πόλεσι συγκαταριθμηθήσῃ. νέφος δὲ ἀντὶ τοῦ πολέμου τὸ νέφος πορθῆσάν σε τῶν Ἑλλήνων, ἀντὶ τοῦ ὁ πόλεμος. ἡ δὲ ἀμφὶ πρὸς τὸ κρύπτει τουτέστι περικαλύπτει σε. B.

907. νέφος: πλῆθος. B. Gr. ἀφανισμὸς, σκότος. Gu. καλύπτει: περικαλύπτει σε. Gr. περιέκρυψεν, ἐνεστὼς ἀντὶ παρῳχημένου. Gu. τὸ ἀμφὶ πρὸς τὸ καλύπτει (κρύπτει Gu. ὅ ἐστι περικαλύπτει add. Flor. συναπτέον add. Gu.) Fl. 21. Gu.

909. δορὶ δὴ ὁρί: διπλασιάζει ἕνεκεν τῆς λύπης. Fl. 21. πολέμῳ. Gr. πέρσαν: πορθῆσαν. Fl. 33. ἐπόρθησαν. B. Gr. ἀφανίσαν. Gu.

910. ἀπὸ δὲ στεφάναν κέκαρσαι: Καλλισθένης ἐν β' τῶν Ἑλληνικῶν οὕτω γράφει· ἑάλω ἡ Τροία Θαργηλιῶνος μηνὸς, ὡς μέν τινες τῶν ἱστορικῶν ἡ ἱσταμένου, ὡς δὲ ὁ τὴν μικρὰν Ἰλιάδα ἡ φθίνοντος. διορίζει γὰρ αὐτὸς τὴν ἅλωσιν φάσκων συμβῆναι τότε τὴν κατάληψιν ἡνίκα

νὺξ μὲν ἔην μέση, λαμπρὰ δ' ἐπέτελλε σελήνη.

μεσονύκτιος δὲ μόνον τῇ ὀγδόῃ φθίνοντες ἀνατέλλει, ἐν ἄλλοις δ' οὐ

3. πορθῆσαν] πορθεῖσαν B. In M. brevius λέξῃ: ἀριθμηθήσῃ, (ad νέφος) ὅ πόλεμος. ἡ ἀμφὶ πρὸς τὸ κρύπτει, ὅ ἐστι περικαλύπτει:—

12. Καλλισθένης] Plut. V. Camilli c. 19. Καρχηδόνιοι περὶ Σικελίαν ἐπὶ Τιμολέοντος ἡττῶντο τῇ ἐσθήμῃ φρόνοντος, περὶ ἣν δοκεῖ καὶ τὸ Ἴλιον ἁλῶναι, Θαργηλιῶνος, ὡς Ἔφορος καὶ Καλλισθένης καὶ Δαμάστης καὶ Φύλαρχος ἱστορήκασι. Partem hujus scholii ex codice Fulvii Ursini protulit Scaliger de emend. temp. 5. p. 378. ed. Genev. a. 1629.

ib. β'] θ' Fl. 21.

13. ἑάλω B. ἑάλω μὲν M. Fl. 21.

ib. μέν τινες B. μέντοι M. Fl. 21.

14. τῶν ἱστορικῶν ἢ (ν M.) ἱσταμένου B.M. τῷ ἱστορικῷ ν ἱσταμένου Fl. 21.

ib. ὁ τὴν μικρὰν Ἰλιάδα] Intelligitur γράψας vel ποιήσας, frequenti in scriptis grammaticorum ellipsi, de qua dixit Schaeferus ad Lamb. Bos. p. 393. et Sylburg. ad Etym. M. p. 47. 3. Adde Hesych. s. v. Σφυρδέται, τοῖς τὰ ἱπποτροφικά, ubi γεγραφόσι addidit Musurus.

ib. ἡ φθίνοντος B. ὀγδόῃ φθίνοντος Fl. 21. ὀγδόην φθίνοντες M.

17. ἔην B.M. ἦν Fl. 21.

ib. μέσσῃ Matth. pro μέσῃ, vel μεσάτῃ, quod μεσάτα scriptum apud Clem. Alex. loco infra afferendo, ut σελάνα ibidem pro σελήνη, quia λαμπρὰ terminationem Doricam habere videbatur.

ib. ἐπέτελλε] ἐπέστελλε Fl. 21.

18. ἀνατέλλει, ἐν ἄλλοις δ' οὐ συμπεφώνηκεν Εὐριπίδης Cobetus. ἀνατέλειεν ἄλλη δ' οὐ συμπεφώνηκεν εὐριπίδης M. ἀνατέλλει ἄλλο δ' οὔ. συμπεφώνηκεν εὐριπίδης B. ἀνατείλειεν. ἄλλη δ' οὐ συμπεφώνη (sic) μὲν εὐριπίδη Fl. 21.

συμπεφώνηκεν Εὐριπίδης ὡς ὁμολογουμένης τῆς δόξης. Λυσίμαχος δὲ φησι Δημοφῶντος Ἀθήνησι βασιλεύοντος ἔτους τετάρτου Θαργηλιῶνος ἱσταμένου δωδεκάτῃ. B.M. Fl. 21.

στεφάνην πύργων: ἤγουν ἀφῃρέθης τοὺς δίκην στεφάνου περιβάλλοντας πύργους. ἢ τὸ στεφάναν γενικὴν τῶν πληθυντικῶν νόει. οὕτω γὰρ οἱ Δωριεῖς τὰς γενικὰς τῶν πληθυντικῶν ἐκφέρουσιν. ὅπερ οὕτως ἐρεῖς· ἀποκέκαρσαι δὲ τῶν στεφάνων, τῶν πύργων λέγω. Gu. I. τὴν στεφάνην τῶν πύργων, ἤν οἱ πύργοι δηλονότι ποιοῦσιν. Gr. Fl. 17. 59. 76. ἤγουν τοὺς προμαχῶνας καὶ προμαχίονας. τὸν κύκλον. Gu. τὸ κάλλος, τὴν ἐξοχὴν τοῦ τείχους. M. Fl. 10. 21. στέφανος λέγεται ὁ χρυσὸς, ὃν φοροῦσιν αἱ γυναῖκες, στεφάνη δὲ θηλυκῶς τὰ τῶν πύργων προμαχιόνια, ὥσπερ καὶ κάλαμος μὲν τὸ καλάμιον, καλάμη δὲ θηλυκῶς ὁ τοῦ σίτου κάλαμος. Fl. 59. ἀπὸ κέκαρσαι: ἀπεκάρης. Gr. ἀπεκόπης. B.M. Gu. ἀποτέτμησαι. Fl. 33.

911. αἰθάλῳ: οὐ χρὴ γράφειν αἰθάλου καπνοῦ κηλίδι, ἤτοι καυστικῇ κηλίδι, ἀλλ' αἰθάλῳ κηλίδι. ἤτοι καυστικῇ κηλίδι, ἤγουν πυρὶ, ἢ καπνῷ ἀπὸ μέρους. περισσὸν οὖν ἦν τῷ καπνῷ. διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ, ἵν' εἰκεῖον ᾖ τὸ κᾶλον πρὸς τὸ τῆς ἀντιστροφῆς. I. αἰθάλου: καυστικοῦ. Gr. μέλανος ἀπὸ τοῦ πυρὸς ἀνερχομένου καπνοῦ. Gu. τοῦ ἀπὸ αἰθάλης καὶ πυρὸς γενομένου καπνοῦ. B. Fl. 10. 21. 33. ἤτοι ῥυπαρία τοῦ μελαίνοντος καπνοῦ. B.

912. κηλὶδ': ῥύπον. Gr. Fl. 56. μελαντηρίῳ, ἀμαυρώσει. Gu. βάρος, μίασμα. M. Fl. 21. μελανία τῆς αἴγλης. Fl. 59. ῥυπα-

3. δωδεκάτῃ] δεκάτῃ Cobetus. Delendum potius ἱσταμένου, ut patet ex Clem. Alex. Strom. I. p. 381. κατὰ δὲ τὸ ὀκτωκαιδέκατον ἔτος τῆς Ἀγαμέμνονος βασιλείας Ἴλιον ἑάλω, Δημοφῶντος τοῦ Θησέως βασιλεύοντος Ἀθήνησι τῷ πρώτῳ ἔτει, Θαργηλιῶνος μηνὸς δευτέρᾳ ἐπὶ δέκα, ὥς φησι Διονύσιος ὁ Ἀργεῖος, Ἀγίας δὲ καὶ Δερκύλος ἐν τῇ τρίτῃ μηνὸς Πανήμου ὀγδόῃ φθίνοντος· Ἑλλανικὸς γὰρ (γὰρ om. Eusebius Praep. Ev. 10. p. 498. Fort. δέ) δωδεκάτῃ Θαργηλιῶνος μηνὸς, καὶ τινὲς τῶν τὰ Ἀττικὰ συγγραψαμένων ὀγδόῃ φθίνοντος, βασιλεύοντος τὸ τελευταῖον ἔτος Μενεσθέως, πληθούσης σελήνης. "νὶξ μὲν ἔην (φησὶν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς) μεσάτα (corrige μεσάτη), λαμπρὰ δ' ἐπέτελλε σελάνα (corrige σελήνη)." ἕτεροι Σκιροφοριῶνος τῇ αὐτῇ ἡμέρᾳ. ὀγδόην φθίνοντος Θαργηλιῶνος ponit etiam Dionysius Ant. Rom. 1, 63. Accurate de diversis his computationibus exposuit Boeckh. in commentario ad Marmor Parium Corp. Inscr. vol. 2. p. 329.

4. ἀφῃρέθης om. I.

ib. στεφάνου] στεφάνων I.

7. δὲ om. I.

18. παρ' ἐμοῦ] Est scholion Triclinii.

ρίαν τοῦ μελαίνοντος καπνοῦ. Fl. 10. 21. 33. κέχρωσαι: κεκάπνισαι. B. κεκάπνισαι ἢ κέκαυσαι. M. κατακέχρωσαι ἀντὶ τοῦ ἐχρώσθης ἢ μεμελάνωσαι. Gr. ἐχρωματίσθης, κατεμολύνθης, ῥερύπωσαι. Gu. κατεζοφώθης. Fl. 59.

913. ἐμβατεύσω: ἐπιβήσομαι. ἀντὶ τοῦ εἰσέλθω εἰς σέ. M. βαδίσω. Gr. περιπατήσω. ἐμβατεύω τὸ περιπατῶ καὶ τὸ ἐξετάζω, ὡς τὸ καρδίας ἐμβατεύων. Gu. περὶ τῆς πόλεως ταῦτά φησιν πρὸς αὐτὴν ἀποκλαιομένη, ὅτι οὐκέτι σ' ἐμβατεύσω ἐλευθέρῳ ποδί, καθάπερ καὶ πρῶτον, ἀγαλλομένη καὶ θάλλουσα. Fl. 33.

914. Οἱ Ἕλληνες, μὴ δυνάμενοι Τροίαν ἑλεῖν ἵππον κατεσκεύασαν ξύλινον, ἀνατιθέμενοι τοῦτον δῆθεν τῷ Ὀλυμπίῳ Διὶ τῷ Τροίαν φυλάσσοντι. ἐμβαλόντες δὲ τούτῳ πολλούς τε ἄλλους τῶν ἡρώων καὶ Μενέλαον ἔστησαν πρὸ τῶν τειχῶν, αὐτοὶ δὲ ὑπεχώρησαν εἰς τὰς ναῦς, καὶ ἀνηνέχθησαν ἐν θαλάσσῃ, δοκοῦντες οἴκαδε ἀναστρέφειν. οἱ τοίνυν Τρῶες, ἐπιχειρήσαντες εἰσαγαγεῖν εἰς τὴν πόλιν τὸν δούρειον ἵππον, ἐπεὶ οὐχ οἷός τε ἦν ἔνδον γενέσθαι διὰ τὸ μέγεθος, ἕνα τῶν πύργων, ὡς φασί τινες, κατενεγκόντες, οὕτως ἔνδον τὸν ἵππον ἤγαγον. βαθείας δὲ νυκτὸς γενομένης καὶ τῶν Τρώων ἀμεριμνως κειμένων, ὡς μηδενὸς τῶν Ἑλλήνων φαινομένου ἐν τῷ λιμένι, ἐξελθόντες ἐκ τοῦ ἵππου οἱ Ἕλληνες, ἔχοντες καὶ πρυδότας τῆς Τροίας, ἀναβάντες ἐπὶ τοῦ τείχους μετὰ πυρσῶν καὶ βοῆς, ἐκάλεσαν τοὺς Ἕλληνας, οἵτινες ἀφικόμενοι παρεστήσαντο τὴν Τροίαν. Gu. I. μεσονύκτιος: ἀντὶ ἐπιρρήματος ἦγουν κατὰ τὸ μεσονύκτιον. Gr. μεσονύκτιος Ἀττικόν· οὕτω λέγεται καὶ ὀλίγοις ἔτεσι καὶ ὀλιγοετὴς, καὶ πολλοῖς ἔτεσι καὶ πολυετὴς ἀπεβίω. Gr. ἀπωλλύμαν: ἐφθειρόμην καὶ αἰχμαλωτιζόμην. Fl. 56. ἀπωλλόμην. Gr. ἐφθάρην. Gu.

915. ἦμος: ἐπηνίκα. Gr. ἐκ δείπνων: μετὰ τοὺς δείπνους. Gu. Fl. 33.

916. κίδναται: διαχέεται. B. ἡνίκα ἐκ δείπνων ἐπὶ τῶν ὀφθαλμῶν ὁ γλυκὺς ὕπνος κατασκεδάζεται. B. ἐπ' ὄσσοις: ἐπὶ τοῖς ὀφθαλμοῖς. M. κέχυται. Gr. ἐπέρχεται, διαχέεται, ἐφαπλοῦται.

10. Τροίαν] τὴν τροίαν I.
11. τοῦτον δῆθεν] δῆθεν τοῦτον I.
ib. Τροίαν] τὴν τροίαν I.
15. εἰσαγαγεῖν om. I., sed habet ἀγαγεῖν post δούρειον (δούριον Gu.) ἵππον, quod om. Gu.
16. ἔνδον] εἴσω I.
17. ἤγαγον] εἰσήγαγον I.
22. ἀφικόμενοι] ἐπανελθόντες I.

Gu. διασκορπίζεται. M. Fl. 21. 59. μολπᾶν: μέλψεων. Fl. 17. τῶν εἰς τοὺς θεοὺς ὕμνων. Fl. 59. τραγῳδιῶν. Fl. 21. χοροποιῶν: χαρμοσύνων. Gu.

μολπᾶν ἀπο καὶ χοροποιῶν: τουτέστι καταπαύσαντες τοὺς χοροὺς καὶ τὰς ᾠδὰς καὶ τὰς θυσίας οἱ ἄνδρες ἀνεπαύοντο ἐν τοῖς οἴκοις ἀμέριμνοι, ὡς ἀναπλευσάντων τῶν Ἑλλήνων. οἱ γὰρ Ἕλληνες εἰς Τένεδον προσορμισθέντες καὶ ἔμφασιν ποιήσαντες τῆς οἴκαδε ἐπανόδου νυκτὸς ἐπῆλθον τοῖς Τρωσὶν ἀπὸ χορειῶν καὶ εὐωχιῶν οὖσι διὰ τὴν καθίδρυσιν τοῦ δουρείου ἵππου καὶ κεκμηκότας ἀνεῖλον αὐτούς. B.

918. θυσιᾶν: Δωρικόν· ἃς ἐποιεῖτο τοῖς θεοῖς εἰς ἐλευθερίαν. Gu. ἔθος ἦν μετὰ ἀπαλλαγὴν λοιμοῦ καὶ πολέμου ᾄδειν τοῖς θεοῖς εὐχαριστήρια. καὶ θύειν αὐτοῖς, καὶ ἐν χαρᾷ διάγειν, καὶ ᾄδειν παιᾶνας. τοῦτο δὴ καὶ οἱ Τρῶες ἐποίησαν νομίσαντες ὅτι οἱ Ἕλληνες ἔφυγον καὶ τοῦ πολέμου ἔπαυσαν. λέγει γοῦν ὁ χορός· ὑπνίκα τοῦ πολέμου ἔπαυσαν, καὶ διεσκορπίσθη μετὰ τοὺς δείπνους ὁ ὕπνος ἐν τοῖς ὀφθαλμοῖς. μετὰ γὰρ τοῦ ἀρίστου ἔρχεται καὶ ὁ ὕπνος ἀπὸ τῆς ὑγρότητος τῶν βρωμάτων. καταπαίσας δὲ ὁ ἀνήρ μου ἀπὸ τῶν ὕμνων τῶν θεῶν καὶ τῶν χαροποιῶν θυσιῶν, ἃν τοῖς θεοῖς ἔθυεν τοῦ πολέμου ἀπαλλαγέντες, ἔκειτο ἐν τοῖς θαλάμοις. Fl. 59.

919. ἔκειτο: τὸ ἑξῆς, πόσις ἐν θαλάμοις ἔκειτο ναυτῶν οὐκέθ' ὁρῶν ὅμιλον, ξυστὸν δ' ἐπὶ πασσάλῳ ἔκειτο. ἀπὸ κοινοῦ γὰρ τὸ ἔκειτο. B.M. τὸ ἔκειτο πρὸς τὸ ναύταν οὐκέθ' ὁρῶν ὅμιλον συναπτέον· τὸ δὲ ξυστὸν δ' ἐπὶ πασσάλῳ διὰ μέσου. λάμβανε δὲ εἰς τὸ πασσάλῳ ἢ ἔκειτο ἀπὸ κοινοῦ. ἢ ὑπῆρχεν, καὶ μὴ ὥσπερ τινὲς τῶν ἀμαθῶν τὸ ἔθηκεν, αἰτιατικὴν τὸ ξυστὸν λογιζόμενοι. Gu. I. ἐν θαλάμοις: ἐν τοῖς οἴκοις ἀμέριμνος. Fl. 17. 59. κοίταις. Fl. 21.

7. οἴκαδε] Sic explevi spatium in B. vacuum ex Flor. 10. 33. qui partem hujus scholii habent (ad v. 920.) εἰς τένεδον γὰρ π. καὶ ἔμφασιν (ἔμφασιν Matth.)—ἀπὸ χορῶν καὶ εὐωχίας—δουρείου ἵππου, reliquis omissis. In M. hoc scholion in duo est divisum hoc modo, μολπᾶν καὶ χοροποιῶν: τουτέστι καταπαύσαντες—τῶν ἑλλήνων. καὶ ἄλλως. καὶ παυσάμενοι, φησὶ, τῶν χορῶν καὶ τῶν θυσιῶν ἀνεπαύοντο πάντες οἱ ἄνδρες ... ἀμεριμνήσαντες διὰ τοὺς ἕλληνας:—θυσίαν καταπαύσας: εἰς τένεδον γὰρ προσορμισθέντες,—οἴκαδε ἐπανόδου—ἀποχοριῶν καὶ εὐωχίας ..... διὰ τὴν καθίδρυσιν τοῦ δουρείου—αὐτούς:—

9. δουρείου] δουρίου B.

23. 25. ἔκειτο] κεῖτο I.

25. καὶ μὴ—λογιζόμενοι om. Gu. Est haud dubie additamentum Arsenii.

920. ξυστὸν δ' ἐπὶ πασσάλῳ; τὸ δὲ ἀκόντιον ἐπὶ τῶν πασσάλων ἐκρέματο, ἐπεὶ τὸν τῶν Ἑλλήνων ὄχλον οὐκ ἐθεωρεῦμεν ἐν τῇ Τροίᾳ· τὸ δὲ ἀκόντιον εἰπὼν ἀπὸ μέρους ἐδήλωσεν ὅλα τὰ ὅπλα. B.M. ξυστόν: δόρυ, ἀκόντιον. B. τὸ δόρυ αὐτοῦ. ἀπὸ μέρους ἐδήλωσε τὰ ὅπλα ὅλα. Gu. ἀπὸ ἑνὸς πάντα δηλοῖ. Fl. 21. ἐπὶ πασσάλῳ: ἔκειτο. Gr. ἦν, ἢ ἔκειτο ἀπὸ κοινοῦ. ἀπηώρησεν. Gu. ἐκρέμασεν. Fl. 21.

922. ἐμβεβαῶτα: τὸ ἐμβαίνω εἰ μὲν πρὸς δοτικὴν συντάσσεται, τὸ ἐν ἔχει τὴν δύναμιν, εἰ δὲ πρὸς αἰτιατικήν, τὸ βαίνω, ὥσπερ κἀνταῦθα τὸ ἐμβεβαῶτα Τροίαν Ἰλιάδα. φησὶ δὲ καὶ Φιλόστρατος ἐν τοῖς Ἡρωϊκοῖς "ἐμβὰς τὴν ναῦν." Gu. I. ἐμβεβᾶτα χρὴ γράφειν, οὐκ ἐμβεβαῶτα· οὐχ οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς, ἀλλ' ἐκείνως. I. ἐμβεβᾶτα: ἤγουν βαδίζοντα, ἀναστρεφόμενον, περιπατοῦντα, βαίνοντα. Fl. 17. περικυκλοῦντα. Fl. 59. ἐπιβαίνοντα. Fl. 6.

923. ἐγὼ δὲ πλόκαμον: ἐγὼ δὲ τὸν πλόκαμον ἠὐτρέπιζον κατὰ τάξιν, καὶ ἐκόσμουν ἐν μίτραις καὶ αἰτανίοις ἀναδέτοις, ἤτοι ἐπάνω τῆς κεφαλῆς δεδεμένοις, λεύσσουσα εἰς κυκλοτερεῖς αὐγὰς τῶν χρυσέων κατόπτρων, ἵνα πέσοιμι εἰς τὴν κοίτην. εἰς δὲ τὴν πόλιν ἔμολεν ἦχος. κέλευσμα δὲ, ἤτοι βοὴ τῶν Ἑλλήνων, ἣν κατὰ τὸ ἄστυ τῆς Τροίας τόδε, ὦ Ἕλληνες, πότε δὴ, πότε πορθήσαντες τὴν Τρωϊκὴν ἐξοχὴν, τουτέστι τὴν ἀκρόπολιν, παραγενήσεσθε εἰς τοὺς οἴκους; τὴν προσφιλῆ δὲ κοίτην λιποῦσα μονοχίτων, καθὰ κόρη Λακεδαιμονία, καθίζουσα πρὸς τὴν σεμνὴν Ἄρτεμιν ἱκέτις οὐκ ἤνυσα ἡ ἀθλία, τουτέστιν οὐκ ἠδυνήθην σωθῆναι. ἄγομαι δὲ ἐπὶ τὸ πέλαγος τὸ θαλάσσιον, ἰδοῦσα τὸν ἐμὸν ἄνδρα θανόντα, καὶ τὴν πόλιν ἀπὸ μακρόθεν ὁρῶσα, ἀφ' οὗ ἐπίστροφον ἡ ναῦς ἐσάλευσε πόδα. I.

πλόκαμον: τὰς τρίχας. Fl. 59. τὴν ἐμὴν πλεξίδαν. Fl. 21. ἀναδέτοις: καὶ σήμερον οὕτως λέγεται ἀναδέτοις. Fl. 59. ἐγὼ δὲ

1. τὸ δὲ—τὰ ὅπλα] τὸ δὲ ἀκόντιον ἀπὸ μέρους εἶπεν ὅλα τὰ ὅπλα M. et in margine altera ἀπὸ ἑνὸς τὰ πάντα ὅπλα δηλοῖ.

9. βαίνω] βαίνει I.

10. καὶ om. I.

11. τοῖς om. I. Philostrati locus est p. 666. (ubi ἐμβῆναι τὴν ναῦν), ubi vid. Boiss. p. 335.

ib. ἐμβεβᾶτα—] AnnotatioTriclinii.

17. αἰτανίοις etiam in Gr. v. 924. scriptum super μίτρασιν et ibidem Fl. 59. ad v. 923. et ἀειτάνιον v. 924.

22. παραγενήσεσθε Barnes. παραγενέσεσθαι I.

ἐκαλλωπιζόμην τὸν πλόκαμον ἐν αἰτανίοις ἀναδέτοις. εἰώθασι γὰρ αἱ γυναῖκες κατὰ τὴν νύκτα πλέκεσθαι, εἶτα βλέπειν εἰς τὸ κάτοπτρον, εἰ ὀρθίως κεῖται ἡ πλοκή. Fl. 59. μετὰ τὸ εὐωχηθῆναι ἐν ταῖς μίτραις ἐκαλλωπιζόμην καὶ ἀνεδέσμουν ἐπὶ τῷ καθεύδειν μετὰ τοῦ ἀνδρός, κατὰ τὸ γυναικεῖον ἔθος. B.M.I.

924. μίτραισιν: αἰτανίοις. Gr. ὑφάσμασι κεφαλεδεσμίοις, ἐκ μετάξης πλέγμασι. Gu. μίτρα λέγεται τὸ ἀειτάνιον μιτηρόν τι ὂν, καὶ συγκόπτεται τὸ η. μίτος δὲ λέγεται ἡ μία τοῦ χρυσαφίου, εἴτε τῆς μετάξης ἴτρα. καὶ τὰ νῦν λεγόμενα βιτάρια ἰδιωτικῶς μιτάρια λέγονται, ὡς μετὰ τῶν μίτων πλεκόμενα. Fl. 59. ἐρρυθμιζόμαν: ἔταττον, ἐκόσμουν. Gr. ἐκαλλωπιζόμην, ἐκοσμούμην, διεχώριζον. Gu. κατεκόσμουν, κατὰ ῥυθμὸν ἐτίθουν. εὕρημα δὲ γυναικεῖον τὸ καὶ μέσης νυκτὸς καλλωπίζεσθαι. μίτραις δὲ τοῖς κεφαλοδεσμίοις. B.

925. χρυσέων: χρύσεα ἔνοπτρα λέγει διὰ τὸν κόσμον. ἔνοπτρον καὶ κάτοπτρον τὸ αὐτό· ἔσοπτρον δὲ τὸ φανάριον. Gr. κυκλοτερῶς ἀντὶ μολίβδου ἢ ξύλου εἶχε χρυσάφιον τὸ ἔνοπτρον. Fl. 59. κακόζηλον δὲ φαίνεται τοῦτο· οὐ γὰρ κατὰ τὴν νύκτα ὁρῶσιν αἱ γυναῖκες τὰ κάτοπτρα, ἀλλὰ κατὰ τὴν ἡμέραν. ὅμως δὲ δεικνύει τὸ φιλήδονον, ὅπερ εἶχον. Fl. 59. διὰ τὸ ἀπίθανον τούτου καιροῦ. Fl. 10. διασυρτικῶς τῶν γυναικῶν τὸ καὶ μέσης νυκτὸς καλλωπίζεσθαι. Fl. 10.

926. λεύσσουσ': βλέπουσα. Gu. Fl. 56. 59. ἀτέρμονας δὲ περιφερεῖς· τούτων γὰρ οὐκ ἔστι τέρμα· τὰ γὰρ κυκλοτερῆ τέρματα οὐκ ἔχει. λέγει δὲ λεύσσουσ' ἐς κυκλοτερεῖς αὐγάς, τουτέστι τὰς τέλος μὴ ἐχούσας· τούτων γὰρ οὐκ ἔστι τέρμα. παρὰ τὸ εἰωθὸς δὲ ἔφη μεσονύκτιον ἐνοπτρίζεσθαι. B.I. κυκλοτερεῖς. Gr. μὴ τέλος, ὡς κυκλοτερεῖς, ἐχούσας, ἀτελειώτους. Gu. αὐγάς: ὄψεις. Gr. I. λαμπηδόνας. Gu. ἐπὶ τοῦ βλεπομένου, οὐκ ἐπὶ τοῦ βλέποντος. Gr. Fl. 6. 9. 17. 56. 59. 76.

4. καὶ ἀνεδέσμουν ἐπὶ τῷ] ἐπὶ τὸ I., omisso καὶ ἀνεδέσμουν.

12. Verba εὕρημα γυναικεῖον—καλλωπίζεσθαι sunt etiam in M. pariterque glossemata ἐκόσμουν et ῥυθμὸν ἐτίθουν.

23. δὲ addit, quia scholion hoc legitur post γυναικεῖον ἔθος v. 923. In M. pars hujus scholii obliterata, μίτρας δέ τινες κυ..... ἀτέρμονας περιφερεῖς. τούτων—αὐγάς, οἷον τὰς κυκλοτερεῖς· τούτων γὰρ—ἐνοπτρίζεσθαι. ἀτέρμονας εἰς αὐγάς: ἀπληρώτους ἢ κυκλοτερεῖς. ταῦτα γὰρ ἀτελῆ:—

927. ἐπιδέμνιος: ἀντὶ ἐπιρρήματος, (Cant.) ἤγγυν ἐπὶ τῇ κείτῃ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐπὶ τοῖς στρώμασι. Gu. ἤγγυν ἐπὶ κείτην. ἔστι δὲ τοῦτο καὶ τὸ εἰς εὐνήν ἐκ παραλλήλου. Gu. ὡς: ἵνα. M.

928. ἀνὰ δὲ κέλαδος: τὸ δὲ οὐκ ἔστι περισσὸν, ὡς οἴονταί τινες, ἀλλ' εἰώθασιν οἱ Ἀττικοὶ ἐν ταῖς ἀποδόσεσι καὶ ἐπαναλήψεσι τοῦτο τιθέναι. ὁ ζητῶν πανταχοῦ εὑρήσεις. Gu. I. ἀνὰ δὲ πόλιν: ἀνὰ τὴν πόλιν δὲ ἔμολεν, ἤγγυν ἐπῆλθε, κέλαδος, φωνὴ, ἦχος, θόρυβος. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. ἐν ὅσῳ δὲ ταῦτα ἐποίουν, κατέλαβεν ἀνὰ τὴν πόλιν κέλαδος καὶ θόρυβος· οἱ γὰρ ἔξω Ἕλληνες ἐλθόντες παρεκελεύοντο τοῖς ἐν τῷ δουρείῳ ἵππῳ Ἕλλησιν ἀνοῖξαι αὐτοῖς τὰς πύλας καὶ εἰσελθεῖν λέγοντες αὐτοὺς, πότε δὴ πορθήσαντες τὴν Ἰλιάδα σκοπιὰν ἐλεύσεσθε εἰς τοὺς οἴκους; Fl. 59. ὅσα ῥήματα κίνησιν ἔχουσιν ἐμμέσως, μετὰ προθέσεων ποιοῦσι τὴν σύνταξιν· ἔρχεται εἰς τὸν τόπον, καὶ βαδίζει, καὶ κινεῖται, καὶ τὰ ὅμοια. Gr.

929. κέλευσμα: βοὴ τῶν Ἑλλήνων, φώνημα. Gu. προσφώνημα. Fl. 21. φωνή. 33.

930. πότε: λείπει τὸ, εἰ μὴ νῦν. ὁ δὲ νοῦς, τοῦτο δὲ, φησὶν, ἔλεγον οἱ Ἕλληνες, παρακελευόμενοι ἀλλήλοις, πότε δὴ τὴν ἀκρόπολιν πορθήσαντες τῆς Τροίας παραγενήσεσθε εἰς τὰ οἰκεῖα; B. M. I.

931. σκοπιάν: ἤγγυν τὴν ἀκρόπολιν. M. Gr. ἢ τὴν ὑψηλὴν Τροίαν. ἀπὸ μέρους τὸ ὅλον. Gu. σκοπιὰ λέγεται ὁ ὑψηλὸς τόπος, εἰς ὃν ἱστάμενοι ἀποσκοπεύουσι περί τινων. Gr. Ἰλιάδα σκοπιὰν λέγει ἢ τὴν ἀκρόπολιν, ἤ, ὡς τῷ Ὁμήρῳ δοκεῖ, ἐπὶ ὑψηλοῦ τινος τόπου ἔκειτο τὸ κάστρον, καθὼς αὐτὸ τοῦτο δηλοῖ. σκοπιὰ δὲ λέγε-

5. περισσὸν] περιττὸν I.
6. καὶ ἐπαναλήψεσι om. Gu.
12. αὐτοῖς Matth. pro αὐτάς.
13. ἐλεύσεσθε Matth. pro ἐλεύσεσθαι.
19. λείπει τὸ] τὸ om. M.
ib. ὁ δὲ νοῦς om. I.
20. ἀλλήλοις] ἀλλήλους I.
ib. δὴ addidi ex M.
21. παραγενήσεσθε Barnes. παραγενέσθαι M. παραγένησθε B.I. quod ex more recentionum pro futuro positum esse potest.
ib. οἰκεῖα] οἰκία Matth.
23. ἤγγυν om. M.
24. σκοπιὰ] σκοπιὰς Gr.
27. τόπου Matth. pro τρόπου.

ται ὁ ὑψηλὸς τόπος, ἐν ᾧ ἀνελθών τις σκοπεῖ τὰ κάτω. (ἐν ᾗ ἵσταταί τις ἰδεῖν μακράν. Fl. 17.) Fl. 59.

932. λέχη : στρώματα. Gr. τὴν στρωμνήν. Fl. 59. φίλια τὰ προσφιλῆ. B.M. μονόπεπλος : αἱ Λακεδαιμόνιαι γυναῖκες ἐν τοῖς ἀγῶσι μονοχίτωνες ἦσαν, πόρπας ἐφ' ἑκατέρου τῶν ὤμων ἔχουσαι· ὅθεν καὶ δωριάζειν τὸ γυμνοῦσθαι Ἀνακρέων φησί. Gu. I.

934. λιποῦσα Δωρὶς ὡς κόρα : Δοῦρις ἐν τῷ β' τῶν Ὥρων γράφει οὕτως "κατὰ δὲ τοῦτον τὸν χρόνον ὑπὸ Αἰγινητῶν Ἀθηναῖοι κατὰ θάλατταν ὀχλούμενοι πέμπουσι πεζοὺς εἰς τὴν νῆσον ὑπολαμβάνοντες, ἂν φθάσωσι πεζοὺς ἀποβιβάσαντες, πολλὰ βλάψαι τὴν Αἴγιναν. οἱ δὲ ἐπεξελθόντες, ἔτυχον γὰρ αὐτοῖς προσκαταπεπλευκότες τῶν Σπαρτιατῶν τινές, τοὺς Ἀθηναίους ἅπαντῶντας ἀπέκτειναν πλὴν ἑνός. τοῦτον δὲ ἀπέστειλαν ἀπαγγελοῦντα. τὸν δέ, ὡς ἦλθεν, περιέστησαν αἱ τῶν τεθνεώτων γυναῖκες αἱ μὲν ἐρωτῶσαι τοὺς ἄνδρας τί γεγόνασιν, αἱ δὲ τοὺς υἱούς, αἱ δὲ τοὺς ἀδελφούς. ἐτύγχανον δὲ φορεῦσαι κατ' ἐκεῖνον τὸν χρόνον Δωρίδα στολήν. τὰς περόνας οὖν ἀπὸ τῶν ὤμων ἑλκυσάμεναι τὸν ἄνθρωπον πρῶτον ἐξετύφλωσαν, εἶτα ἀπέκτειναν. οἱ δὲ Ἀθηναῖοι μεγάλην ἡγήσαντο συμφορὰν τὸ γενόμενον πάθος. ἔδοξε δὲ αὐτοῖς περιελέσθαι τῶν γυναικῶν τὰς περόνας, ἐπεὶ περ εἰς ὁπλισμὸν αὐταῖς περιέστησαν, οὐ φυλακὴν τῆς ἀμπεχόνης. πάντων δὲ ἰδιαίτατον συνέβαινεν ἐπὶ τῶν Ἀθηναίων. οἱ μὲν γὰρ κόμας ἐφόρουν. αἱ δὲ γυναῖκες ἐκείροντο, καὶ τοῖς μὲν ἀνδράσι πεδήρεις ἦσαν χιτῶνες, αἱ δὲ γυναῖκες ἐβρύαζον ἐν τῇ Δωρίδι στολῇ, διόπερ καὶ εἰς ἡμᾶς πολλοὶ τοὺς ἀχίτωνας δωριάζειν ἔφασαν." M.

7. τῷ β' Hullenannus pro τῷ ιβ'.
ib. Ὥρων Schweigh. ad Athen. vol. 4. p. 645. ὡρῶν M.
ib. γράφει] γὰρ M. Correxi ex scholio inferiore.
10. ἀποβιβάσαντες Cobetus. ἀποβάντες M.
ib. πολλὰ βλάψαι] πολλὰ ἂν βλάψαι Cobetus. Aut sic scribendum aut πολλὰ βλάψειν.
11. προσκαταπεπλευκότες] προκαταπεπλευκότες Cobetus.
15. φορεῦσαι Cobetus. φέρουσαι M.
16. Δωρίδα] δοριάδα M.
19. ἐπεὶ γὰρ M. Frequens in libris vitium pro ἐπείπερ, quod restitui ex scholio inferiore.
23. ἐβρύαζον] ἔβρυον M. Correxi ex scholio inferiore.
24. εἰς ἡμᾶς restitui ex scholio inferiore. ἕως ἡμᾶς M. quod ἕως ἡμῶν scribendum foret, ut fecit Cobetus.
ib. δωριάζειν] δωρίζειν M. Recte infra B.I.

Δωρὶς ὡς κόρα: αἱ Λακεδαιμόνιαι κόραι διημερεύουσιν ἄζωστοι καὶ ἀχίτωνες, ἱματίδιον ἔχουσαι πεπορπημένον ἐφ' ἑκατέρου τῶν ὤμων. καὶ Καλλίμαχος

ἔσκεν ὅτ' ἄζωστος χατερόπορπος ἔτι.

καὶ τῶν ἐν ταῖς ἀρχαίαις γραφαῖς οὐκ ὀλίγα οὕτως ἔσταλται. καὶ δωριάζειν τὸ γυμνουμένας φαίνεσθαι τὰς γυναῖκας. Ἀνακρέων "ἐκδῦσα χιτῶνα δωριάζειν." B.M.I. Ἄλλως. ὑπὸ Αἰγινητῶν πειρατευόμενοι Ἀθηναῖοι στρατιὰν κατ' αὐτῶν ἀποστέλλουσιν. οἱ δὲ ἅμα Σπαρτιάταις ἅπαντας ἀπέκτειναν. εἷς δὲ σωθεὶς ὑπέστρεψεν ἄγγελος, ὃν ὑπαντήσασαι τῶν τεθνεώτων αἱ γυναῖκες ἀφελόμεναι τὰς περόνας τῶν ὤμων καὶ τυφλώσασαι πρῶτον ἀπέκτειναν. οἱ δὲ Ἀθηναῖοι δεινὸν ἡγησάμενοι περιεῖλον τῶν γυναικῶν τὰς περόνας, ἐπείπερ εἰς ὁπλισμὸν αὐταῖς ἐχρήσαντο, οὐ φυλακὴν τῆς ἀμπεχόνης, αὐτοί τε ἐκόμων, αἱ δὲ γυναῖκες ἐκείρουτο. καὶ τοῖς μὲν ἀνδράσι ποδήρεις ἦσαν οἱ χιτῶνες, αἱ δὲ γυναῖκες ἐβρύαζον ἐν ταῖς Δωρικαῖς στολαῖς. διὸ καὶ εἰς ἡμᾶς τὰς ἀχίτωνας δωριάζειν ἔφασαν. B.M.I.

Δωρὶς ὡς κόρα: Λακεδαιμονία. Gr. Μνεμβασιώτισσα. Gu. αἱ Δωριδες κόραι ἐρχόμεναι εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος ἐνθουσιῶσαι μετὰ ἑνὸς μόνου χιτῶνος ἤρχοντο. λιποῦσα δὲ καὶ καταλείψασα τὰ φίλια λέχη, ἤγουν τὴν στρωμνὴν αὐτὴν, ἐπεὶ ἀνεπαύετο (καλεῖ ταύ-

1. αἱ Λακεδαιμόνιαι—] Hoc scholion in B.I. legitur post scholion proximum, praefixo ἄλλως.

4. ἔτι καὶ τῶν I. cum interpunctione ante ἔτι, et sic B.M. quoque, in quibus est ἔτι δὲ καὶ τῶν.

5. ὀλίγα] ὀλίγαι M. unde Cobetus ὀλίγαι οὕτως εἰσὶν ἐσταλμέναι.

ib. οὕτως Cobetus. ὅτ' B.M.I.

6. γυμνουμένας B. γυμνουμένους M. γυμνὰς I.

7. Ἄλλως. ὑπὸ— M. In B.I. δωρὶς ὡς κόρα: δοῦρις ἐν τῷ ιβ' τῶν ὥρων (sic vel ὥραν B.) γράφει οὕτως ὡς ὑπὸ etc. Sed Duridis nomen nihil ad ea pertinere quae sequuntur ex scholio quod supra ex M. edidimus patet, in quo Duridis verba apposita sunt.

ib. πειρατευόμενοι] στρατευόμενοι M.

8. οἱ δὲ] οἳ δ' B.

9. σωθεὶς om. I.

10. ὑπαντήσασαι M. περιστᾶσαι B.I.

ib. γυναῖκες M. γυναῖκες καὶ B.I.

ib. ἀφελόμεναι τὰς π. τῶν ὤ. (addidi καὶ) τυφλώσασαι πρῶτον ἀπέκτειναν M. τὰς π. τῶν ἄ. ἀφελόμεναι ἐξετύφλωσαν, εἶτα ἀπέκτειναν B.I.

12. δεινὸν ἡ.] ἡ. δεινὸν M.

13. οὐ φυλακὴν B.M. καὶ οὐ πρὸς φυλακὴν I.

ib. αὐτοί τε] αὐτοί γε M. (non καὶ αὐτοί γε) Idem ἐκόμουν.

15. ἐν ταῖς] ἐν om. I.

ib. δωρικαῖς M. in quo literae δω et circumflexus supersunt. δωρίαις B.I.

16. καὶ εἰς ἡμᾶς B.M. εἰς om. I.

την οὕτως ἢ διὰ τὸ ἡδονικὸν τῆς μίξεως· ἐπάνω γὰρ ταύτης ἐσυνουσιάζετο·) καταλείψασα τὰ φίλια λέχη μονόπεπλος μονοχίτων μετὰ τοῦ ἐπικαμμυνεῖ μόνου ἔφυγεν εἰς τὴν Ἄρτεμιν, ἦγουν εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος· ἐν γὰρ καιρῷ σκυλεύσεως οὐ προστρέχομεν ἀλλαχόθι, εἰ μὴ ἐν τοῖς ναοῖς. τὸ αὐτὸ καὶ ἐκεῖναι φοβούμεναι προσέδραμον εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος καὶ τῶν ἄλλων θεῶν, ὡς ὁ Πρίαμος καὶ οἱ ἕτεροι. Ἢ ἄλλως. ὡς κόρη Δωρὶς μονοχίτων προσκαθίσασα εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος καὶ τῶν ἄλλων θεῶν, ὡς καὶ ὁ Πρίαμος καὶ οἱ ἕτεροι. Ἢ ἄλλως. ὡς κόρη Δωρὶς μονοχίτων προσκαθίσασα εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος, οὕτως καὶ ἐγὼ ἕδραμον ἐν τοῖς ναοῖς. οὐκ ἤνυσα δὲ, ἦγουν οὐκ ἐτελείωσά τι, οὐχ εὗρον σωτηρίαν, ἀλλ' ἀπεσπάσθην τῶν ἐκεῖσε, ὡς αἰχμάλωτος. Fl. 59.

935. *προσίζουσ'*: μέλλουσα προσελθεῖν. B. *ἱκέτις καθίζουσα.* Gr. *προσκαθημένη.* Gu. *προσκαθίσασα τῇ Ἀρτέμιδι οὐκ ἤνυσα, φησὶ, τὸ ἐμὸν βούλημα, ὥστε μὴ ἁρπαγῆναι καὶ αἰχμαλωτισθῆναι. ἄγομαι δὲ θανόντα ἰδοῦσα τὸν ἀκοίταν τὸν ἐμὸν, ἦγουν τὸν ἄνδρα. διαλύεται δὲ τὸ προσίζουσα, οἷον, ἵζουσα πρὸς τὴν Ἄρτεμιν, ἦγουν προσκαθημένη τῇ Ἀρτέμιδι.* Gr.

936. *οὐκ ἤνυσ'*: *οὐκ ἐτελείωσα.* Gr. *οὐκ ἐτέλεσά τι τῆς εὐχῆς, οὐκ ἠδυνήθην σωθῆναι.* Gu. *ὡς καταφυγούσης αὐτῆς εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος καὶ μηδὲν ὠφελησάσης.* M. Fl. 10. *οὐκ εὐώδωσα, οὐκ ἐτελείωσα.* Fl. 6. 9. 17. 21. 56. 59. 76.

937. *ἄγομαι*: ἄγομαι, φησὶν, *ἐπὶ τὸ πέλαγος, ἑωρακυῖα τὸν ἄνδρα μου ἀποθανόντα.* B.M.I. *ἰστέον δὲ ὡς καὶ τὸ ἐπεὶ νόστιμον πρὸς τὸ ἄγομαι συναπτέον τῇ ἐννοίᾳ.* Gu. I. *ἄγομαι*: *φέρομαι, ὡς αἰχμάλωτος.* Gu.

939. *ἀποσκοπεῦσα*: *μακρόθεν ὁρῶσα.* Gr. *πόρρωθεν βλέπουσα.* Gu. *καὶ ἄπο καὶ μακρὰν σκοπεῦσα, καὶ ἐπιτηροῦσα τὴν πόλιν.* Fl. 59. *ἐπεὶ καὶ πόρρωθεν ἑωρᾶτο ἡ Τροία καιομένη, οἷον ἀπὸ Χερρονήσου.* B.M. Fl. 21.

940. *νόστιμον*: *τὸν τῆς ὑποστροφῆς.* Gr. *ὑποστρεπτικὸν πρὸς*

1. ἢ delendum, nisi quid excidit.
3. ἐπικαμμυνεῖ] Sic.
23. φησὶν om I. δὲ est in M.
24. ὡς καὶ] ὅτι I.
25. συναπτέον] συνάπται sine accentu Gu. in quo haec *ἰστέον δὲ—αἰχμάλωτος* addita sunt scholio v. 945. post *ταύτην εἶναι*.
29. ἐπεὶ Τροία M. ἐπεὶ καὶ πόρρωθεν ἡ Τροία ἑωρᾶτο I. πόρρωθεν γὰρ ἑωρᾶτο ἡ Τροία B.

τὸν οἶκον. Gu. τὸν τῆς ὑποστροφῆς. (Flor. 6. 9. 17. 56. 59. 76.) παλινοστοῦντα, ἐπιστρέφοντα. Fl. 21. ὀπισθόρμητον. B. Fl. 33. πόδα, τὴν τρόπιν (Flor. τροπὴν) ἢ τὴν κώπην. Gr. Fl. 6.

940.—952. καί μ' ἀπὸ γῆς: καὶ ἐμὲ ἀπὸ τῆς γῆς ἐξώρισε τῆς Τρωϊκῆς — ἀπηγόρευσα ἡ ἀθλία τῇ λίπῃ — τῇ Ἑλένῃ τῇ ἀδελφῇ τῶν Διοσκούρων, Κάστορος καὶ Πολυδεύκους, καὶ τῷ Πάριδι καταρωμένη, ἐπεί με τῆς πατρῴας γῆς καὶ τῶν οἴκων ἐξῴκησεν οὐ γάμος, ἀλλὰ ταλαιπωρία δαίμονός τινος κακοποιοῦ, ἥντινα Ἑλένην μήτε τὸ πέλαγος ἀπαγάγοι πάλιν, ἥγουν εἰς τοὐπίσω, μήτε ἀφίκοιτο εἰς τὸν πρῶτον οἶκον. I.

941. ὥρισεν: ἀφώρισεν. B.M. Gr. ἐχώρισεν. B.M. Gu. ἐξώρισεν. Gu. διεχώρισεν. Fl. 33. ἀπέπεμψε. B.

942. ἀπεῖπον: ἀπείρηκα τοῖς κακοῖς ἡ ἀθλία ἐγώ. B.M. ἠσθένησα. B. ἀπηγόρευσα, ἀπέκαμον ὑπὸ τοῦ ἄλγους. Gr. τοῖς κακοῖς ἢ ἀγανακτήσει. θλίψει. Gu. ἀπὸ τοῦ νῦν οὐ δύναμαι λέγειν τι, δαμασθεῖσα τῇ θλίψει. Fl. 59.

944. Διοσκόρων: τὴν Ἑλένην φησὶ τὴν τῶν Διοσκούρων κάσιν Κάστορος καὶ Πολυδεύκους καὶ τὸν Πάριν τὸν βουκόλον καταρωμένη ὡς αἰτίους τοῦ πολέμου. ἰστέον δὲ ὅτι ὀλιγάκις κεῖται τὸ κάσις ἐπὶ ἀδελφῆς, ἐπὶ δὲ ἀδελφοῦ πολλάκις. B. ἡ Λήδα συλλαβοῦσα ἐκ τοῦ Τυδάρεω καὶ ἐκ τοῦ Διὸς, μεταβληθέντος εἰς κύκνον, ἐγέννησεν ὠὸν, ἀφ' οὗ ἐξῆλθεν ἥ τε Ἑλένη καὶ ὁ Κάστωρ καὶ ὁ Πολυδεύκης. διὰ τοῦτο λέγονται Διόσκοροι οὗτοι, οἱονεὶ κοῦροι τοῦ Διός. κόρη λέγεται θηλυκῶς καὶ κούρη ποιητικῶς, κόρος δὲ ὁ υἱὸς οὐ λέγεται, ἀλλὰ κοῦρος. ἐκ τούτου λέγονται Διόσκουροι. Gr. συνεκδοχικῶς, διδοῦσα ἐν κατάρᾳ. (συνεκδ. καὶ καταρωμένη alius codex) Fl. 59. κάσιν: ἀδελφήν. Gr. αὐταδελφήν. Gu.

945. βούταν: βουκόλον, βοτῆρα, ποιητικόν. Gr. βοσκόν. Gu. βούτας λέγεται ὁ Ἀλέξανδρος, ἐπεὶ εἰς τὰ πόιμνια τοῦ πατρὸς αὐτοῦ ἦν καὶ ἀνετρέφετο, μέχρις οὗ εἰς τὴν Λακεδαιμονίαν ἦλθε· Ἰδαῖος δὲ διὰ τὴν Ἴδην τὸ ὄρος· πόλις γὰρ τῆς Τροίας ὑπὲρ τὸ ὄρος· αἰνόπαρις δὲ, διότι ἐπὶ κακῷ ἐξέφυγε καὶ παρέδραμε τὸν φόνευ, ὃν ἔκριναν οἱ μάντεις θανατῶσαι αὐτόν. Fl. 59.

κατάρᾳ διδοῦσα: ἐπαρωμένη καὶ αἴτιος τοῦ πολέμου. M. πρὸς

19. ὅτι ὀλιγάκις—πολλάκις] Haec etiam in M.

τὸ ἀπισκοπεῖσα ἐστὶ καὶ ἡ μετοχὴ τὸ κατάρᾳ διδοῦσα· τὸ δὲ ἐπεὶ νόστιμον καὶ τὸ τάλαινα ἀπεῖπεν ἄλγει διὰ μέσου, εἰ καὶ φασί τινες πρὸς τὸ ἀπεῖπεν τὴν μετοχὴν ταύτην εἶναι. Gu. I. οἱ μὴ δυνάμενοι τιμωρῆσαι τοὺς ἑαυτῶν ἐχθροὺς ὑπερβάλλουσι κατάρᾳ αὐτούς. τὸ αὐτὸ καὶ ὁ χορὸς λέγει· ἀπηγόρευσα αὐτῇ πολλῇ θλίψει, διδοῦσα ἐν κατάρᾳ, ἥγουν καταρωμένη, τὴν Ἑλένην. τὴν ἀδελφὴν τῶν Διοσκόρων, τοῦ τε Κάστορος καὶ τοῦ Πολυδεύκους, τὸν Ἰδαῖόν τε βούταν, καὶ βουκόλον, τὸν αἰνόπαριν, ἥγουν τὸν Ἀλέξανδρον, διότι ἀπώλεσεν καὶ ἄπο καὶ μακρὰν ἔθηκεν ἐμὲ ἐκ τῆς πατρικῆς γῆς, καὶ ἐξέφυκισεν, καὶ ἀποίκους ἐποίησεν ἡμᾶς, ὁ γάμος τοῦ Ἀλεξάνδρου, ὁ οὐ γάμος, ἀλλ' οἰζὺς καὶ συμφορὰ ἀλάστορός τινος δαίμονος. Fl. 59.

947. ἀπώλεσε: γρ. ἀποίρισεν. M. πρωθύστερον. Gr. μετὰ ὀλέθρου ἐξέβαλλε. Gu.

948. ἐξέφυκισε: ἐξέβαλλεν, ἐξώρισεν. Gu. γάμος, οὐ γάμος: γάμος μὲν διὰ τὸ συγκεκοιτασθῆναι καὶ ἔχειν αὐτὴν, οὐ γάμος δὲ, διότι οὐκ ἦν ἔννομος, ἀλλ' ἑτέρου ἦν ἡ γυνή. Fl. 59.

949. ἀλάστορος: ὁ τῆς Ἑλένης γάμος. B. δαίμονος κακοποιοῦ. Gr. κακοῦ, παλαμναίου δαίμονός τινος. Gu. οἰζύς: τιμωρία καὶ ταλαιπωρία. Fl. 10. 21. 33. ἀλλὰ δαίμονος παλαμναίου τιμωρία καὶ ταλαιπωρία. M.

950. ἂν μήτε: ἤντινα τὴν Ἑλένην μὴ ὑποστρέψῃ ἡ θάλασσα πάλιν, καὶ εἰς τοὐπίσω, ἥγουν μὴ φέρῃ ταύτην εἰς τὴν οἰκίαν αὐτῆς, μηδὲ καταλάβῃ εἰς τὸν πατρῷον οἶκον αὐτῆς, ἥγουν μὴ ἴδῃ τοῦτον. Fl. 59. ἤντινα Ἑλένην μήτε πέλαγος ἀπενέγκοι μήτε οἱ οἶκοι δέξονται αὐτοὺς οἱ Τρῳϊκοί. Fl. 10. 33.

951. ἵκοιτ': πορευθῇ. B. πατρῷων: τὸν τοῦ Τυνδάρεω. M. Fl. 10.

953.—967. ὦ φίλτατ' ἀνδρῶν: ὦ φίλτατ' ἀνδρῶν Πρίαμε, καὶ σὺ, ὦ Ἑκάβη φιλτάτη, δακρύω εἰσορῶν σε τήν τε σὴν πόλιν καὶ τὴν θυγατέρα σου τὴν θανοῦσαν πρὸ ὀλίγου. φεῦ (θαυμαστικὸν) οὐκ

2. φασί τινες] τῶν ψυχρῶν addit Gu.
18. κακοποιοῦ—παλαμναίου] ἀλλὰ δαίμονος παλαμναίου B.
23. εἰς τοὐπίσω] Glossemata ἣν τὴν Ἑλένην et εἰς τοὐπίσω habet B.
24. πατρῷων Matth. pro πρώτων.
27. τὸν τοῦ om. Fl. 10.

ἔστιν οὐδὲν πιστὸν καὶ βέβαιον, οὔτε εὐδιξία καὶ εὐημερία οὔτε εὐτυχοῦντά τινα μὴ δυστυχήσειν. φύρυσι δὲ καὶ ταράττουσιν αὐτὰ οἱ θεοὶ εἰς τοὔπίσω καὶ ἔμπροσθεν, ἐντιθέντες σύγχυσιν, ἵνα ἀγνοίᾳ τοῦ μέλλοντος σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τὰ κακὰ κατὰ τί δεῖ θρηνεῖν, ἐμὲ δηλονότι, οὐδαμῶς προκόπτοντα καὶ προερχόμενα εἰς τὸ ἔμπροσθεν τῶν κακῶν, ὅ ἐστιν, οὐ κατόπιν ὄντα τὰ κακά. σὺ δὲ εἴ κατά τι μέμφῃ ἐμοὶ ἕνεκα τῆς ἀποδημίας, ἐπίσχες, σαυτὴν δηλονότι· ἐτύγχανον μὲν ἀποδημῶν ἐν τῷ μέσῳ τῶν τῆς Θράκης ὀρίων, ὅτε ἦλθες ὧδε. ἐπεὶ δὲ ἦλθον, αἴρουτί μοι καὶ κινοῦντι, τὸν πόδα ἔξω τῶν δωμάτων, εἰς ταυτόν, ἤτοι ὁμοῦ, συμπιτνεῖ καὶ συναντᾷ ἡ βουλή σοι αὕτη, ἀπαγγέλλουσα ἀγγελίας, ὧν ἀκούων ἀφικόμην. I.

952.—961. ὦ φίλτατ' ἀνδρῶν Πρίαμε: ἔρχεται Πολυμήστωρ ἀκούσας ὅτι καλεῖ σε ἡ Ἑκάβη καὶ ἀνακαλεῖται τεθνηκότα τὸν Πρίαμον. B. ἐλθὼν ὁ Πολυμήστωρ πρὸς τὴν Ἑκάβην, πρὸς μὲν τὸν Πρίαμον ὡς ἀπόντα λέγει μόνον. ὦ φίλτατε Πρίαμε, δίχα τοῦ σύ, πρὸς δὲ τὴν Ἑκάβην ὡς ζῶσαν χρῆται καὶ τῷ σύ, καὶ θρηνεῖ αὐτήν τε ὡς βουλὴν καὶ τὴν πόλιν αὐτῆς ὡς ἁλοῦσαν, καὶ τὴν νεοσφαγῆ Πολυξένην, εἶτα γνωματευόμενος λέγει· οὐκ ἔστιν οὐδὲν βέβαιον, οὔτε εὐτυχία, οὔτε, ἐὰν εὐτυχῇ τις, ἡ κατ' ἐκεῖνον εὐτυχία ἀεὶ παραμένει, ἀλλὰ τῆς μεταβολῆς τῶν πραγμάτων αἰτίους ἡγεῖται τοὺς θεούς. φύρειν γὰρ καὶ ἐνιοῦν αὐτὰ τούτους φησὶ, καὶ τὸν πλοῦτον εἰς τὸ ὄπισθεν ἄγειν, πένητα καθιστῶντας — τοῦτο γάρ ἐστι τὸ πάλιν — τὸν δὲ πένητα εἰς τὸ πρόσθεν φέρειν, ἤγουν πρὸς εὐπορίαν καὶ πλοῦτον, πειοῦντας τῶν πραγμάτων σύγχυσιν, ἵνα τούτων ἐν ἀδήλῳ καθεστώτων μὴ προσέχωμεν αὐτοῖς, ὡς μεταβαλλομένοις, ἀλλὰ τοὺς θεοὺς σεβόμενοι αἰτῶμεν τὰ ἀγαθὰ καὶ ἡμῖν συμφέροντα. τὸ δὲ "ἀλλὰ ταῦτα μὲν τί δεῖ θρηνεῖν" οὐχ, ὡς οἴονταί τινες, συντακτέον, συναπτοντες τὸ ταῦτα πρὸς τὸ κακῶν, καὶ οὕτω συντάσσοντες. τὸ ἀληθὲς τῆς συντάξεως οὕτως ἔχει· δυσχεράνας γὰρ ὁ Πολυμήστωρ

6. ὄντα] ἐόντα I.
12. ἔρχεται Πολυμήστωρ—Πρίαμον] Haec in duo scholia divisa in M. Πολυμήστωρ ἀνακαλεῖται τὸν τεθνηκότα πρίαμον. et, ὁ Πολυμήστωρ ἔρχεται, φησὶν, ἀκούσας ὅτι καλεῖ σε ἡ ἑκάβη.
16. χρῆται καὶ] καὶ om. I.
18. γνωματευόμενος] γνωμοτευόμενος I.
19. ἐὰν] ἂν I.
27. μὲν om. I.
ib. θρηνεῖν] φρονεῖν Gu.
ib. συντακτέον—οὕτως ἔχει om. I.

ἄνωθεν πρὸς τὸ ἀβέβαιον τῶν πραγμάτων, καὶ τούτων τὴν αἰτίαν ἀναθεὶς τοῖς θεοῖς, νῦν φησιν, ἀλλὰ ταῦτα, ἅπερ εἶπον, τί δεῖ θρηνεῖν οὐδὲν καὶ οὐδαμῶς προκόπτοντα καὶ προχωροῦντα εἰς τὸ ἔμπροσθεν τῶν κακῶν, τουτέστιν οὐχ ὑπερβαίνοντα τὰ κακὰ καὶ μεταβαλλόμενα, ἀλλ' ἀεὶ κακὰ τυγχάνοντα. τὸ γὰρ μεταβάλλεσθαί τινα ἀπὸ κακοῦ πρὸς καλὸν ἔμπροσθεν τοῦ κακοῦ φαμὲν γίνεσθαι. Gu. I.

952. φίλτατ' : ἀπὸ τοῦ φίλος οὐ γίνεται φιλώτερος, ἀλλὰ φίλτερος τὸ συγκριτικὸν καὶ φίλτατος τὸ ὑπερθετικόν. Gr.

955. ἀρτίως : οἱ Ἀττικοὶ ἄρτι ἀντὶ τοῦ νῦν λέγουσιν, ἀρτίως δὲ ἀντὶ τοῦ πρὸ ὀλίγου. ἰστέον δὲ ὅτι, ὡς τὸ νῦν καὶ ἀκαριαῖόν ἐστιν, οἷον νῦν φθέγγομαι, καὶ πλατυκὸν, ὡς τὸ νῦν ἄρχει ὁ δεῖνα, τουτέστι τοῖς χρόνοις τούτοις, οὕτως ἐστὶ καὶ τὸ ἄρτι, οἷον ἄρτι φθέγγομαι, τουτέστι ταύτῃ τῇ ὥρᾳ, καὶ ἄρτι ἄρχει ὁ δεῖνα, τουτέστι τούτοις τοῖς χρόνοις. Gr. θανοῦσαν : ἤγουν τὴν Πολυξένην. B.

951. φεῦ : χαριζόμενος ὁ Πολυμήστωρ τῇ Ἑκάβῃ καὶ πεπλασμένως συλλυπούμενος αὐτῇ ἰδὼν τήν τε Τροίαν καυθεῖσαν, τὴν Πολυξένην σφαγεῖσαν, τὸν Πρίαμον καὶ τοὺς υἱοὺς αὐτοῦ φονευθέντας, ταύτην δὲ αἰχμάλωτον, ἀποκλαιόμενος λέγει· ἐν τοῖς ἀνθρώποις οὐδέν ἐστι πρᾶγμα πιστὸν καὶ βέβαιον, οὔτε ἡ εὐδοξία καὶ ἡ εὐδαιμονία ὑπάρχει βέβαιος, ἀλλὰ μεταφέρεται, οὔτε πάλιν τὸν καλοπραγοῦντα ἔσται μὴ κακοπραγήσειν· χθὲς γὰρ ἡ Ἑκάβη βασιλὶς ἦν μετὰ τῶν παίδων αὐτῆς, ἡ Τροία εὐτύχει, τὰ ἐκείνων πάντα εὐτυχῶς εἶχον· νῦν δὲ ἡ μὲν βασιλὶς δούλη, ἡ δὲ Τροία κατεστράφη. φύρουσι δὲ καὶ συγχέουσιν οἱ θεοὶ αὐτὰ, τὰ πράγματα τῶν ἀνθρώπων, πάλιν καὶ πρόσω, εἰς τὸ ὀπίσω καὶ εἰς τὸ ἔμπροσθεν, ἤγουν εἰς εὐδαιμονίαν καὶ δυστυχίαν, ἐντιθέντες καὶ τιθέμενοι καὶ ποιοῦντες εἰς τοὺς ἀνθρώπους ταραγμὸν καὶ σύγχυσιν, ὡς ὄντως ἐν ἀγνωσίᾳ σέβωμεν καὶ τιμῶμεν αὐτοὺς, ἤγουν τοὺς θεούς. ἀποβλέπων γὰρ ὁ Πολυ-

2. ἀναθεὶς ante τὴν αἰτίαν habet I.
ib. εἶπον] ἔφην I.
ib. δεῖ θρηνεῖν] θρηνεῖν δεῖ I., omissis οὐδὲν καὶ et προκόπτοντα καί.
4. τουτέστιν — μεταβαλλόμενα] Haec verba in margine v. 961. ad προκόπτοντα, unde ὑπερβαίνοντα τὰ κακὰ καὶ μ. scripsi pro ὑπερβαίνει τὰ κακὰ μ., quod legitur in scholio ampliore.
5. τὸ γὰρ] τὸ δὲ I.
ib. μεταβάλλεσθαί τινα] μεταβαλέσθαί τι ἀεὶ I.
7. φιλώτερος] φιλότερος Gr.
16. αὐτῇ Matth. pro αὐτήν.

μήστωρ τὰς θυσίας καὶ τιμὰς, ἃς ἡ Ἑκάβη πρὸς τοὺς θεοὺς ἐθυσίαζε καὶ ἐδίδου, μηδὲν ὠφελούσας αὐτὴν, λέγει, ὄντως ἐν ἀγνωσίᾳ ὄντες οἱ ἀνθρωποι σέβωμεν αὐτούς· καὶ γὰρ ὤφελεν ἡ Ἑκάβη εὗρεν ἀπὸ τῶν εἰς τοὺς θεοὺς θυσιῶν, ἅν ἐποίει. Fl. 39. πιστόν: βέβαιον, ἀπαρός. B. βέβαιον. M. Gr. μόνιμον. M. Gu. βέβαιον καὶ ἕδραῖον. Fl. 10. 33. εὐδοξία: εὐπραγία. B. ἡ δόξα. Gr. εὐτυχία, εὐπραξία. Gu.

957. καλῶς: εὐτυχῶς. M.

958. φύρουσι: ἀναμιγνύουσιν αὐτὰ οἱ θεοὶ εἰς τοὐπίσω καὶ ἔμπροσθεν, ἀντὶ τοῦ οὔτε εἰς τὰ παρελθόντα πράγματα τάξιν φυλάττουσιν οὔτε εἰς τὰ μέλλοντα, ἀλλ' ἄτακτα ἐῶσι τὰ πράγματα, ἵνα σέβωμεν αὐτοὺς, τουτέστιν, οὔτε διηνεκῶς εὐτυχεῖ ἄνθρωπος, ἐάν ποτε τῶν καιρῶν εὐτυχῇ, οὔτε τὰ μέλλοντα αὐτῷ συμβῆναι ἐπίσταται, ἀλλ' ἄτακτα ἐῶσι τὰ πράγματα οἱ θεοὶ, ἵνα σέβωμεν αὐτοὺς τῇ ἀγνωσίᾳ. Fl. 10. 33. φύρουσι: ταράσσουσι. Gr. μιγνύουσι, συγχέουσιν. Gu. φύρω τὸ συγχέω, φυρῶ δὲ τὸ μιγνύω ἄλευρον ὕδατι· ὅθεν καὶ φύραμα ἡ ζύμη. Gu. πάλιν: ὀπίσω, ἤγουν εἰς τὸ δυστυχὲς, καὶ πρόσω, ἤγουν εἰς τὸ εὐτυχές. Gr. εἰς τοὐπίσω, ἀπὸ εὐδοξίας εἰς ἀδοξίαν. πρόσω, ἀπὸ ἀδοξίας εἰς εὐδοξίαν. Gu.

πρόσω: ἔμπροσθεν οἵ τε τὸ ἐνεστὸς καὶ τὸ μέλλον. B.

959. ταραγμόν: σύγχυσιν. Gr. ἐντιθέντες: ποιοῦντες. Gu. ἀγνωσίᾳ: ἀγνοίᾳ τοῦ μέλλοντος. Gr. τῇ ἀδηλίᾳ τῶν πραγμάτων τῶν μελλόντων. Gu.

960. ἀλλὰ ταῦτα μέν: ἀλλὰ τί δεῖ με, φησὶ, ταῦτα θρηνεῖν μηδὲν ἐκ τοῦ θρηνεῖν δυνάμενον ἐπικόψαι τῶν κακῶν μὴ εἰς τὸ πρόσω βαίνειν; Ἄλλως. τί δεῖ με ταῦτα θρηνεῖν οὐδὲ τὸ τυχὸν προκόπτοντα τῶν κακῶν ἔμπροσθεν, ὅ ἐστιν οὐ κατόπιν ἐῶντα τὰ κακά. B.M. ταῦτα: τούτους τοὺς θρήνους. Gr. Fl. 6. 9. 17. 21. 56. 59.

1. ἐθυσίαζε Matth. pro ἐθουσίαζε.
2. ὠφελούσας Matth. pro ὠφελοῦσαν.
ib. ὄντως] ὡς ὄντως Matth.
9. ἀναμιγνύουσιν — πράγματα, ἵνα σέβωμεν αὐτούς] Haec sunt etiam in B.M., addito alio scholio, ἄλλως. (ἄλλως om. M.) ἵνα τῇ ἀγνωσίᾳ τοῦ μέλλοντος σέβωμεν αὐτούς:—
ib. τοὐπίσω B. ὀπίσω M. Fl. 10. 33.
10. εἰς τὰ παρελθόντα B.M. κατὰ παρελθόντα Fl. 10. 33.
ib. φυλάττουσιν B.M. φυλάττουσι τοῦ μέλλοντος Fl. 10. 33.
26. Ἄλλως om. M.

76. ἅπερ εἶπον. Gu. ὁ λόγος ἐναντίος τοῖς ἄνω. εἴρηκε γὰρ ὅτι φύρονται τὰ πράγματα οὕτω καὶ οὕτω, καὶ ποτὲ μὲν τοιαῦτα φαίνονται, ποτὲ δὲ τοιαῦτα. ἀλλὰ ἀπαγορεύει παντελῶς τὰ τῆς Ἑκάβης. Gr.

961. θρηνεῖν: ἀντὶ τοῦ μετὰ θρήνου λέγειν, ὥσπερ καὶ τὸ ἐξετραγῴδησεν ἀντὶ τοῦ μετὰ τραγῳδίας καὶ θρήνου διηγήσατο τὰ κατ' αὐτόν. ὁμοίως καὶ τὸ ἀπεκλαύσατο. γράφεται δὲ οὕτως ἐν τῇ πεζογραφίᾳ. ἀλλὰ ταῦτα μὲν τί ὄφελος μετὰ θρήνου λέγειν ταῦτα οὐδαμῶς ἀπὸ τῶν κακῶν προκύπτοντα εἰς τὸ ἔμπροσθεν. πότε γὰρ ἡ Ἑκάβη ἔμελλε πάλιν ἐπανελθεῖν εἰς τὴν εὐτυχίαν αὐτῆς, ἢ πότε ἡ Τροία ἐπανορθωθῆναι ἀπὸ τῶν κακῶν τῶν ἐπελθόντων ἀρτίως τῇ Ἑκάβῃ καὶ τοῖς Τρωσίν; οὐδαμῶς εἰς τὸ μετὰ ταῦτα ἔσεταί τις ἐπανόρθωσις. Fl. 59. προκύπτοντα: ἀντὶ τοῦ περαιτέρω εἰς τὸ βέλτιον ἀνύοντα, ὠφελοῦντα. Fl. 59. προχωροῦντα, προβαίνοντα. Gu. διακόπτοντα. Fl. 10. οὐδέν: ὠφέλιμον. Fl. 33. οὐδαμῶς. Gu. εἰς πρόσθεν κακῶν: εἰς τὸ ἔμπροσθεν. τὸ δὲ ἔμπροσθεν τῶν κακῶν τὸ καλόν ἐστι. Gu.

962. ἀπουσίας: ἀποδημίας. B. Gr. παρουσία ἡ ἐπιδημία, ἀπουσία ἡ ἀποδημία. ἐναντίον ἡ ἀπουσία τῇ παρουσίᾳ. Fl. 59. 6. 209. 17. 21. 56. 76.

963. σχές: παύου. M. Fl. 10. κράτησον σαυτήν. Gr. ἐπίσχες. B.M. Gu. ὑπόμεινον. Gu.

964. ἀπών: προφασίζεται πλαττόμενος. οὐκ ἐβούλετο γὰρ ὀφθῆναι τῇ Ἑκάβῃ, ἐπειδὴ ἀπέκτεινε τὸν Πολύδωρον. B.M. Fl. 10. 33.

965. ἤδη πόδ': ἤγουν οὔπω εἰσελθόντι μοι εἰς τὸν οἶκον. Gr. ἐπαίροντί μοι καὶ προσιόντι πρὸς σέ. B.M. Fl. 10.

966. ἐς ταυτόν: τῇ αὐτῇ ὥρᾳ. Gr. εἰς τὸ ἕν. Gu. συμπιτνεῖ: συναντᾷ. Gr. Fl. 33. καταλαμβάνει, συνέρχεται. Gu.

967. μύθους: λόγους. Gr. ἀγγελίας. Gu.

968.—975. αἰσχύνομαί σε προσβλέπειν: ὦ Πολυμῆστορ, αἰσχύνομαι βλέπειν πρὸς σὲ κατὰ πρόσωπον, κειμένη ἐν τοιαύταις

10. εὐτυχίαν Matth. pro ἀτυχίαν.
14. ἀνίοντα, ὠφελοῦντα etiam Gr.
24. ἐπειδὴ] ἐπεὶ Fl. 10. 33.
27. ἐπαίροντί μοι καὶ om. Fl. 10. ib. προσιόντι M. προϊόντι ceteri.

δυστυχίαις· σοὶ γὰρ, ᾗτινι ὤφθην εὐτυχοῦσα, αἰδοῦμαι ὀφθῆναι δηλονότι, ὑπάρχουσα ἐν ταύτῃ τῇ δυστυχίᾳ, ὅπου εἰμὶ νῦν, καὶ οὐκ ἂν δυναίμην βλέπειν πρὸς σὲ ὀφθαλμοῖς ὀρθῶς ἀτενίζουσιν. ἀλλ' αὐτὸ μὴ νομίσῃς ἔχθραν σου, ὦ Πολυμῆστορ· ἄλλως τε καὶ νόμος αἴτιόν τι, λέγω τὸ μὴ βλέπειν γυναῖκας κατὰ πρόσωπον ἀνδρῶν. I.

968. αἰσχύνομαί σε: τῇ μὲν ἀληθείᾳ οὐ θέλει αὐτὸν ὁρᾶν μισοῦσα, ὡς φονεύσαντα τὸν υἱὸν, προφασίζεται δὲ διὰ τὴν δυστυχίαν ἐρυθριᾶν. ἐπεὶ οὖν εἶπεν, οὐ δύναμαί σε προσβλέπειν ὀρθαῖς κόραις, τὴν ὑποψίαν αὐτοῦ περιελεῖν βούλεται εἰποῦσα μὴ δύσνοιαν ἡγήσῃ σεθέν. B.M. αἰδοῦμαι, ἐντρέπομαι. B. οὗτοι οἱ στίχοι λέγονται ἐσχηματισμένοι, οἵτινες τῷ μὲν φαινομένῳ κατ' ἀληθὲς ὁμιλοῦνται, τῷ δὲ νοουμένῳ λέγονται ἐσχηματισμένως. ἡ Ἑκάβη γοῦν τῷ μὲν φαινομένῳ πρὸς τὸν Πολυμήστορα διαλεγομένη ὡς αἰχμάλωτος λέγει· αἰδοῦμαι προσβλέπειν σε, Πολυμῆστορ, κατὰ πρόσωπον, ἐν τοιούτοις κειμένη κακοῖς· αἰδὼς γὰρ καὶ ἐντροπὴ ἔχει ἐμὲ ὑπάρχουσαν ἐν τοιαύτῃ δυστυχίᾳ τὴν πρώην οὖσαν βασιλίδα, καὶ αἰδὼς ἔχει ἐμὲ κατὰ κοινὸν βλέπειν, ᾗτινι ὤφθην εὐτυχοῦσα, ἤγουν σοι, καὶ οὐ δύναμαι προσβλέπειν σε ἐν ὀρθοῖς ὀφθαλμοῖς. Fl. 59. τὸ αἰσχύνεσθαι ἐπὶ μεγάλοις αἰτιάμασίν ἐστιν, τὸ αἰδεῖσθαι ἐν μικροῖς. Gr. ἐναντίον: ἀντιπρόσωπον. Gr. ἔμπροσθεν, ἄντικρυς. Gu. ἢ ἔμπροσθεν, ἢ τὸν ἐχθρόν. B.

969. τοιοῖσδε: τοιούτοις συγκειμένη. B. rec.

970. ὤφθην: ᾗτινι γὰρ ὤφθην εὐτυχοῦσα. M. ἐφάνην. B. Gu. ἐθεάθην. Gu. εὐτυχοῦσ': ἐξεθλίβη τὸ α καὶ τὸ ν, ὡς καὶ παρ' Ὁμήρῳ "βούλομ' ἐγὼ λαόν," καὶ ὡς τὸ "ἔσθ' ὅδε" ἀντὶ τοῦ ἔστιν ὅδε· πολλὰ γὰρ εὑρίσκονται ἐκθλιβόμενα στοιχεῖα. εἰ δὲ συντάξεις τοῦτο τυγχάνουσα εὐθεῖαν, σολοικοφανές ἐστι, καὶ ἀσυντακτικὸν παντελῶς. Fl. 21. 59. αἰδὼς μ' ἔχει: ἀγνοοῦντές τινες ἐνταῦθα τὴν σύνταξιν σόλοικον ἡγοῦνται, λέγοντες ὡς τυγχάνουσαν ἔδει εἰπεῖν πρὸς τὸ αἰδὼς μ' ἔχει. τὸ δ' οὕτω συντάσσεται· ἐν τῷδε γὰρ τῷ πότμῳ καὶ τῇ τύχῃ, ἵνα καὶ ὅπου εἰμὶ νῦν τυγχάνουσα, αἰδὼς μ'

6. τῇ ἀληθείᾳ (omisso μὲν)—ἐρυθριᾶν] Haec sunt etiam in Flor. 10. 33.

8. ἐπεὶ οὖν] οὖν om. M. in quo haec separato scholio scripta sunt ἐπεί—ἡγήσῃ τὸ ἠηθέν (sic) ad v. 972.

16. τὴν Matth. pro ἤ.

28. τινες] μικροῦ πάντες I.

31. ἵνα καὶ om. I.

ἔχει ἐκείνου τοῦ ἀνδρὸς, ὅτῳ καὶ ὤφθην καὶ ἐφάνην εὐτυχοῦσα. ἢ τὸ τυγχάνουσα πρὸς τὸ αἰδώς συναπτέον οὕτως· αἰδὼς γὰρ ἔχει ἐμὲ ἐκείνου, ὅτῳ ὤφθην εὐτυχοῦσα, τυγχάνουσα ἡ αἰδὼς ἐν τῷδε τῷ πότμῳ, ἵνα καὶ ὅπου εἰμὶ νῦν, τουτέστιν αἰδοῦμαι θεάσασθαί σε. ἡ δὲ αἰδὼς οὐκ ἄλλοθεν ἢ ἐκ τῆς δυστυχίας ἐστὶν ᾗ νῦν πρόσκειμαι. ὃ δὴ καὶ κρεῖττόν ἐστι τοῦ προτέρου. Gu. I. ἐντροπή. κρατεῖ. B. αἰδοῦμαι καὶ ἔχω αἰδῶ καὶ ἔχει με αἰδὼς ταυτόν. Gr.

971. πότμῳ: ἐν δυστυχίᾳ. M. τύχῃ. Gr. τυγχάνουσ᾽: τυγχάνουσαν ὀφθῆναι δηλονότι. M.

972. ὀρθαῖς: οὐκ ἀπεστραμμέναις. Gu. ἀτενέσιν. M. Fl. 10.

973. αὐτό: τὸ ῥηθέν. Fl. 10. ἤγνων ὅτι οὐ βλέπω σε εἰς πρόσωπον. Gr. τὸ μὴ δύνασθαι βλέπειν σε. Gu. δύσνοιαν: κακίαν. Gr. κακόνοιαν, ἔχθραν. Gu. ἡ δύσνοια ἡ ἐμὴ, ἣ ἣν ἔχει τις πρὸς ἐμὲ, ἣ ἣν ἔχω ἐγὼ πρὸς ἕτερον. ἐνταῦθα δὲ τὸ πρότερον λέγεται σημαινόμενον. Gu. Cant.

ἡγήσῃ: νομίσεις. σέθεν: ἤγνων ἀπ᾽ ἐμοῦ εἰς σέ. Gr.

974. αἴτιόν τι: ὑπάρχει κατά τι. Fl. 59. νόμος: ἡ φύσις. Fl. 10. τὴν ὑποψίαν αὐτοῦ περιελεῖν βούλεται· φυσικῷ νόμῳ αἱ γυναῖκες ἐνατενίζειν ἀνδράσι κωλύονται. Fl. 33. ἐσχηματισμένως δὲ καὶ πεπλασμένως λέγει τοῦτον, ὡς φονέα τοῦ παιδὸς αὐτῆς· Πολυμῆστορ, αἰσχύνομαι προσβλέπειν σε κατὰ πρόσωπον· τὸν γὰρ φονέα τοῦ παιδὸς αὐτῆς πῶς ἔμελλε βλέπειν ἐν ὀφθαλμοῖς ὀρθοῖς; πεπλασμένως δὲ λέγει, ᾧτινι ὤφθην εὐτυχοῦσα, ἄλλως τε δὲ ὅτι καὶ ὁ νόμος κωλύει τοῦ μὴ ὁρᾶσθαι τους ἄνδρας κατὰ πρόσωπον ὑπὸ τῶν γυναικῶν. Fl. 59. νόμος: ἔθος. Gr. ἢ ὥσπερ νενομισμένον ἐστί. Gu. τὸ χρόνοις βεβαιωθὲν, ἢ στερχθὲν τῇ φύσει νόμον καλοῦσιν οἱ παλαιοί. Gr.

976. καὶ θαῦμά γ᾽ οὐδέν: αἰσχύνεσθαί σε δηλονότι. ἀλλὰ τίς χρεία ἐμοῦ σοι; διὰ τί πρᾶγμα μετεπέμψω ἐκ τῶν δόμων τὸν

1. ἀνδρὸς — ἐφάνην] ἀνδρὸς, ᾧτινι ἐφάνην εὐτυχοῦσα I.
ib. ἢ τὸ τυγχάνουσα om. I.
2. συναπτέον] συντακτέον I.
ib. ἐμὲ] με I.
4. ἵνα καὶ et νῦν om. I.
5. ᾗ] ἐν ᾗ I.
6. δὴ] δὲ I.
18. φυσικῷ — κωλύονται] Haec sunt etiam in Gu. In Flor. post νόμῳ interpungitur. MATTH. Sunt illa verba etiam in B.M. cum lemmate γυναῖκας ἀνδρῶν μὴ βλέπειν.

ἐμὲν πόδα, ἤγουν ἐμέ; I. ἀλλὰ τίς χρεία σ' ἐμοῦ: ἔδει οὕτως εἰπεῖν, ἀλλὰ τίς χρεία σει ἐμοῦ; νῦν δὲ Ὁμηρικῷ ζήλῳ ἀντὶ τοῦ σοί σέ εἴρηκε, λαμβάνων τὴν εἰς πρόθεσιν ἔξωθεν, ὡς τὸ "χρεὼ βουλῆς ἐμὲ καὶ σέ." ἢ ἐπεὶ ἡ ει διφθογγος κυφίζεται, ἔστω κἀνταῦθα σοί. Gu. I. καὶ θαῦμα γ' οὐδέν: τὰ τῆς Ἑκάβης συγγνώμης δ διδοὺς ὁ Πολυμήστωρ τὴν ἔπειξιν ποιεῖται πρὸς τὸ ἴδιον βούλημα. Gr.

977. τί χρῆμ': διὰ τί. Gr. κατὰ ποίαν αἰτίαν. Gu. χρῆμ': πρᾶγμα. Gu. μὴ λάβῃς εἰς τὸ τί χρῆμα κατά, ὥς τινες, ἀλλ' ἔστιν αὖτη ἡ αἰτιατικὴ πρὸς τὸ πόδα, οὕτω· τί χρῆμα τὸν ἐμὲν πόδα ἐξεπέμψω καὶ ἐξέβαλες τῶν δόμων, ἤγουν ὁ ἐμὸς ποὺς ἐκπεμφθεὶς ἐνταυθοῖ παρὰ σοῦ τί χρῆμα ἐξεπέμφθη, ἀντὶ τοῦ, τίς ὁ νοῦς τῆς τούτου πρὸς σὲ μετακλήσεως; Gu. ἐπέμψω: μετεκαλέσω. Gr. ἐξέβαλες, ἐκίνησας. Gu. μετεπέμψω. M. διὰ τί χρῆμα μετεπέμψω με καὶ προσεκάλεσας. B. πόδα: ἀπὸ τοῦ μέρους τὸ ὅλον, συνεκδοχικῶς. Gr.

978.—980. ἴδιον ἐμαυτῆς: ἡμέτερον ἰδιάζον. M. ἴδιον δή τι ἐμαυτῆς βούλομαι εἰπεῖν πρὸς σὲ καὶ τοὺς σοὺς παῖδας. τοὺς δὲ ἀκολούθους κέλευσον χάριν ἐμοῦ μακρὰν γενέσθαι τῶνδε τῶν δόμων. I.

980. κέλευσον τῶνδ' ἀποστῆναι δόμων: ἀκολουθούντων τῷ Πολυμήστορι τῶν αὐτοῦ ὑπηκόων ἐλθόντι πρὸς τὴν Ἑκάβην ἰδεῖσα αὕτη ὡς οὐ δυνηθείη τὸ κατ' αὐτοῦ δρᾶμα τελέσαι, τούτων παρόντων, φησὶ πρὸς τὸν Πολυμήστορα, κέλευσον ἀπελθεῖν τοὺς σοὺς δούλους, ἵνα σοι λάθρα εἴπω ὃ βούλομαι. καὶ ὃς πεισθείς, ὑποχωρεῖτε, τοῖς αὐτοῦ δούλοις φησίν· οὐ γὰρ φοβοῦμαι μονωθεὶς ὑμῶν. τουτὶ γὰρ δηλοῖ τὸ "ἐν ἀσφαλεῖ γὰρ ἥδε ἡ ἐρημία." Gu. I.

981.—985. χωρεῖτε: ἀποχωρεῖτε· ἐν ἀσφαλεῖ, ἀντὶ τοῦ ἐν οὐδενὶ φόβῳ ἐστὶν ἥδε ἡ ἐρημία. προσφιλὴς μὲν εἶ σὺ, προσφιλὲς δὲ ἐμοὶ καὶ τόδε τὸ στράτευμα τῶν Ἀχαιῶν. ἀλλὰ πρέπει δηλοῦν, ἤτοι λέγειν σὲ, τί τὸν εὐτυχοῦντα πρέπει βοηθεῖν τοῖς μὴ εὐτυχοῦσι φίλοις, ὅτι ἕτοιμός εἰμι ἐγώ. I.

3. σοί σέ] σοὶ σὸν I.
ib. ὡς τὸ] Hom. Il. 10, 45.
4. ἐμὲ] ἐμέ τε I.
ib. κυφίζεται] καὶ συναλοίφεται (sic) addit I.
17. ἡμέτερον] ἐμέτερον (sic) M.

ἐν ἀσφαλεῖ γάρ: ἐν οὐδενὶ φόβῳ. δειλοὶ γὰρ οἱ βάρβαροι περιφέροντες τοὺς ἀκολούθους ἑαυτοῖς διὰ τὸ μὴ ἀναιρεθῆναι ὑπό τινος ἀδικηθέντος ὑπ' αὐτῶν. προσφιλὲς δὲ εἶναι αὐτῷ ὁ Πολυμήστωρ ἔφη τὸ Ἑλληνικὸν στράτευμα διὰ τὸ μὴ συμμαχῆσαι αὐτὸν τοῖς Τρωσί. B.M. ἀντὶ τοῦ ἀσφαλὴς ἡ μόνωσις. Gr. ἡ στέρησις ἡμῶν, ἡ μόνωσις. Gu.

983. σημαίνειν: προστάσσειν. Gu. δηλοῦν τὸ σὸν βούλημα. Gu. Fl. 6. 17. 21. 56. 59. 76. χρή: πρέπει· ὁ παρὼν ἀντὶ ἐνεστῶτος. Fl. 59.

984. τί χρή: ἀλλὰ χρὴ καὶ πρέπει σημαίνειν σὲ τί. τὸ τί ἀπὸ τοῦ ἑτέρου στίχου, καὶ ἔκτοτε στίξον αὐτὸ εἰς τὸ τί. Fl. 59. εἰ μὲν στίξεις εἰς τὸ "σημαίνειν σε χρή," τὸ λοιπὸν ὁ Πολυμήστωρ ὅλον ἐν ἐρωτήσει· καὶ ἕτοιμός εἰμι ἐγὼ βοηθῆσαί σοι. εἰ δὲ στίξεις εἰς τὸ τί, τὸ λοιπὸν ἡ Ἑκάβη ἀπολύτως, ὅτι ἕτοιμός εἰμι βοηθῆσαί σοι. Fl. 25. τί χρή: καὶ διὰ τί κέκλημαι ὧδε. Gr. τὸν εὖ πράσσοντα: ἐμὲ τὸν εὐτυχοῦντα σὺ τῇ ἀτυχούσῃ πρισήκει βοηθῆσαι. B.M. χρὴ γὰρ τὸν εὐπραγοῦντα, καὶ καλῶς ἔχοντα, ἐπαρκεῖν, καὶ βοηθεῖν τοῖς φίλοις τοῖς μὴ πράσσουσιν εὖ, τοῖς κακοπραγοῦσιν ἤτοι τοῖς κακῶς ἔχουσιν, ὡς καὶ καθὰ ἕτοιμός εἰμι ἐγὼ ποιεῖν τοῦτο εἰς σέ. οἱ Ἀττικοὶ τὸ εὐπραγῶ σύνθετον ὂν λέγουσιν οὕτω διαλελυμένως, εὖ πράσσω. ὁμοίως καὶ τὸ κακοπραγῶ καὶ τὸ ἀγαθὸν πράσσω, ἤγουν τὸ καλοπραγῶ, εἰς δὲ τὴν σύνταξιν πάλιν συντάσσεται συνηρημένως. Fl. 59.

985. ὡς: ὅτι, λίαν. Gu.

986.—988. πρῶτον μὲν εἶπε: διὰ τὸν παῖδα τὸν Πολίδωρον, ὃν ἔχεις ἐν τοῖς δόμοις ἐκ τῆς ἐμῆς χειρὸς, λαβὼν δηλονότι, ἔκ τε τοῦ πατρὸς, εἰ ζῇ. τὰ δὲ ἄλλα ἐρωτήσω σε κατὰ δεύτερον λόγον. I. ὅσον δι' ἐκεῖνον εὐτυχεῖς. B.M. ὅσον τὸ κατ' ἐκεῖνον. Fl. 10.

988. ἐρήσομαι: ἐρωτήσω. M.

989. μάλιστα: ζῇ· κατὰ τὸ μέρος ἐκείνου, ἤγουν ὅσον δι' ἐκεῖνον. εὐδαιμονεῖς. I.

2. ἑαυτοῖς] αὐτοῖς M.
3. ὑπ'] παρ' B.
ib. προσφιλὲς—στράτευμα om. M.
11. στίξον] στίζον Fl. 59.

990. ὦ φίλτατε: ὡς λίαν καλῶς καὶ ἀξίως σου λέγεις. διαχλευάζουσα αὐτὸν ταῦτά φησι. B.M.I.

991. τί δῆτα, τί οὖν θέλεις ἐκ δευτέρου μαθεῖν ἐξ ἐμοῦ; I.

992. εἰ τῆς τεκούσης: τοῦτο θέλω μαθεῖν, εἰ ὁ υἱός μου μέμνηται κατά τι ἐμοῦ τῆς τεκούσης ἐκεῖνον. I.

993. καὶ δεῦρό γ': ναί, μέμνηται δηλονότι, καὶ ὧδε κρυφίως ἐζήτει ἐλθεῖν. I. ἐμφαντικὸς ὁ καί τοῦ μὴ μόνον μεμνῆσθαι, ἀλλὰ καὶ πλέον τι διατίθεσθαι πρὸς αὐτήν. Gr. κρύφιος: ἕνεκεν τῶν Δαναῶν. Fl. 21.

994. χρυσός: ὁ δὲ χρυσὸς ἀνελλιπὴς καὶ ἀκέραιός ἐστιν, ὃν ἦλθε φέρων ἐκ Τροίας; I. σῶς: ἀπὸ τοῦ σῶος κατὰ συγκοπὴν γίνεται σῶς. τὸ δὲ σῶς Δωρικῶς σάος, καὶ τροπῇ τοῦ α εἰς ω μέγα καὶ ἐκβολῇ τοῦ ο σῶς. ἔτι δὲ καὶ σόος διὰ τοῦ ο μικροῦ, ἀφ' οὗ καὶ λαοσσόος Ἀθηνᾶ. τοῦτο δὲ γίνεται ἀπὸ τοῦ σείω σόος. Fl. 59.

995. σῶς: σῶος. Gr. σῶός ἐστιν, ἐν τοῖς ἐμοῖς φυλασσόμενος οἴκοις. I.

996. σῶσόν νυν αὐτόν: φύλαττε δὴ αὐτὸν, τὸν πλοῦτον, καὶ μὴ ἐπιθύμει τῶν πραγμάτων τοῦ πλησίον. I. τὸ νῦν οὐκ ἔστι χρονικὸν ἐνταῦθα, ἀλλὰ συμπερασματικὸν, ἀντὶ τοῦ δή λαμβανόμενον, ὥσπερ καὶ τὸ νῦ παραπληρωματικόν. χρῶνται δὲ τῷ νῦ μόνοι οἱ ποιηταί, τῷ δὲ νῦν καὶ ποιηταὶ καὶ λογοποιοί. Gu. I. ἴσθι δὲ ὅτι τὸ μὲν νῦν τὸ χρονικὸν ἀεὶ μακρόν ἐστι καὶ περισπᾶται· διὸ καὶ τὸ νυν ἐκ τούτου γινόμενον μακρόν ἐστι· τὸ δὲ νῦν ἀντὶ τοῦ δή ἀεὶ βραχύ, καὶ ὀξύνεται μόνον κείμενον, συντεθὲν δὲ ἐγκλίνεται, ὡς κἀνταῦθα. διὸ καὶ τὸ τοίνυν ἐκ τούτου γινόμενον βραχύ ἐστι. I. νῦν: ἀντὶ τοῦ δή. M. τὸ νῦν ἀντὶ τοῦ δή παραπληρωματικὸς σύνδεσμός ἐστι, καὶ οἱ ἄλλοι δή, ῥά, νύ. ὅταν οὖν ἔχῃ ἔμπροσθεν αὐτοῦ φωνῆεν, ἐφελκυστικόν ἐστι τοῦ ν, ὅταν δὲ σύμφωνον, ἐκλείπει, ὡς τὸ οὕτω οὕτως. μέχρι μέχρις, καὶ τὰ ἕτερα. Fl. 59. σῶσον: διατήρησον. Gr. σῶον καὶ ὑγιᾶ διαφύλαττε. Gu. τῶν πλησίον: τῶν τοῦ πλησίον. Gu. πραγμάτων φίλου. Gr. νόει δὲ τὸ τοῦ πλησίον ἀντὶ τοῦ χρυσοῦ αὐτοῦ, περὶ οὗ ἠρώτησε· πλησίον γὰρ αὐτοῦ ἦν, ἐπειδήπερ ἐν τοῖς οἴκοις αὐτοῦ κατείχετο. Gu.

1. σου λέγεις om. B.
ib. διαχλευάζουσα] χλειάζουσα I.
2. ταῦτα om. B.M.
20. δὲ τῷ] δὲ τὸ Gu.

997. ἥκιστ᾽ ἀναίμην: οὐδαμῶς ἐρῶ τοῦ πλούτου τοῦ πλησίον· ἀπολαύσαιμι τοῦ ἰδίου οὗ κέκτημαι, ὦ γύναι. B.I. ἥκιστα: οὐδαμῶς. Gr. ἐλάχιστα τοῦ πλησίον ἐρῶ. Gu. ἤγουν εἰς τὸν πλησίον ἐρῶ, μηδὲ τοῦ παρόντος μοι καὶ ὠφεληθείην, ἀλλὰ καὶ ἐκείνου ἀπολαύσαιμι. Fl. 33. οὗ κέκτημαι ἰδίου ἀπολαύσαιμι. M. ἢ στικτέον εἰς τὸ ἥκιστα, ἵνα λέγῃ οὐδαμῶς ἀπολαύσαιμι τοῦ παρόντος πλούτου μου, ὦ γύναι. οὐδαμῶς ἀπελαύσαιμι τοῦ παρόντος πλούτου, ὦ γύναι, ἤγουν τοῦ πλούτου τοῦ υἱοῦ σοῦ. Fl. 59. παρόντος: ἐμοὶ δηλονότι, ἤγουν ἰδίου. Fl. 10. 59.

998. οἶσθ᾽ οὖν: οἶδας οὖν ἃ εἰπεῖν σοὶ καὶ τοῖς σοῖς τέκνοις θέλω; — οὐκ οἶδα· τοῦτο δὲ δηλώσεις διὰ τοῦ σοῦ λόγου. — ἀγαπηθήτω ὁ παῖς μου ὑπὸ σοῦ, ὡς νῦν σὺ ἀγαπᾷ ὑπ᾽ ἐμοῦ. κατὰ μὲν τὸ φαινόμενον λέγει, ἀγαπάσθω ὁ Πολίδωρος ὑπὸ σοῦ οὕτως, καθὰ σὺ νῦν φιλῇ ὑπ᾽ ἐμοῦ· κατὰ δὲ τὸ νοούμενον, ὡς σὺ φιλῇ ἀρτίως παρ᾽ ἐμοῦ, οὕτως ἐφιλεῖτο καὶ ὁ Πολύδωρος παρὰ σοῦ I.

1001. τί χρῆμα: τί ἐστὶ τὸ πρᾶγμα, ὅπερ ἐστὶ πρέπον εἰδέναι καὶ ἐμὲ καὶ τὰ ἐμὰ τέκνα; — θησαυροὶ παλαιοὶ χρυσοῦ κεκρυμμένοι τῶν Πριαμιδῶν· τοῦτό ἐστι τὸ πρᾶγμα, θησαυροὶ κεκρυμμένοι τῶν Πριαμιδῶν. I.

1002. κατώρυχες: κεκρυμμένοι ἐν γῇ θησαυροί. Gr. κατορωρυγμένοι. Gu. θησαυροί. M. Fl. 59. κατώρυχες οἱ θησαυροί. παρηκολούθησεν ἡ λέξις· ὀρύσσει γάρ τις τὴν γῆν καὶ εἰσάγει τὸν χρυσόν. Fl. 59.

1003. ταῦτ᾽ ἔσθ᾽: ταῦτα ἃ διηγήσω. B. τοῦτό ἐστι τὸ πρᾶγμα. θησαυροὶ κεκρυμμένοι τῶν Πριαμιδῶν. M. ταῦτά ἐστιν ἅτινά με θέλεις δηλῶσαι τῷ παιδί σου; I. ἄνω εἰπὼν "τί χρῆμ᾽ ὃ κἀμὲ καὶ τέκν᾽ εἰδέναι χρεών" ἐνταῦθα λέγει, ταῦτά ἐστιν ἃ βούλει

1. οὐδαμῶς—πλησίον om. B.
2 οὗ κέκτημαι om. I., ὦ γύναι om. B.
3. εἰς τὸν πλησίον ἐρῶ] Fort. οἱ τῶν (vel τοῦ) πλησίον ἐρῶ.
4. ἐκείνου ἀπολαίσαιμι] ἐκεῖνον ἀπολέσαι μοι Fl. 33. Correxi ex scholio superiore. In margine v. 997. Gu. habet, ἢ ἐσχηματισμένον, τοῦ ἰδίου χρυσοῦ τοῦ παιδὸς ἄ.
16. τίἐστὶ—τέκνα] Haecetiam Gu.
17. τὰ ἐμὰ] τἀμὰ I.
24. τοῦτο τὸ πρᾶγμα θ. κ. τῶν π.] Haec verba habet etiam B., omisso ἐστι τό.
26. ἄνω — ἰδιοποιούμενος] Hujus scholii prior pars, ἄνω—λέγει, ad v. 1001. altera ἐξαπατῶν etc. ad v. 1002. e Flor. 25. enotata est, media desunt. MATTH.

παιδὶ τῷ σῷ δηλῶσαι; ἐξαπατᾷν δῆθεν τὴν Ἑκάβην, ὡς μηδαμῶς τὰ τοῦ παιδὸς ἐκείνης ἰδιοποιούμενος. Gr.

1004. μάλιστα: ναὶ, διὰ σοῦ θέλω μηνῦσαι ταῦτα τῷ Πολυδώρῳ· ὑπάρχεις γὰρ εὐσεβὴς ἄνθρωπος. I. εὐσεβής: εἰρωνικῶς κατ' ἀντίφρασιν, τουτέστιν ἀσεβής. Gu.

1005.—1017. κατὰ τί οἶν χρεία ὑπάρχει τῆς ἐλεύσεως τῶν παίδων; — λυσιτελές ἐστιν, ἐὰν σὺ ἀποθάνῃς, τούτους γινώσκειν. — καλῶς εἶπας οὕτως τῇδε τῇ διανοίᾳ, καὶ σοφωτέρως ἐμοῦ. I.

1006. τούσδ' εἰδέναι: διπλόης ὁ λόγος. Gr.

1007. τῇδε: οὕτως. Gr. ἢ ἐν τῇδε καὶ ταύτῃ τῇ διανοίᾳ καὶ γνώμῃ. Gu. ταύτῃ τῇ διανοίᾳ. B.M. ταύτῃ τῇ μερίδι. Fl. 6. 9. 17. 21. 59. 76.

1008. εἶσθ' οἶν: γινώσκεις ποῦ ἐστιν ὁ ναὸς τῆς Ἰλιακῆς Ἀθηνᾶς; B.M.I. Ἰλιάς: οὐ μόνον Ἰλιὰς ἡ Τρωϊκὴ, ἀλλὰ καὶ Ἰλία. Gu. στέγαι: οἱ ναοί. Gr. ἀπὸ μέρους τὸ πᾶν· στέγη γὰρ κυρίως ἡ τοῦ οἴκου σκέπη. Gu.

1009. ἐνταῦθ' ὁ χρυσός: ἐκεῖ ἐστιν ὁ χρυσός; τί δὲ σημεῖον τοῦ τόπου ἐν ᾧ ἐστίν; I. ἐνταῦθα: προαρπάζει τὸν λόγον ὁ Πολυμήστωρ ὡς φιλοχρυσότατος, λέγων, ἐνταῦθα ὑπάρχει ὁ χρυσὸς, ἤγουν ἐκεῖ ἐν τῷ ναῷ τῆς Ἀθηνᾶς; τί δὲ σημεῖόν ἐστιν εἰς τὸ ἐξευρεῖν τοῦτον; Fl. 59. οὐ λέγει ναί, ἀλλ' ἐρωτᾷ εἰ ἐκεῖ ὁ χρυσός· τὸ πρόσωπον γὰρ τοῦ Πολυμήστορος ἐναγώνιον παραληφθὲν ἐν τοῖς ἀμειβαίοις τούτοις τοιοῦτον φαίνεται πανταχοῦ. Gr. Fl. 25.

1010. μέλαινα πέτρα: μέλαινα πέτρα ὑπάρχει ὑπερκειμένη τῆς γῆς. I. τὴν τύφλωσιν αὐτοῦ λέγει. Gu. ὑπερτέλλουσ': ὑπερανεστηκυῖα, ὑπερικομένη. B. ἀνεστηκυῖα. Gr. ὑπεράνω κειμένη, ὑπεράνω τῆς στέγης ἀνεστηκυῖα. ὑπερφαινομένη. Gu.

1011. ἔτ' οἶν: τί οἶν. τί βούλει. M. ἔτι οὖν ἐπὶ τούτοις θέλεις τι τῶν ἐκεῖ πραγμάτων δηλοποιεῖν μοι; I.

1012. σῶσαί σε: φυλάξαι σε τὰ χρήματα, μεθ' ἃν ἐξῆλθον τῆς πόλεως, θέλω. I.

1013. ποῦ δῆτα: εἰσὶ δηλονότι. ἐντὸς τῶν πέπλων ἔχεις; ἢ κρύψασα ἀλλαχοῦ φυλάσσεις; I. ποῦ δῆτα ἔχεις; M. ποῦ δῆτα

9. διπλόης] Sic Gr. ad v. 1000. ἐνδιαθέτως κατὰ τὸν διπλόην λόγον διὰ μέσου τοῦτό φησιν ἡ Ἑκάβη.

12. ποῦ ἐστιν ὁ ναὸς post ἀθηνᾶς M. In I. ποῦ ἐστι τῆς τ. ἀ. ὁ ν.

φέρεις ταῦτα; ἔσωθεν τῶν πέπλων, ἤγουν τοῦ κόλπου σου, ἢ κρύψασ' αὐτὰ ἔχεις; Fl. 59. *κρύψασ' ἔχεις: ἔκρυψας.* Gr. *ἀλλαχοῦ.* Gu.

1014. *σκύλων ἐν ὄχλῳ: ἐν τῷ πλήθει τῶν σκύλων ἐν ταύταις ταῖς σκηναῖς, ἔνθα τὰ λάφυρά ἐστι πάντα. τὸ δὲ ταῖσδε καὶ ἀναφορικόν ἐστι καὶ δεικτικόν. ἡ μὲν οὖν Ἑκάβη δεικτικῶς εἶπε ταύταις ταῖς στέγαις ἤτοι σκηναῖς, ὁ δὲ Πολυμήστωρ ἀναφορικῶς νεήσας, ἐρωτᾷ· ποῦ δὲ αὗται αἱ κατασκηνώσεις τῶν Ἀχαιῶν αἱ ναυτικαί; (εἰς τὸ αἵδε στικτέον· τὸ δὲ λεῖπον ἰδίᾳ κατ' ἐρώτησιν ἐν ὑποστιγμῇ. ναύλοχοι δὲ τὰ ναύσταθμα.) ποῦ δὲ αἱ στέγαι αὗται, ἃς λέγεις ἔχειν τὸν χρυσόν; ἆρα τὰ ναύσταθμα τῶν Ἑλλήνων, τουτέστιν ἐν ταῖς ναυσὶ λέγεις εἶναι τὸν χρυσόν; πρὸς ὃ ἐπάγει ἡ Ἑκάβη ὅτι οὐ τὰς ναῦς στέγας εἶπον. ἴδιαι γὰρ γυναικῶν αἰχμαλωτίδων στέγαι.* B.M.I. *σκύλων: λαφύρων ἤγουν αἰχμαλωτίδων.* Gr. *τῶ ἐσκυλευμένων γυναικῶν ἐν τῷ πλήθει.* Gu. *ἐν ταῖς στέγαις, ἤγουν ἐν τοῖς καλυβίοις φυλάττονται ἐν τῷ πλήθει τῶν κρύσων, σώζονται, φυλάττονται.* Fl. 59.

1015. *ποῦ δ' αἵδ': αἱ στέγαι δηλονότι.* Gr. *εἰσὶν αἱ στέγαι τῶν αἰχμαλωτίδων.* Gu. *αὗται γὰρ τῶν Ἀχαιῶν εἰσι σκηναί. ἢ στικτέον εἰς τὸ "ποῦ δέ" ναύλοχοι καὶ τὰ ναύσταθμα. ποῦ δὲ, φησὶν, αὗται: αὗται γάρ εἰσι τῶν Ἀχαιῶν σκηναί.* Fl. 25. *περιφραστικῶς τὰ ναύ-*

4. *ἐν τῷ—*] In Flor. 10. 25. 35. idem scholion legitur, in his tantum ab edito discrepans: *τὸ στέγαις ἀναφορητικόν ἐστι.* 33.—*ταῖσδε ταῖς σκ.* 10. 25.—*ἐρωτᾷ, ποῦ* (δὲ add. 33.) *αὗται αἱ στέγαι, αἷς* (33. *καὶ αἷς*) *λέγεις ἔχειν τὸν χρ.*; 10. 25. 33. Media desunt.—*πρὸς ὃ ἥδε ἐπάγει.* 10. 25. In 33. *τὸν χρυσόν· οὐ τὰς ναῦν* (sic) *στέγας εἶπεν. ἴδιαι γάρ.—ἴδιαι γὰρ γυν. αἰχμ. αἱ* (om. 33.) *στέγαι.* 10. 25. 33. MATTH.

ib. *σκύλων—πάντα*] *λαφύρων, ἐν ταῖσδε ταῖς σκηναῖς σάζεται τὰ χρήματα* I.

5. *ταῖσδε καὶ*] *καὶ* om. I. In M. est *τὸ ταῖς ἀναφορικόν ἐστι,* omisso *καὶ δεικτικόν.*

7. *στέγαις ἤτοι* om. I.

8. *ποῦ δὲ αὗται—ναύσταθμαι* om. B.M., habent vera scholion separatim scriptum, *ποῦ δ' αἵδε: εἰς τὸ αἵδε στικτέον. τὸ δὲ λεῖπον ἰδίᾳ κατ' ἐρώτησιν ἐν ὑποστιγμῇ.*

10. *αἱ στέγαι αὗται* M. *αὗται αἱ στέγαι* B.I.

11. *ἃς*] *αἷς* I.

13. *στέγας εἶπον*] *εἶπον στέγας* B.I.

ib. *ἴδιαι—στέγαι*] *ἰδίᾳ γὰρ καὶ χωρὶς εἰσὶ δηλονότι αἱ στέγαι τῶν αἰχμαλωτίδων γυναικῶν* I.

21. *περιφραστικῶς—σκηναί*] *περίφρασις. τὰ ναύσταθμά φησι. ποῦ δέ εἰσιν. αὗται γὰρ τῶν ἀχαιῶν σκηναί* Fl. 33.

ib. *ποῦ δέ εἰσι; φησίν*] *φησὶν οὖν, ποῖ δέ ἐστιν* M.

σταθμα. πεῦ δέ εἰσι; φησίν· αὗται γὰρ αἱ τῶν Ἀχαιῶν εἰσι σκηναί. B.M. Fl. 33. οἱ λιμένες ἐξοχικοὶ, ἐν οἷς λοχῶνται καὶ ἵστανται αἱ νῆες αἱ ταῖς ναυσὶ ἱστάμεναι θύραι. Fl. 33. ναύλοχοι: ναύλοχος ἀπὸ τοῦ ναὺς καὶ τοῦ λοχῶ· πλησίον γὰρ ἦσαν τῶν νηῶν. Gu. αἱ φυλάσσουσαι τὰς νῆας. B. περιπτυχαί: καλύβαι. Gu. καταφυγαί. B. Gu. 5

1016. ἴδιαι γυναικῶν: οὐκ εἰσὶν ἐν ταῖς σκηναῖς τῶν Ἀχαιῶν τὰ χρήματα, ἀλλὰ εἰς τὰς σκηνὰς τῶν αἰχμαλωτίδων· ἰδίᾳ γὰρ καὶ χωρὶς εἰσιν αἱ στέγαι τούτων τῶν γυναικῶν. Fl. 59. κεχωρισμέναι εἰσὶν, ἰδίως εἰσίν. Gu. τὸ ἴδιον στρέφεται πρὸς τὸ κοινὸν, τὸ δὲ οἰκεῖον πρὸς τὸ ἀλλότριον. Gr. 10

1017. τἄνδον δέ: τὰ ἔνδον δὲ πιστὰ καὶ ἀσφαλῆ, καὶ ἐρημία καὶ στέρησις ἀρσένων. I. ἔνδον ἐπὶ ἠρεμίας, οἷον ἔνδον κάθηται· ἔσω ἐπὶ κινήσεως, οἷον ἔσω ἔρχεται. εὕρηνται καὶ ἀνάπαλιν κείμενα. Gr. πιστά: πεπληροφορημένα. Gr. ἀσφαλῆ εἰσι, βέβαια. Gu. κἀρσένων ἐρημία: μόνωσις. B. τῶν ἀνδρῶν μοναξία. Fl. 59. λεῖψις 15 ἀνδρῶν. Fl. 21. φοβούμενος ὁ Πολυμήστωρ λέγει, τὰ ἔσωθεν τῶν σκηνῶν πιστὰ, ἤγουν οὐκ εἰσί τινες Ἀχαιοί. ἢ οὐκ εἰσί τινες ἐχθροί; ἐπιτρώσκετο γὰρ ὑπὸ τοῦ φόνου. ἢ λέγει, μή πως ἴδωσιν οἱ Ἕλληνες τὰ χρήματα διδοῦσαν ταῦτα ἐμὲ, καὶ σκανδαλισθῶσι περὶ ἐμοῦ διότι βοηθῶ σοι καὶ ἔχω σε φίλαν. Fl. 59. 20

1018.—1022. οὐδεὶς τῶν Ἀχαιῶν ἔνδον, ἀλλὰ ἡμεῖς μόναι. ἀλλὰ βᾶδιζε εἰς τοὺς οἴκους. καὶ γὰρ οἱ Ἀργεῖοι πιθοῦσι λῦσαι τὸν πόδα, ἀντὶ τοῦ τὴν πορείαν, τῶν νηῶν ἐκ τῆς Τροίας εἰς τὸν οἶκον, ἵνα πράξας πάντα ὧν χρεία ἐστὶν εἰς πρᾶξιν ἐλθεῖν, δηλονότι σὲ, ἐπαναστρέψῃς σὺν τοῖς παισὶν, ὅπου κατῴκισας τὸν ἐμὸν υἱόν. I. 25

1019. ἀλλ' ἕρπ' ἐς οἴκους: ἀλλ' εἴσελθε ἐντὸς τῆς σκηνῆς· καὶ γὰρ οἱ Ἕλληνες πιθοῦσιν ἀπὸ τοῦ νῦν λῦσαι τὸν πόδα τῶν νηῶν. ἀπὸ μέρους τὸ πᾶν, ἤγουν τὰς νῆας. ποὺς δὲ νηὸς λέγει τὸ κάτωθεν τοῦ κατάρτου τριγώνιον. Fl. 59.

1020. λῦσαι: τὸ λῦσαι ἐπὶ τῶν νηῶν λέγεται κυρίως· ἡ δὲ 30 λέξις χρησιμωτάτη. Fl. 59. πόδα: τὰ ἀπόγεια σχοινία. M. Fl. 10. Gu.

1021. πράξας: τὸ πράξας πρὸς μὲν τὴν ὑπόληψιν τοῦ Πολυμή-

1. αἱ τῶν] αἱ om. B. Fl. 33. 19. διδοῦσαν] διδοῦσα Fl. 59. 33. τὸ πράξας om. I.

στορος ἀντὶ τοῦ ποιήσας νοεῖται, πρὸς δὲ τὴν τῆς Ἑκάβης ἀντὶ τοῦ παθών. πράττω γὰρ τὸ ποιῶ καὶ τὸ πάσχω. Gu. I. ὡς πράξας: ἵνα ποιήσας ὧν σε χρεία ὑπάρχει, πορεύσῃ πάλιν σὺν τοῖς παισὶν, ὅπου τὸν ἐμὸν υἱὸν κατῴκισας, ἤγουν εἰς τὸν Ἅιδην. Fl. 59.

1023.—1034. οὔπω δέδωκας: εἰσελθόντος ἔσω Πολυμήστορος, ἐκτὸς ὁ χορὸς ἱστάμενος τοῦτό φησιν. Gu. I.

1023. οὔπω δέδωκας δίκην, ἀλλ' ἴσως δώσεις, λέχριος καὶ πλάγιος καθά τις εἰς ἄντλον, ἤτοι πέλαγος μὴ ἔχον λιμένα, στερηθήσῃ τῆς προσφιλοῦς ψυχῆς, ἀμαυρώσας καὶ ἀπολέσας τὴν ζωήν. τὸ γὰρ ὑπέγγυον, ἤτοι τὸ ἠσφαλισμένον, τῇ δίκῃ καὶ τοῖς θεοῖς οὐ συμπιτνεῖ, καὶ οὐ καταπίπτει. ὀλέθριον ὀλέθριον κακὸν, εἰς ὃ μέλλεις ἐμπεσεῖν δηλονότι. ψεύσει καὶ ἀπατήσει ἡ ἐλπὶς τῆσδε τῆς ὁδοῦ, ἦ, ἐλπὶς, ἐπήγαγεν, ἀντὶ τοῦ ἤγαγεν, σὲ πρὸς τὸν Ἅιδην τὸν θανάσιμον, τὸν τοὺς τεθνεῶτας δεχόμενον. ἰὼ, φεῦ, ὦ τάλας. ἐν χειρὶ δὲ ἀπολέμῳ καὶ γυναικείᾳ καταλείψεις τὴν ζωήν. I. οὔπω δέδωκας: καὶ τοῦτον ἔνιοί φασι τὸν στίχον τὴν Ἑκάβην λέγειν ῥῆμα καθ' ἑαυτὴν, ἵνα μὴ ὑποψίαν αὐτῷ δῷ ὧν μέλλει τυγχάνειν. B.I. τοῦτο ῥῆμα λέγει, ἵνα μὴ ὑποψίαν αὐτῷ δῷ ὧν μέλλει πάσχειν. M. Fl. 10. 21.

1023.—1031. οὔπω δέδωκας: ἰδὼν ὁ χορὸς τὸν Πολυμήστορα τὴν Ἑκάβην ἀκολουθοῦντα ἐντὸς τῆς σκηνῆς λέγει, ἀκμὴν οὐκ ἔδωκας δίκην ὑπὲρ τοῦ φόνου οὗ διεπράξω. ἀλλ' ἴσως καὶ τάχα δώσεις δίκην· καθά τις ἄνθρωπος ἐμπεσὼν εἰς ἄντλον ἀλίμενον καὶ χωρὶς λιμένος, ἤγουν εἰς μακρὰν θάλασσαν, ὥσπερ ἄνθρωπός τις χωρὶς νηὸς ἢ ἁρμένου τινὸς, εἰ μὴ μεθ' ἑνὸς σανιδίου, ἐμπέσῃ εἰς τὴν θάλασσαν καὶ κλυδωνίζεται. ἐμπέσῃ ἤγουν ἀποστερηθῇς, [ἀποθάνῃ,] τῆς φίλης καρδίας, λέχριος καὶ πλάγιος, ἤγουν ἀποθάνῃ, ἀμέρσας καὶ στερηθεὶς τὸν βίοτον, ἤγουν τὴν ζωὴν αὐτοῦ. οὕτως καὶ ὁ Πολυμήστωρ εἰς τὸν χορὸν τῶν γυναικῶν χωρὶς βοηθοῦ τινος ἢ θεράποντος. τὸ γὰρ ὑπέγγυον, ἤγουν τὸ ὑπεσχημένον παρὰ τοῦ Πολυμήστορος, ὡς ἵνα τὸν Πολύδωρον φυλάττῃ,—ἐκεῖνος δὲ διεχειρίσατο τοῦτον—οὐ συμπιτνεῖ

2. γὰρ] καὶ I.
5. ἔσω] εἶσω τοῦ I.
8. λιμένα] ἐμπεσὼν add. King.
12. ἦ Matth. pro ἤ.
15. καὶ τοῦτον—τυγχάνειν] In Fl. sunt etiam in Gr. sed ἀπελθόντος recte pro ἐπελθόντος. MATTH.
25. ἐπελθόντος τοῦ Πολυμήστορος σὺν τῇ Ἑκάβῃ ἔνδον τοῦ οἴκου λέγει ταῦτα ὁ χορὸς καθ' ἑαυτὸν, ἵνα μὴ ὑποψίαν αὐτῷ διδῷ ὧν μέλλει τυγχάνειν. e quibus priora usque ad καθ' ἑαυτόν

καὶ συμπίπτει τῇ δίκῃ καὶ τοῖς θεοῖς, οὐ δίκαιον φαίνεται. ὀλέθριον κακὸν ὑπάρχει, ὅπερ ἐποίησε. ἢ ὅπερ μέλλε παθεῖν. Fl. 59.

οὔπω δέδωκας: δίδωσι δίκην ὁ τιμωρούμενος τὸν τιμωρεῖυτα, ὁ δὲ τιμωρῶν λαμβάνει. τὸ αὐτὸ καὶ ὁ Πολυμήστωρ ἔλαβε δίκην παρὰ τοῦ Πολυδώρου φονεύσας αὐτὸν, νῦν δὲ καὶ χρεωστῶν ταύτην ἀποτίνει τῇ Ἑκάβῃ αὐτήν. Fl. 59. ἔδωκα δίκην καὶ ἔτισα τὸ αὐτὸ, ἀντὶ τοῦ ἐκολάσθην· ἔλαβεν δίκην ἀντὶ τοῦ ἐκόλασα. Gr. ἴσως: ὄντως. Gr. τάχα, ταχέως. Gu. δώσεις δίκην: ἀντὶ τοῦ τιμωρηθήσῃ. Gr. Fl. 10.

1025. ἀλιμενόν τις: λιμένα μὴ ἔχον. M. ἐμπεσὼν λέχριος ὥσπερ τις εἰς πέλαγος ἀλίμενον ἐκπέσῃ τῆς φίλης ψυχῆς ἀμαυρώσας τὸν βίοτον, ἤγουν τὴν ζωήν. Gu. τοῦτο πρὸς τὸ ἄνω συναπτέον τὸ "οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην." τιμωρηθήσῃ, φησὶν, ὡς τις εἰς ἄντλον λέχριος καταπέσῃ, ἀπολέσας τὸν βίον τῆς φίλης καρδίας. B.M.I. ἄντλον δὲ λέγει τὸ πέλαγος, καὶ ἀλίμενον τὸ λιμένα μὴ ἔχον. B.I. ἄντλον: ὑπέραντλον σκάφος τὸ δεξάμενον τοσοῦτον ὕδωρ ἐν τῇ ἀντλίᾳ ὥστε καλυφθῆναι ὑπ' αὐτοῦ καὶ ὑποβρύχιον γενέσθαι. ἄντλον τὸ ἐν τῇ ἀντλίᾳ ὕδωρ. λέγεται δὲ καὶ πᾶν ὕδωρ ἁπλῶς ἄντλον, ἅτε ἀντλεῖσθαι δυνάμενον, καθὰ λέγεται ἐνταῦθα τὸ πέλαγος ἄντλον ἐν τούτοις· "ἀλίμενόν τις ὡς ἄντλον ἐμπεσὼν λέχριος." Gu.

1026. λέχριος: πλάγιος. M. Gr. λέγουσιν ὅτι, εἰ πλάγιος ἄκων πέσοι τις ἐν τῷ ὕδατι, καὶ εἰ εὐφυῶς οἶδε νήχεσθαι, ἀποπνίγεται. Gr. ἐκπέσῃ: στερηθήσῃ. M. καρδίας: οἱ παλαιοὶ τὴν καρδίαν ποῦ μὲν ἐπὶ τῆς ψυχῆς ὅλης ἐκλαμβάνεσυιν, ὡς ἐνταῦθα, ποῦ δὲ ἐπὶ τοῦ νοὸς, ὡς τὸ "ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου γρηγορεῖ" καὶ ἐπὶ μὲν τῆς ψυχῆς ἴσως διὰ τὸ εἶναι δοχεῖον τοῦ ἐμφύτου θερμοῦ, τοῦ συνδετικοῦ τῆς ψυχῆς καὶ τοῦ σώματος, ἐπὶ δὲ τοῦ νοὸς διὰ τὸ τὸ ψυχρὸν τοῦ ἐγκεφάλου, ἔνθα ὁ νοῦς, θάλπειν καὶ παρηγορεῖν τῇ οἰκείᾳ θερμότητι· τῇ εὐκρασίᾳ γὰρ ταύτης ἐκεῖνος ἔχει τὸ εὖ εἶναι. Gr.

1027. ἀμέρσας: μέρδω ἐνεστὼς παρὰ ποιηταῖς τὸ παρὰ τοῖς

12. συναπτέον τὸ] συντακτέον τὸ ἀλίμενόν τις τῷ I. συντακτέον etiam M.

15. ἄντλον δὲ—ἔχον in B.I. leguntur in fine scholii de voc. ὑπέγγυον ad v. 1027.

25. ποῦ—ποῦ] Immo πῇ—πῇ.

32. μέρδω] στερηθείς. μέρδω I.

κοινεῖς μαρμαίρω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀμέρδω, ἤμερδον παρατατικὸς, ἀμέρσω μέλλων, ἤμερσα ἀόριστος, ἀμέρσας μετοχή. γίνεται δὲ τὸ μέρδω ἀπὸ τοῦ μερίζω κατὰ συγκοπὴν τοῦ ι καὶ ἐκβολῆ τοῦ σ τοῦ ἐν τῷ ζ. τὸ λευκὸν γὰρ καὶ λαμπρὸν μερίζει καὶ διαιρεῖ τὴν ὄψιν εἰς τὰ ὁρατά. Gu. I. ἀπὸ τοῦ α καὶ τοῦ μή στερητικοῦ μορίου καὶ τοῦ ὁρῶ τὸ βλέπω καὶ τοῦ ὅσσος ὁ ὀφθαλμός. Gu. Fl. 25. ἀπολέσας. B. Gr. Fl. 10. ἀμαυρώσας, στερηθείς. Gu. κύψας. Fl. 10.

τὸ γὰρ ὑπέγγυον : Δίδυμος οὕτως· ὑπέγγυον τὸ ἀληθὲς οὔτε παρὰ τῇ δίκῃ οὔτε παρὰ τοῖς θεοῖς ἐμπεσὸν ἀφανίζεται. τοῦτο δέ φησι διὰ τὸν Πολυμήστορα, ὅτι μέλλει τιμωρεῖσθαι πρῶτος ἀρξάμενος τῶν ἀτόπων. Ἄλλως. ὑπέγγυον, δίκαιον. ὧδε ὑποστικτέον. τὸ ἠσφαλισμένον, φησὶ, τῇ νίκῃ καὶ παρὰ τοῖς θεοῖς οὐ διαπίπτει, τουτέστιν ὃ ἂν κυρώσῃ ἡ δίκη, τοῦτο βέβαιον παρὰ τοῖς θεοῖς, ἤγουν ὅ τι τιμωροῦνται οἱ νόμοι ὡς ἄδικον, τοῦτο καὶ θεοὶ τιμωροῦνται, ἐπειδὴ οἱ νόμοι παρὰ θεῶν, καὶ ταῦτα βούλονται τιμωρεῖν καὶ διεκδικεῖν, ἃ καὶ οἱ θεοί. δικαίως οὖν κολαζόμενος ὁ Πολυμήστωρ καὶ τοὺς θεοὺς ἐχθροὺς ἔχει. B.M.I. Ἄλλως. τὸ γὰρ ὑπέγγυον· τοῦτο διπλῶς νοητέον. τὸ γὰρ ὑπέγγυον καὶ φανερὸν τῇ δίκῃ καὶ τοῖς θεοῖς ὀλέθριον κακὸν, ἤγουν ὅπερ ὁμολογουμένως οἱ θεοὶ κακὸν ἡγοῦνται καὶ μισοῦσιν, οὐ συμπιτνεῖ καὶ συμπίπτει, ἤγουν εἰς λήθην ἔρχεται. ἀλλὰ κολάζεται ὑπ' αὐτῶν. καὶ πάλιν. τὸ γὰρ ὑπέγγυον καὶ φανερὸν καὶ ὁμολογούμενον ὀλέθριον κακὸν οὐ συμπιτνεῖ καὶ συνέρχεται τῇ δίκῃ καὶ τοῖς θεοῖς, ἤγουν οὐκ ἀποδεκτὸν αὐτοῖς ἐστιν· οἱ μὲν γὰρ ἀγαθοὶ καὶ δίκαιοι, τὸ δ' ἄδικον καὶ κακόν. λέγει δὲ τοῦτο διὰ τὸν τοῦ Πολυδώρου φόνον. Gu. I. τὸ ἀληθὲς ἢ τὸ δίκαιον. B. ὑπέγγυον: ἐγγύτατον, τὸ οὐ πρὸ πολλοῦ γεγονός. Gr. ὑπείθυνον, φανερόν. Gu. τὸ ὑπέγγυον καὶ ὑπείθυνον τῇ δίκῃ, ἀντὶ τοῦ ἄξιον εὐθυνθῆναι ὑπὸ τῆς δίκης, καὶ τοῖς θεοῖς οὐ συμπιτνεῖ καὶ συνέρχεται,

8. ὑπέγγυον om. I.
ib. ἀληθὲς M. (adde ὃ) ἀληθὲς φησὶν B.I.
10. δὲ φησὶ M. φησι om. I. δὲ λέγει B.
ib. τιμωρεῖσθαι] τιμωρηθῆναι I.
11. Ἄλλως] καὶ ἄλλως M.
12. τοῖς θεοῖς] τοῖς om. M.
ib. διαπίπτει] πίπτει M.
13. τουτέστιν] ἤγουν I.
ib. ἤγουν—καὶ οἱ θεοί om. M.
17. ἔχει] Sequitur in B.I. scholion ἄντλον δὲ λέγει etc. quod v. 1025. adscripsimus.
ib. Ἄλλως om. Gu.
20. εἰς λήθην] οὐκ εἰς λήθην I.
21. καὶ φανερὸν] ὂν φανερὸν I.
24. λέγει—φόνον om. I.

ἥγουν οὐδὲ τοῖς θεοῖς ἀρέσκει. Gu. τὸ ἑδραῖον. Fl. 33. βέβαιον. Fl. 10. τὸ γὰρ δίκῃ κατησφαλισμένον οὐδὲ παρὰ τοῖς θεοῖς ἄκυρον μένει, ἀλλὰ μᾶλλον μόνιμον καὶ βέβαιον. Fl. 10.

1030. ξυμπιτνεῖ: συμφωνεῖ. Gr. συνέρχεται, οὐ κρύπτεται. Gu. πίπτει. Fl. 10. ἀπόλλυται. Fl. 33. οὐ ξυμπιτνεῖ: οὐκ ἀπόλλυται. B.M.

1031. ὀλέθριον: τὸ γὰρ ὀλέθριον καὶ πρόξενον ὀλέθρου καὶ ἀπωλείας κακόν. Gu. λείπει τὸ εἰς, ἢ τοῦτο πρὸς τὸν Πολυμήστορά φησι, τὸ, ὦ ὀλέθριον κακόν. Fl. 25. ἔπραξας, ὦ Πολυμῆστορ, ἢ ὀλέθριον κακὸν μέλλεις λαβεῖν. Fl. 59.

1032. ψεύσει σ' ὁδοῦ: ἀπὸ ἑτέρας ἀρχῆς ὀλέθριον κακὸν, καὶ λέγει ἀπατήσει σε εἰς ὀλέθριον κακόν. M. ψεύσει σε ὁδοῦ, ἥτις ἐλπὶς ἤγαγέ σε ἐπὶ ὀλέθριον κακὸν, πρὸς τὸν Ἅιδην τὸν θανάσιμον. Gu. ἡ ἐλπὶς ταύτης τῆς ὁδοῦ ἀπατήσει σε εἰς ὀλέθριον κακόν. B. Fl. 33. ἀπατήσει σε ἡ ὑπόσχεσις αὕτη τῆς Ἑκάβης ἡ περὶ τοῦ χρυσοῦ, ἥτις ἀπάξει σε εἰς τὸν Ἅιδην. Gu. Fl. 59. ψεύσει: ἀπατήσει. Gr. ψευσθῆναι ποιήσει. Gu. ψεύδομαι ἀντὶ τοῦ ψευδῆ λέγω· ψεύδω ἀντὶ τοῦ ἀπατῶ, ὡς ἐνταῦθα. Gr. ὑπήγαγε: ἐφειλκύσατο, ἐνέβαλεν. Gu.

1033. θανάσιμον: θανάτου δεσπότην. Gr. θανατηφόρον. Gu.

1034. ἀπολέμῳ: ἀνάνδρῳ, γυναικείᾳ. M. μὴ εἰδυίᾳ πόλεμον, δειλῇ, ἀνάνδρῳ. Gu. ἀσθενεῖ. Fl. 33. ἀντὶ τοῦ ἄνανδρος, τουτέστι παρὰ γυναικῶν φονευθήσῃ καὶ οὐ παρ' ἀνδρῶν. Fl. 25.

ὄμοι τυφλοῦμαι: ἔνδον τυφλούμενος βοᾷ, φεῦ μοι, πηροῦμαι τὴν ὄψιν τῶν ὀφθαλμῶν ὁ ἄθλιος ἐγώ. I. κατὰ τὸ σεσιωπημένον ἐκτυφλούμενος ὁ Πολυμήστωρ κραυγάζει, ὕστερον δὲ πάντα ἐμφαίνει τὰ σιωπῇ πραχθέντα ἐντὸς εἰς αὐτόν. Gr. Fl. 25. φέγγος: τὴν ὀπτικὴν δύναμιν. Gu.

1036. ἠκούσατ': ἠκούσατε τὸν τοῦ Πολυμήστορος κλαυθμὸν, ὦ

14. ἡ ἐλπὶς om. Fl. 33.

15. ἀπατήσει om. Gu.

21. ἀπολέμῳ] In B. brevius (post scholion v. 1032.) ἀπολέμῳ δὲ χειρὶ ἀντὶ τοῦ ἀνάνδρῳ, τουτέστι τῶν γυναικῶν:—Gl. γυναικείᾳ est etiam in Gr.

23. φονευθήσῃ Matth. pro φοραθήσῃ.

24. ἔνδον—βοᾷ] Haec sunt etiam in B.

25. κατὰ τὸ σεσιωπημένον] μετὰ τὸ σιωπημένον Fl. 25.

φίλαι ; I. δίχοροί εἰσι νῦν αἱ γυναῖκες αἱ οὖσαι μετὰ τῆς Ἑκάβης καὶ ἄλλαι οὖσαι ἔξω τῶν σκηνῶν. Fl. 21.

1037. ὤμοι μάλ᾽ αἴθις : ὤμοι λίαν αἴθις, ὦ τέκνα, ἕνεκα τῆς ἀθλίας σφαγῆς. I. λείπει τὸ ἕνεκεν. M.

1038. φίλαι, πέπρακται ; ὦ φίλαι, ἐνήργηται νέα κακὰ ἐντὸς τῶν δόμων. I. πέπρακται : ἐπράχθη, Ἀττικόν. Fl. 33. καινά : παράδοξα ἢ νέα. Gu. Fl. 17. 59. 76.

1039. ἀλλ᾽ οὔ τι μὴ φύγητε : ἀλλ᾽ οὐδαμῶς ἀποδράσητε ταχεῖ ποδὶ, ἤγουν φθάσω καὶ καταλήψομαι ὑμᾶς ταχεῖ ποδὶ, καὶ οὐ μὴ διαφύγητε· πλήττων γὰρ καταβαλῶ τὰ θεμέλια τῶν δόμων τούτων. I. λαιψηρῷ ποδί : ταχυτάτῳ. M. λαιψηρῷ : διὰ ταχείας πορείας τῶν ποδῶν. Bar. 74. Gu.

1040. βάλλων : παίων. Gu. κρούων χερμάσιν. βάλλει ἀντὶ τοῦ ἁπλῶς τοξεύει, βάλλει δὲ κατὰ σκοπὸν ἀντὶ τοῦ εὐστόχως. ἰστέον δὲ ὅτι ἐπὶ παντὸς πεμπομένως ἀμέσου ἀπὸ χειρὸς, ἢ ἐμμέσως ὀργάνῳ τινὶ τὸ βάλλειν λέγεται. Gr. Fl. 25. ἀναρρῆξω : ἀνορύξω. Gr. ἀναμοχλεύσω, ἀνατρέψω, ἀνασπάσω. Bar. 74. Gu. μυχούς : στηρίγματα. M. θεμέλια. Gr. τοὺς θημελίους. Bar. 74.

1041. ἰδοὺ βαρείας : βέλος πᾶν τὸ βαλλόμενον. καὶ τοῦτον δέ τινες τὸν στίχον ὑπὸ τοῦ Πολυμήστορός φασι λέγεσθαι, ὡς βάλλοντος λίθους ἐν τοῖς οἰκήμασιν, ἵνα παίῃ τὰς αἰχμαλώτους, τὸ δὲ βούλεσθ᾽ ἐπεισπέσωμεν τοῦ ἡμιχορίου. θέλετε ἵνα ἐπέλθωμεν, ἐπεὶ ὁ καιρὸς καλεῖ, ὥστε παρυπάρχειν τῇ Ἑκάβῃ καὶ ταῖς Τρωϊκαῖς γυναιξὶ βοηθούς; B.I. βαρείας : βαρέως ἐμπιπτούσης. I. ὡς ἔοικεν, εὑρὼν ὁ Πολυμήστωρ ἔμπροσθεν αὐτοῦ ξύλα καὶ πέτρας φέρει ταύτας κατὰ τῶν γυναικῶν ἀπὸ τῆς ἑαυτοῦ μανίας μὴ δυναμένου δρᾶσαί τι· λέγει γοῦν ὁ χορός· ἰδοὺ, ἀπὸ τῆς βαρείας χειρὸς τοῦ Πολυμήστορος ἐξέρχεται βέλος. ὡς ἀπὸ τοῦ βέλους δὲ καταχρηστικῶς λέγει καὶ πέτρας καὶ ξύλα καὶ ἄλλ᾽ ὅ τι τὸ προστυχὸν ἐκεῖνον.

1. δίχοροι Matthiae pro δίσχορσι.

9. ἤγουν—διαφύγητε] Haec sunt etiam in Gu.

19. βέλος — αἰχμαλώτους] Haec etiam in M., sic scripta, βέλος πᾶν τὸ βαλλόμενον. ταῦτα δὲ φησὶ ὡς βάλλων λίθους ἐν τοῖς οἰκήμασι, ἵνα ...πατη (hoc καταπατῇ potius est quam παίῃ) τὰς αἰχμαλώτους.

20. ὑπὸ scripsi pro ἀπό.

22. θέλετε ἵνα—καλεῖ] Haec etiam in M., omisso ἵνα.

Fl. 59. ὁρμᾶται: ὁρμᾷ, κινεῖται, ἐξέρχεται. Fl. 21. 59. ὁρμᾷ, πέμπεται. Gu.

1042. βούλεσθ' ἐπεσπέσωμεν: συμμαχήσωμεν. Gr. ἐπεισέλθωμεν. ἐπεισπίπτειν τὸ μετὰ σφοδρᾶς ὁρμῆς εἰσέρχεσθαι. Gu. ἀκμή: ἐπὶ παντὸς πράγματος κατὰ μικρὸν ηὐξημένου καὶ κατὰ μικρὸν λήγοντος τὸ μεσαίτατον, ὃ τὴν μεγάλην ἰσχὺν ἔχει, ἀκμὴ λέγεται, οἷον, ἐπὶ τῆς ἡλικίας τὸ μέσον, καὶ ἐπὶ τοῦ χειμῶνος τὸ μέσον, καὶ ἐπὶ τοῦ θέρους, καὶ ἐπὶ τοῦ νοσήματος. Gr. Fl. 25.

1044.—1046. ἄρασσε: πλῆττε, μηδαμῶς ἀκριβολογοῦ καὶ ἐλέει, ἐκριζῶν τὰς πύλας· οὐδέποτε γὰρ τὸ φαεινὸν φῶς ἐμποιήσεις καὶ ἐνθήσεις τοῖς ὀφθαλμοῖς, οὐδὲ τοὺς παῖδας θεάσῃ ζῶντας, οὓς ἐφόνευσ' ἐγώ. l. κατάσπα. Gr. κατάβαλλε, πλῆττε. Gu. κατάβαλλε, σύντριβε. Fl. 17. 21. 56. 59. 76. κτύπει. M. κτυποῦ. Fl. 10. φείσῃ: τοῦ ἀράσσειν. μὴ ἔλεον λάμβανε. Gu. ἐκβάλλων: ἀνασπῶν. Fl. 17. 59. 76. Gu. εἰς γῆν ῥίπτων. Gu. τοῦτο ἡ Ἑκάβη ἐκτὸς ἑστῶσα τοῦ δόμου φησὶ πρὸς αὐτὸν ἐντὸς ὄντα. Gu.

1045. οὐ γάρ ποτ' : ἴστεον ὡς οὐκ ἔμελλε θεάσασθαι τοὺς παῖδας διὰ τῶν ὀφθαλμῶν, ἀλλὰ τῷ νῷ· νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει. Fl. 25. ὄμμα: φῶς. Gr. τὴν ἴασιν, τὴν φωτιστικὴν δύναμιν. ὄψιν. Gu. λαμπρόν: φωτεινόν. Gr. τὴν βλεπτικὴν δύναμιν. B. οὐ τὴν φωτιστικὴν δύναμιν, τὴν ὄψιν, ἐν τοῖς τόποις τῶν ὀφθαλμῶν θήσεις· τὸ λευκὸν γὰρ καὶ λαμπρὸν μερίζει καὶ διαιρεῖ τὴν ὄψιν εἰς τὰ ὁρατά. Bar. 74.

1047. ἦ γὰρ καθεῖλες: ὄντως ἐνίκησας Πολυμήστορα. B.M. ἆρα νενίκηκας τὸν Πολυμήστορα, καὶ κρατεῖς τοῦ φίλου, ὦ δέσποινα, καὶ πεποίηκας ὁποῖα λέγεις; I.

1049.—1055. ὄψει: θεάσῃ αὐτὸν ταχέως ὑπάρχοντα ἔμπροσθεν τῶν δωμάτων τυφλὸν, ἐν τυφλῷ καὶ παραφερομένῳ πόδι βαδίζοντα· θεάσῃ καὶ τῶν δύο παίδων τὰ σώματα, οὓς ἐφόνευσ' ἐγὼ σὺν ταῖς Τρῳάσι γυναιξί· δέδωκε δέ μοι τιμωρίαν ὁρμᾷ δ', ὡς ὁρᾷς, οὗτος ἐκ

4. ἐπεισπίπτειν—εἰσέρχεσθαι] Haec etiam in I., adjecta scholio superiori, ἐπεισπίπτειν δὲ τὸ μετὰ etc.

19. νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει] Verba nota Epicharmi.

25. ἐνίκησας] νενίκηκας B.

τῶν οἴκων. ἀλλὰ μακρὰν ἀπελεύσομαι, καὶ μακρὰν στήσομαι τοῦ δυσμαχωτάτου Θρηκὸς θυμῷ περιρρεομένου. I.

αὐτίκα: ὅσον οὔπω, μετὰ μικρόν. Gu. ἅμα. Fl. 10. πάρος: ἔξω. ποιητικόν. Gr. ἐκτός. Gu.

1050. τυφλῷ στείχοντα: τυφλῷ ποδὶ πορευόμενον, ἤγουν διὰ ποδός, μὴ ὑπὸ βλεπόντων ὀφθαλμῶν ὁδηγουμένου· ὥσπερ γὰρ οἱ μαινόμενοι ἔνθα καὶ ἔνθα φέρονται, οὕτω καὶ οἱ τυφλοί. διὰ τοῦτο παραφόρῳ ποδί φησιν, ἤγουν παραφερομένῳ, καὶ οὐκ ὀρθῶς βαδίζοντι, ἀλλὰ σφαλλομένῳ διὰ τὸ τετυφλῶσθαι αὐτὸν, παρατετραμμένῳ καὶ ἀτάκτως περιπατοῦντι, ἤγουν μανικῷ. Gu. I. παραφόρῳ: παράφορος κυρίως ὁ μαινόμενος, ἀπὸ τοῦ παρατετραμμένας ἔχειν τὰς φρένας, καταχρηστικῶς καὶ ὁ τυφλός· οὐ γὰρ κατ' ἰσότητα περιπατεῖ, ἀλλὰ παραφόρως ἔνθεν κἀκεῖθεν. Fl. 59.

1052. ἀρίσταις: ταῖς γενναιοτάταις, ταῖς ἀνδρείαις. Fl. 6. 9. 17. 21. 56. 59. 76.

δίκην δέ μοι δέδωκε: τετιμώρηται ὑπ' ἐμοῦ. Gr. ἔδωκε δίκην ὁ τιμωρούμενος, λαμβάνει δίκην ὁ τιμωρῶν. Gu.

1053. χωρεῖ: ἔρχεται. Gr. ὁρμᾷ, ἐκβαίνει. Gu.

1054. κἀποστήσομαι: ὑποχωρήσω. Gu.

1055. ῥέοντι: θυμουμένῳ. M. ῥέοντος. Gr. πνέοντι. Gu. ἤγουν ὁρμῶντι ταχέως καθ' ἡμῶν καὶ ἐξέως κινουμένῳ δίκην ῥεύματος. Fl. 25. Gu. ῥέει θυμὸν ὁ δεῖνα κοινόν· καὶ ῥέει ὁ δεῖνα τῷ θυμῷ, Ἀττικόν. Gr. ῥέει ὁ ἀνὴρ τῷ θυμῷ ἀντὶ τοῦ θυμοῦται. Gu. δυσμαχωτάτῳ: ἰσχυροτάτῳ. Gr. δυσπολεμήτῳ. Gu. τῷ δυσκαταπονήτῳ. Fl. 59.

5. τυφλῷ ποδί—] Hujus scholii verba priora τυφλῷ ποδὶ—ὁδηγουμένου habent etiam Florr. 6. 9. 17. 21. 56. 59. 76. in vitiosa etiam scriptura ὑποβλεπόντων pro ὑπὸ βλ. cum I. consentientes, nam ὑπὸ βλ. jam Barn. dedit. Pro ὁδηγουμένου King. ὁδηγούμενον. Seqq. ὥσπερ γὰρ —τυφλοί in Gu. cum voc. μανικῷ praemissa scholion per se constituunt. Verba παραφερομένῳ—τετυφλῶσθαι αὐτόν sunt in [B. et] Flor. 33. 10. (nisi quod in hoc ἀλλὰ σφαλλομένῳ omissa sunt) et Gu. qui voce παραφερομένῳ caret. Omnes hi ἀλλὰ σφαλλομένῳ pro eo, quod in I. est, ἀλλὰ τετυφλωμένῳ, et sic jam King. Ultima παρατετραμμένῳ —μανικῷ e Gu. adjeci, in quo cum praecc. cohaerent. MATTH.

8. παραφερομένῳ—τετυφλῶσθαι αὐτόν] Haec etiam in B. cum lemmate παραφόρῳ ποδί.

1056.—1070. ὤμοι ἐγώ: ἄθλιός εἰμι ἐγὼ δηλονότι. ποῦ ἔλθω, ποῦ σταθῶ, ποῦ πλησιάσω, ποιούμενος ἐπὶ χεῖρα κατ' ἴχνος, ἤτοι κατὰ τοὺς πόδας, βάσιν καὶ πορείαν θηρὸς ὀρεινοῦ; ποίαν, ὁδὸν δηλονότι, ἐξαλλάξω καὶ περιπατήσω, ἢ ταύτην, ἢ τήνδε, χρήζων καὶ θέλων καταλαβεῖν τὰς ἀνδροφόνους Ἰλιάδας, αἳ διώλεσαν ἐμέ. τάλαιναι, τάλαιναι θυγατέρες τῶν Φρυγῶν, ὦ κατάρατοι, εἰς ποῖον μέρος τῶν βαθυτάτων τόπων καὶ καταδύσεων διὰ φυγῆς ἐλθεῖσαι δηλονότι, πτώσσουσιν, ἤτοι συστέλλονται καὶ κρύπτονται ἐμὲ, ἀντὶ τοῦ δι' ἐμέ. εἴθε, ὦ Ἥλιε, θεραπεύσαις τὸ βλέφαρον τῶν ὀμμάτων ἐμοῦ τὸ αἱματηρὸν, ἐλευθερώσας τυφλὸν φέγγος, ἀντὶ τοῦ τοὺς τυφλοὺς τούτους ὀφθαλμοὺς, φέγγος ἐνθεὶς αὐτῷ δηλονότι. I.

ὤμοι ἐγώ: ποῦ πορευθῶ, ποῦ στῶ, ποῦ κέλσω, ἤτοι προσπελάσω; κυρίως δὲ τὸ ναῦν προσορμίσαι τινὶ εὐόρμῳ τόπῳ· ἐξοκεῖλαι δὲ τὸ ἐκβληθῆναι τὴν ναῦν ἔξω τοῦ λιμένος ὑπὸ ἀνέμου. ὑπόκειται δὲ ὁ Πολυμήστωρ τετραποδίζων, διό φησι τετράποδος βάσιν θηρὸς τιθέμενος, ποίαν παρέλθω ὁδόν; ἆρα ταύτην, ἆρα ἐκείνην, ἆρα τήνδε; B. I.

1058. βάσιν: ὥσπερ τὰ θηρία τέτταρσι ποσὶ χρῶνται πρὸς βάδισιν, οὕτω καὶ αὐτὸς χερσὶ καὶ ποσὶ χρήσομαι. δέον δὲ εἰπεῖν καὶ κατ' ἴχνος, ἀσυνδέτως εἶπε. Gu. στάσιν, ἔρεισιν, κίνησιν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. πορείαν. Gu. ὀρεστέρου: ἀγρίου. M. Fl. 59. Gu. ὀρεινοῦ. Gr. ἐν τῷ ὄρει ὄντος. Fl. 59. οἱ παλαιοὶ πάντα τὰ ἄγρια θῆρας λέγουσιν. Gr.

1059. τιθέμενος: ποιούμενος. M. κατ' ἴχνος: ἴχνος ὁ τύπος τοῦ ποδὸς, καὶ ἀπὸ τούτου ὁ πούς. ἀφ' οὗ πάλιν ἴχνος ἡ πορεία, ἐπεὶ διὰ τῶν ποδῶν ἡ πορεία γίνεται. λέγεται τὸ ἴχνος κατὰ μεταφορὰν ἀπὸ τῶν ποδῶν καὶ ἐπ' ἄλλων, οἷον ἴχνη χειρῶν καὶ ἴχνος ἀνθρώπου, καὶ ἴχνος παλαιᾶς αἰτίας παρὰ Σοφοκλεῖ, καὶ ἴχνη ἀγαλμάτων, καὶ ἁπλῶς ἐπὶ πάντων τῶν ἀμυδρῶς καὶ ἐν τύπῳ φαινομένων. Gr. I.

1060. ἢ ταύταν: λείπει ὁδόν. M.

12. ποῦ στῶ om. B.

ib. προσπελάσω — ἀνέμου] Haec etiam in M. et separatim, τετράποδος: ὑπόκειται γὰρ τετραποδίζων.

14. ὑπὸ ἀνέμου addidi ex M. ὑπὸ ἀνέμων ante ἔξω positum habet B.

16. ποίαν—τήνδε] Haec etiam in M. ad v. 1060.

25. ἡ πορεία] καὶ ἡ πορεία hic et in proximis I.

28. Σοφοκλεῖ] Od. T. 109.

1061. ἐξαλλάξω: περιπατήσω. Gr. πορευθῶ, ἐξαμείψω. Gu. πορευθήσομαι. Fl. 33. ἐπιδιέξω καταλαβεῖν βουλόμενος. M.

1062. ἀνδροφόνους: τὰς φονικὰς, τὰς Τρωϊκάς. M. φονικάς. Fl. 10. μάρψαι: μάρπτω κυρίως ἐπὶ τῶν μετὰ θυμοῦ συλλαμβανόντων. Fl. 59. μὰρ ἡ χεὶρ κατὰ Δωριεῖς· ἐξ οὗ καὶ μάρπω τὸ καταλαμβάνω. Gu.

1063. τάλαιναι: ἐπὶ κακοῦ νῦν τὸ τάλαιναι, καὶ οὐκ ἐπὶ ἐλέους. Fl. 21. εἰς τὸ Φρυγῶν τελείαν. αἱ τάλαιναι οὖν κόραι τῶν Φρυγῶν. οὐ γὰρ πρὸς αὐτὰς ὁ λόγος. B. M.

1064. ποῖ καί με φυγᾶ: εἰς ποῖον μέρος τῶν μυχῶν, ἤτοι τῶν καταδύσεων, διὰ φυγῆς ἐλθεῖσαι, πτώσσουσι δι' ἐμὲ, ἤγουν συστέλλονται. Gr. I. καί: περισσός. Fl. 17. 59. 76. Gr. με φυγᾶ πτώσσουσι: δι' ἐμέ. Gr. φεύγουσι. B. ποῖ τῶν μυχῶν ἀντὶ τοῦ τῶν κρυφίων τόπων. B. M. ἐν ποίῳ τόπῳ, εἰς ποῖον μέρος. Gu. διὰ φυγῆς, ὡς τὸ τί με φεύγεις τὸν γέροντα. Gu.

1065. μυχῶν: τῶν κρυπτῶν. Bar. 74.

1066. ὀμμάτων: ὄμμα τῶν βλεφάρων ὤφειλεν εἰπεῖν· ἐνήλλαξε δὲ τὰς πτώσεις. Fl. 59. αἱματόεν: αἱματηρόν. Gr. τὸ νῦν ἐκ τῆς πληγῆς. ἡμαγμένον. Gu.

1067. ἀκέσαιο, ἀκέσαιο: πάνυ ἀνάρμοστον ἦν τῷ τε ῥυθμῷ καὶ τῷ μέτρῳ διὰ τὴν ἀνάρμοστον χασμῳδίαν, διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ τὸ ἕν. εὕρηται δὲ καὶ ἕν τινι τῶν παλαιῶν οὕτως. I.

ἀκέσαιο, τυφλόν: θεραπεύσειας. M. εἴθε, ὦ ἥλιε, ἀκέσαιο τὸ φέγγος καὶ τὸν ὀφθαλμὸν ἀπαλλάξας στερήσας τὸ τυφλὸν βλέφαρον τὸ αἱματόεν τῶν ὀμμάτων ἐμοῦ, ἤγουν τὴν τύφλωσιν, περιφραστικῶς. Gu. ἀντὶ τοῦ τὸ τυφλὸν καὶ ἡμαγμένον ὄμμα θεραπεύσειας. τυφλὸν γὰρ φέγγος τὸ ὄμμα φησὶν, ἐπειδὴ φέγγος ἐπὶ σκότου οὐ λέγεται. B. Fl. 25. ἤγουν σκότος διάξας. τυφλὸν φέγγος τὸ σκότος· κακῶς· φέγγος γὰρ ἐπὶ σκότους οὐ λέγεται. B. Fl. 10. 33.

Ἥλιε φέγγος ἀπαλλάξας: διὰ τοῦτο πρὸς τὸν Ἥλιον ποιεῖται τὸν λόγον, ὡς φωτὸς παρεκτικόν· μὴ φαίνοντος γὰρ ἡλίου, ἅπαντα

5. μάρπω] Immo μάρπτω.
8. Verba εἰς τὸ φ. τελείαν post ὁ λόγος habet M.
ib. οὖν om. B.
14. κρυφίων] κρυφίμων M. τῶν κρυφίων τόπων etiam Gu.
20.—23. Scholion Triclinii.
26. τοῦ τὸ] τὸ om. Fl. 25.
27. σκότου] σκότους B. Fl. 10.
29. σκότου] σκότους Fl. 33.

ἐν σκότῳ ἐστὶ, τῇ τοῦδε δὲ παρουσίᾳ φῶς λαμβάνει. Gu. I. τὸ ἀπαλλάξας φέγγος ἀντὶ τοῦ φῶς ἐνθεὶς, νοεῖται τῷ τετυφλωμένῳ ὀφθαλμῷ, εἰ καὶ ἀσαφῶς εἴρηται διὰ τὴν τοῦ λέγοντος δεινοπάθειαν καὶ τὸ ἄγαν τεθορυβῆσθαι καὶ συγκεχύσθαι αὐτόν. τούτου χάριν καὶ τὸ ἀπαλλάξας ἀντὶ τοῦ μεταποιήσας νοοῦσιν ἔνιοι, τιθέντες καὶ τὴν εἰς πρίθεσιν, εἰς φέγγος. Ἄλλως. φέγγος ἀπαλλάξας, πόρρω πέμψας τὸ σκότος. I. φέγγος ἀπαλλάξας: ἐνθεὶς φέγγος. Gr. εἰς τὸν ὀφθαλμόν. Gu. ἀντὶ τοῦ τυφλὸν ὄμμα. M. εἰς ἀνάβλεψιν ἀγαγών. M. ἀπαλλάξας: ἐλευθερώσας σκότους. Gr. στερήσας, μετατρέψας. Gu. μεταποιήσας. Fl. 33.

1069.—1075. κρυπτὰν βάσιν: κρυπτὰν πορείαν νεῶ τούτων τῶν γυναικῶν. ποῦ τὸν πόδα ὁρμήσας σαρκῶν καὶ ὀστέων κορεσθῶ, ποιούμενος εὐωχίαν τῶν ἀγρίων θηρῶν, ἤγουν τῶν γυναικῶν, ὡς θῆρας ταύτας καταβεινώμενος, λαμβάνων καὶ ἀφαιρούμενος ἀντέκτισιν τῆς ἐμῆς βλάβης καὶ τυφλώσεως. I.

1069. ἆ ἆ: ἐπιφώνημα ἐφεκτικόν. Gr. καθ' ἑαυτόν. Gu. Fl. 6. 9. 17. 21. 36. 39. 76. τὸ ἆ ἆ (Fl. ὁ δὲ ἆ) κλητικὸν ἐπίρρημα, ἢ σχετλιαστικόν· ἴδιον δὲ τοῦτο Ψυχῆς τεταραγμένης. Gu. Fl. 25. κρυπτάν: λαθραίαν. Fl. 10. ἀντὶ τοῦ ὦ ὦ λαθραίαν. ὡς ῥῆμα βαδιζουσῶν αὐτῶν. M.

1070. βάσιν: πορείαν. Gr. βάδισιν. Gu. αἰσθάνομαι: νοῶ. Gr. κατὰ Ἀττικοὺς αἰτιατικῇ, κατὰ δὲ κοινοὺς γενικῇ. Gu. τὸ αἰσθάνομαι, τὸ λαμβάνω, ἐπὶ μὲν ἀψύχων αἰτιατικῇ συντάσσεται. ἐπὶ δὲ ἐμψύχων γενικῇ. Fl. 25.

1071. πᾷ πόδ' ἐπάξας: κινήσας. Gr. ὁρμήσας. Gu. ποῦ, φησὶ, κινήσας τὸν πόδα κατάσχω ταύτας, δηλονότι τὰς μετὰ τῆς Ἑκάβης αἰχμαλώτους γυναῖκας, καὶ καταφεύγω καὶ τὰς σάρκας καὶ τὰ ὀστᾶ τούτων θοίναν, ἤγουν εὐωχίαν καὶ τράπεζαν ἀγρίων θηρῶν, ποιούμενος, τουτέστιν, ὡς ἄγριος θὴρ αὐτὰς θοινώμενος ἤγουν ἐσθίων ἀφειδῶς. τὸ δὲ ἀρνύμενος ἀντὶ τοῦ ποιούμενος καὶ ὥσπερ ἀποδιδοὺς ἢ μᾶλλον ἀπολαμβάνων καὶ ἔχων καὶ κρατῶν βλάβην ἀντίποινον τῆς ἐμῆς λύμης. A.

1072. ἐμπλησθῶ: χορτάσω. Fl. 59. κορεσθῶ. Gu.

1073. θοίναν: εὐωχίαν. Gr. ἀπὸ τοῦ θοινῶμαι τὸ εὐωχοῦμαι.

1. ἐν σκότῳ] σκότος I. 7. πόρρω πέμψας τὸ σκότος habet B.

Gu. Cant. *πειῶν αὐτὰς θροίνην.* Fl. 59. *ὡς θὴρ ταύτας καταθοινώμενος.* B. M. Fl. 10.

1074. *ἀρνύμενος*: *ἀφαιρούμενος τὴν ὕβριν τῆς ἐμῆς τυφλώσεως ἀντάξια παρέχων.* Ἄλλως. *ἀπαιτῶν τιμωρίαν ἀντὶ τῆς ἐμῆς λύμης, ὅ ἐστι τυφλώσεως.* M. *λαμβάνων καὶ ἀφαιρούμενος ἀντέκτισιν τῆς ἐμῆς βλάβης καὶ τυφλώσεως.* B. *θηρῶν*: *τῶν γυναικῶν φησι.* B. rec. *τιθέμενος*: *εἰς ἀνταπόδοσιν.* B.

ἀρνύμενος: *ἀποδιδούς.* Gr. *ἀντιλαμβάνων, καταλλάσσων.* Gu. *λαμβάνων, ἀνταλλασσόμενος.* B. *λαμβάνων παρ' αὐτῶν. ἤγουν αὐτὰς τιμωρούμενος ἀνθ' ὧν εἰς ἐμὲ τοιαῦτα ἐτεχνάσαντο.* Gu. *λώβαν*: *βλάβην.* Gr. *ὕβριν.* Fl. 10.

λύμας: *καθάρματος, φθορᾶς.* B. *ἀπωλείας.* Fl. 10. *βλάβης.* Gu. *ἀντίποιν*' : *ἀντέκτισιν.* Gr. *ἀντίδικα.* Gu. *ἡ ἀντί ἢ τὸ ἴσον δηλοῖ, οἷον ἀντίθεος, ὡς παρ' Ὁμήρῳ, ἢ τὸ ἐναντίον, οἷον ἀντιστάτης, ἢ ἀναπλήρωσιν, οἷον ἀντὶ παιδὸς ἔχω τὸν δεῖνα.* Gr.

1075. *ποῖ πᾶ φέρομαι*: *λιπὼν τὰ τέκνα μου ταῖς Βάκχαις τοῦ Ἅιδου, ἤγουν ταῖς Τρωϊκαῖς γυναιξίν. ἐν γὰρ τῷ Ἅιδῃ ἔλεγεν εἶναί τινας τιμωρητὰς καὶ ἀνημέρους θεάς τινας, Βάκχας καλουμένας, καὶ διὰ τὸ ἄγριον αὐτῶν κατὰ τοῦτο ἐκάλεσε καὶ τὴν Ἑκάβην σὺν ταῖς λειπαῖς αἰχμαλώτοις γυναιξὶ Βάκχας. τὸ δὲ ὅλον, ποῖ φέρομαι καταλιπὼν τὰ τέκνα μου τοῖς Βάκχαις καὶ τοῖς κυσὶ τροφὴν καὶ τοῖς ὄρεσι ῥίμμα; ὑπενέει γὰρ ὡς μετὰ τὴν αὐτοῦ ἐξέλευσιν ῥίψουσιν αὐτὰ ἐν ὄρει. ἡ δὲ σύνταξις οὕτω, ποῖ φέρομαι λιπὼν τὰ τέκνα μου τοῖς Βάκχαις διαμιρᾶσαι, ἤγουν διασπαράξαι μεληδὸν καὶ τοῖς κυσὶ πάλιν καταλιπὼν τὸν ἀπὸ σφαγῆς φόνον, ἤγουν αὐτὰ τὰ οἰκεῖα τέκνα, δαῖτα ἀνήμερον; καταλιμπάνω δὲ αὐτὰ καὶ ἐκβολήν, ἤγουν ῥίμμα, ὀρείαν. δηλονότι εἰς τὸ ὄρος, ῥιφῆναι. ἀπὸ κοινοῦ δὲ τὸ καταλιμπάνω.* A.

1075.—1078. *ποῖ φέρομαι*: *ποῖ ἀντὶ τοῦ ποῦ, ὅτε μὲν ἐπὶ κινήσεως λαμβάνεται, διὰ τῆς οι διφθόγγου γράφεται, ὅτε δὲ ἐπὶ στάσεως, διὰ τοῦ η. καὶ δῆλον ἀπὸ τοῦ πᾷ στῶ. εὕρηται δὲ καὶ ἐπὶ κινήσεως καὶ διὰ τοῦ η, καὶ δῆλον ἐκ τοῦ πᾷ βῶ, καὶ πᾷ κέλσω.* l. *ποῖ φέρομαι*: *ποῦ ἄγομαι, τὰ ἐμὰ τέκνα μεμνωμένα λιπὼν ταῖς Βάκχαις τοῦ Ἅιδου, ὥστε διασπαράξαι καὶ διαμιρᾶσαι μεληδὸν,*

3. *ἀφαιρούμενος—ὅ ἐστι τυφλώσεως*] scripta, *λαμβάνων, ἀφαιρούμενος—λύμης, ὅ ἐστι πηρώσεως*:— Haec in M. repetuntur infra sic

καὶ τοῖς κυσὶ δαῖτα ἐσφαγμένην, φονίαν, ἀνήμερον, καὶ ἐκβολὴν ῥίψιν ὀρεινήν. ὑπενόει γὰρ αὐτὰς ῥῖψαι τοῖς κυσὶ μετὰ τὸ σφάξαι τοὺς παῖδας αὐτὴν φονικὴν καὶ ἀπάνθρωπον εὐωχίαν καὶ ὀρεινὴν ἀποβολήν. I. Ἄλλως. ποῖ φέρομαι τὰ ἐμὰ τέκνα μεμονωμένα λιπὼν ταῖς Βάκχαις τοῦ Ἄιδου, ἤγουν ταῖς μαινομέναις ἐπὶ φόνοις καὶ ὑπουργίᾳ τοῦ Ἄιδου, ὥστε διαμοιρᾶσαι, καὶ τοῖς κυσὶ δαῖτα σφακτὰν, ἤτοι ἐσφαγμένην, φονίαν, ἀνήμερον, καὶ ἐκβολὴν ὀρείαν. I. ἐπειδήπερ, ἡνίκα διεμερίσαντο αὐτὰ, ἔμελλον ῥίψειν τοῖς κυσὶ βρώματα, διὰ τοῦτο πρῶτον εἶπε διαμοιρᾶσαι, εἶτα ἐπάγει τὸ σφακτὰν κυσί τε φονίαν, δεικνὺς τὸν διαμερισμὸν οὐδὲν ἄλλο ἐσόμενον ἢ τοῖς κυσὶ ῥίψιν καὶ δαῖτα. τὸ δὲ ἀνήμερον καὶ τὸ ὀρεινὰν λέγει διὰ τὸ τὰ ἐν ὄρει ὄντα ἄγρια θηρία οὕτω διαμερίζειν, ἃ ἂν τῶν ζώων θηράσωσιν. Gu. I.

1076. Βάκχαις : Βάκχαι γυναῖκες ἦσαν μετὰ μέθης ἑορτάζουσαι τὴν ἑορτὴν τοῦ Διονύσου· ὅτι δὲ μεθύουσαι ἐκεῖναι ἠτάκτουν καὶ ἐμαίνοντο περὶ τὴν ἑορτὴν, λέγει καὶ ταύτας Βάκχας. ὅτι δὲ οὐκ εἰς γέλωτα τὰ τούτων καὶ ἡδονὴν, λέγει τοῦ Ἄιδου, ταῖς μαινομέναις ἐπὶ φόνοις καὶ ὑπουργίᾳ τοῦ Ἄιδου. Gr. ταῖς τοῦ Διονύσου μαινομέναις. M. ταῖς μανικαῖς γυναιξί. Fl. 59. αἱ Βάκχαι τοῦ Διονύσου ἐνθουσιῶσαι περιεπάτουν ὡς μαινόμεναι, καὶ τὸν προστυχόντα ἐκείναις ἐκράτουν καὶ ἐκόλαζον. ἴσως δὲ καὶ ἠλευθεροῦτο. αἱ δὲ αἰχμαλωτίδες γυναῖκες Βάκχαι εἰσὶ τοῦ Ἄιδου θανατοῦντες εὐθύς. Fl. 59. Βάκχαις Ἄιδου εἶπε διὰ τὰς Τρῳάδας, διὰ τὸ εἶναι αὐτὰς φονικὰς καὶ ἀπηνεῖς. ἦσαν γὰρ καὶ ἕτεραι Βάκχαι, ἀλλὰ ἄδουσαι ἐπὶ καλῷ καὶ ἐπὶ τέρψει τῶν ἀνθρώπων. Καὶ ἄλλως. διὰ τὸ εἶναι αὐτὰς αἰτίας θανάτου πικροῦ τῶν τέκνων αὐτοῦ καὶ ἀπωλείας καὶ

2. ὑπενόει γὰρ—ἀποβολήν] Haec sunt etiam in [B. et] Flor. 25. sed paulo melius : ὑπεν. γὰρ αὐτὰς ῥ. τοῖς κ. τὰ τέκνα αὐτοῦ μετὰ τὸ σφάξαι αὐτὰ τὴν φονικὴν καὶ ἀπ. εὐωχ. κ. ὀρ. ἀπ. Similiter 10. ὑπενόει δὲ ὡς μετὰ τὴν σφαγὴν εἰς ὄρος ῥιφθήσονται οἱ παῖδες αὐτοῦ. quibus satis firmatur recepta lectio μετὰ τὸ σφάξαι, pro quo King. μετὰ τοῦ σφάξαι. Seqq. ποῖ φέρομαι — ὀρείαν in Gr. sunt nisi quod ibi vv. ἤγουν ταῖς μαιν. — ὑπουργίᾳ τοῦ Ἄιδου ante haec ποῖ φέρ. scripta sunt. Ibidem in marg. ab Gu. scripta sunt quae sequuntur, ἐπειδήπερ κ. τ. λ. sed pro διεμερίσαντο ibi est διεμοίρησαν, tum ἔμελλον ἂν ῥ. Ex eo εἶπε post πρῶτον et τὸ δὲ ἀν. recepi. MATTH.

ib. αὐτὰς] αὐτοὺς B.

3. αὐτὴν] αὐτοῦ B.

18. ταῖς—μαινομέναις ab alia m. habet M.

23. διὰ τὰς Matth. pro διὰ τό.

εἰσαγωγῆς "Αιδου παρὰ καιρόν. Fl. 33. ταῖς Τρῳάσι. B. διαμιρᾶσαι: διασπαράξαι μεληδόν. B.M. Fl. 33. Gr. κατατεμεῖν. Gr.

1077. σφακτὰν κυσί: σφαγὴν κυσί. Fl. 25. ἐσφαγμένην. Gr. φονίαν: φονικήν. Gr . ἐκ φόνου γεγοννῖαν. φόνευσιν. Gu.

1078. ἀνήμερον: ἀνελεῆ. Fl. 33. ἀπάνθρωπον. M. Fl. 10. ἀγρίαν. Gr. οὐρείαν: εἰς ὄρειον. M. ἐκβολάν: ῥῖψαι κυσὶ θαῖτα καὶ ὀρεινὴν ἀποβολήν. M.

1079.—1081. πᾶ στῶ: ποῖ, φησὶ, πορεύσομαι, ποῦ δὲ κάμψω, ποῦ δὲ στήσομαι, ἐπὶ ταύτην ὁρμήσας τὴν τῶν τέκνων μοι κοίτην (λέγει δὲ τὸν τόπον ἔνθα ἐσφαγμένα τὰ τούτου τέκνα κατέκειτο) ὀφείλων ταῦτα φυλάξαι πρὸς τὸ μὴ ὑπὸ τῶν Τρῳάδων ῥιφῆναι κυσὶν, ὡς ναῦς τὸ ἄρμενον συστρέφων καὶ συστέλλων, δηλαδὴ τῶν ὀφθαλμῶν στερηθείς· ὅπερ γάρ ἐστι τῇ νηῒ τὸ ἱστίον, τοῦτο τῷ σώματι ὁ ὀφθαλμός. A.B.I.

1080. λινόκροκον: καθὰ ναῦς διὰ θαλασσίων σχοινίων λινόκροκον φᾶρος ἐκτείνων ἐπὶ τήνδε τὴν ὀλέθριον κοίτην πορευθεὶς φύλαξ τῶν ἐμῶν τέκνων. Gr. I. ἡ σύνταξις· πᾷ βῶ ἐσσυθεὶς καὶ ὁρμηθεὶς φύλαξ τῶν ἐμῶν τέκνων ἐπὶ τήνδε τὴν ὀλέθριον κοίτην στέλλων, καὶ κινῶν ἐμαυτὸν, ὅπως καὶ ὥσπερ στέλλει ἡ ναῦς ἐν τοῖς ποντίοις πείσμασι καὶ σχοινίοις τὸ λινόκροκον φᾶρος, ἤτοι λαῖφος. Gu. I. τὸ δὲ πᾷ βῶ πρὸς τὸ ἐσσυθεὶς συναπτέον· τὸ δὲ στέλλων μετὰ ταῦτα λέγει. οἱ δὲ λέγοντες λινόκροκον φᾶρος τὸν ὀφθαλμὸν, καὶ οὐ τὸ λαῖφος, ἆρ' ἔχει τίς ἂν εἰπεῖν ὡς οὐ μάλιστα πάντων οἶδε ἀμαθεῖς; I.

κάμψω: καθίσω. Gr. νεύσω, κλίνω. Gu. πλησιάσω. Fl. 33. κλίνω τὸ γόνυ. Fl. 59.

8. ποῖ, φησὶ—] In A. haec praecedunt, ἐπὶ ταύτην δηλονότι τὴν κοίτην, ὅπου τὰ παιδία ἐσφαγμένα κεῖται ὁρμηθεὶς τοῦτο σημαίνει τὸ ἐσσυθεὶς βῶ περιπατήσας, καὶ ἔλθω φύλαξ τῶν ἐμῶν τέκνων στέλλων, ἤγουν συστρέφων, τὸ λινόκροκον φάρος περιφραστικῶς ἑαυτὸν, καθὼς στέλλεται ἡ ναῦς ἐν τοῖς ποντίοις πείσμασι. πείσματα δὲ τὰ καλῶ διαφ" (sic). οἱ γὰρ ναῦται ὅταν μέλλωσι στρέψαι τὴν ναῦν, τὰ σχοινία τοῦ καλουμένου πόδος τοῦ λαίφους ἕλκουσιν ἔξω. Post quae pergit, ἄλλως. ποῦ, φησὶ, πορεύσομαι etc.

ib. ποι] ποῦ B.

9. τέκνων] παίδων I.

12. καὶ συστέλλων om. B.

16. φύλαξ post τέκνων I.

17. ἡ σύνταξις om. Gu.

ib. ἐσσυθεὶς] Immo σιθείς.

19. ὅπως καὶ om. I.

20. τὸ δὲ—ἀμαθεῖς] Hoc scholion ab Arsenio compositum esse recte judicat Matth.

1080. πείσμασι: τοῖς σχοινίοις τῆς νεώς. B.M. λινόκροκων: ἀπὸ λίνου ἄρμενον. B. ὡς ναῦς τὸ ἄρμενον τὸ λινοῦν στέλλων. M. τὸ ἐκ λίνου. Gr. ὑφασμένον. τὸ ἄρμενον· κρόκη γὰρ τὸ ὑφάδιον. Gu. τὸ ἀπὸ λίνου τὴν κρόκην ἔχον δηλονότι καὶ τοὺς στήμονας, ἤγουν τὸ ἄρμενον. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1081. φᾶρος: ὕφασμα, ἤγουν τὸ ἄρμενον. Gr. ἱμάτιον. Gu. στέλλων: ἐκτείνων ἑμαυτόν. Gr. κινῶν ἐμαυτόν. Gu.

1082. συθείς: πορευθείς. B. ὁρμηθεὶς ἔνθα κεῖται μοι τὰ παιδία τεθνηκότα εἰς τὴν θανάσιμον θήκην. M. φύλαξ: ὁ νῦν ὀφείλων φύλαξ εἶναι τῶν τέκνων. M. Fl. 10.

1084. ὀλέθριον κοίταν: τὸν τόπον λέγει ἔνθα ἐσφαγμένα ἔκειντο τὰ τέκνα αὐτοῦ. Gr. ἔνθα κεῖταί μου τὰ παιδία τεθνηκότα. Fl. 10. ὀλέθριον κοίτην λέγει οὐχ ὅτι ἦν ὁ τόπος, ἐν ᾧ ἔκειτο τὰ αὐτοῦ τέκνα, ὀλέθριος· ἄψυχος γὰρ ἦν καὶ οὔτε κακὸς οὔτε καλὸς ἦν· ἀλλὰ διότι φονευθέντα τὰ τέκνα ἔκειτο ἐν αὐτῷ, διὰ τοῦτο τὸν τόπον ὀλέθριον καλεῖ, ἀπὸ τοῦ τῶν τέκνων πάθους τὴν προσηγορίαν αὐτῷ θείς. Gu. I.

1085.—1087. ὦ τλῆμον, ὡς σοι: ὦ ἄθλιε, δυσβάστακτά σοι λίαν πέπρακται κακά· καὶ σοὶ τῷ πράξαντι δηλονότι αἰσχρὰ, χαλεπὰ τὰ ἐπιτίμια, ἤγουν τὰς τιμωρίας, ἔδωκεν ὁ θεὸς, ὅστις ἐστί σοι ἐπαχθὴς καὶ κακωτικός. I.

δύσφορα: δυσβάστακτα. M. Gr. δυσφόρητα, βαρέα, δυσυπομόνητα, ἀνυπομόνητα εἰργάσατο ἡ Ἑκάβη. Gu. εἴργασται: πεποίηκεν. Gr. ἐπράχθησαν. Gu. πέπρακται. M.

1088. τἀπιτίμια: δειναὶ καὶ χαλεπαὶ αἱ τιμωρίαι. M. τὰ ἐπὶ τῆς τιμωρίας. Fl. 33. ἐπιτίμιον ἡ τιμωρία, ἐπιτιμία δὲ ἡ τιμή. Fl. 59.

1088.—1106. ἰὼ Θρῄκης: ὦ γένος Θρακικὸν ὁπλοφόρον, ὁρμη-

1. νεὼς] νηός B.

2. ἄρμενον] ἄρμενον B., ut sæpe in codicibus, velut Gu. in annotationibus proximis.

13. τὰ αὐτοῦ τέκνα] τὰ τέκνα αὐτοῦ I.

15. ἔκειτο] ἔκειντο I.

16. ὀλέθριον καλεῖ] λέγει ὀλέθριον I.

17. θείς] τιθείς I.

19. καὶ σοὶ—αἰσχρά] Legendum videtur καὶ τῷ πράξαντι, σοὶ δηλονότι, αἰσχρά. quod in Gu. supra verbum δράσαντι scriptum est. In Gr. καὶ δράσαντι, σοὶ δηλονότι, αἰσχρά et quæ hic sequuntur. MATTH.

τικὸν εἰς τὸν πόλεμον καὶ ἐνθουσιαστικὸν, δεσποζόμενον καὶ κρατούμενον ὑπὸ τοῦ Ἄρεος. ἰὼ Ἀχαιοὶ, ἰὼ Ἀγάμεμνον καὶ Μενέλαε, βοὴν φωνῶ. ἔλθετε, ἔλθετε ἕνεκα τῶν θεῶν. ἀκούει τὶς, ἢ οὐδεὶς κλύων βοηθήσει; τί βραδύνετε; αἱ γυναῖκες ἔφθειράν με αἱ αἰχμαλώτιδες. χαλεπὰ ἐπάθομεν. εἶμοι ἕνεκεν τῆς ἐμῆς βλάβης. εἰς ποῖον μέρος πορευθῶ; εἰς τὸν αἰθέρα ἀναπτάμενος τὸν ὑψηλὸν αἴξω, εἰς τὸ ἐν ὕψει κείμενον οἴκημα, ἔνθα ὁ Ὠρίων ἢ ὁ Σείριος ἀφίησιν ἀπὸ τῶν ὀφθαλμῶν λαμπηδόνας πυρὸς φλογέας; ἢ αἴξω ὁ τάλας εἰς τὸν πορθμὸν τὸν μελανοχρῶτα τοῦ Ἀιδου. I.

αἴ αἴ: πρισφωνεῖ ὁ Πολυμήστωρ τοὺς Θρᾷκας καὶ τοὺς Ἕλληνας εἰς βοήθειαν αὐτοῦ. Fl. 59. ἀκούσας τοῦ χροῦ τῶν ἀνδρῶν οὕτω φθεγγομένου πρὸς αὐτὸν προσκαλεῖται τοὺς Θρᾷκας ὄντας γενναίους, ὡς αὐτὸς λέγει, λογχοφόρους αὐτοὺς ὀνομάσας Ἄρει τε κατόχους, ὅ ἐστι κατεχομένους ὑπὸ τοῦ πόθου τοῦ Ἄρεος, ὅ ἐστι τοῦ πολέμου. Fl. 33.

λογχοφόρον: ἐν δόρατι μαχόμενον ὄρνυται εἰς τὸν πόλεμον καὶ ἐνθουσιαστικόν. B. λόγχας φέρον. Gu. δορυφόρον στρατόπεδον. Gu. δορυφόρον, πολεμικόν. Fl. 6. 9. 17. 21. 56. 59. 76. τοὺς συνελθόντας αὐτῷ δορυφόρους ἐπικαλεῖται, λογχηφόρους δὲ λέγει τοὺς δόρατα πολεμικὰ καὶ λόγχας φέροντας, ἤγουν τοὺς στρατιώτας. M. Fl. 25.

1090. κάτεχεν: ὁρμητικὸν εἰς πόλεμον καὶ ἐνθουσιαστικὸν ἐν πολέμῳ. M. κατεχόμενον. Fl. 33. ἐνθουσιῶν ἐν τῷ Ἄρει. Gr. τῷ πολέμῳ. Gu.

1092. αὐτῶ: μεγάλως φωνῶ πρὸς ὑμᾶς. Fl. 59. φωνῶ. Gr. βοῶ. Gu.

1093. ἴτε: ἔλθετε. Gr. μόλετε πρὸς θεῶν: παραγίνεσθε διὰ τὴν ἀγάπην τῶν θεῶν. Gr. ἕνεκα. Gu. ἐνταῦθα ἡ πρός κεῖται ἀντὶ τῆς παρά ἀντὶ τῆς ἐκ, καὶ ἡ ἐκ ἀντὶ τοῦ ἕνεκα κατὰ μετάληψιν. Gu.

1099. κλύει τις; ἀκούει τις, ἢ οὐκ ἀκούει, ἢ ἀκούει μὲν, οὐ δύναται δὲ βοηθῆσαι; M. Fl. 25. ἀκούει. Gr. ἐπακούει. ἤγουν

6. εἰς τὸν—Ἀιδου] Haec sunt etiam in Gu., sed adscripta v. 1100.
16. ἐν δ. μ.] ἐν δόρατι μαχόμενον etiam M. et qui ἐν omittunt Fl. 10. 21.
31. οὐκ ἀκούει, ἢ om. M.
19. συνελθόντας] ἀνελθόντας Fl. 25.

οὐδεὶς ἀκούει, ὥστε καὶ βοηθῆσαι. Gu. ἀρκέσει : ἐπαρκέσει, βοηθήσει. Gr. μέλλετε : βραδύνετε. Gu.

1098. ὤμοι : λείπει τὸ ἕνεκεν. B. ἕνεκεν τῆς λώβης. M. λωβήσεως καὶ ἀπωλείας τῶν ὀφθαλμῶν. M. ἕνεκεν τῆς λωβήσεως καὶ ἀπωλείας τῶν ὀφθαλμῶν. B. Fl. 10. 33.

1099. ποῖ τράπωμαι : εἰς τὸν αἰθέρα τὸν οὐράνιον, φησὶ, πετασθεὶς ἀπέλθω εἰς τὸ ὑψιπετὲς μέλαθρον, ἔνθα ὁ Ὠρίων καὶ ὁ Σείριος αὐγὰς φλογέας ἀφίησι τοῦ πυρὸς ἀπὸ τῶν αὐτοῦ ὀφθαλμῶν, ἢ ὁρμήσω ὁ τάλας εἰς τὸν πορθμὸν, ἤγουν τὴν διάβασιν τὴν ἐπὶ τὸν Ἅιδην ἄγουσαν. ταῦτα δὲ, φησὶν, ἀδημονῶ. Λ. ποῦ ἔλθω. Gu. εἰς ποῖον μέρος ἵνα τράπωμαι. εἰς ποῖον μέρος πορευθῶ. Gr. ἀτραπὸς λέγεται κυρίως τὸ παρὰ τῆς ὁδοῦ ἐκφερόμενον. Fl. 25.

1100. αἰθὲρ' ἀμπτάμενος : ἀναπτάμενος, ἀναπετασθείς. M. ἀπορῶ γὰρ τί ποιήσω. πρὸς ἑαυτὸν ἀναλογίζεται· ἆρα πρὸς τὸν αἰθέρα πετάσας πρὸς τὸ ὑψηλότερον οἴκημα, ἔνθα ὁ Ὠρίων, ὅς ἐστιν εἶδος ἄστρου, ἢ ὁ Σείριος αὐγάζουσιν, ἢ πρὸς Ἅιδην μελανεχρῶτα ὁρμήσω, ὅ ἐστι τὸν σκοτασμόν. Fl. 33.

αἰθέρα : ἔθος τοῖς δυσφορεῖσι ταῦτα λέγειν. Fl. 25. Gu. ἔν τισι τὸ αἰθέρα περισσὸν καὶ οὐ φέρεται. Fl. 25. 33. ἀμπτάμενος : ἀναπετάσας. Gr. ἀναπετασθείς. Gu.

1103. Ὠρίων : Ὠρίων καὶ κατὰ πλεονασμὸν τοῦ ᾱ Ὡαρίων. M. ἀπορεῦσί τινες πῶς ἐνταῦθα ὁ Πολυμήστωρ Ὠρίωνος καὶ Σειρίου ἐμνήσθη, καὶ μηδενὸς ἄλλου τῶν ἄστρων. καί φασιν ὅτι τοῦ μὲν Ὠρίωνος ἐμνήσθη ὡς κυνηγοῦ, ἅτε καὶ αὐτὸς τοῖς τοιούτοις χαίρων ὡς βασιλεὺς, (φασὶ γὰρ οἱ ποιηταὶ περὶ τοῦ Ὠρίωνος ὡς κυνηγὸς ὢν ὑπὸ σκορπίου δηχθεὶς ἀνῃρέθη, ὅτι Ἀρτέμιδος ἐπεθύμησε·) τοῦ δὲ Σειρίου ὡς κανστικοῦ· διακαὴς γὰρ ἦν καὶ αὐτὸς τῷ πάθει, καὶ δυσχεραίνων ἀπαραμύθητα καὶ ἀπολέσθαι ζητῶν. Gu. I. Ὠρίων ἀπὸ τοῦ οὔρου γίνεται· λέγεται γὰρ ὅτι οἱ θεοὶ οὐρήσαντες ἐπάνωθεν βοὸς δέρματος, ἐξέφυσεν αὐτὸς, καὶ ὡς ἀπὸ τοῦ οὔρου ἐκλήθη Ὠρίων· διὸ καὶ ψιλοῦται Ὠρίων. λέγεται τὸ παρὰ τοῖς κοινοῖς λεγόμενον

4. ἀπωλείας] στερήσεως Fl. 33.
11. ἀτραπὸς Matth. pro τραπός.
22. ἀπορεῦσι] Ἀπορία praefixum in I., sine lemmate.
23. τοῦ μὲν Ὠρίωνος] ὡρίωνος μὲν I.
24. κυνηγοῦ] κυνηγὸς Gu.
25. οἱ ποιηταὶ] οἱ om Gu.
26. ἐπεθύμησε] ἠράσθη I.

ἀρτιτρόπουν, συγκείμενον ἀπὸ ἄστρων ἑπτά. Σείριος δὲ λέγεται ὁ κύων. l. Σείριος: ὁ μὲν Ἡσίοδος Σείριον τὸν Ἥλιόν φησιν, οὗτος δὲ Σείριον ὀνομάζει ἀκολούθως καὶ ὁμοίως Ὁμήρῳ τὸν ὑπὸ τὸ γένειον τοῦ κυνὸς ἀστέρα, ἕτερον ὄντα ἀστέρα. ὅλον δὲ τὸ ἄστρον κύων λέγεται, ὅπερ ἐκ πολλῶν ἀστέρων σύγκειται. ὁ δὲ ὑπὸ τὸ γένειον τοῦ κυνὸς ἀστὴρ Σείριος λέγεται. A. Fl. 10. 33. ἐπὶ τούτῳ δὲ, φησὶ Πολυμήστωρ, τὸν ἀστέρα ἀνέλθω ἀναπετασθεὶς ἢ εἰς τὸν αἰθέρα τοιαῦτα δὲ εἰ δυτανασχετοῦντες καὶ μὴ δυνάμενοι ὑπὸ ἐν θλίψεσι φθέγγονται. σημείωσαι δὲ ὅτι δοκεῖ ὁ Σείριος οὗτος ἀστὴρ λαμπρότερον συνὼν τῷ κυνί. A.

1105. μελανόχρωτα: τὸν ἀόρατον πλοῦν. Fl. 10. σκοτεινόν. Gr. μελανοσώματον. Gu. πέραμα, πλοῦν, ἢ τὸν ἀόρατον πλοῦν. M.

1106. πορθμόν: οἱ μέν φασιν ὡς πορθμὸς κυρίως ἡ μέσον δύο γαιῶν θάλασσα, νῦν δὲ καταχρηστικῶς τὸν τόπον πορθμὸν καλεῖ ἐγὼ δέ φημι διὰ τὴν Ἀχερουσιάδα λίμνην τοῦτο λέγεσθαι. καὶ μαρτυρεῖ τὸ προηγούμενον ὡς οὐδὲν ἄλλο δηλοῖ τὸ ἐς Ἀΐδα πορθμὸν ἀλλ' ἢ τὸν πορθμὸν τὸν εἰς τὸν τόπον τοῦ Ἄιδου φέροντα. Gu. I. διαφέρει πορθμὸς καὶ ἰσθμός. ἰσθμὸς μὲν γὰρ τόπος χέρσος μέσος δύο θαλασσῶν, πορθμὸς δὲ θάλασσα μέσον ξηρᾶς γῆς. Fl. 33. ἄξω: ὁρμήσω, πορευθῶ. Fl. 6. 9. 21. 56. 59.

1107. σύγγνωσθ' ὅταν: συγγνώμης ἄξιον ὅταν τις πάθῃ κακὰ κρείττονα ἢ φέρειν ἐλευθερωθῆναι τῆς ταλαίνης ζωῆς. Gu. ὅταν τις, φησὶ, πάθῃ κακὰ μείζονα ὑπὲρ ὃ δύναται βαστάσαι, συγγνωστόν

2. ὁ μὲν—ὅντα ἀστέρα A. ἡσίοδος σείριος ὁ ἥλιος. νῦν δὲ τὸν ὑπὸ τὸ γένειον τοῦ κυνὸς ἀστέρα φησὶν ἡσίοδος ἀκολούθως ὁμήρῳ M. Verba ἡσίοδος σείριος —νῦν δὲ τ. ὑ. τὸ γ. τ. κ. σείριον λέγει etiam in Gu. In Fl. 10. 33. est ἡσίοδος ὁ σείριος ὁ ἥλιος. νῦν δὲ τὸ ὑπογένειον τοῦ κυνὸς φασὶν εἶναι ἀστέρα ἀκολούθως τῷ ὁμήρῳ ἕλεν et reliqua usque ad λέγεται. Simile scholion fuit in B. ubi nunc haec tantum legi possunt ἕθος τοῖς... | ἀρίων .... | ἡσίοδος.... | ὑπὸ τὸ γένειον... | λούθως ὁμή... | et reliqua usque ad λέγεται. Post ἕθος τοῖς supple ποιηταῖς.

5. ὑπὸ] Fort. ὑπομένειν.

14. τὸν τ. π.] π. τὸν τ. I.

15. Ἀχερουσιάδα] ἀχερουσίαν I.

16. τὸ π.—δηλοῖ] τὸ τοῦ προηγούμενον (sic) τοῦ εἰς τὸν ἅΐδα πορθμόν. οὐδὲν γὰρ ἄλλο δηλοῖ Gu.

17. ἢ—τόπον] ἢ πορθμὸν τὸν ἐς τοῦτον τὸν τόπον I.

21. ὅταν τις—τοῦ ζῆν] ἀντὶ τοῦ συγγνωστὸς καὶ συγγνώμης ἀξιός ἐστιν ἁπαλῶς (sic) τὴν ζωὴν καὶ θανεῖν ὅστις πάθῃ δεινὰ ἃ οὐ δύναται ὑπομεῖναι τοῦτο γάρ ἐστι τὸ κρεῖττον ἢ φέρειν ἀντὶ τοῦ ἐπέκεινα ὄντος ὑπομονῆς A.

23. ὑπὲρ ὃ δύναται—συγγνωστὸν—τὸ—ζῆν M. ἢ δύναται—συγγνωστέον —τὸ ἐξαπαλλάξαι ἑαυτὸν τῆς ζωῆς B.I.

ἐστιν αὐτῷ τὸ ἑαυτὸν ἀπαλλάξαι τοῦ ζῆν. B.M.I. Ἄλλως. συγγνωστὸν εἰπεῖν ἔδει. ἐκφέρει δὲ πληθυντικῶς Ἀττικῶς. καὶ τοῦτο ζητῶν εὑρήσεις παρὰ πᾶσι ποιηταῖς καὶ λεγοποιοῖς. ἡ δὲ σύνταξις· ὅταν πάθῃ τις κακὰ κρείσσονα ἢ φέρειν καὶ ὑπομένειν, ταῦτα συγγνωστὰ καὶ συγγνώμης ἄξιόν ἐστιν, ἀπαλλάξαι ἑαυτὸν τῆς ταλαίνης ζωῆς, τουτέστιν, ὁ κακοῖς συνὼν ἀφορήτοις συγγνωστέος ἐστὶν ἀποθανών. τοῦτο δὲ εἶπεν ὁ χορὸς διὰ τὸν Πολυμήστορα, στερηθέντα τῶν τέκνων καὶ τυφλωθέντα, καὶ τὰ μέγιστα δυσχεραίνοντα καὶ ἀπολεγόμενον τὸ ζῆν, ἐξ ὧν αὐτὸς ἄνωθεν πρὸ τοῦ χοροῦ ἐδήλωσεν, εἰς αἰθέρα ἢ εἰς Ἅιδην ὁρμῆσαι βουλόμενος. Gu. I. συγγνωστὸν πρᾶγμα ὑπάρχει, ὅταν τις ἄνθρωπος ἐξαπαλλάξει καὶ ἐλευθερωθείη τὰ κακὰ πάθη τῆς ταλαίνης ζωῆς τὰ κρείσσονα καὶ τὰ ἐπικρατέστερα ὑπάρχοντα, ἢ καὶ παρὸ φέρειν καὶ ὑπομένειν αὐτὰ, ἤγουν κρεῖττον ἦν, ἵνα ἀποθάνῃ τις παρὸ ἵνα φέρῃ καὶ ὑπομένῃ τὰ κακὰ πάθη, ἅπερ οὐδὲν δύναται ἐκεῖνος καὶ βαστάζει εὐκόλως. λέγει δὲ τοῦτο διὰ τὸν Πολυμήστορα, ὅτι κρεῖττον ἦν ἵνα ἀποθάνῃ παντελῶς παρὸ ἵνα βαστάζῃ τὴν τύφλωσιν καὶ τὴν σφαγὴν τῶν τέκνων αὐτοῦ. Fl. 59. συγγνώμης ἐστὶν ἄξιος ἀπαλλαγῆναι τῆς ζωῆς τὸν παθόντα δεινὰ κρείττονα, ὅ ἐστι μείζονα, παρὰ τὴν εἰκείαν δύναμιν. τοῦτο δὲ εἴρηκε διὰ τὴν Ἑκάβην, ἐπεὶ καὶ κρεῖττον ἦν αὐτῇ τῆς ζωῆς ἀπαλλαγῆναι παρὸ παθεῖν τοιαῦτα δεινὰ καὶ πέρα δεινῶν. Fl. 33. εἰρωνευόμενος ὁ χορὸς ταῦτά φησι πρὸς τὸν Πολυμήστορα. Gr. σύγγνωσθ᾽: συγγνώμης ἄξιον. κουφίζεται γὰρ κατὰ τοὺς ποιητὰς καὶ τὸ ὂν ὡς καὶ τὰ δίφθογγα. Gr.

1108. ἐξαπαλλάξαι: ἐνεργητικὲν ἀντὶ παθητικοῦ. B. ζοῆς: ὡς πνέω πνοὴ, οὕτω καὶ ζέω ζοὴ χρείᾳ τοῦ μέτρου. Fl. 2. 25.

1109. κραυγῆς ἀκούσας ἦλθον: κραυγῆς σου, φησὶν, ἀκούσας ὁ Ἀγαμέμνων πρὸς τὸν Πολυμήστορα ἦλθον· οὐ γὰρ ἠρέμα ἐβόησεν ἡ

1. Ἄλλως om. Gu.
2. εἰπεῖν ἔδει] ἔδει εἰπεῖν I.
3. ποιηταῖς] καὶ ποιηταῖς I.
4. ταῦτα] αὐτά I.
8. καὶ τὰ—δυσχεραίνοντα om. I. "King. in paraphrasi haec habet, nescio unde: ὅταν πάθη τις μείζονα κακὰ παρὸ δύναται φέρειν καὶ ὑπομένειν, συγγνώμης ἄξιόν ἐστιν ἐλευθερωθῆναι ἐκεῖνον τῆς ταλαιπώρου ταύτης καὶ ἐπαθλίου ζωῆς." MATTH.

27. κραυγῆς σου—στρατιωτῶν] Simile scholion in Gu. I. τῆς φωνῆς ἀκούσας παρεγενόμην· οὐ γὰρ ἠρέμα ἤχησεν ἡ θυγάτηρ τῆς πέτρας ἠχώ, ποιοῦσα ταραχήν. εἰ δὲ μὴ ἤδειμεν (εἰδείημεν I.), ὅτι ἐπορθήσαμεν τὴν Τροίαν, ἐφοβήθημεν ἂν οὐ μικρῶς, ἐφοδον νομίζοντες εἶναι τῶν πολεμίων.

ἠχὼ, ἡ παῖς τῆς πέτρας. ὅταν γάρ τις βοήσῃ ὅπου ἐστὶν ὄρος, ἀντηχεῖ ἡ πέτρα καὶ οἷον εἰπεῖν γεννᾷ τὴν ἠχώ. καὶ τοῦ Πολυμήστορος τοίνυν βοήσαντος ἐφώνησε καὶ ἤχησε μεγάλως τὸ ὄρος, καί φησιν ὁ Ἀγαμέμνων, οὐχ ἥσυχος ἡ ἠχὼ, ἡ θυγάτηρ τῆς πέτρας, ἐβόησεν· εἰ δὲ μὴ ᾔδειμεν ὅτι ἐπορθήθη ἡ Ἴλιος, ἐφοβήθημεν ἂν νομίζοντες ἔφοδον τῶν Τρωϊκῶν στρατῶν. A. ἀκούσας τῆς Πολυμήστορος κραυγῆς ὁ Ἀγαμέμνων παραγίνεται πρὸς τὴν σκηνὴν τῆς Ἑκάβης, ἔνθα ὁ Πολυμήστωρ ἐτυφλώθη, λέγων ταῦτα· ἐγὼ τῆς κραυγῆς ἀκούσας ἦλθον ἐνταῦθα· οὐ γὰρ σιωπῶν ἐφώνησεν. Fl. 33. καὶ ὁ Ἀγαμέμνων καθ' ὑπόκρισιν ταῦτά φησιν. Gr.

ἠσύχως: ἠρέμα. Gu. οὐ γὰρ ἠρέμα ἤχησεν ἡ θυγάτηρ τῆς πέτρας Ἠχώ. B.M.

1110. πέτρας ὀρείας παῖς: βοῆς γὰρ ἐν ὄρεσι γενομένης πλητττόμεναι αἱ πέτραι ἀντηχοῦσι· διὸ καὶ θυγατέρα πέτρας καλεῖ τὴν ἠχώ. Gu. λέλακ': ἤχησεν. Gr. ἐφώνησεν. Gu.

1111. ἠχώ: ἦχος ὁ κτύπος, ἠχὼ δὲ τὸ ἀπήχημα τὸ γινόμενον μετὰ τὴν ἦχον ἐν θόλοις καὶ σφαιρικοῖς ἄλλοις ἔνδον καὶ ἐν αἰγιαλοῖς, καὶ ἐν ὄρεσι διὰ τὴν αὐτὴν καὶ μίαν αἰτίαν, ἐμποδισμὸν δηλονότι τῆς πρόσω φορᾶς τῆς φωνῆς καὶ ἀναστροφὴν αὐτῆς. Gr. διδοῦσα: παρέχουσα. Gr. ποιοῦσα, ἐμβάλλουσα. Gu. θόρυβον: ταραγμόν. Gr. ταραχὴν καὶ ἔκπληξιν. Gu.

εἰ δὲ μὴ Φρυγῶν: εἰ δὲ μὴ ᾔδειμεν ὅτι ἐπορθήσαμεν τὴν Τροίαν, ἐφοβήθημεν ἂν οὐ μικρῶς ἔφοδον νομίζοντες εἶναί τινα τῶν πολεμίων. B.M. Gu. I.

1113. φόβον παρέσχεν: ἐθορύβησεν ἄν. Gu. οὐ μέσως: οὐκ ὀλίγως. M. ἤγουν οὐκ ἐπιπολαίως, ἀλλ' εἰς βάθος. Gu. οὐ μετρίως, ἀλλὰ σφόδρα. οὐ συμμέτρως. Gu. μέσως: ὀλίγως. Fl. 10.

1114. ὦ φίλτατε: ὑποστροφὴ καὶ ἐπεμβολὴ τὸ σχῆμα. B.I.

5. ᾔδειμεν] εἴδη A. Correxi ex schol. Gu. modo apposito et ex scholio B.M. ad v. 1112. ubi eadem fere leguntur.
13. βοῆς γὰρ] γὰρ om. I.
ib. ὄρεσι] ὄρει I.
22. ᾔδειμεν] εἰδείημεν I., ubi hoc scholion legitur ad v. 1109. post verba ποιοῦσα ταραχήν.
ib. ὅτι ἐπορθήσαμεν] πορθηθεῖσαν Gu.
23. οὐ μικρῶς om. M. Gu.
ib. τινα om. B. Gu. I.
ib. τῶν πολεμίων om. Gu.

ἀκούσας τῆς φωνῆς σου, ὦ Ἀγάμεμνον, ἠσθάνθην, βλέπεις ἅτινα πανθάνομεν; I.

ἠσθόμην γάρ: ἐπέγνων, φησὶν ὁ Πολυμήστωρ, Ἀγαμέμνονα ἀπὸ τῆς φωνῆς, ἐπεὶ καὶ ὁ Ἀγαμέμνων πολλάκις τῆς Τροίας πολεμούμενος ἦν αὐτῷ συντυχών. A.

1116. ἔα: ἐκπληκτικόν. B.I. ὑποκρίνεται ἀγνοεῖν, ἵνα κατὰ τὸ δίκαιον ὑπὲρ τῆς Ἑκάβης κρίνῃ, μὴ γνωσθεὶς ὅτι προωμίλησεν αὐτῇ, δόξῃ τῇ Ἑκάβῃ χαρίζεσθαι. B.M.I. ἔα: ἔξω τοῦ μέτρου τοῦ στίχου ἐστὶν, ὡς καὶ ἐν ἄλλοις ἔστιν εὑρεῖν. Fl. 21.

1116. ὦ δύστηνε: ὦ ἄθλιε Πολυμήστωρ, τίς ἔφθειρέ σε; τίς ἐποίησε τὸ ὄμμα τυφλὸν, τὰς κόρας τῶν ὀφθαλμῶν αἱματηρὰς ποιήσας; καὶ τούσδε τοὺς παῖδας τίς ἔκτεινεν; ὄντως μέγαν θυμὸν ἐκέκτητο ἐπὶ σὲ καὶ τοὺς σοὺς παῖδας, ὅστις ἄρα ὑπῆρχεν. I.

τίς σ' ἀπώλεσε: πλάττεται ὁ Ἀγαμέμνων ἀγνοεῖν τὸ εἰς τὸν Πολυμήστορα συμβὰν, ἵνα κατὰ τὸ δίκαιον ὑπὲρ τῆς Ἑκάβης εἴπῃ μὴ φωραθεὶς ὅτι προωμίλησεν αὐτῷ, καὶ διὰ τοῦτο ἐρωτᾷ τὸν Πολυμήστορα τίς σε ἀπώλεσε; A.

1117. αἱμάξας: αἱματώσας. Gu. κεντήσας. Gr. Ἑκάβη με: ἡ Ἑκάβη σὺν ταῖς αἰχμαλώτισι γυναιξὶν ἔφθειρεν. οὐκ ἀπώλεσε μικρῶς, ἀλλὰ μεγάλως, καὶ μεῖζον ἀπωλείας. I.

1120. Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλώτοις ἀπώλεσεν, ἀλλ' οὐκ ἀπώλεσεν, ἀλλὰ καί τι μεῖζον ἀπωλείας ἐμὲ ἐπεπράχει· εἰ γὰρ ἐφόνευσέ με, κρεῖττον ἦν· νῦν δὲ τοὺς παῖδας ἐφόνευσε κἀμὲ ἐτύφλωσε, καὶ τοῦτο μεῖζον ἀπωλείας. A.

1121. ἀλλὰ μειζόνως: τὸ γενέσθαι τυφλὸν τοῦ ἀπολέσθαι μεῖζον λέγει· εἰώθασι γὰρ οἱ ἄνθρωποι μείζονα τὰ παρόντα τῶν μὴ παρόντων κακῶν ἡγεῖσθαι. Cant. Gr. ἤγουν ἐπέκεινα ἀπωλείας εἰργάσατό με διὰ τὸ ζῆν με τυφλόν. Gu.

1122. τί φῄς: τοῦτο πρὸς τὸν Πολυμήστορα· κατ' ἐπίκρισιν δὲ τὸ σχῆμα· εἶτα πρὸς τὴν Ἑκάβην ἀποστρέφεται, καί φησι· σὺ τόδε, ὡς λέγει, τὸ ἔργον ἐποίησας, σὺ τὴν τόλμαν, ὦ Ἑκάβη, τήνδε ἐτόλμησας τὴν ὑπερβολικήν; I.

6. ἐκπληκτικόν] ὦ δύστηνε addit I.
sumtum ex lemmate verborum proximorum πολυμῆστορ ὦ δύστηνε, quod habet B.

7. κρίνῃ] εἴπῃ B.I.
ib. προωμίλησεν] πρωμίλησεν M.
8. τῇ Ἑκάβῃ] αὐτῇ B.I.

1123. τόλμαν: φοβερὰν πρᾶξιν. Gr. θάρσος. Gu. ἔτλης: ἐποίησας. Gr. ἐτόλμησας. μετὰ καρτερίας ἔπραξας. Gu. ἐμήχανεν: κακομήχανον ἢ μεγίστην. Gr. ἀνεπιχείρητον. Gu. τὸ ἄδικον, πρὸς ἣν οὐκ ἔστι μηχανὴν καὶ λύσιν εὑρεῖν. B.M. Fl. 10. 33.

1124. ὤμοι; φεῦ, τί πρᾶγμα λέγεις; ἆρα πλησίον ἐστί που ἡ Ἑκάβη; δήλωσον καὶ λέξον ποῦ ἐστιν, ὅπως ἁρπάσας αὐτὴν διὰ τῶν χειρῶν διασπαράξω καὶ αἱματώσω τὸ σῶμα αὐτῆς. I.

1125. σήμηνον: ὁδήγησον. Gr. δήλωσον, δεῖξον. Gu.

1126. διασπάσωμαι: διαμερίσωμαι. Gr. διασπαράξω, διαμερίσω, διαρρήξω. Gu. καθαιμάξω: φονεύσω. Fl. 59.

1127. οὗτος, τί πάσχεις: ὦ οὗτος, τί ποιεῖς; I. οὗτος: ὦ φίλε. Fl. 59. Ἀττικὸν τὸ οὗτος, ὦ σὺ δηλονότι. M. Fl. 10. 21. πάσχεις: ποιεῖς. Gr. παράφορα λέγεις. Gu. πρὸς θεῶν: ἕνεκεν τῶν θεῶν σε παρακαλῶ, ἄφες με ἐπαγαγεῖν αὐτῇ τὴν μαινομένην χεῖρα. I.

1128. μέθες μ᾽ ἐφεῖναι: φαίνεται ὅτι ἐκράτει αὐτὸν χερσίν. Gr. μαργῶσαν: μεμηνυῖαν. M. ἀστατοῦσαν, μαινομένην. Gu.

1129. ἴσχε: ἔπεχε σεαυτὸν, ἐκρίψας τῆς καρδίας τὴν βαρβαρότητα. I. τὸ βάρβαρον: τὴν ἄλογον ὁρμήν. B. τὸ θυμικόν. M. πολλάκις ἀντὶ προσηγορικοῦ ὀνόματος θηλυκοῦ μονογενοῦς τίθεται οὐδέτερον, οἷον τὸ σοφὸν τοῦ θεῖνος ἀντὶ τοῦ ἡ σοφία, τὸ αὐτεξούσιον, ἤγουν ἡ αὐτεξουσιότης, τὸ βάρβαρον ἀντὶ τοῦ ἡ βαρβαρότης. I. τὸ θυμῶδες. Gr. τὴν βαρβαρότητα, τὸ ἄγριον, τὸ θυμικὸν, τὸ θρασὺ καὶ μανικὸν, ὃ ἔχουσι βάρβαροι. Gu.

1130. λέγ᾽ ὡς ἀκούσας: λέγε μοι, ἵνα ἀκούσας ἀμφοτέρων, σοῦ καὶ τῆς Ἑκάβης, κρίνω δικαίως ἀντὶ τίνος ταῦτα πανθάνεις. I. ἐν μέρει: ἀνὰ μέρος σοῦ καὶ ταύτης. B.

1131. κρίνω: ὁ Ἀγαμέμνων οὐ κατ᾽ ἀληθῆ φιλίαν τῷ Πολυμήστορι διακείμενος οὐ μόνον οὐκ ἀμύνει αὐτῷ φανεὶς, ἀλλὰ καὶ ἐπιτιμᾷ ὡς δῆθεν ἀτακτοῦντι, καὶ μετὰ τὴν τοιαύτην συμφορὰν ἐξέτασιν καὶ

3. τὸ ἄδικον om. B.
4. μηχανὴν καὶ] ἐκχανεῖν Fl. 10. 33.
13. Ἀττικὸν—δηλονότι] ἀττικῶς ὦ οὗτος. σὺ δῆλον M.
25. πανθάνεις] Pro πάσχεις dictum apud recentiores, ut in scholio v. 1114.

κρίσιν πεισῆται· ὁ Πολυμήστωρ δὲ ἀγνοῶν ὡς φίλον ἀληθῆ ἐπικαλεῖται τοῦτον. Gr.

1132.—1156. λέγειμ' ἄν: εἴπειμι ἂν, σοὶ δηλονότι. ὑπῆρχέ τις ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου νέος, Πολύδωρος τοὔνομα, υἱὸς τῆς Ἑκάβης, ὅντινα ὁ πατὴρ ὁ Πρίαμος ἔδωκέ μοι ἀπὸ τῆς Τροίας ἀνατρέφειν ἐν τοῖς ἐμοῖς δόμοις, ὑποψίαν ἔχων τῆς Τρωϊκῆς κρατήσεως. τοῦτον τὸν Πολύδωρον ἐφόνευσα. ἀντὶ τίνος δὲ αἰτίας ἐφόνευσα αὐτὸν ἄκουσον. (προκατάστασις τὸ σχῆμα.) ἔδεισα ἵνα μὴ ὁ παῖς καταλειφθεὶς σὸς ἐχθρὸς συνάξῃ τὴν Τροίαν καὶ συνοικίσῃ ἐκ δευτέρου, οἱ δὲ Ἀχαιοὶ μαθόντες τινὰ ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου ζῶντα κινήσειαν πάλιν ναυτικὸν εἰς τὴν γῆν τῶν Τρώων, καὶ μετὰ ταῦτα ἀφανίζοιεν ταῦτα τὰ χωρία τῆς Θράκης, λείας ἀπελαύνοντες, τοῖς δὲ γείτοσιν ἡμῖν τῶν Τρώων ὑπάρξειε κακὸν, ἐν ᾧ κακῷ ἀρτίως ἐπάσχομεν. ἡ Ἑκάβη δὲ μαθοῦσα τὸν θάνατον τοῦ παιδὸς τοιῷδε δόλῳ ἤγαγεν ἐμὲ, ὡς λέξουσα τοὺς θησαυροὺς τοῦ χρυσοῦ τῶν υἱῶν τοῦ Πριάμου κεκρυμμένους ἐν τῇ Τροίᾳ. ἐμὲ δὲ μόνον σὺν τοῖς τέκνοις εἰς τοὺς οἴκους εἰσφέρει, ὅπως μὴ ἄλλος τις ἄνθρωπος γνοίη τάδε. ἐκάθισα δὲ ἐν μέσῳ τῆς κλίνης, κλίνας τὸ γόνυ. πολλαὶ δὲ χεῖρες (ἦγουν γυναῖκες, ἀπὸ μέρους τὸ πᾶν, ὡς τὸ "τοίην γὰρ κεφαλήν" ἀντὶ τοῦ ἄνδρα) πολλαὶ δὲ κόραι Τρώων παρθένοι ἐκάθηντο, αἱ μὲν ἀπὸ τῆς ἀριστερᾶς, αἱ δὲ ἀπὸ τῆς δεξιᾶς, καθὰ πεισῦσιν εἰς φίλους, κρατοῦσαι τὸ ὕφασμα (ἀπὸ γὰρ τοῦ πεισῦντος, τῆς κερκίδος, τὸ πεισύμενον ὠνόμασε) τῆς Μακεδονικῆς χειρὸς ἐπήνευν, ὑπὸ τὸ φῶς τοῦ ἡλίου θεώμεναι τάδε τὰ ἱμάτια. ἄλλαι δὲ τὸ Θρηκικὸν ἀκόντιον θεωρεῖσαι, (τοῦτο γὰρ εἶπε κάμακα) μεμενωμένον ἐποίησαν τοῦ διαπλοῦ ἐνδύματος, τοῦ ἀκοντίου καὶ τοῦ ὑφάσματος. I.

1133. Ἑκάβης παῖς: δηλονότι γεννηθεὶς ἐξ αὐτῆς· ἦσαν γὰρ τῷ Πριάμῳ καὶ ἕτεροι παῖδες ἀπ' ἄλλων γυναικῶν. ἐλέγοντο γοῦν καὶ οὗτοι υἱοὶ τῆς Ἑκάβης. ἵνα γοῦν δόξῃ ὅτι κατ' ἀλήθειαν ἦν ὁ Πολύδωρος παῖς αὐτῆς, λέγει παῖς τῆς Ἑκάβης· οὐ γὰρ ἠρκέσθη

11. κινήσειαν] King. κινοῖεν, quod in Gr. scriptum est supra αἴρωιεν, addito κινήσειαν a m. sec. King. post Τρώων addidit etiam στόλον.

MATTH.

13. ὑπάρξειε Barn. pro ὑπάξειε.

19. ὡς τὸ] Hom. Od. 1, 343.

μόνον εἰς τὸ νεώτατος ἀπὸ τῶν ἑτέρων υἱῶν τοῦ Πριάμου, ἀλλὰ προσέθηκε τὸ παῖς. Fl. 56.

1135. ὕποπτος: προορατὴς, προκατάσκοπος, καραδοκητὴς, ἤδη τὴν Τροίαν ἐλπίζων ἁλώσεσθαι. A.B. ἐν ὑποψίᾳ ὤν, ἀντὶ τοῦ ὑποπτεύων. Fl. 17. 59. 76. Gr. ἔμφοβος. Fl. 33.

1137. ὡς εὖ: λίαν καλῶς. Gr. τοῦτο ἐποίησα. Gu. σοφῇ προμηθίᾳ: καὶ κατὰ σοφὴν ἦγουν συνετὴν προμήθειαν. Gr. προνοίᾳ, προβουλεύσει, προγνώσει, οἰκονομίᾳ. Gu. προγνωσίᾳ. M.

1139. Τροίαν: τὸ πλῆθος τῶν Τρώων. B. τουτέστι τοὺς Τρῶας. Gr. τὸν λαὸν τῆς Τροίας. Gu. ἀθροίσῃ: περισυνάξῃ. Gu. κατοικίσῃ: κατῳκισμένην ποιήσῃ. Gu.

1141. αὖτις: Ἰωνικόν. B. αὖριον: ἐπάριον. στόλον: γρ. δόρυ. M.

1142. τρίβοιεν: καταφανίζουσι, καταθλίβουσι, διαφθείροιεν. Fl. 21. 59.

1143. λεηλατοῦντες: λείαν ἀπελαύνοντες. B.M. αἰχμαλωτίζοντες. Fl. 33. κουρσεύοντες, πορθοῦντες. Fl. 17. 21. 56. 59. 76. Gr. γείτοσιν δ' εἴη: ἡμῖν τοῖς Θρῃξίν. M. εἴη δὲ ἡμῖν, τοῖς γείτοσι τῶν Τρώων, κακὸν τοῦτο, τὸ καὶ αὖθις ἐκστρατεῦσαι τοὺς Ἕλληνας, ἐν ᾧπερ, κακῷ ὀθλονότι, ἤγουν τῇ ἐκστρατεύσει ἐκάμομεν. Gu.

1144. ἐν ᾧπερ: ἐν ᾧ κακῷ. B.M. ἐκάμνομεν: ἐδυστυχοῦμεν. Fl. 59. ἐπάσχομεν μέχρι τοῦ νῦν. B.

1145. θανάσιμον μόρον: μόρος οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ ἡ τύχη, ὡς ἔχει καὶ ταῦθα· οὐ γὰρ ἔστι λέγειν θανάσιμον θάνατον. Gu. I. θανάσιμον: τὰ ἐπίθετα ἢ ἑτερόν τι δηλοῦσι τῶν ὀνομάτων ἐφ' ὧν λέγονται, ἢ εἰ τὴν αὐτὴν αὐτοῖς ἔχουσι σημασίαν, πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου λέγεται, ἢ ἑτέραν τινὰ αἰτίαν ἔχει καθ' ἣν λέγεται, ἐνταῦθα δὲ τὸ θανάσιμος ἐπιθετικῶς λεγόμενον οὔτε ἕτερόν τι σημαίνει ἢ ὁ θάνατος ἐσήμαινεν οὔτε ταυτὸ σημαῖνον αὐτῷ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου λέγεται· οὐ γὰρ ἔστι ποτὲ θάνατος μὴ θάνατον ἐμποιῶν, οὔτε ἄλλην τινὰ αἰτίαν ἔχει καθ' ἣν

3. καραδοκητὴς est etiam in Fl.
10. προκ., προορ. καρ. in M.
13. διαφθείροιεν etiam B.
21. ἐν ᾧ om. M.
22. ἐπάσχομεν] πάσχομεν B.
23. μόρος] ὁ praefixum ab rubricatore in Gu.
26. ἢ εἰ] εἰ om. I.
27. τινὰ om. I.
29. ἐσήμαινεν. οὔτε] ἐσήμαιεν οὐ I.

λέγεται. ὥστε ἀρκοῦντος τοῦ θανάτου τῷ λόγῳ, τὸ θανάσιμος περιττῶς λέγεται κατὰ ποιητικὴν ἄδειαν. Gr. I.

1146. λόγῳ: γρ. δόλῳ. B.

1147. θήκας: θησαυρούς. B.M.

1150. ἴζω: ἐζόμην, ἐκαθεζόμην. B. κάμψας: κλίνας. B.

1151. πολλαὶ δὲ χεῖρες: οὕτω συντακτέον· πολλαὶ δὲ Τρώων κόραι ὥσπερ δὴ παρὰ φίλον θάκουν αἱ μὲν ἐξ ἀριστερῶν, αἱ δὲ ἔνθεν χερσὶ κερκίδ' Ἡδωνῆς χερὸς, ἀντὶ τοῦ κατέχουσαι ταῖς χερσὶ τὸ ἱμάτιον τὸ ἐκ Θρᾳκικῆς χειρὸς ὑφανθέν. Εἰς τὸ αὐτὸ ἐξήγησις. εἰσελθόντος τοῦ Πολυμήστορος μετὰ τῆς Ἑκάβης εἰς τὰς σκηνὰς καὶ καθεσθέντος προσῆλθον αὐτῷ αἱ εἶχον συμβολὴν μετὰ τῆς Ἑκάβης αὐτὸν τυφλῶσαι αἰχμαλωτίδες, καὶ αἱ μὲν ἐξ ἀριστερᾶς αὐτοῦ ἐκάθισαν, αἱ δὲ ἐκ δεξιῶν ὥσπερ παρὰ φίλων Τρώων κόραι, καὶ τοὺς αὐτοῦ πέπλους εἰληφυῖαι καὶ αἴρουσαι πρὸς τὰς τοῦ ἡλίου αὐγὰς ἐπήνουν αὐτοὺς, τοῦτο μὲν ὡς λαμπρὺς, τοῦτο δὲ ὡς ἐπιστημόνως κατεσκευασμένους. πᾶς γὰρ ὁ μέλλων ἀκριβῶς σκοπῆσαι πέπλον εἰ καλός ἐστι πρὸς τὰς τοῦ ἡλίου ἀκτῖνας τοῦτον ὁρᾷ, καὶ αὗται δὲ πάστριαι οὖσαι ἐθαύμαζον αὐτόν. τοῦτο δὲ ἐποίουν ὅπως συλλήψονται αὐτοῦ τὰς χεῖρας. καὶ αἱ μὲν ἐποίουν οὕτως, ἄλλαι δὲ τὸ ἀκόντιον αὐτοῦ ἐθαύμαζον καὶ ἑτέρα τῇ ἑτέρᾳ τοῦτο παρεχόμεναι εἰσήγαγον καὶ αὐτὸ εἰς τὴν ἔσωθεν σκηνήν. τοῦτο δὲ ἐποίουν ὅπως ἔρημος γενόμενος παντὸς ξίφους συντόμως κατεργασθῇ. διηγεῖται δὲ ταῦτα ὁ Πολυμήστωρ τὸν δόλον αὐτῶν ἐκφαίνων καὶ πῶς αὐτὸν ἠπάτησεν. A.

πολλαὶ δὲ χεῖρες: κόραι λέγω Τρώων, ἤγουν νέαι καὶ παρθένοι, ἐκάθηντο, αἱ μὲν ἐξ ἀριστερᾶς, αἱ δ' ἔνθεν, ἤγουν ἀπὸ τῆς δεξιᾶς, ὡς δὴ παρὰ φίλῳ, καὶ ἔχουσαι ἤγουν κρατοῦσαι τὴν κερκίδα, ἀντὶ τοῦ ὕφασμα τῆς Ἡδωνικῆς χερὸς ἀντὶ τοῦ τῆς Μακεδονικῆς χειρὸς, ἐπήνουν λεύσσουσαι ὑπὸ τὰς αὐγὰς, ἤγουν ὑπὸ τὸ φῶς, τούσδε τοὺς πέπλους. Gr. I. τὸ χεῖρες καὶ τὸ κόραι ἐκ παραλλήλου. Gu. I. ἀντὶ

1. λέγεται—ἄδειαν] κεῖται—ἐξουσίαν I.

18. πάστριαι] Vocabulum inferioris Graecitatis. Vita Andreae Sali c. 13. ap. Ducang. p. 1127. αἱ λεγόμεναι πάστριαι (codex πάτριαι) πιπράσκουσαι πολυτελῆ κόσμον.

25. ἀριστερᾶς] ἀριστερῶν I.

27. ὡς δὴ—κρατοῦσαι] ὡς δὲ παρὰ φίλῳ κρατοῦσαι I.

28. τῆς Ἡδωνικῆς χερὸς ἀντὶ τοῦ om. I.

29. λεύσσουσαι] βλέπουσαι I.

30. τὸ χεῖρες] τὸ δὲ χεῖρες I.

τοῦ γυναῖκες, ἀπὸ μέρους τὸ πᾶν, ὡς τὸ "τοίην γὰρ κεφαλήν" ἀντὶ τοῦ τοιοῦτον ἄνδρα. B.M. Fl. 10. 33.

1153. θάκουν: ὁ ἐνεστὼς ἀντὶ παρατατικοῦ, ὡς τὸ ἦκω. ἔθος δὲ τούτου τοῖς Ἀττικοῖς λαμβάνειν τὸν ἐνεστῶτα ἀντὶ παρεληλυθότος. ὡς δὴ θάκουν καὶ ἐκαθέζοντο παρ' ἐμοὶ τῷ φίλῳ αἱ κόραι τῶν Τρώων ἔχουσαι τὴν κερκίδα τῆς Ἠδωνῆς χερὸς, ἤγουν τῆς Ἠδωνικῆς καὶ τῆς Μακεδονικῆς· μετὰ γὰρ τῶν κερκίδων ὑφαίνουσι τὰ πέπλα. συγκόπτεται τὸ Ἠδωνικῆς καὶ γίνεται Ἠδωνῆς. τοιοῦτον δέ ἐστιν ὡς τὸ ῥητορευόμενος ἀντὶ τοῦ ῥητορικῶς. Fl. 59. κερκίδ': κερκὶς ἡ τῆς πίτυος κορυφὴ ἢ αἰγείρου. καὶ εἶδος ὄρνιθος. B. rec. ἀντὶ τοῦ ὕφασμα. Gr. τὸ ὕφασμα, ἱμάτιον, πέπλον. Gu. ἀντὶ τοῦ τὸ γινόμενον ἐκ τῆς Ἠδωνικῆς, ὅ ἐστι Θρᾳκικῆς, χειρὸς ἱμάτιον. ἀπὸ δὲ τοῦ ποιοῦντος τὸ ποιούμενον ὠνόμασεν. ὤφειλε γὰρ εἰπεῖν ἱμάτιον καὶ εἶπε κερκίδα. ἐκ γὰρ τῆς κερκίδος κάμνεται τὸ ἱμάτιον. τὸ δὲ Ἠδωνῆς ἀντίπτωσίς ἐστιν ἀντὶ τοῦ Ἠδωνίδος χερός. A.B. Ἄλλως. κερκίδας Θρᾳκικὰς κατέχουσαι· Ἠδωνοὶ γὰρ οἱ Θρᾷκες. B. τὸ ὕφασμα ἐνταῦθα, ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον· κερκὶς γὰρ κυρίως ὁ ἄτρακτος, ἐν ᾧ ὑφαίνουσιν. Gu. I. εἶμα ἢ σιδηροῦν. Fl. 10. Ἠδωνῆς: ἀντὶ τοῦ Μακεδονικῆς. Gr. Θρᾳκικῆς· μέρος γὰρ ἡ Μακεδονία τῆς Θρᾴκης. Gu.

1154. ἤνουν: ἐπήνουν κατέχουσαι καὶ σκοπεῦσαι ὑπὸ τὰς αὐγάς. M.

1155. ἄλλαι δὲ κάμακα: ἄλλαι δὲ τὸ Θρᾳκικὸν ἀκόντιον θεωροῦσαι· τοῦτο γὰρ εἶπε κάμακα. B. τὸν κόντον. Gr. ἀκόντιον, σπάθην. Gu. κοντάριον. B.

1156. διπτύχου: δίπτυχον στόλισμα λέγει ἢ τὴν σπάθην καὶ τὸν πέπλον, ἢ τὴν σπάθην μόνην, διὰ τὸ εἶναι αὐτὴν δίστομον. Gu. I. διπλοῦ τοῦ ἐνδύματος, ἤγουν τῶν διπλῶν μου ὁμμάτων. Fl. 59. τοῦ διπλοῦ ἐνδύματος, ἢ τοῦ διστόμου ἀκοντίου. Fl. 21. διπλοῦ, ἤτοι τῆς κερκίδος καὶ τοῦ δόρατος. Fl. 33. ἐπὶ μὲν τοῦ δόρατος διστόμου, ἐπὶ δὲ τῆς χλανίδος διπλῆς. Fl. 10. 21. δίπτυχον στό-

1. ὡς τὸ (Hom. Od. 1, 343.) τοίην γὰρ κεφαλήν] ὡς τὸ τροικὴν κεφαλήν Fl. 10. 33.

2. τοιοῦτον om. B. Fl. 10. 33.

11. αἰγείρου] ἔγειρ (sic) B.

12. ἀντὶ—Θρᾷκες] In B. κερκίδα τὸ ἱμάτιον τὸ γενόμενον—χειρός. ἀπὸ δὲ (δὲ om. A.) τοῦ—ὠνόμασεν. ἄλλως.—θρᾷκες B. In Fl. 10. κερκίδα ἐνταῦθα τὸ ἱμάτιον τὸ γινόμενον ἐκ τῆς θρᾳκικῆς χειρός. ἀπὸ—ὠνόμασεν. ἄλλος δὲ τὸ θρᾳκικὸν ἀκόντιον.

22. τὸ θ. ἀ. θεωροῦσαι est in M.

30. χλανίδος] χλαμύδος Fl. 10. 21.

λισμα τὴν διπαλτίαν φησί. τὸ γὰρ παλαιὸν οἱ πολεμοῦντες δύο παλτὰ ἐβάσταζον, τὸ μὲν ἐν μικρόν, ὃ καὶ πόρρωθεν ἐριποῦντες ἠκόντιζον τοὺς ἐναντίους, τὸ δὲ ἕτερον μεῖζον. ἢ δίπτυχιν στόλισμά φησι τὸ δόρυ διὰ τὸ τὰ Θρακικὰ ἀκόντια δίστομα εἶναι καὶ ἄνω καὶ κάτω σιδήρους ἔχειν, τὸ μὲν κάτω, ἵνα πήγνυται ἐπὶ τῆς γῆς, τὸ δὲ ἄνω, ἵνα τιτρώσκῃ. A. Ἄλλως. γράφεται καὶ στοχίσματος, ἵν' ᾖ τῶν λογχῶν. εἰ δὲ στολίσματος, τοῦ ἱματίου λέγει, οὐκέτι δὲ ὅλως γράφεται τὸ "ἄλλαι δὲ κάμακα Θρηκίαν θεώμεναι," ἀλλὰ πρὸς τὸ "ἦγουν θ' ὑπ' αὐγάς" τὸ "γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος," ἵνα λείπῃ ὁ καὶ ἀντὶ τοῦ καὶ γυμνόν. A.M. Fl. 21. καὶ ἄλλως. διπτύχου στολίσματος: ἢ διπτύχου στολίσματός φησι τῆς χλανίδος καὶ τοῦ ἀκοντίου, παρ' ὅσον καὶ αὐτὸ πρὸς ἄμυναν καὶ φυλακὴν τοῦ σώματος ἐβάσταζεν. Ὅμηρος "δώσω δ' ὀξὺν ἄκοντα κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν." Ἄλλως. ἐπὶ μὲν τοῦ δόρατος διστόμου, ἐπὶ δὲ τῆς χλανίδος λεπτῆς, ἢ ὅ φησιν Ὅμηρος δίπλακα. B. διπτύχου δὲ τινὲς τῆς διπαλτίας, ἀλλ' οὐκ ἐξ τὸ κάμακα ἐνικόν. A.B.M. Fl. 21. Καὶ ἄλλως. στολίσματος: καὶ ἀλλαχοῦ "οὐκ ἀγκυλωτοῖς Θεσσαλῶν στοχίσμασιν." ἐὰν δὲ στοχίσματα, λείπει ὁ καί, καὶ ἡ σύνταξις πρὸς τὸ "ἦγουν θ' ὑπ' αὐγάς." M. Fl. 21.

1157.—1159. ὅσαι δέ: ὅσαι, φησίν, ἦσαν τετοκυῖαι, ἦγουν μητέρες, τὰ ἐμὰ παιδία λαβοῦσαι, ὡς εὐειδῆ ὄντα, ἐξεθαύμαζον ἄλλη τῇ ἄλλῃ ἀνὰ μέρος ἀποδιδοῦσαι, ὅπως ἐμοῦ τοῦ πατρὸς πορρωτάτω γένοιντο καὶ εὐχερέστατα αὐταῖς εἴη πρὸς ἀναίρεσιν τὰ ἐμὰ τέκνα. B.M.I. ὅσαι δὲ τῶν γυναικῶν τὰ ἐμὰ τέκνα ὁρῶσαι ἐδόκουν ἐκπλήττεσθαι ἐν χεροῖν ἔπαλλον, ἦγουν ἔτυπτον, ἵνα ἀπογένωνται τοῦ πατρός. Fl. 33.

τοκάδες: τίκτουσαι. B. τετοκυῖαι. Fl. 10. γεννήτριαι (Fl.

7. ὅλως om. A.

8. Addidi ἄλλαι δὲ et τὸ ante γυμνόν.

10. καὶ ἄλλως om. B.

13. Ὅμηρος] Od. 21, 340.

15. ἢ ὅ] A m. sec. in initio versus ᾗ praescriptum, quia librarius dubitabat utrum prima manus ἢ ὃ an ἣν scribere voluerit.

17. ἀγκυλωτοῖς Θεσσαλῶν στοχίσμασιν] ἐν κύκλῳ (ἐγκύκλῳ M.) τοῖς θεσσαλῶν στοχίσμασιν M. Fl. 21. Correxi ex Bacch. 1157., sed reliqui στοχίσμασιν vitiose scriptum pro στοχάσμασιν, quod est in Bacchis.

18. πρὸς τὸ om. Fl. 21.

20. ὅσαι—τετοκυῖαι] ὁπόσαι δὲ ἦσαν τοκάδες I.

ib. ἦγουν μητέρες om. B.M.

21. ἐξεθαύμαζον] ἐθαύμαζον B.I.

23. εἴη πρὸς ἀναίρεσιν om. I., τὰ ἐμὰ τέκνα om. B.I.

33.) μητέρες. Gu. ἐκπαγλούμεναι: θαυμάζουσαι. Gr. ἐκπληττόμεναι τὰ ἐμὰ παιδία. M.

1158. ἔπαλλεν: συνέστρεφον, ἐκίνουν. Gu. ἐκολάκευον. Fl. 59. ἀνεκύκλουν. Fl. 56. ὡς πρόσω πατρός: ἵνα βελτίονα τοῦ πατρὸς γένοιντο. M. ἵνα γένοιτο πόρρω, μακρὰν ἐμοῦ τοῦ πατρός. Fl. 59. 76. διχῶς τοῦτο, ἢ ὅτι ἐν ταῖς διαδοχαῖς γένοιτο βελτίονες τοῦ πατρὸς ἐμοῦ, ἢ ὅτι ἵνα γένωσι μακρὰν τοῦ πατρὸς τοῦ σφάξαι αὐτούς. Fl. 21. πορρωτάτω ἢ βελτίονα. Fl. 10.

1159. ἀμείβουσαι διὰ χερός: γρ. καὶ ἀμείβουσαι χερῖν. B. διαδιδοῦσαι. ἀλλακτικῶς λαμβάνουσαι. Gu. μεταδιδοῦσαι. Fl. 10. ὡς εὐχερέστατα αὐταῖς. φησὶ πρὸς ἀναίρεσιν. Fl. 10. ἀνταλλαττόμεναι. ἐδίδου ἡ μία πρὸς τὴν ἑτέραν. Fl. 59.

1160. κᾆτ' ἐκ γαληνῶν: ἡσύχων. B. καὶ εἶτα ἐκ κολακικῶν καὶ ἡσυχίων προσφωνημάτων, πῶς νομίζεις, κεντοῦσι τοὺς παῖδας, λαβοῦσαι ξίφη ἐκ τῶν ἱματίων. καλῶς δὲ πρῶτον ἀπέκτειναν τοὺς παῖδας, ἵνα θεωρῶν ὁ πατὴρ πλέον ἀνιῶτο. A.B.I.

πῶς δοκεῖς: τινὲς τὸ πῶς δοκεῖς ἀντὶ τοῦ ὥσπερ κατάσκοποι, ἀπὸ τῆς δοκεύς εὐθείας, ὅπερ εἰ καὶ ἀληθές ἐστι λέγειν ὀκνῶ. Λ. θαυμαστικόν. Gr. λίαν. πῶς ἂν εἴποις. Gu.

1161. ποθέν: ἀπό τινος μέρους. Gr. Fl. 17. 59. 76.

1162. κεντοῦσι: σφάττουσι. Gr.

1162.—1182. αἱ δὲ πολεμίων: αὗται δὲ ξυλλαβόμενοι τρόπον, ἤτοι δίκην, ἐχθρῶν, κατεῖχον τὰς ἐμὰς χεῖρας καὶ τοὺς πόδας· τοῖς παισὶ δὲ τοῖς ἐμοῖς βοηθῆσαι θέλων ἐγὼ, εἰ μὲν τὸ πρόσωπον ἐξανίστων, ἀπὸ τῆς κόμης ἐκεῖναι ἐκράτουν, εἰ δὲ ἐκίνουν τὰς χεῖρας, ὑπὸ τοῦ πλήθους τῶν γυναικῶν κωλυόμενος οὐδὲν ἐτελείουν ὁ ἄθλιος. τὸ

1. ἐκπληττόμεναι etiam in Gu.
3. ἐκίνουν etiam B.
13. καὶ εἶτα] καὶ om. B. In M. haec sunt, εἶτα ἐκ κολακικῶν προσφθεγμάτων δοκεῖς λαβοῦσαι κτείνοισι παῖδας κεντοῦσι.
ib. κολακικῶν καὶ ἡσυχίων] κολακευτικῶν καὶ ἡσύχων I.
14. νομίζεις] δοκεῖς B. a m. sec. literis evanidis non recte suppletis. Nam prima νομίζεις scripserat, de quo litera ζ superest.
15. λαβοῦσαι—ἱματίων om. B.
ib. καλῶς] Ultima καλῶς δὲ—ἀνιῶτο sunt etiam in Fl. 10. nisi quod habet ἵνα θεωρῶν ὁ πατὴρ μᾶλλον ὠδυνῶτο. At 33. πρῶτον κεντοῦσι παῖδας, πρῶτον ἀποκτείνουσι τοὺς παῖδας, ἵνα θεῶν ὁ πατὴρ ἀνιῶτο. MATTH.
ib. τοὺς παῖδας] τοὺς om. I.
16. θεωρῶν] ὁρῶν I. πλέον om. B.I.
17. ὥσπερ κατάσκοποι] Hoc qui excogitarunt ὡς δοκεῖς scribere debuerunt.

ἔσχατον δὲ βλάβος τοῦ βλάβους πλέον ὑπῆρχεν· ἐποίησαν χαλεπὰ, περόνας λαβοῦσαι αἱ γυναῖκες κεντοῦσι τὰς ἀθλίας κόρας τῶν ἐμῶν ὀφθαλμῶν, καὶ αἱματηρὰς ποιοῦσιν, εἶτα κατὰ τοὺς οἴκους φυγάδες γενόμεναι ἐπορεύθησαν. ἐκπηδήσας δ' ἐγὼ καθάπερ θὴρ ἐδίωκον τὰς φονικὰς κύνας, ἐξετάζων καὶ ἐρευνῶν πάντα τὸν τοῖχον, καθὰ κυνηγὸς, κρούων, τύπτων. τοιαῦτα ἔπαθον σοῦ χάριν σπουδάζων καὶ τὸν ἐχθρόν σου φονεύσας, ὦ Ἀγάμεμνον. ἵνα δὲ μὴ εἰς πολὺ ἐκτεταμένους ἐξαπλῶ τοὺς λόγους, ἐάν τις τῶν παλαιῶν ἐβλασφήμησε τὰς γυναῖκας, ἢ ἀρτίως ἐστί τις λέγων κακῶς, ἢ ἀπόκειται λέγειν, ταῦτα πάντ' ἐγὼ συναθροίσας καὶ συντόμως συλλαβὼν εἶπω· οὔτε γὰρ θάλασσα οὔτε γῆ ἀνατρέφει τοιόνδε γένος. ὁ δὲ διόλου συντυχὼν τῷ γένει τῶν γυναικῶν ὃ λέγω γινώσκει καλῶς. I.

1163. ξυναρπάσασαι: συλλαβόμεναι. B. συλλαβοῦσαι ὡς αἰχμάλωτον. M. ὁμοῦ πᾶσαι ἁρπάσασαι. Gr. ἁρπακτικῶς λαβοῦσαι. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1164. κῶλα: τὰ μέλη. B. ἤγουν τοὺς πόδας, τὴν κεφαλήν. Fl. 59. ἀρκέσαι, ἐπαρκέσαι, βοηθῆσαι. Gu.

1165. ἐξανισταίην: ἀντὶ τοῦ ἀνίστων. B. Gr. ἐξανέστησα, ἀνήγειρα. Gu.

1166. κόμης: ἀπὸ τῆς. B. κινοίην: ἀντὶ τοῦ ἐκίνουν. B. rec. Ἀττικόν. B.

1167. πλήθει γυναικῶν: ὑπὸ τοῦ πλήθους τῶν γυναικῶν κωλυόμενος δηλονότι οὐδὲν ἦνυον ὁ ἄθλιος. B. Gr. I.

οὐδὲν ἦνυον: οὐδὲν ἴσχυον πρᾶξαι νικώμενος ὑπὸ τῶν πολλῶν γυναικῶν. A.

1168. τὸ λοίσθιον: τὸ ἔσχατον. B. Fl. 59. τὸ χείριστον. Fl. 59. τὸ ἔσχατον δὲ καὶ ὑστέρως ἐξειργάσαντο δεινῶς πῆμα καὶ βλάβος, ἤγουν τὴν τύφλωσιν μου πλέον τοῦ πήματος, ἤγουν τοῦ φόνου τῶν παίδων μου. Fl. 59.

1170. πόρπας: περόνας. B. Gr. βελόνας. πόρπας κυρίως τὰς γλώσσας τῶν κομβοθηλειῶν φασί· νῦν δὲ καταχρηστικῶς τὰς βελόνας λέγει. Gu. περόνας, συβλία. Fl. 59. μαχαιρίδια ἢ κομβία. πόρπη κυρίως τὰ περονίδια τὰ τοῖς θηλυκοῖς ἐντιθέμενα τοῖς μαντείοις,

33. μαντείοις] μαντίοις Lobeck. Pathol. Proleg. p. 27. ἱματίοις Doederl. Glossar. Hom. vol. 1. p. 243.

καταχρηστικῶς δὲ πᾶν τὸ διαπεῖρον καὶ διαπερονῶν. Fl. 33. τὰς ταλαιπώρους κόρας: τὸ ἐξῆς, ἐμῶν γὰρ ὀμμάτων τὰς ταλαιπώρους κόρας κεντοῦσιν. B.M.

1171. ἀνὰ στέγας: κατὰ τοὺς οἴκους. B. rec.

1172. ἐκ δὲ πηδήσας: ὑπερβατόν. Gu.

1173. διώκω: ἐδίωκον. B. rec.

1174. ἅπαντ' ἐρευνῶν: ὥσπερ, φησὶν, ὁ θηρατὴρ ἀνὴρ πάντα περισκοπῶν ἐξακριβοῦται, μὴ λάθῃ αὐτὸν τὸ θήραμα, οὕτως ἀνηρεύνων κἀγὼ τοὺς τοίχους βάλλων καὶ ἁράσσων καὶ κατασχεῖν ἔσπευδον τὰς Τρῳάδας γυναῖκας. A.

1175. βάλλων: κρούων. B. ἁράσσων: συντρίβων. B. τοιᾶδε σπεύδων: τοιᾶδε πέπονθα, ὦ Ἀγάμεμνον, σπεύδων εἰς τὴν σὴν χάριν, καὶ πολέμιον σὸν κτανών. σπεύδω ἐγὼ, ἐπισπεύδω δὲ ἕτερον. Gr. I. σπεύδων χάριν τὴν σήν: ἤγουν σπουδάζων χαρίσασθαί σοι. Gu.

1176. σόν: τὸν Πολύδωρον. B.

1177. ὡς δὲ μή: ἵνα δὲ μὴ μακρολογῶ, ἐάν τις τῶν προτέρων κακῶς εἶπε τὰς γυναῖκα, ὑβρίσας αὐτάς· τίς δὲ ἢ μέλλει ὑβρίσαι, ταῦτα πάντα μετὰ συντομῆς ἐγὼ λέξω, ὅ ἐστι, τοιοῦτον οὐ τρέφει γένος οὔτε γῆ οὔτε θάλασσα. Fl. 33.

1178. τῶν πρίν: τῶν πρὶν σοφῶν ἀνθρώπων. Gu. εἴρηκεν κακῶς: ἔψεξεν. ἀντὶ τοῦ ἐκακολόγησε, ὕβρισε. διαλύουσι δὲ τὸ κακολογῶ, ὡς καὶ τὸ κακοπραγῶ. Fl. 59.

1179. λέγων: κακῶς. B. Fl. 59. ἤγουν ὑβρίζων. Fl. 59.

1180. συντεμών: συντόμως συλλαβών. B. Gr. ἐλίγῳ ἐν συνάξας. Gu.

1181. οὔτε πόντος: θάλασσα καὶ πῦρ καὶ γυνὴ κακὸν τρίτον. Gu.

1182. ὁ δ' ἀεὶ ξυντυχὼν ἐπίσταται: γρ. ὁ δ' αὐταῖς ξυντυχών. M. ὁ ξυντυχὼν δὲ ἐπίσταται αἰεί. Gr. ὁ ἐν μετουσίᾳ γενόμενος, ὁ πεῖραν αὐτῶν εἰληφώς. Gu. ὅστις ἐστὶν ὁ ξυντυχήσας, ἐκεῖνος γινώσκει πῶς ἐστί. ὡς ἐξ ἁμάξης ἐδεξάμην ὕβρεις τοῦ λόγου. Fl. 33. ἐπίσταται: γινώσκει τὰ παρ' ἑαυτῶν. Fl. 59. ταύτας. Gu.

1183.—1186. μηδὲν θρασύνου: μηδαμῶς ἐπαίρου, μηδὲ τοῖς

2. γὰρ et κόρας κεντοῦσιν om. M.

σαυτοῦ λόγοις συναγαγὼν καὶ συμμίξας οὕτως ὅλον τὸ γένος μέμψῃ τῶν γυναικῶν· πολλαὶ γὰρ ἀφ' ἡμῶν, αἱ μὲν ὑπάρχουσιν ἐπαινεταὶ καὶ ζηλωταὶ, ἄλλαι δὲ εἰς τὸν κατάλογον τῶν κακῶν ὑπάρχομεν, ἐπίμεμπτοι καὶ ὕβρεως ἄξιαι. I. μετριοφροσύνη ἐνταῦθα τοῦ χοροῦ· τῷ γὰρ εἰπεῖν "πολλαὶ μὲν ἡμῶν εἰσι καλαί" καὶ μὴ συναριθμῆσαι ταῖς καλαῖς ἑαυτὸν, ἐπὶ δὲ τῶν κακῶν τὸ πεφύκαμεν, τὸ μέτριον ἐνταῦθα ἔδειξεν. Gu. I. καὶ τὸ πολλαὶ ἱκανὸν ἦν καὶ μόνον τετελεσμένον ποιεῖν τὸν λόγον. νῦν δὲ ἐπάγει καὶ τὸ αἱ μέν, καὶ ποιεῖ τὸν λόγον ὡς ἀπ' ἄλλης ἀρχῆς, ἵν' οἰκειότερον ἀποδοθῇ πρὸς αὐτὸ τὸ αἱ δέ. Gr. I. μηδὲν καὶ μηδαμῶς ἐπαίρου κατὰ τῶν γυναικῶν, ὦ Πολυμῆστορ, μηδὲ τοῖς σαυτοῦ κακοῖς, ἤγουν ἕνεκα τῶν σῶν κακῶν ἐνώσας πᾶν, τὸ πᾶν, γένος τὸ θῆλυ ὧδε καὶ οὕτως μέμψῃ καὶ μέμψεσαι. ἀφ' ἡμῶν γὰρ πολλαί εἰσιν ἐπαινεταὶ, ἄλλαι δὲ οὐκ ἐπαινεταί. ὁ δὲ Πολυμήστωρ θυμούμενος κοινῷ λόγῳ πάσας γυναῖκας οὐκ ἀγαθὰς καλεῖ. καὶ ὅρα τῆς Ἑκάβης τὴν φρόνησιν· οὐκ εἰσῆξεν ἑαυτὴν τῷ ἀριθμῷ τῶν ἐπιφθόνων καὶ ζηλωτῶν γυναικῶν, εἰς δὲ τὸν ἀριθμὸν τῶν κακῶν εἰσῆξεν αὐτήν. Fl. 59.

1183. μηδέν: μή. B. rec. Gr. θρασύνου: μὴ θράσος ἐνδείκνυσο καὶ ὡς βάρβαρος ἐκμαίνῃ τὰς πάσας ἡμῶν ψέγων· οὐ γὰρ συνετόν. ὁ χορὸς τῶν γυναικῶν ταῦτά φησι πρὸς τὸν Πολυμήστορα κοινῶς τὸ γυναικεῖον ἅπαν φῦλον μεμφόμενον. A. ἀναισχύντως λέγε, ἐξάγου τῶν καθεστηκότων. Gu.

1184. συνθείς: συναγαγών. B. συμμίξας. B.M. ἀντὶ τοῦ παραθεὶς, συγκρίνων. Gr. συμπλέξας, συναγαγὼν, συνάξας. Gu. συναρμόσας. Fl. 33.

1185. ἐπίφθονοι: ἐπαινεταὶ, ζηλωταί. B. Gr. ἐπίμεμπτοι, ἐπίψογοι, ὕβρεως ἄξιοι. B.M. τίμιαι, καλαί· τὸ γὰρ καλὸν ἐπίφθονον. Gu. ἐπαινεταὶ, ζηλωταί· τὸ γὰρ ἐπαινετὸν καὶ ἐπίφθονον. Fl. 59.

1186. εἰς ἀριθμόν: εἰς τὸν κατάλογον. B. Gr. τάξιν. Gu. αἱ δὲ κατατατόμεθα μὴ οὖσαι φαῦλαι εἰς ἀριθμὸν τῶν φαύλων. M. πεφύκαμεν: ὑπάρχομεν, ἐσμέν. Fl. 59. λέγουσιν ἐνταῦθα ὅτι ὁ Εὐριπίδης ὑβρίζει τὰς γυναῖκας, τῷ φαινομένῳ μὲν διὰ τοῦ Πολυ-

8. ποιεῖν] ποιῆσαι I.
ib. ποιεῖ] ποιεῖται I.
14. πάσας] πάντας Fl. 59.
27. ἐπίψογοι om. B.

μήστορος· καὶ ἐκείνου γὰρ ἡ γυνὴ ἐμοιχεύθη· καὶ εὖρὼν ἀρτίως ἀφορμὴν λέγει. Fl. 59.

1187.—1195. Ἀγάμεμνον: Ἀγάμεμνον, οὐκ ἔπρεπε ποτὲ τὴν γλῶσσαν, ἤγουν τοὺς λόγους τῶν ἀνθρώπων, ἰσχύειν καὶ δύνασθαι πλέον τῶν πράξεων· ἀλλ' εἴτε ἀγαθὰ ἔπραξεν ὁ ἄνθρωπος, ἀγαθὰ ἔπρεπε λέγειν, εἴτε πάλιν ἔδρασε φαῦλα, ἔδει τοὺς λόγους ὑπάρχειν ἀσθενεῖς, καὶ μὴ δύνασθαι τὰ ἄδικα εὐλογοποιεῖν ποτέ. σοφοὶ μὲν οὖν ὑπάρχουσιν οἱ τάδε ἀκριβῶς μεμαθηκότες ῥήτορες, οἱ δυνάμενοι τὸ δίκαιον σοφίσασθαι ἐν ῥητορικῇ, ἀλλ' οὐ δύνανται μέχρι τέλους ὑπάρχειν σοφοὶ, ὡς τῆς ἀληθείας ἐν ὑστέρῳ φαινομένης. (ὡς καὶ Ἡσίοδός φησι "δίκη δ' ὑπὲρ ὕβριος ἴσχει, ἐς τέλος ἐξελθοῦσα.") κακῶς δὲ διεφθάρησαν, καὶ εὔπω οὐδεὶς ἐς τόδε ἐξέφυγε. I.

1187. Ἀγάμεμνον: ὦ Ἀγάμεμνον, οὐκ ἔπρεπέ ποτε τοῖς ἀνθρώποις ἰσχύειν καὶ δύνασθαι τὴν γλῶσσαν αὐτῶν περισσότερον τῶν πραγμάτων, ἤγουν οὐκ ἔπρεπε τοὺς ἀνθρώπους λέγειν ἄλλα καὶ ποιεῖν ἄλλα. καὶ ὁ Πολυμήστωρ τῷ φαινομένῳ μὲν, κατεπείγοντος αὐτὸν τοῦ κακοῦ, λέγει, ὅτι διὰ τὴν τοῦ Ἀγαμέμνονος χάριν ἐφύσευσε τὸν Πολύδωρον, τὸ δὲ ἀληθὲς διὰ τὸν χρυσόν. Fl. 59.

ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε: φιλοσοφώτατα ἄγαν τὰ ῥήματα. οὐκ ἐχρῆν γὰρ, φησὶν, ὑψηλοτέραν εἶναι τὴν γλῶσσαν τῶν πράξεων, ἀλλὰ ταῖς πράξεσι συμφωνεῖν. A.

1188. τῶν πραγμάτων: τῶν πραχθέντων. B.

1189. εἴτε χρήστ' ἔδρασε: ἔδρασέ τις δηλονότι, καὶ τὸ ἔδει λέγειν πρὸς τὴν γλῶσσαν συντάσσεται. B.

1190. σάθρους; ἀσθενεῖς. Gr. ἀδυνάτους. Gu.

1191. εὖ λέγειν: καλῶς ῥητορεύειν. Gr. σεμνολογεῖν καὶ εὔλογα δεικνύναι. Gu. καὶ μὴ δύνασθαί ποτε τὰ ἄδικα λέγειν εὖ λέγειν καὶ ὡς καλὰ εἰσαγαγεῖν. Fl. 59.

1192. σοφοί: ῥήτορες πανοῦργοι. Gu. πανηροὶ ῥήτορες. Fl. 59.

οἳ τάδ' ἠκριβωκότες: ἀκριβῶς μεμαθηκότες. Gr. τεχνασάμενοι, εὑρόντες. Gu. ἀκριβῶς ποιοῦντες, ἤγουν τὸ ψεύδεσθαι. Fl. 21.

8. οἱ δυνάμενοι] In B. scholion brevius, οἱ δινάμενοι τὸ δ. σ. ἐν ῥητορικῇ σοφοί εἰσιν, αἰκέτι δὲ κατὰ ψυχήν. ἢ ὡς καὶ—ἐξελθοῦσα:—Similia etiam in A., sed a m. recenti.

11. Ἡσίοδος] Op. 215.

29. ῥήτορες] Gl. οἱ ῥήτορες in B. In M. πανοῦργοι.

μετ' ἀκριβείας ἐπιστάμενοι πάντα, ἤγουν οἱ λέγοντες ἄλλα καὶ πράττοντες ἕτερα. Fl. 59. ταῦτα: τὰ ἄδικα δίκαια λέγειν. τὸ πιεῖν τὰ κακὰ καλά. Gu.

1193. ἀλλ' οὐ δύνανται: οἱ δυνάμεναι τὸ δίκαιον σοφίσασθαι ἐν ῥητορικῇ σοφίᾳ μέν εἰσιν, οὐκέτι δὲ καὶ κατὰ τύχην. M. ἐπεὶ οὐ δύνανται τελέως οἱ ῥήτορες πεῖσαι τὸ δίκαιον ὁμολογουμένως ἄδικον. Gu. διὰ τέλους: μέχρι τέλους. B. κατὰ τὴν ψυχήν. Fl. 10. εἶναι σόφοι: ὑπάρχειν πονηροί. Fl. 59. νικᾷ δηλονότι ἡ ἀλήθεια. Fl. 21. πανοῦργοι. B.

1194. κακῶς δ' ἀπώλοντ': φωραθέντων ὧν πεισῖν. Gu. οὕτις ἐξήλυξέ πω: καὶ οὕπω οὐδεὶς ἐξέφυγεν. Gr. τὸ μὴ δοῦναι δίκην. τὴν κατάγνωσιν. Gu. καὶ οὕπω οὐδεὶς ἐξέφυγε τοῦτο δηλονότι τὸ μὴ νικηθῆναι παρὰ τῆς ἀληθείας. Fl. 21.

1195.—1208. καί μοι τὸ μὲν σόν: καὶ τὸ μὲν πρὸς σὲ, ἤτοι ὁ πρὸς σὲ λόγος, οὕτως μοι διάκειται ἐν προοιμίοις· πρὸς τοῦτον δὲ ἐλεύσομαι. καὶ διὰ λόγων ἀποκρινοῦμαι. πῶς λέγεις τοὺς Ἕλληνας διπλοῦ πένευ ἀπαλλάσσειν καὶ ἐλευθερῶν χάριν τοῦ Ἀγαμέμνονος τὸν ἐμὸν υἱὸν πεφανευκέναι; ἀλλ', ὦ κακότριπε, ἐν πρωτολογίᾳ μὲν οὐδέποτε τὸ βάρβαρον γένος γένοιτ' ἂν προσφιλὲς τοῖς Ἕλλησιν, οὐδὲ δυνηθείη ἂν γενέσθαι. τίνα δὲ χάριν σπουδάζων γενέσθαι σοι, πρόθυμος ὑπῆρχες πρὸς τὸ βοηθῆσαι τούτοις; ἆρα ἐπιγαμβρεύσων καὶ μέλλων συνάπτεσθαι αὐτοῖς εἰς γάμων τινά; ἢ ὑπάρχων τινὸς συγγενὴς, ἢ τίνα ἀφορμὴν ἔχων; ἢ ἔμελλον, πάλιν πλεύσαντες, ἀφανίσαι τὰ γεννήματα τῆς σῆς γῆς: τίνα νομίζεις πείσειν ταῦτα; εἰ θέλεις εἰπεῖν τὴν ἀλήθειαν, ὁ χρυσὸς ἐφόνευσε τὸν ἐμὸν υἱόν, καὶ ἡ αἰσχροκέρδεια ἡ σὴ, ἡ τοῦ σοῦ κέρδους ἐπιθυμία. I.

1195. καί μοι τὸ μὲν σόν: τὸ χαρίσασθαι αὐτοῖς πότερα μᾶλλον συνάπτεται αὐτοῖς εἰς γένος. B. τὸ πρὸς σὲ οὕτως μοι ἔχει ἐν προοιμίοις. B. M. καὶ ταῦτα μὲν εἶπον ἐν ὀλίγοις λόγοις πρὸς σὲ τὸν Ἀγαμέμνονα. πάσσαλος πασσάλῳ λύεται, ἠρεμούμενα ἐπὶ πασσάλῳ τὰ τόξα σου. Fl. 33. τὸ σόν: ὁ πρὸς σὲ λόγος. Gu. ὧδ': οὕτως. Gr. ὡς ἔφην. Gu. φροιμίοις ἔχει: ἐν προοιμίοις διάκειται. Gr. ἤγουν ἐν τῇ ἀρχῇ τῶν λόγων, οὓς μέλλω εἰπεῖν. Gu.

28. οὕτως μοι—προοιμίοις] μοι οὕτως —προοιμίῳ M.

31. Gl. πρὸς σέ et διάκειται in B. rec.

1196. ἀμείψομαι: ἐρωτήσω. B. ἀποκρινοῦμαι. Gr. διαδέξομαι, ἤγουν ἀποκριθήσομαι. Gu. ἀποκρινοῦμαι κατὰ διαδοχὴν αὐτὸν ἐν λόγοις. Fl. 59.

1197. Ἀχαιῶν πόνον διπλοῦν: γρ. καὶ γόνον. M. ἀντίπτωσις, τοὺς Ἀχαιοὺς πόνου ἐλευθερῶν διπλοῦ ἀντὶ τοῦ δευτέρου. Gr. ἀντίστροφον ἀντὶ τοῦ τοὺς Ἀχαιοὺς πόνου διπλοῦ. Gu. ὃς φὴς τοὺς Ἕλληνας διπλοῦ πόνου ἀπαλλάσσων τὸν ἐμὸν υἱὸν πεφονευκέναι. B. διπλοῦν: ἀντὶ τοῦ δευτέρου. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1199. ἀλλ' ὦ κάκιστε: ἀλλ' ὦ κάκιστε, πονηρότατε, πρῶτον μὲν καὶ κατὰ τὴν ἀρχὴν οὔποτε καὶ οὐδαμῶς γένοιτο ἂν τὸ βάρβαρον γένος φίλον καὶ προσφιλέστατον τοῖς Ἕλλησιν, ἤγουν ὁ Ἀγαμέμνων Ἕλλην, σὺ βάρβαρος, πῶς μέλλετε φιλωθῆναι; σεμνύεται δὲ τὸ γένος τῶν Ἑλλήνων, ὡς προτιμότερον πάντων τῶν βαρβάρων. Fl. 59. πρῶτον: ἐν πρωτολογίᾳ, ἤγουν κατὰ πρώτην εἰσβολὴν τοῦ λόγου μου τοῦτό σοι λέγω. Gu.

1200. τὸ βάρβαρον: πρῶτον γὰρ ἠδίκησαν οἱ Φοίνικες τοὺς Ἕλληνας ἁρπάσαντες Ἰὼ τὴν Ἰνάχου τοῦ ποταμοῦ θυγατέρα, ὥς φησιν Ἡρόδοτος· Ἕλληνες δὲ ἀντιτιμωρούμενοι τοὺς βαρβάρους ἥρπασαν τὴν Μήδειαν καὶ τὴν Ἡσιόνην, καὶ πάλιν βάρβαροι Ἑλένην Ἑλλήνων. A. B. M. Fl. 10.

1201. τίνα δὲ καὶ σπείδων χάριν: τίνα δὲ καὶ χάριν ποιῶν τοῖς Ἕλλησιν ἐφόνευσας τὸν ἐμὸν παῖδα; ἆρα ὡς κηδεύσων τινὰ ἢ ὡς συγγενὴς τῶν Ἑλλήνων τοῦτο ἐποίησας; A. λοιπόν, τοίνυν. M. Fl. 21. καὶ διὰ ποίαν χάριν σπουδάζων ἦσθα καὶ ὑπῆρχες πρόθυμος φονεῦσαι τὸν υἱόν μου; Fl. 59. λείπει τὸ χαρίσασθαι αὐτούς. Fl. 10.

1202. πρόθυμος ἦσθα: εἰς τὸ φονεύειν. B. πρὸς τὸ βοηθῆσαι τούτοις. Gr. τὸν Πολύδωρον κτανεῖν. Gu. πρὸς τὸ βοηθῆσαι τούτοις τὸ ἀποκτεῖναι τὸν ἐμὸν υἱόν. Fl. 21. κηδεύσων: ἐπιγαμ-

16. τοὺς Ἕλληνας] τοὺς om. A.M.
17. ἰὼ A. ἰνὼ ceteri.
ib. τοῦ π. θ.] θ. τοῦ π. M. Fl. 10.
18. Ἡρόδοτος] 1, 1.
ib. ἀντιτιμωραίμενοι] τιμωρούμενοι B. Fl. 10.
19. ἥρπασαν om. M. Fl.
ib. Ἑλένην Ἑλλήνων] ἑλλήνων τὴν ἑλένην Fl. 10.
20. Ἑλλήνων] ἐξ ἑλλήνων A.
23. λοιπόν vel εἰπόν Matth. λεῖ M. λειπὸν Fl. 21.
24. διὰ ποίαν Matth. διεποιίαν Fl. 59.

βρεύσων, συγγενῆ ποιήσων. Gu. *μέλλων συνάπτεσθαι αὐτοῖς εἰς γένος.* M.

1204. *βλαστήματα*: *τὰ χωράφια.* Gu.

1205. *αὖθις*: *ἐκ δευτέρου.* Fl. 59. *τίνα δοκεῖς*: *καὶ ποῖον ἄνθρωπον νομίζεις καὶ καταπείσειν διὰ ταῦτα, ἅπερ λέγεις.* Fl. 59. *τάδε*: *εἰς.* Gu.

1206. *ὁ χρυσός*: *ἤγουν ὀρεγόμενος σὺ ἐπαυρᾶν τὸν χρυσὸν ἐφόνευσας τὸν ἐμὸν παῖδα* Fl. 59. *εἰ βούλοιο*: *οἱ Ἀττικοὶ βούλοιο γράφουσι παθητικῶς, οὐ μὴν δὲ βούλοιο ἐνεργητικῶς. καὶ ἐν τοῖς πεζογράφοις ἡ λέξις χρησιμωτάτη.* Fl. 59.

1207. *κέρδη τὰ σά*: *καὶ ἡ σὴ τοῦ κέρδους ἐπιθυμία.* Gr. *αἱ σαὶ πλεονεξίαι.* Gu.

1208.—1221. *ἐπεί*: *στοχαστικὸν τοῦτο. εἰ δὲ μὴ, δίδαξον τοῦτο, πῶς, ὅτε τὸ Ἴλιον εὐδαιμόνει, καὶ περιεῖχε τὸ τεῖχος τὴν πόλιν, ἐβίου τε ὁ Πρίαμος, καὶ τὸ τοῦ Ἕκτορος ἤκμαζε δόρυ, διὰ τί, εἴπερ ἤθελες χάριν ποιῆσαι τῷ Ἀγαμέμνονι, ἔχων καὶ ἀνατρέφων ἐν τοῖς σοῖς οἴκοις τὸν παῖδα, οὐκ ἔκτεινας τότε, ἢ ζῶντα αὐτὸν οὐκ ἔφερες τοῖς Ἕλλησιν, ἀλλ' ὅτε οὐκέτι ὑπήρχομεν ἐν εὐτυχίᾳ ἐν τῷ ζῆν, ἡ δὲ Τροία ἐσημαίνετο ὑπὸ τοῦ καπνοῦ, καὶ ἦν φανερὰ καιομένη ὑπὸ τῶν πολεμίων, ἐφόνευσας τὸν παῖδα τὸν φίλον, ἐπὶ τὴν οἰκίαν ἐλθόντα τὴν σήν. πρὸς δὲ τούτοις ἄκουσον, ἵνα φαῦλος φανῇς. ἔπρεπεν, εἴπερ ὑπῆρχες φίλος τοῖς Ἕλλησι, τὸν χρυσὸν, ὃν λέγεις ἔχειν ἐν τοῖς δόμοις οὐ σὸν, ἀλλὰ τούτου, φέροντα δοῦναι τοῖς πενομένοις Ἀχαιοῖς, καὶ χρόνον πολὺν ἀπὸ τῆς πατρικῆς γῆς ἀποξενιτευθεῖσιν.* I.

ἐπεί: *εἰ δὲ μή.* Gr. *εἰ οὐ τοῦτό ἐστιν.* Gu.

1209. *πέριξ*: *κύκλῳ.* Gu. *συνεῖχεν ὁ πύργος τὴν πόλιν.* B.M. *περιεῖχε δὲ ἔτι ὁ πύργος ἀντὶ τοῦ τὸ τεῖχος.* Gr. *περιετείχιζε, περιεφύλασσε.* Gu. *εἶχ' ἔτι πτόλιν*: *ἐκράτει ἀκμὴν τὴν πόλιν.* Gu.

1210. *ἦνθει*: *ἤκμαζεν.* Gr. *ἐνίκα. τοῦτ' ἔστιν ὃ παρὰ μὲν τοῖς γραμματικοῖς μεταφορὰ, παρὰ δὲ τοῖς ῥήτορσι τροπή.* Gu.

1211.—1213. *τί δ' οὐ τότ'*: *τί δὲ καὶ διὰ τί οὐκ ἔκτεινας καὶ ἐφόνευσας τότε τρέφων τὸν παῖδα, καὶ ἔχων καὶ κρατῶν ἐν τοῖς*

5. διὰ] διὰ κατὰ καὶ διὰ Fl. 59. 13. In B. gl. *στοχαστικὸν κεφάλαιον.*

δόμοις, εἴπερ καὶ ἐάνπερ ἐβουλήθης καὶ ἔθελες θέσθαι καὶ ποιῆσαι χάριν τῷδε καὶ τούτῳ τῷ Ἀγαμέμνονι, ἦ διὰ τί οὐκ ἦλθες ἄγων καὶ φέρων τὸν Πολύδωρον ζῶντα ἐν τοῖς Ἀργείοις. Fl. 59.

1214. ἡνίχ᾽ ἡμεῖς: οὐκέτι ἐζῶμεν. Gr. ὑπήρχομεν. Gu. ἐν φάει: τῷ ζῆν. B. ἐν εὐτυχίᾳ, ἐν φωτί. Gu. ζωῇ. Fl. 33.

1215. ἐσήμηνε: ἐσημήνατο. B. ἀντὶ τοῦ ἐσημαίνετο. Gr. ἐδείχθη, ἐσημάνθη· φανερὰ γὰρ ἡ Τροία καὶ ἐπίσημος ἐγίνετο καιομένη. Gu. ἢ ὥσπερ φαμὲν τὸ μετέβαλε καὶ ἀπήλλαξιν ἀντὶ τοῦ μετεβλήθη καὶ ἀπηλλάχθη, οὕτω καὶ τὸ ἐσήμηνεν ἀντὶ τοῦ ἐσημάνθη. λαμβάνοντες γὰρ ἔξωθεν τὸ ἑαυτὸ τοῦτο συνάγομεν. ἢ οὕτω· εἰποῦσα γὰρ ἡ Ἑκάβη τὸ "ἡνίχ᾽ ἡμεῖς οὐκέτ᾽ ἦμεν ἐν φάει" ἐπήγαγεν ἐφεξῆς τὸ "καπνῷ δ᾽ ἐσήμην᾽ ἄστυ πολεμίων ὕπο," τουτέστι τὸ ἡμᾶς μηκέτι εἶναι ἐν φάει ἐσήμηνε καὶ ἔδειξε τὸ ἄστυ ἐν τῷ καπνῷ ὑπὸ τῶν πολεμίων· ὧν γὰρ ὁ πόλις πυρὶ πωραδέδοται, τούτων καὶ ἡ εὐτυχία δῆλη ἐντεῦθέν ἐστιν εἰς οὐδὲν χωρήσασα. Gu. φανερὰ ἦν ἡ Τροία καιομένη ὑπὸ τῶν πολεμίων. M.

1216. κατέκτας: ἔκτεινας. Gr. ἐφόνευσας. Gu. μολόντ᾽: ἀναστρεφόμενον. Gu. ἄγοντα. Fl. 33.

1217. ὡς φανῇ κακός: ἵνα καὶ ἀποδειχθῇς ἄπιστος. Fl. 59.

1218. εἴπερ—φίλος: ἤγουν εἴπερ ἐφίλεις τοὺς Ἀχαιούς. Gu. τὸ φίλος λέγεται καὶ ἐπὶ τοῦ φιλοῦντος, ὡς ἐνταῦθα, καὶ ἐπὶ τοῦ φιλουμένου. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1219. ὃν φῄς σύ σόν: οὐκ εἶπεν ὁ Πολυμήστωρ περὶ τοῦ χρυσοῦ· ἐπελάθετο οὖν ὁ ποιητὴς ἑαυτοῦ, καὶ ἔστιν ἀκατασκεύαστα ταῦτα. A.B.I. ἰστέον ὅτι ἐνταῦθα ἡ Ἑκάβη διαβάλλει τὸν Πολυμήστορα· οὐ γὰρ ἐμνημόνευσεν οὗτος τούτου, ὅτε περὶ τοῦ πῶς ἀπέκτεινε Πολύδωρον ἀπελογεῖτο. εὕρῃς δὲ καὶ ἕτερα τοιαῦτα παρά τε Σοφοκλεῖ καὶ τοῖς ἄλλοις. μὴ λάβῃς δὲ εἰς τὸ τοῦδε χάριν ἔξωθεν, ἀλλ᾽ ὥσπερ φαμὲν τὸ τοὺς εὐεργέτας ἀμείβεσθαι ἀρίστου ἀνδρὸς ἔχρημεν, οὕτω καὶ ἐνταῦθα νοεῖν δεῖ. εἰ δὲ μὴ τὸ τοῦδε διὰ τὸν Ἀγαμέμνονα νοήσεις, ὡς ἅπαντες λέγουσιν, ἀλλὰ διὰ τὸν Πολύδωρον, οὐκ ἂν δόξῃ ἡ Ἑκάβη διαβάλλουσα· ἐρομένης γὰρ τοῦτον πρόσθεν αὐτῆς "χρυ-

6. ἀντὶ τοῦ—καιομένη] Paullo aliter in B. ἀντὶ τοῦ ἐσημαίνετο. φανερὰ ἦν ἡ τροία καιομένη καὶ ἐπίσημος ἐγίνετο:—

24. ἀκατασκεύαστα] ἀκατάσκευα τὰ I. In A. ἀκατασκεύαστα εἰσί. Conf. p. 504, 18.

σὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων." ἀπεκρίνατο εἶτος, σῶς, καὶ πάλιν, ἀναίμην τοῦ παρόντος, ὦ γύναι. πρὸς οὖν τούτους τοὺς λόγους φησὶ νῦν αὐτὸ τοῦτο. Gu. ἀλλὰ τοῦδ' ἔχειν: οὐκ εἶπεν. M.

1220. πενομένοις: ἐν πενίᾳ οὖσιν. Gr. ἀπεξενωμένοις: ἠλλοτριωμένοις. Gu. καὶ ἐν ξένοις τόποις διάγουσι. Fl. 59. Τζέτζης 5 νῦν ἀντὶ τοῦ ἐνδεέσι, πένης τε ὁ χειρῶναξ. A. rec.

1222.—1205. σὺ δ' οὐδὲ νῦν: σὺ δ' οὐδὲ ἀρτίως πρόθυμος εἶ ἐκβαλεῖν τὸν χρυσὸν ἀπὸ τῆς σῆς χειρός, ἀλλ' ἔτι κρατεῖς ἐν δόμοις. ἀλλ' ὕντως ἀνατρέφων τὸν ἐμὸν παῖδα, ὡς ἔδει σε ἀνατρέφειν, εἶχες 10 ἂν δόξαν καλήν· ἐν γὰρ ταῖς δυστυχίαις οἱ ἀγαθοὶ φίλοι σαφέστατοι ὑπάρχουσι, τὰ καλὰ δὲ πράγματα ἐξ ἑαυτῶν ἔχει τοὺς φίλους. εἰ δὲ ἔνδειαν εἶχες χρημάτων, ὁ δὲ Πολύδωρος ἔζη, πλοῦτος ἂν σοι μέγας ὑπῆρχεν ὁ ἐμὸς παῖς. I.

οὐδὲ νῦν πω: οὐδέπω καὶ νῦν. Gr. ἀκμήν. Gu. Fl. 59. καὶ ἀρτίως. Fl. 59. ἀπαλλάξαι: ἐκδοῦναι. B. ἐκβαλεῖν. Gr. ἀπα- 15 γαγεῖν, ἐξελέσθαι τῆς χειρός. Gu. ἐκβαλεῖν, ἐλευθερῶσαι τοῦτον τὸν χρυσόν. Fl. 33. 59.

1223. τολμᾷς: ὑπομένεις. B. Gr. ἀνέχῃ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. θέλεις. Gu. ἐπέμεινας. Fl. 33. ἔχων: περιφέρων. Fl. 33. καρτερεῖς: ἰσχυρίζῃ. Gr. φυλάσσεις. ἀπὸ τοῦ κρά- 20 τος, τοῦτο δὲ ἀπὸ τοῦ κρατῶ τὸ ἐξουσιάζω. Gu. καρτερεῖς δὲ ἰσχυρίζῃ ἔχων αὐτὸν ἀκμὴν ἐν τοῖς δόμοις. Fl. 59.

1224.—1227. καὶ μήν: καὶ μὴν τρέφων μὲν τὸν Πολύδωρον, ὡς καὶ καθὰ ἐχρῆν καὶ ἔπρεπε τρέφειν σε τὸ ἐμὸν παῖδα, σώσας τε, εἶχες ἂν καλὸν κλέος, ἤγουν ὑπῆρχες ἂν καλὸς φίλος· ἐν τοῖς κακοῖς 25 γὰρ οἱ ἀγαθοὶ φίλοι εἰσὶ σαφέστατοι, ἤγουν ὅτε περικυκλώσωσί τινα τὰ κακὰ, τότε δεῖται τῆς παρὰ τῶν φίλων βοηθείας, ὅτε δὲ εὐτυχῇ, πάντες φίλοι εἰσὶ τοῦ εὐτυχοῦντος. Fl. 59.

παῖδ': τὸ παῖδα πρὸς τὸ ἐμὸν σύναπτε. Gu.

1225. σώσας: καὶ σώσας τὸν ἐμὸν παῖδα ὡς ἐχρῆν καὶ τρέφων 30 εἶχες ἂν δόξαν ἀγαθήν. A.B. φυλάξας. σῴζω τὸ φυλάσσω καὶ τὸ ῥύομαι. Gu. καλόν: μέγα. Fl. 33.

1226. ἐν τοῖς κακοῖς: ἐν ταῖς δυστυχίαις. Gu. σαφέστατοι: ἀληθεῖς. B. ἀληθεῖς, τουτέστιν ἐν πειρασμοῖς καὶ ταῖς θλίψεσι φαίνονται οἱ ἀληθεῖς φίλοι· ἡ γὰρ εὐτυχία πάντας φίλους ποιεῖ. A. 35

1227. τὰ χρηστά: αἱ εὐτυχίαι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. αὖθ' ἕκαστα: ἔχει φίλους: τὰ χρηστὰ αὐτὰ ἐξ αὐτῶν ἔχει τοὺς φίλους· εἰ δὲ καὶ ἀνατραφέντος τοῦ παιδὸς σὺ μὲν ἐστέρησο χρημάτων, ὁ δὲ παῖς ἐπλούτει, πάντως ἂν ἐκοινώνεις αὐτῷ τοῦ πλούτου τὰ τροφεῖά σοι ἀποτινύντι. A. καθ' αὑτὰ καὶ οἰκεθεν καὶ αὐθορμητικῶς. Gu. τὰ γὰρ καλὰ πράγματα αὐτὰ ἐξ αὐτῶν ἔχει τοὺς φίλους. B. Gu.

1228. εὐτύχει: ὁ ἐμὸς παῖς. B. καλῶς εἶχεν, ἤγουν ἔζη. Fl. 59. ἔζη, εὐπορίαν εἶχε χρημάτων. Gu.

1230.—1237. νῦν δ' οὔτ' ἐκεῖνον: ἄρσις καὶ θέσις. νῦν δὲ οὔτε τὸν Πολίδωρον ἔχεις σὸν φίλον, καὶ ἡ ὠφέλεια τοῦ χρυσοῦ ἐφθαρται, οἵ τε σοὶ παῖδες διεφθάρησαν, καὶ σὺ πράττεις ὧδε δυστυχῶς. σοὶ δ' ἐγὼ ἡ Ἑκάβη λέγω, ὦ Ἀγάμεμνον, εἰ τῷδε βοηθήσεις, φανῇ ἄδικος· οὔτε εὐσεβῆ γὰρ ξένου καὶ φίλου, οὔτε πιστὸν, οὐχ ὅσιον καὶ δίκαιον δράσεις εὖ, ἤγουν εὐεργετήσεις οἵστισιν ἔπρεπεν ἡ σὴ εὐποιία δηλονότι. αὐτὸν δέ σε φήσομεν χαιρέκακον εἶναι. τοὺς δεσπότας δὲ οὐ λοιδορῶ. ἐπιδιόρθωσις τοῦτο. I.

1231. ὄνησις: οὐκ εἶπεν ὁ Πολυμήστωρ περὶ τοῦ χρυσοῦ· ἐπελάθετο οἷν ὁ ποιητὴς ἑαυτοῦ καὶ ἔστιν ἀκατασκεύαστα ταῦτα. M. ὠφέλεια. Gr. σοῦ τυφλωθέντος καὶ μὴ δυναμένου χρῆσθαι τῷ πλούτῳ. Gu. ἐστερήθης δὲ καὶ τῆς ὠφελείας· ἐπεὶ τί ὠφέλειαν ἔμελλεν εὑρεῖν ἀπὸ τοῦ χρυσοῦ τυφλὸς ὤν; Fl. 59.

1232. πράσσεις ὧδε: ἀντὶ τοῦ δυστυχεῖς. B. οὕτως ἔχεις, κακῶς δηλονότι, ἤγουν δυστυχεῖς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1233. εἰ τῷδ' ἀρκέσεις: βοηθήσεις, κακὸς φανῇ παρ' ἐμοῦ. I. τούτῳ τῷ Πολυμήστορι ἐπαρκέσεις, βοηθήσεις. Fl. 6. 9. 10. 17. 21. 56. 59. 76. Gu.

1234. οὔτ' εὐσεβῆ γάρ: τὸ ἑξῆς· οὔτε γὰρ εὐσεβῆ, οὔτε ὅσιον, εὐσεβῆ ἡ δίκαιον αὐτὸν εὖ δράσεις οἷς σε χρὴ εὖ δρᾶν, ἤγουν τοῖς εὐσεβέσι καὶ δικαίοις καὶ πιστοῖς. οὔτ' εὐσεβῆ γάρ. τὸ ἑξῆς, οὔτε γὰρ εἰς εὐσεβῆ οὔτε εἰς πιστὸν ἐν οἷς πράγμασιν ἐχρῆν οὔτε εἰς ὅσιον οὐδ' εἰς δίκαιον ξένον εὖ δρᾶς:—

14. οὔτε εὐσεβῆ γὰρ—δηλονότι] Pro his King. εὖ γὰρ δράσεις εἰς ἄνδρα ξένον, οὔτε εὐσεβῆ, οὔτε πιστὸν, οὔτε ὅσιον, οὔτε δίκαιον φανέντα ἡμῖν, οἷς ἐχρῆν πιστὸν φανῆναι.

18. 19. Conf. p. 502, 23.

25. βοηθήσεις—] Haec et sequentia sic conformata in A. εἰ τῷ δ' ἀρκέσεις ἀγαμέμνων. εἰ τῷδε βοηθήσεις, κακὸς φανῇ. οὔτε γὰρ ξένον πιστὸν ἡ

ib. κακὸς Matth. pro κακῶς.

28. τὸ ἑξῆς—λοιδορῶ] τὸ ἑξῆς. οὔτε γὰρ—εὖ δρᾷς. τὸ δὲ οἷς ἐχρῆν διὰ μέσου ἡ ἕδρα εἰς ξένον ὁ πολυμήστωρ:— B.

οὔτε δίκαιον εἰς ξένον εὖ δρᾶς. (τὸ δὲ οἷς ἐχρῆν διὰ μέσου.) αὐτὸν δὲ εὐφραίνεσθαι τοῖς κακοῖς σε λέξομεν, τοιοῦτον κακὸν ὑπάρχοντα. ἐὰν δὲ καὶ εἴπω τι δάκνον ὑμᾶς, ἀλλ' οὖν οὐ λοιδορῶ. I. οὔτε γὰρ εἰς εὐσεβῆ ἄνδρα, οὔτε εἰς πιστὸν, ἐν οἷς πράγμασιν ἐχρῆν, οὔτε εἰς ὅσιον, οὐδ' εἰς δίκαιον ξένον δράσεις καλῶς. Gu. εὐσεβῆ: πρὸς τοὺς θεούς. Gu. πιστόν: ἀσφαλῆ, ἤγουν οἷς προσῆκεν ἂν ἡ σὴ εὐποιία. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐκείνοις, ἤγουν τοῖς φίλοις. Gu. οἷς ἐχρῆν: οἷς εὔλογόν ἐστι. B. πρέπει πράττειν τοῖς εὐσεβέσιν ἀνδράσιν. Gu. σε δρᾶσαι καλῶς. Fl. 33.

1236. αὐτὸν δὲ χάρειν: τινὲς δὲ ἰάσαντες τὸ ῥητὸν οὕτως ἤκουσαν, σὲ δὲ, Ἀγαμέμνων, εἴπωμεν καταλιπεῖν αὐτὸν τὸν Πολυμήστορα χαίρειν τοῖς κακοῖς τοιοῦτον ὄντα, ἐξ ἤθους νοοῦντες τὸ καταλιπεῖν. A. αὐτὸν δέ σε φήσομεν προσκεῖσθαι τοῖς κακοῖς. Gr. Fl. 6. 9. 21. 56. 59. 76. ἤγουν εἴπομεν εἶναι χαιρέκακον. Florr.

1237. τοιοῦτον: ἤγουν βασιλέα. Gu. ἤγουν βοηθοῦντα τοὺς κακούς. Fl. 59. ἐπαρκοῦντα τούτῳ δηλονότι. Fl. 21. 56.

1238. φεῦ φεῦ: θαυμαστικόν. τὰ ἀγαθὰ πράγματα λίαν ἐμπαρέχουσιν ἀεὶ τοῖς ἀνθρώποις ἀφορμὰς καὶ ὑποθέσεις χρηστῶν λόγων. I. θαυμαστικὸν τὸ φεῦ, οὐ θρηνητικόν· ἀκούσας γὰρ ὁ χορὸς τὴν Ἑκάβην ὡς ὑπεραπολογησαμένην τῷ Πολυμήστορι δικαίως καὶ εἰς ἀληθὲς, ἐκεῖνον δὲ ὡς κατάδικον χρωματιζόμενον, καὶ τάχα διὰ τὴν τοῦ Ἀγαμέμνονος χάριν φονεῦσαι τὸν Πολύδωρον, λέγει ὡς καὶ ὅτι τὰ χρηστὰ πράγματα ἤγουν τὰ ἀγαθὰ ἔργα ἐνδίδωσι καὶ παρέχουσιν ἀεὶ καὶ πάντοτε τοῖς βροτοῖς ἀφορμὰς χρηστῶν καὶ ἀγαθῶν λόγων. ἡ γὰρ Ἑκάβη δικαίως τὸν Πολυμήστορα φονεύσασα ἀπολογεῖται καὶ δικαίως καὶ ὀρθῶς, καὶ φαίνεται τὸ δίκαιον ταύτης· ὁ δὲ Πολυμήστωρ ἀδίκως τὸν υἱὸν φονεύσας αὐτῆς ἀπολογεῖται καὶ ἀδίκως καὶ προσχηματισμένως, καὶ φαίνεται κατάδικος. Fl. 59. σημείωσαι ὅτι ἐνταῦθα ἐκπληκτικόν ἐστι τὸ φεῦ καὶ οὐκ ἐξ ἀνάγκης θρηνῶδες. κεῖται δὲ φανερῶς ἐπὶ θαύματος. Gu. ὡς τὰ χρηστά: ὁ ἀγαθὸν πράξας ἢ δι' ἔργου, ἢ διὰ λόγου ἐνδίδωσιν ἀεὶ τοῖς ἀνθρώποις ἀφορμὰς τῶν πρὸς αὐτὸν ἐπαίνων. Gu.

1239. ἀφορμάς: εὐλόγους καὶ συντόμους ἔχει τὰς ἀπολογίας τὰ ἀληθῆ πράγματα. Ἄλλως. τουτέστιν ὁ ἀγαθόν τι πράξας ἢ

κατορθώσας διὰ λόγων καὶ ἔργων δίδωσι τοῖς ἀνθρώποις ἀφορμὰς τῶν πρὸς αὐτῶν ἐπαίνων καλῶς. A.

1240.—1251. ἀχθεινὰ μέν μοι: ἀχθεινὸν καὶ βαρύ μοί ἐστι τὸ κρίνειν καὶ δικάζειν τὰ ξένα κακά. ἀλλ' ὅμως ἀνάγκη ἐστὶ κρίνειν· καὶ γὰρ ἀτιμίαν ἐπάγει λαβόντα ἐμὲ εἰς χεῖρας ταύτην τὴν ὑπόθεσιν ἀποδιῶξαι. ὅπως δὲ γνῷς, ἐμοὶ φαίνῃ οὔτε δι' ἐμὴν χάριν, οὔτε χάριν τῶν Ἑλλήνων φονεῦσαι τὸν Πολύδωρον, ἀλλὰ δοκεῖς ὅτι ἔκτεινας, ἵνα τὸν χρυσὸν κατέχῃς ἐν τοῖς σοῖς δόμοις. λέγεις δὲ ἑαυτῷ συμφέροντα, ἐν δυστυχίαις ὑπάρχων. ἴσως δὲ παρ' ἡμῖν τοῖς βαρβάροις εὔκολόν ἐστι τὸ κτείνειν ξένους· ἡμῖν δὲ τοῖς Ἕλλησι τὸ ξενοκτονεῖν αἰσχρόν. πῶς οὖν ἐγὼ κρίνας σὲ μὴ ἀδικεῖν, ἐκφύγω τὴν μέμψιν; οὐκ ἂν δυναίμην τοῦτο ποιῆσαι. ἀλλ' ἐπειδὴ τὰ μὴ καλὰ ποιεῖν ἐτόλμησας, ὑπόμενε καὶ τὰ μὴ φιλούμενα ὑπὸ σοῦ. I.

1240.—1242. ἀχθεινὰ μέν: ἐπιβαρὲς πρᾶγμα ὑπάρχει ἐμοὶ τὸ κρίνειν τὰ ἀλλότρια κακά· ὅμως δὲ ἀνάγκη ὑπάρχει ποιῆσαι τοῦτο· καὶ γὰρ λαβόντα ἐμὲ εἰς τὰς χεῖρας πρᾶγμα, ἥγιον τὴν κρίσιν αὐτὴν τῶν ἀμφοτέρων, τὸ ἀπώσασθαι καὶ ἀποδιῶξαι τόδε καὶ τοῦτο, ἥγουν τὸ μὴ κρίνειν αὐτούς, ἐπεὶ ἀνεδεξάμην τοῦτο. αἰσχύνην καὶ ὄνειδος φέρει. Fl. 59.

ἀχθεινά: ἀχθεινὸν, βαρὺ ὑπάρχει. Gr. φορτικὰ, φορτικόν. Gu. ἄχθος ποιοῦντα. Fl. 10. τὰ ἀχθεινὰ ἀντὶ τοῦ ἀχθεινόν, τὸ πληθυντικὸν ἀντὶ ἑνικοῦ, ὡς καὶ παρ' Ὁμήρῳ τὸ φίλα ἀντὶ τοῦ φίλον, ὡς τὸ "αἰεί τι τὰ κάκ' ἐστὶ φίλον φρεσὶ μαντεύεσθαι." Fl. 59. κακά: ἁμαρτήματα. Gu.

1241. αἰσχύνην: ἀτιμίαν. Gu. ἐντροπήν. Fl. 59. φέρει: ἐπάγει τὸ πρᾶγμα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1242. πρᾶγμ': ὑπόθεσιν τήνδε. Gr. ἀπώσασθαι: ἀπορρῖψαι: ἀποπέμψαι. Gu.

1243. ἐμοί: ἀπ' ἐμοῦ. Fl. 59. εἰδῇς: γνῷς τὴν ἐξ ἐμοῦ ἀπόφασιν. Gu. γνωρίσῃς. Fl. 33. 59.

1244. οὔτ' οὖν: τὸ οὖν παρέλκει. Fl. 59. ἀργόν. Gu.

1246. πρόσφορα: συμφέροντα. B. Gr. ἁρμόδια. Gu.

7. φονεῦσαι—κατέχῃς Barnes. φονεύσειν—κατέχεις I.

22. ὡς τὸ] Il. 1, 107. ubi recte φίλα.

1247. *τάχ' οὖν*: *παρὰ ὑμῖν οὖν τοῖς βαρβάροις εὔκολόν ἐστι φονεύειν τοὺς φίλους ὑμῶν προσδραμόντας ἐπὶ σωτηρίᾳ, ἡμῖν τοῖς Ἕλλησιν αἰσχρὸν καὶ μυσαρὸν πρᾶγμα ὑπάρχει τόδε καὶ τοῦτο.* Fl. 59.

1249. *πῶς οὖν*: *ἐπεὶ ταῦθ' οὕτως ἔχει.* Gu.

1250. *οὐκ ἂν δυναίμην*: *κρίνειν μὴ ἀδικεῖν σέ.* Gu. *τὰ μὴ καλά*: *ἤτοι τὰ κακά.* B. *τουτέστι τὰ κακὰ, ἤγουν τὰ ἄδικα καὶ βλαπτικά.* Gr. Fl. 59.

1251. *ἐτόλμας*: *ὑπέμεινες, ἠνείχου.* Gr. *ἐπεχείρεις.* Gu. *τὰ μὴ φίλα*: *φίλος λέγεται καὶ ἐπὶ τοῦ φιλοῦντος καὶ ἐπὶ τοῦ φιλου-μένου.* I. *ἐπὶ πάθους ἐνταῦθα, ἤγουν ὑπόμεινον καὶ τὰ μὴ φιλού-μενα ὑπὸ σοῦ.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ἤγουν τὰ μὴ προσφιλέστατά σοι· οὐ γὰρ φίλον ἦν ἐκείνῳ ἡ τύφλωσις αὐτοῦ καὶ ὁ τῶν παίδων φόνος.* Fl. 59.

1252. *οἶμοι*: *οἶμοι, ὑπὸ γυναικὸς, ὡς ἔοικεν, νικώμενος, παρέξω τοῖς ἐλάττοσιν, ἤτοι τοῖς κακοῖς, τιμωρίαν.* I. *ἡσσάμενος*: *τὸ ἡσ-σάμενος δούλης γυναικὸς ἢ τῆς Ἑκάβης νοητέον, ἢ τῆς Κασάνδρας. καὶ περὶ μὲν τοῦ πρώτου οὐδὲν δεῖ μηκύνειν ὡς προφανοῦς· εἰ δὲ πρὸς τὴν Κασάνδραν ἐκφέρομεν, οὕτω συντακτέον· οἶμοι, ὡς ἔοικεν, ἡσσώ-μενος δούλης γυναικὸς, δώσω δίκην. ἐκείνη γάρ ἐστιν ἡ αἰτία τοῦ συμμαχῆσαι μὲν τῇ Ἑκάβῃ τὸν Ἀγαμέμνονα, ἐμοῦ δὲ καταψηφί-σασθαι. ἀγνοήσαντες δέ τινες τὸ λεπτὸν τῆς ἐννοίας ἐσολοίκισαν φάσκοντες πρὸς τὸν Ἀγαμέμνονα τὸ ἡσσώμενος, ἀλλ' οὐ πρὸς τὸν Πολυμήστορα λέγεσθαι, ἐκφέροντες οὕτω, ἡσσώμενος, ὦ Ἀγάμεμνον, δούλης γυναικὸς σὺ τῆς Κασάνδρας, ὑφέξω ἐγὼ δίκην. κρεῖττον δὲ πρὸς τὴν Ἑκάβην τὸ δούλης γυναικὸς λέγεσθαι.* Gu. I. *ὑπὸ γυναι-κός.* B.

ὡς ἔοικ': *ὁ Πολυμήστωρ λέγει, ὡς φαίνεται, νικώμενος ὑπάρχω ὑπὸ γυναικὸς δούλης· ὁ γὰρ Ἀγαμέμνων εἶχε τὴν τῆς Ἑκάβης θυγα-τέρα παλλακίδα, ὡς δοκεῖ ὁ Πολυμήστωρ, ὅτι διὰ τὴν Κασάνδραν ἐβοήθησεν ὁ Ἀγαμέμνων τὴν Ἑκάβην.* Fl. 59.

1253. *ὑφέξω—δίκην*: *δώσω, ἀποδώσω. δίδωμί σοι δίκην, ἀντὶ*

1. π.—βαρβάροις] Gl. δηλονότι τοῖς, βαρβάροις in B.
10. φίλος—] Conf. p. 502, 21.
16. τὸ om. I.
17. δούλης] δούλου I.
20. ἡ αἰτία] ἡ om. I.
23. φάσκοντες om. I.
ib. π. τ. Α. post τὸ ἡσσάμενος I.
25. ὅπερ ἐσχάτης ἂν εἴη ἀμαθίας add. I.

τοῦ τιμωροῦμαι ὑπὸ σοῦ, λαμβάνω δὲ δίκας ἀπὸ σοῦ ἀντὶ τοῦ τιμωροῦμαι σέ. Gu. τοῖς κακίοσι: ἀντὶ τοῦ τοῖς κακοῖς, ἤγουν τοῖς εὐτελέσι, τοῖς αἰχμαλώτοις. Gr. Fl. 6. 9. 17. 21. 56. 76. τοῖς χείροσιν ἐμοῦ. Gu.

1254. οὔκουν δικαίως: δικαίως ὑφέξεις δίκην, ἐπειδὴ κακὰ ἔπραξας. I. εἶπερ: ὁ εἰ ἀντὶ τοῦ ἐπεί. ἐπεὶ εἰργάσω κακά. B.

1255. οἴμοι τῶν τέκνων ἕνεκα καὶ τῶν ὀφθαλμῶν, ὁ τάλας ἐγώ. I.

1256. ἀλγεῖς: λυπῇ; τί δὲ οὐ δοκεῖς ἀλγεῖν ἐμὲ τοῦ παιδός μου ἕνεκεν; I. τί δαί με: τί δὲ οὐχὶ δοκεῖς ἀλγεῖν καὶ λυπεῖσθαι ἐμὲ ἕνεκα τοῦ παιδὸς τοῦ παρὰ σοῦ φονευθέντος; τὸ δὲ διφθογγογραφούμενον δαί προτιθεμένου τοῦ τί πάντοτε διφθογγίζεται. Fl. 59.

1257. χαίρεις: κατ᾽ ἐρώτησιν. B. χαρὰν ἔχεις ἀτιμάζουσά με, ὦ κακότροπε σύ; I.

1258. οὐ γάρ με χαίρειν: οὐ γὰρ πρέπει με χαίρειν τιμωροῦσαν καὶ κολάζουσαν σέ; I.

1259. ἀλλ᾽ οὐ τάχ᾽: ἀλλ᾽ οὐ χαιρήσεις, ἡνίκα σε ἡ θάλασσα κρύψῃ. I. εἰπόντος τοῦ Πολυμήστορος πρὸς τὴν Ἑκάβην, χαίρεις ὑβρίζουσά με, ἀποκριθεῖσα εἶπεν ἡ Ἑκάβη, οὐ γὰρ ἐνδέχεται με χαίρειν με τιμωρουμένην σε; εἶτα ὁ Πολυμήστωρ ἀνταποκριθεὶς ἔφη, ἀλλ᾽ οὐ τάχ᾽, ἡνίκ᾽ ἂν σε ποντία νοτὶς, ἤγουν ἀλλ᾽ οὐ χαρήσῃ τάχα, ὅταν σὲ ἡ ποντία νοτίς, καὶ ἔστη τοῦ λόγου· οὐ γὰρ ἐπλήρου τὸν αὐτοῦ λόγον, καὶ διὰ μέσου φησὶν Ἑκάβη, τί γάρ με ποιήσει ἡ νοτίς; ἆρά με ἀγάγῃ εἰς τὴν Ἑλληνίδα γῆν; καί φησι Πολυμήστωρ ὡς οὐκ ἔστι τοῦτο, ἀλλ᾽ οὐ χαρήσῃ, ὅταν σε κρύψῃ ἡ ποντιὰ νοτὶς, δηλονότι ἡ θάλασσα, πεσοῦσαν ἐκ καρχησίων. μυθεύεται γὰρ ὡς εἰς κυνὸς εἶδος μεταβληθεῖσα Ἑκάβη καὶ ἀνελθοῦσα ἐν τῷ ἀνωτάτῳ τοῦ ἱστοῦ, ἤτοι τοῦ κέρατος, ἔρριψεν αὑτὴν εἰς τὴν θάλασσαν καὶ ἀπεπνίγη. ταῦτα δὲ προμαντεύεται ὁ Πολυμήστωρ ὡς δὴ λυπήσων αὐτὴν, καὶ πάλιν φησὶν Ἑκάβη, παρὰ τίνος ῥιφῶ, τυγχάνουσα τούτων τῶν βιαίων ἁλμάτων; καί φησιν ὁ Πολυμήστωρ, αὐτὴ ἐν τῷ ποδί σου ἐμβήσῃ, ἤγουν ἔλθῃς, εἰς τὸ ἄκρον τοῦ ἱστοῦ. καὶ πάλιν φησὶν ἡ Ἑκάβη, ἀνέλθω, ἀλλὰ πτερὰ φύσασα ἐν τοῖς νώτοις ἢ ἐν ἄλλῳ τινὶ τρόπῳ. καί φησι Πολυμήστωρ, οὐχ οὕτως, ἤγουν οὐχὶ πτεροφυήσεις, ἀλλὰ κύων γενήσῃ πυρσώδη καὶ ἠγριωμένα βλέμματα ἔχουσα ὡς ὁ κύων. A.

1260. μᾶν ναῦς: ἆρα διὰ νηὸς παραπέμψῃ εἰς τοὺς ὅρους τῆς

8. λυπῇ—δὲ] λυπῇς—δαὶ I.

Ἑλλάδος; Gr. I. *ναυστολήσῃ*: *διὰ νηὸς ἀγάγῃ*. B. *πλεύσῃ*. Fl. 33.

1261. *κρίψῃ*: *νοτὶς ποντία καλύψει, καὶ ποντίσει πεσοῦσαν ἐκ τῶν καταρτίων. λέγουσιν ὅτι οἱ Ἕλληνες καταρώμενοι πάντοτε καὶ ὑβριζόμενοι ὑπὸ τῆς Ἑκάβης, θυμωθέντες ἔρριψαν ταύτην ἀναβιβάσαντες ἀπὸ τοῦ ἱστοῦ τῆς νεὼς, καὶ λιθοβολήσαντες ἐκείνην ἐποίησαν κολωνὸν, ὕστερον δὲ τοὺς λίθους ἀπὸ ταύτης ἐκβαλόντες εὗρον ἐκείνην σκύλλαν ἔχουσαν ὀφθαλμοὺς ὡς πυρός.* Fl. 59. I. *μὲν οὖν*: *μᾶλλον μὲν οὖν.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *καρχησίων*: *τῶν ἀνωτάτω τοῦ ἱστοῦ ἤτοι τοῦ κέρατος τροχαλίων.* B. *τῶν καταρτίων.* B. rec. *ἱστῶν, ἐκ τῶν ὑψηλοτέρων μερῶν τῆς νηὸς, τῶν καταρτίων.* Gu. *καρχήσια τὰ ἄκρα τοῦ ἱστοῦ τοῦ κέρατος τῶν πλοίων, τῶν κεραταρίων τροχαλίων τοῦ ἱστοῦ.* M. Fl. 21. *καρχήσια τὰ καλλωπίσματα τῆς νηός.* Fl. 59.

1262. *πρὸς τοῦ βιαίων*: *πρὸς τίνος ἀναγκαστικῶν ἐπιτυγχάνουσαν πηδημάτων.* I.

πρὸς τοῦ βιαίων: *τοῦτο οὕτω νοητέον. εἰπόντος γὰρ τοῦ Πολυμήστορος πεσεῖσθαι αὐτὴν ἐκ τῶν ἱστῶν, ἀποροῦσα αὕτη φησὶ, παρὰ τίνος τυγχάνουσαν ἁλμάτων καὶ πηδημάτων βιαίων καὶ ἀκουσίων κρύψει με; ἅλματα γὰρ βίαια τὰ ἀκούσια φαμὲν, ἅπερ οὐχ ὁ ἀλλόμενος δρᾷ ἑκουσίως, ἀλλ' ὑπό τινος ἑτέρου ἀναγκαζόμενος πράττει.* Gu. I.

1263. *αὐτὴ πρὸς ἱστόν*: *αὐτὴ ἀναβήσῃ ἐν τῷ ἀνωτάτω τοῦ ἱστοῦ. ἤγουν τῇ ἄκρᾳ τῶν τροχαλιῶν.* I. *κατ' ἐνίους ἡ Ἑκάβη ἑαυτὴν ἔρριψεν εἰς τὸ πέλαγος.* B.M.

1264. *ὑποπτέροις νώτοισιν*: *διὰ νώτων ἐπτερωμένων, ἢ ποίῳ τρόπῳ*; I. *ἐπαιρόμενος.* B.

1265. *κύων γενήσει*: *κύων γενήσῃ, πυρώδεις ὀφθαλμοὺς ἔχουσα, ἤτοι ἠγριωμένους.* I. *ὅτι κύων ἐγένετο, καὶ Λυκόφρων φησί.* Gu. *οὐκ ἄπιστον δὲ περὶ τῆς Ἑκάβης κύων γενομένης. λέγεται γὰρ ὅτι*

1. εἰς τοὺς—Ἑλλάδος om. Gr.
6. ἐποίησαν κολωνὸν et δὲ om. ib. ἐκείνην om. I.
8. ἔχουσαν—πυρός om. I.
10. τροχαλίων]τροχαλιῶν ad v. 1263.
12. καρχήσια] καρχησίων M.
17. νοητέον] νοεῖται I.
19. τυγχάνουσαν] τυγχάνουσα I.
21. ἁλλόμενος Barnes. ἁλόμενος Gu. ἀλώμενος I.
25. τὸ πέλαγος] τὴν θάλασσαν M.
29. Λυκόφρων] V. 1177.

εἰς τὴν Ἔφεσον ἐγένετο λοιμικὸν νόσημα, ὥστε φθείρεσθαι τοὺς ἀνθρώπους. εὑρισκομένου δὲ ἐκεῖσε τοῦ Ἀπελλωνίου μάντεως ὄντος, ἀπῆλθεν εἰς ἐκεῖνον λύσιν ζητοῦντες τοῦ λοιμοῦ. ὁ δὲ μετ' αὐτῶν ἀπελθὼν εἰς τὸ ἱπποδρόμιον εὗρεν ἄνδρα γέροντα ἐν τῇ ὁδῷ καθεζόμενον. ἐπιτάττοντος οὖν τοῦ Ἀπελλωνίου λιθάσαι τοῦτον ἐλίθασαν. πρὸ τούτου δὲ ἐδείκνυεν ὀφθαλμοὺς πυρειδεῖς καὶ ὄψεις πολλὰς πυρώσας. ἐπὶ τὴν αὔριον δὲ πάλιν προσάξει τοῦ μάντεως ἤγειραν τοὺς λίθους ἀπὸ τούτου καὶ εὑρέθη κύων. ἔπαυσε τὸ λοιμικὸν νόσημα. Fl. 59. πύρσ' : πυρωπά. B. δέργματα : ὀφθαλμούς, βλέμματα. Gr. ὄμματα. B. Gu. ὀφθαλμούς· ἐξ οὗ καὶ δράκων, ἐκ τοῦ δέρκω τὸ βλέπω. Fl. 10.

1266. πῶς δ' οἶσθα : πῶς δὲ γινώσκεις τὴν ἐναλλαγὴν τῆς μορφῆς μου; I. μετάστασιν : μεταλλαγήν. Gr. μεταμόρφωσιν. M. Gu. ἀλλοίωσιν. Gu.

1267. ὁ Θρῃξὶ μάντις : ὁ ἐν τοῖς Θρᾳξὶ μάντις ἔλεξε Διόνυσος ταῦτα. I. ἢ ἐν τῇ Θράκῃ Διονύσου μαντεῖον ἦν, ἢ ἀνήρ τις ἦν ἐν Θράκῃ μάντις Διόνυσος καλούμενος. Gu. I. Διόνυσος : οἱ μὲν περὶ τὸ Πάγγαιον εἶναι τὸ μαντεῖόν φασι τοῦ Διονύσου, οἱ δὲ περὶ τὸν Αἷμον, οὗ εἰσι καὶ Ὀρφέως ἐν σανίσιν ἀναγραφαὶ, περὶ ὧν φησιν ἐν Ἀλκήστιδι "οὐδέ τι φάρμακον Θρῄσσαις ἐν σανίσιν, τὰς Ὀρφεία κατέγραψε γῆρυς." ὅτι δὲ καὶ Διόνυσος μάντις καὶ ἐν Βάκχαις φησὶ "μάντις δ' ὁ δαίμων ὅδε· τὸ γὰρ βακχεύσιμον καὶ τὸ μανιῶδες μαντικὴν πολλὴν ἔχει." A.B.M.I.

1268. σοὶ δ' οὐκ ἔχρησεν : σοὶ δὲ οὐκ ἐμάντευσεν οὐδὲν τῶν κακῶν ὧν ἔχεις ; I.

1269. οὐ γάρ ποτ' ἄν : οὐκ ἔχρησε δηλονότι· οὔποτε γὰρ ἂν σὺ εἶλες ἐμὲ ὧδε σὺν δόλῳ. I.

1270. θανοῦσα δ' ἡ ζῶσ' : θανοῦσα δὲ ἐκπλήσω τὸν ἐνθάδε βίον,

3. ἀπῆλθον Matth. pro ἀπῆλθες et mox εὗρεν pro εὗρον.
16. ἢ ἐν] ἢ om. Gu.
ib. τις ἦν—μάντις] ἦν et μάντις om. I.
18. Πάγγαιον] παγγαῖον I.
20. Ἀλκήστιδι] V. 982. οὗτος ὁ ποιητὴς addit A.
ib. οὐδέ τι φάρμακον Θρῄσσαις ἐν σανίσιν τὰς ὀρφεία A.M., nisi quod ὀρφείας. οὐδέ τι φαρμάθρης σανίσι τὰς ὀρφείας I., cujus scripturae origo patet ex B. in quo duae sunt lineae non integrae, κήστιδι. οὐδέτι φάρμα ... | θρησ σανίσιν τὰσ ὀρφείασ, parvo inter θρησ et σανίσιν spatio relicto.
21. δὲ καὶ] καὶ om. I.
ib. Βάκχαις] V. 279.
22. καὶ τὸ] τὸ om. B.I.
23. πολλὴν ἔχει] ἔχει πολλὴν M.

ἤτει τὸν ἐν τῇ μορφῇ τοῦ κυνός, ἢ ζῶσα; I. τὸ ἐκπλήσω τὸν βίον πρὸς τὸ ζῶσα μόνον λέγε, πρὸς δὲ τὸ θανοῦσα τὸ μεταβληθήσομαι εἰς κύνα. Gu. I. ἐπειδήπερ εἶπεν ὁ Πολυμήστωρ γενήσεσθαι αὐτὴν κύνα, διαπορεῖ καὶ ἐρωτᾷ αὐτόν· τί λέγεις; θανοῦσα γενήσομαι κύων, ἢ ζῶσα μεταβληθήσομαι εἰς τὴν κυνὸς μορφήν; ὃ καὶ λέει οὕτως λέγων, θανοῦσα. ἔφη καὶ Πυθαγόρας, καὶ μετ' ἐκεῖνον Πλάτων, ὡς αἱ τῶν ἀθλίως βεβιωκότων ψυχαὶ ἀποθνόντων εἰς ἄλογα ζῶα εἰσέρχονται καὶ λίθους καὶ ξύλα καὶ φυτά, ἵνα ἐν τῇ πρὸς ταῦτα διατριβῇ δίκην ὑποσχεῖσαι πρέπουσαν ὧν ἥμαρτον εἰς τὴν ἀρχαίαν ἐπανέλθωσιν τάξιν. ὅθεν καὶ Πυθαγόρας ποτὲ ἀκούσας ὄνου ὀγκώμενον ἔφη, ὡς φίλου μου ψυχή ἐστιν αὕτη ἡ ἐν τῷ ὄνῳ, καὶ διὰ τοῦτο ἐπέγνω με. Gu. I. θανοῦσα ἢ ζῶσα. μετὰ θάνατον δὲ ἀμειφθήσομαι εἰς κύνα, ἢ ζῶσα ἐν τοιούτῳ εἴδει κυνείῳ τὸν ἐπικεκλωσμένον χρόνον τῆς ζωῆς ἐξανύσω καὶ ἐπιζήσομαι, ὅ ἐστι μετὰ θάνατον ἐξαλλαγήσομαι καὶ ἀμειφθήσομαι εἰς κύνειον εἶδος, ἢ ζῶσα, ὥστε τὸν ἐπίλειπον χρόνον τῆς ζωῆς μου κύων οὖσα ἐπιζῆσαι. A. Fl. 59. Ἄλλως. τοῦτο ὅσοι πρὸς τὸ κύων γενήσομαι συναρμόττουσιν οὕτως λέγουσι, θανοῦσα δὲ ἐνθάδε, ἤτοι ἐν τῷ τοιούτῳ κυνείῳ εἶδει, ἀπαλλάξω μου τὴν ζωήν, ἢ ζῶσα πάλιν μεταστραφήσομαι εἰς εἶδος ἀνθρώπου, ἔξωθεν ὑπακούοντες τὸ μεταλλαχθήσομαι εἰς εἶδος ἀνθρώπειον, ἵν' ᾖ τὸ λεγόμενον τοιοῦτον ὅτι κύων ἀποθανοῦμαι, ἢ πάλιν ἄνθρωπος γενήσομαι. ὅσοι δὲ πρὸς τὸ ἡνίκ' ἄν σε ἡ ποντία νοτὶς κρύψῃ πάλιν, οὕτως εἶπον, ὅτι ἐνθάδε τεθνήξομαι. ἤτοι πεσοῦσα εἰς θάλασσαν ἐκεῖ ἀποθανοῦμαι. ἢ ζῶσα πάλιν τὸν εἰμαρμένον μου βίον ἐκπληρώσω... A. θανοῦσα ἐκπλήσω τὸν βίον εἰς τὸ θαλάττιον ὕδωρ καὶ μεταμειφθήσομαι εἰς τὸ κυνικὸν σχῆμα. Fl. 76. ὁ νοῦς, θανοῦσα δ' ἐνθάδε ἐκπλήσω τὸν βίον, ὅ ἐστι ζῶσα εἰς τέλος τοῦ εἱμαρμένου μοι βίου πρεκόψω; B.M. ἐνθάδε δὲ θανοῦσα ἐκπλήσω τὸν βίον, ἢ ζῶσα εἰς τέλος τοῦ εἱμαρμένου πρεκόψω, τουτέστι μετὰ θάνατον ἀμειφθήσομαι εἰς κύνα, ἢ ἐν τῷ κυνείῳ ἐθέλω πληρώσειν τὴν ζωήν μου, ἢ ζῶσα πάλιν θέλω μεταμορφωθῆναι εἰς ἄνθρωπον. ἐνθάδε ἐν τῇ μορφῇ τοῦ κυνὸς ζῶσα ἐκπληρώσω ἢ

6. λέγων om. I.
ib. ἔφη καὶ] ἔφη γὰρ I.
13. κυνείῳ] κυνίῳ A. Fl.
14. ἐπιζήσομαι] Pro ἐπιζητήσομαι Fl.
ib. ἤ om. Fl.
26. ὁ νοῦς om. M.
ib. θανοῦσα] θανοῦσα δ' B.
ib. τὸν om. M.

θανοῦσα, τουτέστιν ἀπαλλαγήσομαι τοῦ κύων εἶναι, ἢ σὺν αὐτῷ ἀποθανοῦμαι δηλονότι σὺν τῇ μορφῇ τοῦ κυνός. Fl. 6.

1271. θανοῦσα: τουτέστι μέχρι θανάτου κύων ἔσῃ· ἐπονομασθήσεται δὲ τῷ τάφῳ τὸ σὸν ὄνομα, ἤγουν κύων. I. θανοῦσα: γενήσῃ κύων. Gu.

1272. μορφῆς ἐπῳδόν: ἐπώνυμον τῆς ἐμῆς μορφῆς κληθήσεται τὸ σῆμα ἧς ἔχω νῦν, ἢ τί ἕτερον εἴπῃς; καί φησι Πολυμήστωρ, οὐ τάφος Ἑκάβης κληθήσεται, ἀλλὰ κυνὸς σημεῖον τοῖς ναύταις ἐπίδηλον· ὅταν γὰρ ἀπέλθωσι εἰς ἐκεῖνον τὸν τόπον οἱ ναῦται ἔνθα ἐστὶν ὁ τῆς Ἑκάβης τάφος, τότε γινώσκουσιν ὡς εἰς ξηρὰν εἰσιν. Λ. ἐπῳδὸν καὶ ἐπώνυμον τῆς ἐμῆς μορφῆς, ἢ τί ἄλλο ἐρεῖς; Ἄλλως. ἐπώνυμον τῆς κυνικῆς μορφῆς, ἢ ἄλλο τι τῆς ἀνθρωπίνης, ἣν ἔχω, λέξεις; I.

1273. κυνὸς ταλαίνης σῆμα: εἰρήσεται καὶ λεχθήσεται δηλονότι σῆμα καὶ μνημεῖον τῆς ταλαίνης κυνός, τέκμαρ καὶ σημεῖον τοῖς ναύταις. Ἄλλως. κυνὸς ἀθλίας τοῖς ναύταις τεκμήριον. I. περὶ τοῦ κυνὸς σήματος καὶ Ἀσκληπιάδης φησὶν ὅτι κυνὸς καλοῦσι δυσμόρου σῆμα. B.I.

1274. οὐδὲν μέλει μοι: οὐδαμῶς μοι φροντίς ἐστι, τιμωρηθέντος σοῦ παρ' ἐμοῦ. I.

1275. καὶ σήν γ' ἀνάγκη: ἀνάγκη δὲ ὑπάρχει καὶ τὴν σὴν παῖδα Κασάνδραν ἀποθανεῖν. I.

1276. ἀπέπτυσ': καταφρονῶ τῶν σῶν μαντευμάτων· σοὶ δ' εἴη ταῦτα γενέσθαι, ἅπερ ἐμοὶ μαντεύῃ. B.M.I. ἀπέρριψα, καταφρονῶ. στικτέον εἰς τὸ ἀπέπτυσα. Gu. στίζου εἰς τὸ ἀπέπτυσα, ἤγουν ἀπεφρόντισα· εἶτα αὐτῷ σοι δίδωμι τοῦτο ἔχειν. ἤγουν ἀπέπτυσα τῶν παίδων καὶ τοῦ πλούτου καὶ πάντων, ἔπειτα ταῦτα σοὶ δίδωμι ἔχειν, ἤγουν αἱ μαντεῖαι σευ ἐν σοί, οὐδὲ φροντίζω τῶν μαντειῶν σου. ἢ τὸ ἀπέπτυσα καταφρονῶ τῆς μαντείας σου. Fl. 59. οὐ πείθομαί σοι. Fl. 10.

1277. κτενεῖ νιν: κτενεῖ δὲ αὐτὴν ἡ σύνοικος τοῦδε τοῦ Ἀγα-

14. εἰρήσεται—σῆμα] In A. est τύμβῳ δ' ὄνομα σὸν κεκλήσεται: ὁ τάφος σου, φησί, τὸ σὸν ὄνομα εἰς κλῆσιν λάβῃ. πάντες γὰρ κυνὸς τάφον αὐτὸν καλοῦσι καὶ ἀσκληπιάδης φησὶν ὡς κυνὸς καλοῦσι δυσμόρου. 23. καταφρονῶ τῶν σῶν μαντευμάτων om. M.

μένους, ἡ πικρὰ Κλυταιμνήστρα. I. πικρὰν οἰκουρὸν τὴν Κλυταιμνήστραν φησὶν ὡς μοιχευομένην τῷ Αἰγίσθῳ, ὃν ἔλειπεν Ἀγαμέμνων, ὅτε ἀπῄει εἰς Τροίαν, κηδεμόνα τοῦ οἴκου αὐτοῦ, καὶ ἀποκτείνασαν τὸν ἴδιον ἄνδρα Ἀγαμέμνονα ὕστερον, ὡς καὶ Πολυμήστωρ μετ' ὀλίγον αὐτῷ Ἀγαμέμνονι λέγει ὑπὸ πελέκεως αὐτὸν ἀναιρεθήσεσθαι. φοβουμένη γὰρ αὐτὸν ἡ Κλυταιμνήστρα μὴ τὴν πρὸς Αἴγισθον αὐτῆς μοιχείαν καταμαθὼν αὐτὴν μετ' Αἰγίσθου τιμωρήσεται τοιόνδε βουλεύει· ἱμάτιον κατασκευάζει μὴ ἔχον διεξόδους μήτε κεφαλῆς μήτε χειρῶν, ἐν ᾧ περιβαλοῦσα αὐτὸν λελουμένον ἀπέκτεινεν, ὡς ἐν τῇ ἀρχῇ τοῦ δευτέρου δράματος ἱστόρηται. διὰ τοῦτο γὰρ καὶ Πολυμήστωρ λέγει πρὸς αὐτὸν "κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει." Gu. I. οἰκουρός: φύλαξ οἴκου, ἤγουν κατοικοῦσα ἐν τῷ οἴκῳ. Gu. πικρά: βαρεῖα, ἀλγεινή. Gr.

1278. μήπω μανείη: μὴ ἔλθοι εἰς τοσοῦτον μανίας ἡ Τυνδάρεω παῖς. M. μήπω μὴν μανείη τοσόνδε ἡ θυγάτηρ τοῦ Τυνδάρεω. I. μήπω: μηδαμῶς. Fl. 59. πω: ἀργόν. μανείη: εἴθε. Gu. τοσόνδε: ὡς ἀποκτεῖναι τὴν ἐμὴν θυγατέρα. Gu.

1279. καὐτόν σε τοῦτον: πρὸς τὸν Ἀγαμέμνονα ὁ λόγος ἀντὶ τοῦ, σὲ ὦ Ἀγάμεμνον. M. καὶ τοῦτον δὲ τὸν Ἀγαμέμνονα κτενεῖ, ἐξάρασα πέλεκυν ἄνω. I. οἱ νεώτεροι μὴ νοήσαντες τὸ παρ' Ὁμήρῳ "δειπνίσσας ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ" ἀνθ' ὧν ἔδει μετὰ τοὺς πόνους ἀπολαύσεως τυχεῖν, τοῦτον ὡς βοῦν ἀπέκτεινεν ἡ Κλυ-

2. ἔλειπεν 'Αγαμέμνων] ἔλιπεν ὁ ἀγαμέμνων I.

5. αὐτὸν om. I.

6. αὐτὸν ἡ K.] αὐτὴ ἡ K. αὐτὸν I.

8. κατασκευάζει] κατεσκεύασε I.

ib. μὴ sub linea habet Gu.

ib. διεξόδους] ἐξόδους Gu.

10. ὡς ἐν—ἱστόρηται om. I. δεύτερον δράμα Orestes dicitur more Byzantino. Conf. schol. ad Or. 25.

20. οἱ νεώτεροι] Ab versu 1279. incipit C. (i. e. codex Monacensis 560.) perditis foliis prioribus omnibus, de quo diximus in Praefatione. Scholion huic versui hoc est adscriptum, ex scholiis v. 1281. et 1279. compositum, ἐνδυσάμενοι (sic) γὰρ τὸ ἱμάτιον τὸ μὴ ἔχον πέρας ζέμα αὐτῷ κατέχεεν ἡ κλυταιμνήστρα. ἄλλως. καὐτὸν δὲ τοῦτον τοῦ μὴ νοήσαντες οἱ νεώτεροι τὸ ὁμηρικὸν ὡς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ. ὅτι ἀνθ' ὧν ἔδει μετὰ τοὺς πόνους ἀπολαύσεως τυχεῖν τοῦτον ὡς βοῦν ἀπέκτεινεν ἡ κλυταιμνήστρα προσέθηκεν ὅτι καὶ τὸν βοῦν ἐξάρασ' ἄνω:—

ib. παρ' Ὁμήρῳ Cobetus. παρ' ὁμήρου M. ὁμηρικὸν B.I. Est Od. 4. 535: "Idem scholion est in Fl. 10. sed omissis δειπνήσας—τοὺς πόνους. habet etiam προσέθεσαν καὶ τὸ πέλεκυν ἐξάρασ' ἄνω." MATTH.

21. δειπνίσσας] δειπνίσας B. δειπνήσας M.I.

ib. κατέκτανε] κατέκτεινε B.

ib. ἀνθ'] ὅτι ἀνθ' B.I.

22. τοῦτον ante τυχεῖν M.

ταιμνήστρα, προσέθηκαν ὅτι καὶ πελέκει ἀνῃρέθη. διὸ σημειωτέον ἐνταῦθα τὸ "καὐτόν γε τοῦτον πέλεκυν ἐξάρας᾽ ἄνω." A.B.M.I.

1280. οὗτος σύ: οὗτος σὺ, μαινόμενος ὑπάρχεις καὶ ἐπιθυμεῖς τυχεῖν καὶ ἄλλων κακῶν; I. τὸ ὦ οὗτος οὐ λέγει ὡς φίλον, ἀλλ᾽ ὡς εἰώθαμεν καλεῖν τοὺς τυχόντας. Fl. 59. κακῶν: ἤγουν κολάσεων. Gu. Fl. 17. 56. 76.

1281. κτεῖν᾽, ὡς: κτεῖνε, ὅτι καὶ ἐν τῷ Ἄργει φονικὰ λουτρά σε περιμένει· ἐπειδὴ ἐνδύσασα αὐτὸν τὸ ἱμάτιον τὸ μὴ ἔχον πέρας ζέμα αὐτῷ κατέχεεν ἡ Κλυταιμνήστρα. A.B.I.

1282. οὐχ ἕλξετ᾽: ἐκβάλλετε αὐτὸν, ὦ δοῦλοι, μακρὰν μετὰ βίας. I.

1283. ἀλγεῖς: πονεῖς ἀκούων. I. οὐκ ἐφέξετε: οὐ καθέξετε τὸ στόμα αὐτοῦ; B.I. ἐφέξετε: ἐγκλείσετε. Gr. κρατήσετε. Gu. ἐπέχω τὸ κρατῶ, ὡς τὸ "ἐπεῖχον τὴν γλῶσσαν." Fl. 59.

1284. ἐγκλείετ᾽: ἀσφαλίσατε· καὶ γὰρ ἐρρέθη. ταῦτα δέ φησιν ὡς πιεζόντων αὐτοῦ τῶν οἰκετῶν τὸ στόμα. I. ἐγκλείετ᾽: γράφεται καὶ πιέζετε. ὡς πιεζόντων δὲ αὐτοῦ τῶν οἰκετῶν τὸ στόμα ταῦτά φησιν. B. Fl. 10. 21. ἢ ἐλέχθη τοῦτο ὑμῖν παρὰ τοῦ Ἀγαμέμνονος, ἢ ἐλέχθη παρ᾽ ἐμοῦ τοῦτο. Gu.

1284.—1292. οὐχ ὅσον τάχος: οὐκ ἐξορίσετε αὐτόν που τῶν ἐρήμων νήσων, ἐπεὶ καὶ λίαν οὕτως ἀναισχυντεῖ; σὺ δ᾽, ὦ τάλαινα Ἑκάβη, πορευθεῖσα θάπτε τοὺς διπλοῦς νεκρούς. καὶ ὑμᾶς δὲ, ὦ Τρῳάδες, πρέπον ἐστὶ πελάζειν ταῖς σκηναῖς τῶν δεσποτῶν. καὶ γὰρ ὁρῶ τὰ πνεύματα ἐπιτήδεια πρὸς τὸν πλοῦν. εἶθε δὲ ἐς τὴν πατρίδα καλῶς πλεύσαιμεν, καὶ καλῶς τὰ ἐν τοῖς οἴκοις ἔχοντα ἴδοιμεν, ἐλευθερωθέντες τῶν θλίψεων. καλῶς δὲ ἐπεύχεται, ἐπειδὴ ἄτοπα παρὰ τοῦ Πολυμήστορος ἤκουσεν. I.

1. προσέθηκαν] προσέθηκεν M.

2. ἐνταῦθα τὸ] τὸ ἐνταῦθα τὸ M.

ib. καὐτόν (καταυτόν M.) γε] καὐτόν τε I. καὐτὸν δὲ A.

7. κτεῖνε — περιμένει om. A.B. Proxima sic leguntur in A. φόνια λουτρά: τοῦτό φησιν ἐπεὶ ἐνδύσασα αὐτὸν τὸ ἱμάτιον τραχήλου μὴ ἔχον διέλυσιν ζέμα αὐτῷ κατέχεεν ἡ κλυταιμνήστρα. διὰ τοῦτο εἴρηκε φόνια λουτρά.

8. τὸ ἱμάτιον—πέρας] τὸ μὴ ἔχον πέρας ἱμάτιον I.

12. οὐκ ἐφέξετε] In C. adscriptum γρ. οὐκεφράξετε. γρ. οὐκ ἐμφράξετε.

17. γράφεται—] In C. est, γρ. πιέζεται. ὡς πιεζόντων αὐτοῦ οἰκετῶν τὸ στόμα.

ib. δὲ et ταῦτά φησιν om. Fl. 10. 21.

24. ἐπιτήδεια addidi ex scholio inferiore ad v. 1290.

οὐχ ὅσον τάχος: ἐστὶ δηλονότι. Gr. λίαν συντόμως, ταχέως. Gu. ἐκβαλεῖτε: ἐξορίσετε εἰς νήσους ἐρήμους. M.

1286. θρασυστομεῖ: θρασυλογεῖ, φλυαρεῖ, ἀναισχυντεῖ, ἀπαιδεύτως λέγει. Fl. 59.

1287. διπτύχους: τοὺς δύο. M.

1288. ὑμᾶς χρεών: πρὸς τὸν χρὸν ταῦτα. B. Fl. 21. καλῶς καὶ νηπτικῶς καὶ εὐκατασκευάστως πρὸς τὸν χρὸν ταῦτά φησιν, ἵνα εὐπροσώπως ἀναχωρήσῃ. A.B.M. Fl. 21.

1289. πνοάς: πνοὴ ὁ ἄνεμος καὶ πνοὴ ἡ ζωή. ὅθεν καὶ ἐκπνέει καὶ ἀναπνέει. καὶ πνοὴ ἡ ὀσμὴ, ἤτις καὶ ἀποφορὰ λέγεται, καὶ μετὰ τοῦ ἡδεῖα τίθεται, οἷον πνοὴ ἡδεῖα, καὶ πνέει τὸ ῥόδον ἡδύ. πλὴν ἡ πνοὴ, εἰ καὶ σῶμα, ἀλλ' οὖν οὐχ ὁρᾶται καθ' ἑαυτήν· ὁρᾶται δὲ ἑτέρως σώμασι. Fl. 10. 25. ἐπεύχεται, ἐπειδὴ ἄτοπα ἤκουσε παρὰ τοῦ Πολυμήστορος. φησὶ γὰρ καὶ πρὸς τὴν Ἑκάβην, σὺ δὲ στείχουσα θάπτε καλῶς τοὺς παῖδας καὶ εὐκατασκευάστως, καὶ πρὸς τὸν χρόν φησιν, ἵνα εὐπροσώπως ἀναχωρήσῃ. Fl. 10. 25. ἱκετηρίους λόγους ποιεῖται ὁ Ἀγαμέμνων ἐπειδὴ ἄτοπα παρὰ Πολυμήστορος ἤκουσεν. Gu.

1290. πομπίμους ὁρῶ: ὁρῶ τὰ πνεύματα ἐπιτήδεια πρὸς τὸν πλοῦν ὄντα. καλῶς δὲ ἐπεύχεται, ἐπειδὴ ἄτοπα παρὰ τοῦ Πολυμήστορος ἤκουσεν. A.B.M. ἐπιτηδείους παραπέμπειν. Gr. Fl. 6. 9. 17. 21. 33. 56. 59. 76. ἀγωγοὺς, εὐφόρους. Gu.

1292. ἔχοντα: διακείμενα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀφειμένοι: ἀπαλλαγέντες. Gu. ἐλευθερωθέντες, ἀπολελειμμένοι, ἐν ἀφέσει γενόμενοι. Gu. λελυτρωμένοι. B. rec. λυτρωθέντες. Fl. 33.

1293. ἴτε πρὸς λιμένας: πρὸς ἑαυτὰς αἱ ἀπὸ τοῦ χορεῦ ταῦτα λέγουσι. B.M. πορεύθητε πρὸς τοὺς λιμένας καὶ πρὸς τὰς κατοι-

6. καλῶς—] In C. est, ἴτε πρὸς λιμένας. εὐκατασκευάστως πρὸς τὸν χρὸν ταῦτα λαλεῖ ἵνα εὐπροσώπως ἀναχωρήσει. πρὸς ἑαυτὰς αἱ ἀπὸ τοῦ χοροῦ ταῦτα λέγουσι.

ib. καλῶς] πελάζειν τρωάδες: ταῦτα φησὶν ὁ ἀγαμέμνων πρὸς τὰς ἑτέρας τρωάδας γυναῖκας. ἄλλως. καλῶς A.

7. νηπτικῶς] νηπικῶς A.B. Fl. 21.

8. ἀναχωρήσῃ] ἀναχωρῇ B. Fl. 21.

12. ἑτέρως] ἑτέροις Matth.

19. τὸν πλοῦν] τὸν om. M. ὄντα om. A.B.

20. καλῶς] δὲ om. A.M. quia novum scholium incipit.

27. αἱ ἀπὸ—λέγουσι] ταῦτα φασὶν αἱ ἀπὸ τοῦ χοροῦ M.

κίας, ὦ φίλαι, πεῖραν τῶν δεσποτικῶν ληψόμεναι πόνων· ἰσχυρὰ γάρ ἐστιν ἡ τῆς δουλείας ἀνάγκη. ταῦτα δὲ πρὸς ἑαυτὰς λέγουσιν αἱ ἀπὸ τοῦ χοροῦ. I.

ἴτε: κανόνισον εἶμι τὸ πορεύομαι, καὶ ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ εἰς ἔυτος, καὶ τὸ προστακτικὸν ἔθι, κατὰ συγκοπὴν ἴμεν, τὸ δεύτερον ἴτε. Fl. 25.

1294. δεσποσύνων: δεσποτικῶν. Gu. πειρασόμεναι: ἀπόπειραν ποιοῦσαι. B. πεῖραν ληψόμεναι. Gr.

1295. στερρά: ἀκαταπόνητος. Gr. Fl. 59. ὑπάρχει τῆς δουλείας δηλονότι, ἡ δουλεία τῶν δεσποτῶν. Fl. 59. ἕλκει ἡμᾶς. Fl. 33.

1295. στερρὰ γὰρ ἀνάγκη: κατεπείγουσα, ἐπικειμένη πολὺ ἰσχυρά. τῶν δεσποτῶν εἰς τοὺς δούλους. C. τῆς δουλείας δηλονότι. Gr.

5794

LGr
E89
.Ydi

Euripides
Dindorf, Wilhelm (ed.)
Scholia graeca in Euripidis tragoedias.
Vol.1.

DATE | NAME OF BORROWER.

University of Toronto
Library

DO NOT
REMOVE
THE
CARD
FROM
THIS
POCKET

Acme Library Card Pocket
Under Pat. "Ref. Index File"
Made by LIBRARY BUREAU